ΣΥΝΤΑΓΜΑ

ΤΩΝ ΘΕΙΩΝ

ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ

ΤΩΝ ΤΕ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ

ΑΠΟΣΤΟΛΩΝ,

ΚΑΙ ΤΩΝ ΙΕΡΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΚΑΙ ΤΟΠΙΚΩΝ

ΣΥΝΟΔΩΝ,

ΚΑΙ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΑΓΙΩΝ

ΠΑΤΕΡΩΝ,

ΕΚΔΟΘΕΝ,

Σὺν πλείσταις ἄλλαις τὴν ἐκκλησιαστικὴν κατάστασιν διεπούσαις διατάξεσι,

ΜΕΤΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΞΗΓΗΤΩΝ,

Καὶ διαφόρων ἀναγνωσμάτων,

ΥΠΟ

Γ. Α. ΡΑΛΛΗ ΚΑΙ Μ. ΠΟΤΛΗ,

Ἐγκρίσει τῆς Ἁγίας καὶ Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας Καὶ τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ.

ΑΘΗΝΗΣΙΝ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ

1855.

ΑΠΟΦΑΣΕΙΣ ΣΥΝΟΔΙΚΑΙ

ΚΑΙ

ΔΙΑΤΑΞΕΙΣ

ΤΩΝ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΩΝ ΚΑΙ ΠΑΤΡΙΑΡΧΩΝ,

ΕΤΙ ΔΕ

ΝΕΑΡΑΙ ΔΙΑΤΑΞΕΙΣ

ΤΩΝ ΒΥΖΑΝΤΙΝΩΝ ΑΥΤΟΚΡΑΤΟΡΩΝ,

Καὶ

Ἀποκρίσεις, ἐπιστολαί, ψῆφοι, ἐπιλύσεις, καὶ ὑπομνήματα

Περὶ διαφόρων κανονικῶν ὑποθέσεων.

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ.

ΑΘΗΝΗΣΙΝ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

1855.

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μου θεωρεῖται κλεψίτυπον, καὶ καταδιώκεται κατὰ τὸν νόμον.

Ο ΠΕΜΠΤΟΣ τόμος τοῦ Συντάγματος τῶν θείων καὶ ἱερῶν Κανόνων, ὃν, ἕνεκα τῶν ἀπὸ τῆς ἐκδόσεως τοῦ τετάρτου παρεμπεσουσῶν ποικίλων δυσχερῶν περιστάσεων, δὲν ἠδυνήθημεν πρὸ τῆς σήμερον νὰ παραδώσωμεν εἰς τὸ κοινὸν, περιέχει ἰδίως τὰς μετὰ τὸν ἁγιώτατον Πατριάρχην Φώτιον ἐκδοθείσας πατριαρχικὰς καὶ αὐτοκρατορικὰς διατάξεις, ῥυθμιζούσας πλεῖστα κανονικὰ καὶ τὴν ἐκκλησιαστικὴν κατάστασιν ἀφορῶντα ζητήματα, διαφόρους κανονικὰς πραγματείας, Τυπικὰ περὶ τῆς τάξεως τῶν θρόνων τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, ἑρμηνείαν τῶν ἐκκλησιαστικῶν ἀξιωμάτων, καὶ τέλος, διαφόρου φύσεως γράμματα ἐκδιδόμενα περὶ ἐκκλησιαστικῶν ὑποθέσεων.

Ἂν καὶ τὴν Συλλογὴν ταύτην ὑπεσχέθημεν νὰ ἐκδώσωμεν ἐν τῷ ἕκτῳ καὶ τελευταίῳ τόμῳ τοῦ Συντάγματος, τὸν δὲ πέμπτον ἔμελλε ν' ἀπαρτίζῃ τὸ κατὰ στοιχεῖον Σύνταγμα Ματθαίου τοῦ Βλάσταρη, ἐθεωρήσαμεν ἤδη προτιμότερον νὰ μεταβάλωμεν τὴν τάξιν ταύτην, ἐκδίδοντες ἀπὸ τοῦδε τὴν προκειμένην Συλλογὴν, καὶ παραπέμποντες εἰς τὸν ἕκτον τόμον τὸ κατὰ στοιχεῖον Σύνταγμα, καὶ διότι τὸ τελευταῖον τοῦτο σύγγραμμα ἀπαρτίζει σύνολον αὐτοτελὲς, καὶ μετὰ τῆς ἐν τοῖς προλαβοῦσι τέσσαρσι τόμοις περιεχομένης κανονικῆς ὕλης ἧττον συνεχόμενον, καὶ διὰ νὰ δυνηθῶμεν ἐν τοσούτῳ νὰ περιστοιχισθῶμεν μὲ τὰ ἐν Ἀθήναις ἐλλείποντα ἡμῖν ἀναγκαῖα βοηθήματα πρὸς ἀκριβῆ παραβολὴν καὶ ἔκδοσιν τοῦ διαληφθέντος Συντάγματος.

Τὸ πλεῖστον μέρος τῆς τοῦ παρόντος τόμου Συλλογῆς ἠντλήσαμεν ἐν τῷ Γραικο-Ῥωμαϊκῷ Νομίμῳ τοῦ Λεϋγκλαυΐου ὑπὸ Φρεέρου· ἐπειδὴ ὅμως πολλὰς τῶν ἐν τῇ Συλλογῇ αὐτοῦ πατριαρχικῶν καὶ αὐτοκρατορικῶν διατάξεων ἠρύσθη ὁ Λεϋγκλαΰϊος ἐκ τῶν συγγραμμάτων τοῦ Βαλσαμῶνος καὶ τοῦ Βλάσταρη, ἐκρίναμεν ἐντελῶς περιττὸν νὰ περιλάβωμεν ἐν τῷ πέμπτῳ τόμῳ ὅσας αὐτῶν ἐξεδώκαμεν ἤδη ἐν τοῖς προλαβοῦσι μετὰ τῆς εἰς τὸ Σύνταγμα τοῦ Πατριάρχου Φωτίου ἐξηγήσεως τοῦ Βαλσαμῶνος, ἢ τὰς ἐν τῷ κατὰ στοιχεῖον Συντάγματι τοῦ Βλάσταρη περιεχομένας καὶ ἐν τῷ ἕκτῳ τόμῳ ἐκδοθησομένας, ἐξαιρουμένων ἐκείνων μόνων, ὅσων τὸ κείμενον παρὰ μὲν τῷ Βαλσαμῶνι

ἀναγινώσκεται ἐν περιλήψει, παρὰ δὲ Φρεέρῳ ἢ ἀλλαχοῦ ἐκτίθεται πληρέστερον καὶ ὁλοσχερῶς.

Οὕτως ἡ ἔκδοσις ἡμῶν, ἥτις, μετὰ τὴν ἐν τῷ ἕκτῳ τόμῳ δημοσίευσιν τοῦ κατὰ στοιχεῖον Συντάγματος τοῦ Βλάσταρη, θέλει περιλαμβάνει ὁλόκληρον σχεδὸν τὴν ἐν τῷ Συνοδικῷ τοῦ Βευερηγίου περιεχομένην ὕλην, περιέχει περιπλέον, ὡς καὶ ἄλλοτε ἐῤῥέθη, μέγα μέρος τῆς βιβλιοθήκης τοῦ Βοέλλου (τὸν Νομοκάνονα τοῦ Φωτίου), καὶ ἅπαν τὸ πρῶτον μέρος τοῦ Γραικο-Ῥωμαϊκοῦ Νομίμου τοῦ Λεϋγκλαυΐου, τὸ ἀφορῶν δηλονότι τὸ ἐκκλησιαστικὸν δίκαιον (1).

Καὶ ταῦτα μὲν ὑπεσχόμεθα ὅτε ἀνηγγέλλομεν τὴν προκειμένην ἔκδοσιν. Ἀλλ' ὅτε ἡψάμεθα τοῦ ἔργου, εὕρομεν πλείστας ἄλλας ἐκκλησιαστικάς, ἢ εἰς ἐκκλησιαστικὰ ζητήματα ἀναγομένας διατάξεις, ἢ πραγματείας, μὴ ἀπαντωμένας ἐν ταῖς προεκτεθείσαις Συλλογαῖς, ἐκδοθείσας δὲ ἐν ἑτέροις συγγράμμασιν, ἢ ἀνεκδότους ἄχρι τοῦδε. Ἐντεῦθεν ἐκρίναμεν ἀναγκαῖον νὰ μὴ περιορισθῶμεν εἰς τὸ περιεχόμενον τῶν εἰς τὸ κοινὸν γνωστῶν ἤδη τούτων πηγῶν, ἀλλὰ νὰ δώσωμεν ὡς ἐπίμετρον εἰς τοὺς φιλοκάλους ἡμῶν συνδρομητὰς καὶ ὅσας ἄλλας πράξεις ἀξίας λόγου ἀπηντήσαμεν εἴτε ἐν ἄλλοις συγγράμμασιν, εἴτε ἐν τοῖς χειρογράφοις Κώδιξιν, ὧν ἡμῖν ἡ χρῆσις πρόχειρος· καὶ προσέτι νὰ δημοσιεύσωμεν τὰ κείμενα διαφόρων συνοδικῶν τόμων ἢ ἄλλων πράξεων, ἀναγομένων εἰς τὴν ἐνεστῶσαν κατάστασιν τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, καὶ ἐκδεδομένων ἀπὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως ἕως τῶν σημερινῶν χρόνων.

Τὴν ποικίλην ταύτην ὕλην διῃρέσαμεν ὡς ἑξῆς.

Αἱ πράξεις τῆς ἐν Κωνσταντινουπόλει Ἁγίας καὶ Μεγάλης Συνόδου, καθὸ διατάξεις νομοθετικαὶ τῆς ἀνωτάτης ἐκκλησιαστικῆς ἀρχῆς τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, ἐτέθησαν ἐν ἀρχῇ τῆς Συλλογῆς ταύτης. Μετ' αὐτὰς ἐδημοσιεύθησαν αἱ αὐτοκρατορικαὶ διατάξεις, αἱ εἰς ἐκκλησιαστικὰ ζητήματα ἀναγόμεναι, ὅσαι ἄλλως δὲν ἀπαντῶνται ἐν ταῖς νομοθετικαῖς Συλ-

---

(1) Τὸ β'. αὐτοῦ μέρος, καθὸ ἀπέβλεπον καθαρῶς τὸ πολιτικὸν δίκαιον, καὶ ἑπομένως μὴ ὑπαγόμενον εἰς τὴν ἡμετέραν ἐργασίαν, δὲν περιελήφθη ἐν τῷ Συντάγματι τούτῳ, ἐξαιρουμένης τῆς περὶ ὅρκου Νεαρᾶς τῆς Εἰρήνης σελ. 248.

λογαῖς τοῦ αὐτοκράτορος Ἰουστινιανοῦ, ἐν τοῖς Βασιλικοῖς, καὶ ἐν ταῖς Νεαραῖς τοῦ Λέοντος, καθότι ταύτας δύναται προχείρως ν' ἀνεύρῃ ὁ ἀναγνώστης ἐν ταῖς πολυαρίθμοις ἐκδόσεσι τοῦ Ἰουστινιανείου δικαίου καὶ τῶν Βασιλικῶν.

Διεκρίναμεν ἀκριβῶς ἀπὸ τῶν νομοθετικῶν τούτων πράξεων τὰς ἁπλᾶς πραγματείας, ἢ γνωμοδοτήσεις, εἴτε ἐκκλησιαστικῶν εἴτε πολιτικῶν νομοδιδασκάλων, καθόσον αὗται ὀφείλουσι μᾶλλον νὰ θεωρηθῶσιν ὡς μνημεῖα ἐκκλησιαστικῆς νομολογίας, ἢ ὡς νόμοι καὶ κανόνες τῆς Ἐκκλησίας, καὶ ταύτας κατετάξαμεν κατόπιν τῶν προηγουμένων. Ἐν γένει δὲ ἠκολουθήσαμεν τὴν χρονολογικὴν σειρὰν τῶν δημοσιευομένων διατάξεων, προσπαθήσαντες νὰ ὁρίσωμεν ἐκ τῶν ἐνόντων τὸν χρόνον τῆς ἐκδόσεως, καὶ ὅπου οὗτος ἦν ἄδηλος.

Ἰδοὺ δὲ αἱ ἐξ ἑτέρων πηγῶν παρὰ τὸ Γραικο-Ῥωμαϊκὸν Νόμιμον τοῦ Λεϋγκλαυΐου καὶ τὸ Σύνταγμα τοῦ Βλάσταρη ληφθεῖσαι διατάξεις. Καὶ πρῶτον μὲν αἱ πατριαρχικαί.

Τὸ ἐν σελ. 76 Συνοδικὸν σημείωμα τοῦ πατριάρχου Λέοντος τοῦ Στυππῆ Περὶ κατακρίσεως τῶν συγγραμμάτων τοῦ Χρυσομάλλου, καὶ τὰ ἐν σελ. 83-91 τέσσαρα σημειώματα τοῦ πατριάρχου Μιχαὴλ τοῦ Ὀξείτου, ἐπὶ καθαιρέσει τῶν Βογομίλων τοῦ τε Σασίμων μοναχοῦ Κλήμεντος, καὶ τοῦ Βαλβίσσης Λεοντίου, καὶ ἐπὶ περιορισμῷ τοῦ Νήφωνος, ἐλήφθησαν ἐκ τοῦ συγγράμματος τοῦ Ἀλλατίου De Ecclesiæ orientalis et occidentalis perpetua consensione σελ. 644 καὶ 671-681· παρεβλήθησαν δὲ καὶ πρὸς τὸ ἐν τῇ Συλλογῇ τῶν Συνόδων ὑπὸ Μηλίου κείμενον αὐτῶν (1).

Ἡ ἐν σελ. 121 Νεαρὰ τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ἀθανασίου Περί τινων κεφαλαίων νομίμων, ἣν πρὸ ἡμῶν ἐξέδοτο

---

(1) Τῶν ἁγίων Συνόδων τῆς ἁγίας Καθολικῆς Ἐκκλησίας τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην συναθροισθεισῶν οἰκουμενικῶν τε, καὶ τοπικῶν, νέα καὶ δαψιλεστάτη συνάθροισις, ἐν ᾗ περιλαμβάνονται καὶ οἱ κανόνες τῶν θείων Ἀποστόλων, καὶ αἱ Διαταγαὶ τῶν αὐτῶν διὰ Κλήμεντος τοῦ Ῥωμαίου· ἔτι δὲ αἱ κανονικαὶ ἐπιστολαὶ τῶν κατὰ μέρος ἁγίων Πατέρων, καὶ τὸ Σύνταγμα Γελασίου τοῦ Κυζικηνοῦ τῶν κατὰ τὴν ἐν Νικαίᾳ Σύνοδον πραχθέντων· νῦν πρῶτον ἑλληνιστὶ μόνον τύποις ἐκδοθεῖσα, κοσμηθεῖσά τε καὶ ἐν τάξει ἀρίστῃ τεθεῖσα σπουδῇ καὶ πόνῳ τοῦ πανιδεσιμωτάτου καὶ ἱερολογιωτάτου Σπυρίδωνος Μήλια, Τοποτηρητοῦ Φιλαδελφείας, καὶ τῶν ἐν ταῖς κλειναῖς Ἐνετίαις προέδρου, συνδρομῇ δὲ καὶ ἀναλώμασι τοῦ εὐσεβεστάτου Πολυμέρου Πασχάλη ἐξ Ἀθηνῶν. Τόμοι 2, ἐν Παρισίοις, 1761, 1762.

ἐκ τοῦ χειρογράφου κώδικος 1357. A. τῆς ἐν Παρισίοις αὐτοκρατορικῆς βιβλιοθήκης ὁ ὑπὲρ τῆς ἀποκαταστάσεως τῶν κειμένων τῆς Βυζαντινῆς νομοθεσίας πολλὰ μογήσας Αἰμβάχιος, ἐν τῷ εἰς τὴν Ἑξάβιβλον προλόγῳ αὐτοῦ, σελ. xxii-xxvii, ὑποσημειώσας καὶ τὰς διττογραφίας ἑτέρου Κώδικος τῆς αὐτῆς βιβλιοθήκης ὑπ' ἀρ. 1351. A. Πρὸς μείζονα ἀκρίβειαν τοῦ κειμένου τῆς Νεαρᾶς ταύτης, παρεβάλομεν αὐτὸ καὶ πρὸς τὸ ἐν τῷ Χειρ. Γ. τοῦ ἐν μακαρίᾳ τῇ λήξει μητροπολίτου Ἀργολίδος Γερασίμου σωζόμενον αὐτῆς ἀντίγραφον, παραδεχθέντες πολλὰς κρείττονας αὐτοῦ γραφὰς, παρεθέσαμεν δὲ καὶ τὰς ἐκ τῶν ἤδη μνησθέντων Κωδίκων, ὡς καί τινας ἐκ τοῦ ὑπ' ἀρ. 3 τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης, πρὸς ὃ ἐπιμελῶς παρεβλήθη.

Μετὰ τὴν Νεαρὰν τοῦ Ἀθανασίου ἕπεται ἐν σελ. 127 ἡ ὑπὸ τοῦ πατριάρχου Φιλοθέου ἀνατροπὴ τῶν παρὰ τῷ Ἀρμενοπούλῳ ἀναγεγραμμένων ἀναθεματισμῶν, ἐκδοθεῖσα μετὰ τὸν Λεϋγκλαύϊον ὑπὸ τοῦ Αἰμβαχίου, ὡς ἐπίμετρον τῆς Ἑξαβίβλου αὐτοῦ, μετὰ προοιμίου ἱστορικοῦ τῶν τριῶν ἀναθεματισμῶν μὴ ἀπαντωμένου παρὰ Λεϋγκλαυΐῳ· ἐν δὲ σελ. 131 ἀναγινώσκεται σιγίλλιον τῷ Ἱερισσοῦ ὑπὸ τοῦ αὐτοῦ Φιλοθέου περὶ τῶν ἐν τῷ Ἁγίῳ Ὄρει δικαίων αὐτοῦ, ληφθὲν ἐκ τῆς Σλαβικῆς Βιβλιοθήκης τοῦ Κ. Φ. Μικλοσιχίου σελ. 234 (1).

Τὸ ἐν σελ. 134 σημείωμα τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ἡσαΐου, Περὶ χρηματικῶν συνεισφορῶν τῶν μητροπόλεων ὑπὲρ τῆς Μεγάλης Ἐκκλησίας, ἐρανίσθημεν ἔκ τινος διατριβῆς τοῦ Κ. Ἰωσὴφ Μυλλέρου, καταχωρισθείσης ἐν τοῖς πρακτικοῖς τοῦ φιλοσοφικοῦ καὶ ἱστορικοῦ τμήματος τῆς ἐν Βιέννῃ Ἀκαδημίας τῶν ἐπιστημῶν κατὰ τὸν Ἰούλιον τοῦ ἔτους 1851 (2). Τὸ σημείωμα τοῦτο ἔδοξεν ἡμῖν ἄξιον δημοσιεύσεως, ὡς μία τῶν ἀρχαιοτέρων πατριαρχικῶν πράξεων, ἐφ' ὧν στηρίζεται τὸ σύστημα τῆς διὰ συνδρομῶν τῶν μητροπόλεων χρεωλυσίας τοῦ εἰς τὴν Μεγάλην Ἐκκλησίαν ἐπικειμένου χρηματικοῦ βάρους.

Τὸ ἐν σελ. 138 πατριαρχικὸν γράμμα ἀδήλου πατριάρχου,

---

(1) Slavische Bibliothek, oder Beitræge zur slavischen Philologie und Geschichte, von Fr. Miklosich. Wien, bei Wilhelm Braumüller, 1851.

(2) Urkundliche Beitræge zur Geschiche des sinkenden Romæerreiches.

Περὶ τοῦ ἐκ τοῦ ἁγίου βαπτίσματος κωλύματος τοῦ γάμου, καὶ τὸ ἐν σελ. 141 Περὶ τοῦ ἀντιμινσίου, ὑπὸ τοῦ πατριάρχου Νείλου, ἐρανίσθημεν ἐκ τοῦ Χειρ. Γ., ὅπου μαρτυρεῖται τὸ πρῶτον ἀντιγραφὲν ἐκ Κώδικος τῆς μητροπόλεως Ἡρακλείας.

Ἡ ἐν σελ. 143 ἀκολουθία περὶ χρίσεως τῶν ἐκ τῶν Λατινικῶν αἱρέσεων ἐπιστρεφόντων τῇ Ὀρθοδόξῳ τε καὶ Καθολικῇ Ἐκκλησίᾳ, τυπωθεῖσα κατὰ τὸ ἔτος 1481 ἐπὶ τοῦ πατριάρχου Συμεὼν, ἐλήφθη ἐκ τοῦ Τόμου Ἀγάπης τοῦ πατριάρχου Ἱεροσολύμων Δοσιθέου, ἐκδοθέντος ἐν Ἰασίῳ τῆς Μολδαυΐας τῷ 1698 ἔτει. Σημειωτέον ἐνταῦθα ὅτι ἐν ἔτει 1796 ἐξεδόθη Ὅρος τῆς Ἁγίας καὶ Μεγάλης Συνόδου, ἐπὶ τοῦ Οἰκουμενικοῦ πατριάρχου Κυρίλλου, καθ' ὃν βαπτίζονται οἱ εἰς τὴν Ὀρθόδοξον Ἐκκλησίαν ἐπιστρέφοντες Λατῖνοι. Στερούμενοι τοῦ κειμένου τῆς συνοδικῆς ταύτης πράξεως, ὅτε ἐξεδίδετο ἡ προμνησθεῖσα ἀκολουθία, ἐθέσαμεν αὐτὸν ἐν παραρτήματι τοῦ παρόντος τόμου σελ. 614, ἐρανισθέντες αὐτὸν ἤδη ἐκ τοῦ συγγράμματος τοῦ ἐπικαλουμένου Ῥαντισμοῦ στηλίτευσις σελ. ρογ' (1).

Ἡ σελ. 149 ἐπὶ τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ἱερεμίου τοῦ Β'. ἐκδοθεῖσα συνοδικὴ πρᾶξις, δι' ἧς ὁ μητροπολίτης Ῥοστοβίου Ἰὼβ ἀναγορεύεται πατριάρχης Μοσχοβίας, πάσης Ῥωσσίας, καὶ τῶν ὑπερβορείων μερῶν, ἐλήφθη ὡσαύτως ἐκ τοῦ Τόμου Ἀγάπης.

Τὸ σελ. 156 ὑπὸ τοῦ πατριάρχου Νεοφύτου ἐν ἔτει 1611 ἐκδοθὲν σημείωμα Περὶ διαφόρων γαμικῶν κεφαλαίων, οὗ γίνεται μὲν μνεία ἔν τισι πραγματείαις, ἰδίως ἐν τῷ περὶ συνοικεσίων ἐγχειριδίῳ τοῦ Σπανοῦ, ἀνέκδοτον δὲ μέχρι τοῦδε, ἐρανίσθημεν ἐκ χειρογράφου τοῦ Νομίμου τοῦ Μαλαξοῦ, σωζομένου ἐν τῇ ἐθνικῇ βιβλιοθήκῃ Ἀθηνῶν.

Μετ' αὐτὸ ἕπονται σελ. 160 τὰ γράμματα τοῦ τε Οἰκουμενικοῦ πατριάρχου Ἱερεμίου τοῦ Γ'. τοῦ ἔτους 1723, καὶ τοῦ πατριάρχου Ἀντιοχείας Ἀθανασίου, πρὸς τὴν ἁγιωτάτην Σύνοδον τῆς Ῥωσσίας, δι' ὧν ἀναγνωρίζεται τὸ αὐτοκέφαλον τῆς Ῥωσ-

(1) Βιβλίον καλούμενον Ῥαντισμοῦ στηλίτευσις, ἐν ᾧ περιέχεται κεφαλαίων ἀριθμὸς ὀγδοήκοντα ἑνὸς, ὧν ἕκαστον ταῖς ἀκτῖσι τῆς Γραφῆς ὡς ἱστὸν ἀράχνης φαίνεται διαλύον ῥαντισμάτων τὸ σκότος, τότε μὲν πρῶτον τύποις ἐξεδόθη, ὅτε ὁ οἰκουμενικὸς ἐκοσμεῖτο θρόνος παρὰ τοῦ παναγιωτάτου κυρίου κυρίου Κυρίλλου Σωτηρίῳ ἔτει αψνς'. — Ἐξεδόθη δὲ καὶ ἐν Λειψίᾳ ἐν ἔτει 1758.

σικῆς Ἐκκλησίας, ἐκδοθέντα ἀμφότερα κατόπιν ἐπιστολῆς τοῦ αὐτοκράτορος τῆς Ῥωσσίας Πέτρου τοῦ Μεγάλου, δημοσιευθείσης ἐν ὑποσημειώσει σελ. 160. Ταῦτα ἐλήφθησαν ἐκ φυλλαδίου φέροντος τόπον ἐκδόσεως τὴν Πετρούπολιν, καὶ ἔτος τὸ 1840.

Ἕπονται κατόπιν ά. σελ. 165 ὁ ἐπὶ τοῦ πατριάρχου Γρηγορίου ἐν ἔτει 1839 ἐκδοθεὶς Τόμος περὶ συνοικεσίων, εἰς ὃν ἔδωκεν ἀφορμὴν ἀναφορὰ τῆς Ἰονίου διοικήσεως, ἀναγινωσκομένη ὡσαύτως ἐν ὑποσημειώσει· 6'. σελ. 177 ὁ ἐπὶ τοῦ πατριάρχου Ἀνθίμου τοῦ Βυζαντίου ἐν ἔτει 1850 ἐκδοθεὶς Συνοδικὸς Τόμος περὶ τοῦ αὐτοκεφάλου τῆς Ἐκκλησίας τοῦ Βασιλείου τῆς Ἑλλάδος, ἐν ὑποσημειώσει δὲ, ἡ ἐπιστολὴ τῆς Ἑλληνικῆς Κυβερνήσεως περὶ τῆς αὐτῆς ὑποθέσεως. Ἐν τῷ παραρτήματι σελ. 591 ἐξεδώκαμεν τὸν περὶ ἐπισκοπῶν καὶ ἐπισκόπων νόμον τῆς 9 Ἰουλίου 1852, καὶ τὸ καταστατικὸν τῆς Ἱερᾶς Συνόδου τοῦ Βασιλείου τῆς Ἑλλάδος, ὡς καὶ τὴν κατὰ τὸ ἔτος 1849 ἐκδοθεῖσαν ἐγκύκλιον ἐπιστολὴν τῆς Αὐτοῦ Παναγιότητος τοῦ Οἰκουμενικοῦ Πατριάρχου Κυρίου Ἀνθίμου τοῦ ἀπὸ Ἐφέσου, περὶ ὅρκου.

Αἱ δὲ αὐτοκρατορικαὶ διατάξεις αἱ μὴ ἐν τῷ Γραικο-Ῥωμαϊκῷ Νομίμῳ περιεχόμεναι, ὑπάρχουσιν αἱ ἀκόλουθοι.

Τὸ ἐν σελ. 219 Χρυσόβουλλον, Περὶ τῶν ἐπαρχιῶν καὶ προνομίων τῆς Ἀρχιεπισκοπῆς Ἀχριδῶν, ἀποδιδόμενον ἐν τῷ Χειρ. Γ., ἐξ οὗ ἐρανίσθημεν αὐτὸ, εἰς τὸν αὐτοκράτορα Ἰουστινιανὸν, ἂν καὶ ἐκ τοῦ περιεχομένου, καὶ τῆς ἐν τέλει χρονολογίας, ἐξελέγχεται ψευδεπίγραφον, καὶ ἀναγόμενον εἰς ἐποχὴν πολλῷ μεταγενεστέραν, εἰς τὴν δεκάτην τρίτην ἴσως ἑκατονταετηρίδα, ὅτε οἱ Λατῖνοι κατεῖχον τὸ Βυζάντιον.

Ἡ ἐν σελ. 241 Νομοθεσία Νεαρὰ Λέοντος τοῦ Χαζάρου, κατὰ τὸν Βάρδα, καὶ ἡ σελ. 252 Περὶ τῶν συναπτομένων ἀπὸ τρίτου γάμου καὶ ἐπέκεινα διάταξις τῆς αὐτοκρατορίσσης Εἰρήνης, ἐκδοθεῖσαι ἀμφότεραι κατὰ πρῶτον ὑπὸ τοῦ Κ. Ζαχαρίου σελ. 108 καὶ 115 τοῦ συγγράμματος αὐτοῦ Historiæ juris Græco-Romani delineatio.

Ἡ ἐν σελ. 266-269 Νεαρὰ Βασιλείου τοῦ Βουλγαροκτόνου Περὶ τῆς ἀρχιεπισκοπῆς Βουλγαρίας ἐλήφθη ἐκ τοῦ ἡμετέρου Χειρ. Γ., ἐλλιπὴς περὶ τὸ τέλος.

Ἡ ἐν σελ. 274 Νεαρὰ Κωνσταντίνου τοῦ Δούκα, ὅτι ὁ βασιλεὺς οὐκ ἔχει ἐξουσίαν ἀμείβειν τοὺς θρόνους, ἐλήφθη ἐκ τοῦ ὑπ' ἀρ. 34 (ποτὲ LIII) ἱστορικοῦ Κώδικος τῆς ἐν Βιέννῃ αὐτοκρατορικῆς βιβλιοθήκης.

Ἡ σελ. 291 περὶ τῶν ψήφων Νεαρὰ νομοθεσία Ἀλεξίου τοῦ Κομνηνοῦ ἐλήφθη ἐκ τῆς Συλλογῆς τοῦ Κοτελλερίου Ecclesiæ Græcæ monumenta, Τόμ. Β'. σελ. 178.

Ἐκ τοῦ ἤδη μνησθέντος συγγράμματος Λέοντος τοῦ Ἀλλατίου σελ. 683-688 ἐρανίσθημεν τὸ ἐν σελ. 307 σημείωμα Μιχαὴλ τοῦ Κομνηνοῦ, Περὶ τῆς καθαιρέσεως τοῦ πατριάρχου Κωνσταντινουπόλεως Κοσμᾶ τοῦ Ἀττικοῦ.

Ἐκ τοῦ Χειρ. Γ. ἔχομεν ὡσαύτως τὰς ἐν σελ. 326-330 τρεῖς Νεαρὰς Μιχαὴλ τοῦ Παλαιολόγου, ἀφορώσας Θεόδωρον τὸν Σκουταριώτην, τὸν μετὰ ταῦτα γενόμενον μητροπολίτην Κυζίκου, καὶ τὸν ἐν σελ. 331 ὁρισμὸν ἀδήλου Βασιλέως, δι' οὗ ὁ Σιναίου τιμᾶται ὑπέρτιμος.

Τὸ ἐν σελ. 337 Χρυσόβουλλον τοῦ αὐτοκράτορος Ἀνδρονίκου τοῦ Παλαιολόγου τοῦ Γέροντος, Περὶ τῶν προνομίων τοῦ μητροπολίτου Μονεμβασίας, ἐλήφθη ἐκ τοῦ ἐν τῇ Ἐθνικῇ Βιβλιοθήκῃ Ἀθηνῶν σωζομένου πρωτοτύπου· ἐξεδόθη δὲ πρότερον ἐν τῇ Νέᾳ Πανδώρᾳ, φυλλαδίῳ ΠΕ'. τοῦ τετάρτου τόμου σελ. 338.

Ἀπὸ τῆς σελίδος 455 ἕως τῆς σελ. 530 εὑρίσκει ὁ ἀναγνώστης τὰ ἀπὸ τῆς ἀρχαιοτάτης ἐποχῆς μέχρι σήμερον κατὰ καιροὺς γενόμενα Τυπικά, ἢ καταλόγους περὶ τῆς τάξεως τῶν θρόνων τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας. Δημοσιεύοντες τὰ Τυπικὰ ταῦτα δὲν ἐννοήσαμεν νὰ ἐκδώσωμεν πλήρη περὶ τοῦ σπουδαιοτάτου τούτου ἔργου πραγματείαν, ἀλλὰ μόνον νὰ θέσωμεν τὸν ἀναγνώστην εἰς κατάστασιν νὰ μελετήσῃ διὰ τῶν πρωτοτύπων τούτων κειμένων τὴν κατὰ καιροὺς διαίρεσιν τῶν ἐκκλησιαστικῶν ἐπαρχιῶν, καί, οὕτως εἰπεῖν, τὴν ἱστορίαν αὐτῶν, εἴτε πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως, εἴτε μετ' αὐτήν. Εἰς τὸ ἀκανθῶδες τοῦτο ἔργον ἐστερούμεθα πάσης νεωτέρας ἐπιστημονικῆς ἐπεξεργασίας τῶν ἀρχαίων τούτων καταλόγων, οἵτινες βρύθουσι μὲν γραφικῶν παραδρομῶν ἐπὶ τῶν κυρίων ὀνομάτων τῶν τε ἐπαρχιῶν καὶ

τῶν πόλεων, παριστῶσι δὲ οὐ σμικρὰν σύγχυσιν καὶ ὡς πρὸς τὰ πράγματα αὐτὰ, ἕνεκα τῶν εἰς τὰ ἀρχαῖα αὐτῶν κείμενα ὑπὸ τοῦ τυχόντος γενομένων κατὰ καιροὺς προσθηκῶν, ἄνευ ἀκριβείας, ἢ γενικῆς αὐτῶν ἀναθεωρήσεως· ὅθεν μ' ὅλους τοὺς εἰς τὴν ἔκδοσιν αὐτῶν καταβληθέντας ἀτρύτους πόνους, θέλομεν νομισθῇ εὐτυχεῖς, ἂν οἱ ἁρμόδιοι κριταὶ ἀποφανθῶσιν ὅτι προσεγγίσαμεν εἰς τὴν ὑπὸ τῆς φύσεως τοιούτου ἔργου ἀπαιτουμένην ἀκρίβειαν.

Ἐρευνῶν δέ τις τὸ περιεχόμενον τῶν σωζομένων ἀρχαίων τοιούτων Τυπικῶν, θέλει εὐκόλως πεισθῇ, ὅτι, ὡς πρὸς τὰς ἐποχὰς, ἃς παριστῶσιν, εὐλόγως δύνανται νὰ ὑπαχθῶσιν εἰς τρεῖς κυριωτέρας κατηγορίας· ἐπὶ τούτῳ στηριζόμενοι, ἐδημοσιεύσαμεν τρία μόνα τῶν Τυπικῶν τούτων, ἓν ἐξ ἑκάστης κατηγορίας, συμπληρώσαντες αὐτὰ εἴτε δι' ὑποσημειώσεως τῶν ἐν τοῖς μὴ δημοσιευθεῖσιν ἀπαντωμένων διαφορῶν, εἴτε δι' ἀποσπασμάτων ληφθέντων ἐκ τῶν μὴ ὁλοσχερῶς ἐκδεδομένων.

Κατὰ τὴν ἐπεξεργασίαν τῶν κειμένων τούτων ἐβοηθήθημεν ἰδίως ἐκ τοῦ ἀξιολόγου συγγράμματος τοῦ Λεκυιένου (1), τῆς ἐν τῇ σειρᾷ τῶν Βυζαντινῶν ἐκδόσεως τοῦ Συνεκδήμου μετὰ τῶν σημειώσεων τοῦ Βεσελιγγίου, καὶ τῆς νέας ἐκδόσεως τῆς Notitia dignitatum ὑπὸ Ε. Βοικιγγίου ἐν Βόννῃ 1839.

Ἐκ τῶν τριῶν τούτων καταλόγων, ὁ ἐν σελ. 455-472 ὑπὸ στοιχ. Α'. ἀρχαιότατος τῶν σωζομένων καταλόγων τῶν θρόνων, ἀνήκων, ὡς εἰκάζεται, κατὰ τὴν πρώτην αὐτοῦ ἐπεξεργασίαν εἰς τὴν πέμπτην ἑκατονταετηρίδα, κατὰ δὲ τὴν ἐνεστῶσαν αὐτοῦ κατάστασιν, εἰς τὰ τέλη τῆς ἐννάτης, ἐξεδόθη τὸ πρῶτον πληρέστερος ὑπὸ Ἰακώβου Γοάρου, ὡς παράρτημα τοῦ περὶ ἀξιωμάτων τῆς Μεγάλης Ἐκκλησίας συγγράμματος Γεωργίου τοῦ Κωδινοῦ ἐν σελ. 337 (2), ἐκ χειρογράφου Κώδικος τῶν Παρισίων, κατόπιν δὲ ἐκ Κώδικος τῆς Βοδληϊανῆς βιβλιοθήκης ὑπὸ τοῦ Βευερηγίου ἐν ἔτει 1672 ἐν τῷ Συνοδικῷ

(1) Oriens Christianus, in quatuor Patriarchatus digestus, etc. Studio et opera R. P. T. Michaelis Le Quien, Parisiis 1740, εἰς τόμους 3.

(2) Georgius Codinus Curopalata, de officiis magnæ Ecclesiæ, et aulæ Constantinopolitanæ, etc. cura et opera P. Jacobi, Goar Paris Prædic. Congreg. Reform. S. Ludovici, Parisiis MDCXLVIII.

αὐτοῦ, Τόμ. Β'. σελ. 135 (1). Ἐσχάτως δὲ μετετυπώθη ὑπὸ τοῦ Θ. Φ. Τάφελ, ἐν τῇ ἐκδόσει τοῦ Β'. βιβλίου τῆς περὶ θεμάτων πραγματείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, σελ. 42 (2).

Ὁ κατάλογος οὗτος ἀναφέρεται πῆ μὲν ὡς δῆθεν ἔργον Βασιλείου τινὸς ἐξ Ἀρμενίας, πῆ δὲ ὡς ἔργον τοῦ Ἐπιφανίου, ἀρχιεπισκόπου Κύπρου. Μετ' αὐτοῦ δὲ ταυτίζεται ἕτερος κατάλογος ἐκδεδομένος ὑπὸ τοῦ Γοάρου ἐν τῇ προμνησθείσῃ αὐτοῦ ἐκδόσει σελ. 365-378. Τὸ καθ' ἡμᾶς, παραδεχθέντες ἐν τῇ παρούσῃ ἐκδόσει ὡς βάσιν τὸ παρὰ Βευεργηγίῳ κείμενον τοῦ διαληφθέντος καταλόγου, ὑπεσημειώσαμεν ἐν οἰκείῳ τόπῳ τὰς οὐσιώδεις διαφορὰς τῶν παρὰ Γοάρου ἐκδοθέντων.

Ὁ ἐν σελ. 474-486 ὑπὸ στοιχ. Β'. κατάλογος, ἐπιγραφόμενος κοινῶς, Διατύπωσις τοῦ Βασιλέως Λέοντος τοῦ Σοφοῦ, ὅπως ἔχουσι τάξεως οἱ θρόνοι, κτλ., ἀνήκει, ὡς ἐκ τοῦ περιεχομένου αὐτοῦ ἀναμφισβητήτως καταφαίνεται, εἰς τὴν ΙΑ'. ἑκατονταετηρίδα· διετήρησε δὲ πιθανῶς τὴν ἐπιγραφὴν ταύτην, ὡς ἁπλῶς ἐπεξειργασμένη τοῦ ἀνωτέρου καταλόγου δευτέρα ἔκδοσις. Ἐν τούτοις παρατηρεῖται ἐν τῇ διατυπώσει ταύτῃ, ἐκτὸς τῆς προσθήκης τῶν ἀπὸ τοῦ Λέοντος μέχρι τῆς ΙΑ'. ἑκατονταετηρίδος γενομένων νέων μητροπόλεων, ἀρχιεπισκοπῶν, καὶ ἐπισκοπῶν, καὶ ἡ μεταξὺ τῶν τῷ Οἰκουμενικῷ πατριάρχῃ ὑπαγομένων θρόνων ἤδη κατὰ πρῶτον ἀναφαινομένη κατάταξις τῶν μητροπόλεων, ἀρχιεπισκοπῶν, καὶ ἐπισκοπῶν, αἵτινες, ἀποσπασθεῖσαι κατὰ τὴν Η'. ἑκατονταετηρίδα ἀπὸ τῆς Ῥώμης, ἐσημειοῦντο ἐν τοῖς Τυπικοῖς τῆς ά. κατηγορίας ἁπλῶς ἐν παραρτήματι, καὶ ἄνευ ὡρισμένης θέσεως ἐν τῇ τάξει τῶν τῷ Οἰκουμενικῷ πατριάρχῃ ὑπαγομένων θρόνων. Ἐντεῦθεν συνάγομεν, ὅτι κατὰ τὸν μεταξὺ τοῦ Α'. καὶ τοῦ Β'. Τυπικοῦ μεσολαβήσαντα χρόνον, ἐγένετο πρᾶξις τῆς Ἐκκλησίας, δι' ἧς ἐκανονίσθησαν ὁριστικῶς τὰ περὶ τῶν θρόνων τούτων. Εὐλό-

(1) Λεπτομερεστέρας πληροφορίας περὶ τῶν ἀρχαιοτέρων ἐκδόσεων τοῦ καταλόγου τούτου εὑρίσκει τις εἰς τὰς ἐπὶ τῶν καταλόγων τούτων σημειώσεις τοῦ Γοάρου, τοῦ Βευερηγίου, καὶ τοῦ Τάφελ, ἐν ταῖς ἤδη μνησθείσαις ἐκδόσεσιν αὐτῶν.

(2) Constantinus Porphyrogenitus de provinciis Regni Byzantini, Liber secundus, Europa. etc Novis curis edidit. . . Theophilus Luc. Fridericus Tafel, Tubingæ, 1846.

γως δὲ δυνάμεθα νὰ εἰκάσωμεν, ὅτι τὸ ἐπίσημον ἔγγραφον, δι' οὗ ἡ κατάταξις αὕτη καθιερώθη, εἶναι τὸ ἐν σελ. 473 πατριαρχικὸν καὶ συνοδικὸν σημείωμα ἀγνώστου πατριάρχου, ἀναγινωσκόμενον ἐν σελ. 243-246 τοῦ Γραικο-Ῥωμαϊκοῦ Νομίμου, ὅπερ διὰ τὸν λόγον τοῦτον κατεχωρίσαμεν μεταξὺ τῶν δύο Τυπικῶν.

Ὁ ὑπὸ στοιχ. Β'. κατάλογος ἐξεδόθη καὶ ἐν τῷ Γραικο-Ῥωμαϊκῷ Νομίμῳ, Μέρ. Α'. σελ. 88-102, ἐν μέρει δὲ σελ. 244-246, καὶ ὑπὸ Γοάρου ἐν τῷ παραρτήματι τοῦ Κωδινοῦ σελ. 379-391. Ἐσχάτως δὲ μετετυπώθη καὶ ἐν τῇ προμνησθείσῃ ἐκδόσει τοῦ Τάφελ, σελ. 44-51.

Ὡς βάσιν τῆς ἐκδόσεως τοῦ καταλόγου τούτου παρεδέχθημεν τὸ παρὰ Λεϋγκλαυΐῳ κείμενον, συμπληρώσαντες αὐτὸ κατὰ τὰ ἐλλιπῆ αὐτοῦ μέρη, διὰ τοῦ κειμένου τοῦ Γοάρου, καὶ ὑποσημειώσαντες τάς τε μεταξὺ τῶν δύο διαφοράς, καὶ τὰς πρὸς τὸν παρ' Ἀλλατίῳ κατάλογον τοῦ κατὰ τὴν δωδεκάτην ἑκατονταετηρίδα συγγράψαντος Δοξαπατρῆ ὑφισταμένας. Ἐπειδὴ δὲ ἐν τῷ καταλόγῳ τούτῳ περιλαμβάνονται μόνον οἱ εἰς τὸν Οἰκουμενικὸν πατριάρχην ὑπαγόμενοι θρόνοι, ἐξεδώκαμεν ὁλοσχερῶς ἐν σελ. 486-490 τὰ εἰς τοὺς λοιποὺς πατριαρχικοὺς θρόνους ἀναφερόμενα χωρία τῆς ῥηθείσης περὶ τῶν πέντε πατριαρχικῶν θρόνων πραγματείας τοῦ Δοξαπατρῆ.

Τὴν ἀμέσως πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως κατάστασιν τῶν τῷ Οἰκουμενικῷ θρόνῳ ὑπαγομένων μητροπολιτῶν, ἀρχιεπισκόπων, καὶ ἐπισκόπων παρίστησιν ὁ ὑπὸ στοιχ. Γ'. κατάλογος ἐν σελ. 490-495, ὅστις, ὡς ἐκ τῆς ἐπιγραφῆς αὐτοῦ καταφαίνεται, ἐξεδόθη ἐπὶ τῶν ἡμερῶν τοῦ αὐτοκράτορος Ἀνδρονίκου τοῦ Παλαιολόγου τοῦ Γέροντος, ἂν καὶ τὰ σωζόμενα αὐτοῦ κείμενα περιέχωσι πλείστας μεταγενεστέρας προσθήκας. Ἐν τούτῳ τῷ καταλόγῳ ἀναφαίνεται κατὰ πρῶτον ἡ μετάθεσις θρόνων ἀπὸ προβαθμιαίου τόπου εἰς ὑποδεέστερον, καὶ τ' ἀνάπαλιν. Ἀντίγραφον ὁλοσχερὲς τοῦ καταλόγου τούτου ἔχοντες ἐν τῷ ἡμετέρῳ Χειρ. Γ., παρεβάλομεν τὸ κείμενον αὐτοῦ πρὸς τὸν παρὰ Γοάρῳ ἐν σελ. 400-404 ἐκδεδομένον, ὑποσημειώσαντες τὰς σπουδαιοτέρας διαφοράς· ὁ αὐτὸς ἀναγινώσκεται καὶ παρὰ Τάφελ σελ. 51-54. Παρὰ

πόδας δὲ τοῦ καταλόγου τούτου ἐξεδώκαμεν τὰς παρὰ Γοάρῳ καὶ Τάφελ παλαιὰς σημειώσεις περί τινων μετονομασθεισῶν πόλεων, ὡς χρησίμους πρὸς ὀρθὴν τῶν καταλόγων ἑρμηνείαν.

Τὸν κατάλογον τοῦτον διαδέχεται ἐν σελ. 497-512 ἡ ἐπὶ τοῦ αὐτοῦ Ἀνδρονίκου τοῦ Γέροντος συνταχθεῖσα Ἔκθεσις νέα, περὶ τοῦ πῶς γράφουσιν οἱ πατριάρχαι ἀλλήλοις, καὶ τοῖς μητροπολίταις, καὶ τοῖς ἀρχιεπισκόποις, κτλ., ἥτις, ὡς ἐκ τῆς ἐν σελ. 500 γινομένης παραπομπῆς, φαίνεται σχετιζομένη πρὸς τὸν κατάλογον τοῦ Ἀνδρονίκου. Εἰς τὴν ἔκδοσιν τῆς Ἐκθέσεως νέας παρεδέχθημεν τὸ ἐν τῷ Χειρ. Γ. κείμενον, ὡς ἀκριβέστερον· ἀλλ' ἐπειδὴ τὸ Χειρ. Γ. δὲν προχωρεῖ ἐπέκεινα τῶν ἐν σελ. 503 ἐκδιδομένων αὐτῆς χωρίων, ἀνεπληρώσαμεν τὸ ἐλλεῖπον μέρος ἐκ τοῦ ἐν σελ. 406-419 τοῦ Γοάρου κειμένου. Ἠκολουθήσαμεν ὅμως τῇ τοῦ Χειρ. Γ. τάξει, καὶ οὐχὶ τῇ τοῦ Γοάρου, τέμνοντος τὴν Ἔκθεσιν εἰς δύο μέρη, ὁδηγηθέντες ἐκ τῆς ἐν τῷ Χειρ. Γ. ἀπαντωμένης πληρεστέρας ἐπιγραφῆς, ἐν ᾗ διαγράφεται ἡ συνέχεια τῆς ὕλης. Τὸ μέρος τῆς Ἐκθέσεως, ἐν ᾧ ἀπαριθμοῦνται οἱ ἐξάρχου καὶ ὑπερτίμου βαθμὸν φέροντες μητροπολῖται, καὶ οἱ ἐσχάτως τιμηθέντες τοιοῦτοι, περιέλαβε καὶ ὁ Τάφελ. σελ. 54 55 τοῦ μνησθέντος συγγράμματος.

Περὶ τῆς μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως καταστάσεως τῶν θρόνων τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας πραγματεύεται εἰδικῶς ὁ σοφώτατος πατριάρχης Ἱεροσολύμων Χρύσανθος ἐν τῷ Συνταγματίῳ αὐτοῦ, τῷ ἐκδοθέντι ἐν Τεργοβύστῳ τῆς Βλαχίας ἐν ἔτει 1815. Ἀλλὰ πρὸς ἀποφυγὴν ἐπαναλήψεων, δὲν περιελάβομεν τὴν παρὰ Χρυσάνθῳ ἐν σελ. 66 κειμένην διάγνωσιν τῶν εἰς τοὺς πέντε πατριάρχας καὶ εἰς τοὺς αὐτοκεφάλους ἀρχιεπισκόπους ὑπαγομένων θρόνων, ἀλλὰ περιωρίσθημεν εἰς τὴν δημοσίευσιν τοῦ κατὰ τὴν σημερινὴν τάξιν καταλόγου τῶν θρόνων ἁπάσης τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, ὑποσημειώσαντες ἑκάστοτε τὰ ἐπὶ Χρυσάνθου, ὁσάκις ταῦτα μετεβλήθησαν μετ' αὐτόν. Ὡς βάσιν τοῦ καταλόγου τούτου εἴχομεν, διὰ μὲν τοὺς ἐντὸς τοῦ Ὀθωμανικοῦ κράτους θρόνους, τὸ Συνταγμάτιον τῆς Μεγάλης Ἐκκλησίας, ὡς εἶχε κατὰ μεσοῦντα Ἀπρίλιον τοῦ ἐνεστῶτος ἔτους· διὰ δὲ τοὺς τῶν λοιπῶν

Ἐκκλησιῶν, τὸν ἐν Πετρουπόλει κατὰ τὸ ἔτος 1851 ῥωσσιστὶ δημοσιευθέντα κατάλογον, καὶ τέλος διὰ τοὺς τῆς Ἑλλάδος, τὸν περὶ ἐπισκοπῶν καὶ ἐπισκόπων νόμον τῆς 9 Ἰουλίου 1852.

Ἐν σελ. 531-540 ἐξεδόθησαν κατάλογοί τινες τῶν ἀξιωμάτων τῆς Μεγάλης Ἐκκλησίας, ὧν ὁ μὲν πρῶτος ἐλήφθη ἐκ τοῦ Κωδινοῦ τοῦ Κουροπαλάτου, τῆς ἐν Βόννῃ ἐκδόσεως· ὁ δεύτερος δὲ, καὶ ὁ ἐν ὑποσημειώσει τρίτος, μεταγενέστεροι μὲν τοῦ πρώτου, ἀλλὰ μᾶλλον ἀνεπτυγμένοι, ἐκ τοῦ Χειρ. Γ.

Τέλος ἐκ τοῦ αὐτοῦ Χειρογράφου, καὶ ἐκ τῆς ἐκδόσεως τοῦ Κωδινοῦ σελ. 116, ἐλήφθη καὶ ἡ διὰ στίχων πολιτικῶν ἔκθεσις περὶ τῶν ὀφφικίων τῆς Μεγάλης Ἐκκλησίας Ματθαίου τοῦ Βλάσταρη.

Ἀποπερατοῦται ὁ παρὼν τόμος διὰ πλουσίας συλλογῆς παντὸς εἴδους ἐκκλησιαστικῶν γραμμάτων, ἅτινα ἐρανίσθημεν ἔκ τε τοῦ Γραικο-Ῥωμαϊκοῦ Νομίμου, ἐκ τοῦ ἡμετέρου Χειρ. Γ. καὶ ἐκ τοῦ Συνταγματίου τοῦ Χρυσάνθου, κατατάξαντες αὐτὰ καθ' ὕλην.

Δίδοντες τέλος εἰς τὸν παρόντα πρόλογον συνομολογοῦμεν ὅτι ἡ ἐν τῷ τόμῳ τούτῳ Συλλογὴ ἠδύνατο νὰ πλουτισθῇ καὶ διὰ πολλῶν ἄλλων πατριαρχικῶν καὶ αὐτοκρατορικῶν διατάξεων· ἀλλ' ἐξαντλήσαντες τὰ παρ' ἡμῖν πρόχειρα μέσα, δὲν δυνάμεθα εἰμὴ νὰ ὑποσχεθῶμεν ἰδιαιτέραν ἔκδοσιν πολλῶν ἄλλων ἀνεκδότων μέχρι τοῦδε τοιούτων ἐκκλησιαστικῶν διατάξεων, ἐάν ποτε αἱ περιστάσεις μᾶς ἐπιτρέψωσι νὰ ἐπισκεφθῶμεν ἐκείνας τὰς βιβλιοθήκας, ἐν αἷς ἄφθονοι ἐπιστημονικοὶ καὶ φιλολογικοὶ θησαυροί, μνημεῖα τῆς ἀπαραγράπτου ἡμῶν προπατορικῆς εὐκλείας, λανθάνουσιν εἰσέτι κρυπτόμενοι.

Ἐν Ἀθήναις, 29 Ἰουνίου 1855.

ΑΠΟΦΑΣΕΙΣ ΣΥΝΟΔΙΚΑΙ

ΚΑΙ ΔΙΑΤΑΞΕΙΣ

ΤΩΝ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΩΝ ΚΑΙ ΠΑΤΡΙΑΡΧΩΝ.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΠΑΛΑΙΟΥ

Η ΜΥΣΤΙΚΟΥ,

Α΄. ΠΕΡΙ ΤΟΥ ΤΑΣ ΠΑΤΡΙΑΡΧΙΚΑΣ ΕΠΙΣΤΟΛΑΣ ΑΜΙΣΘΙ ΔΙΔΟΣΘΑΙ ΤΟΙΣ ΑΙΤΟΥΣΙΝ, ΩΣ ΓΕΓΡΑΠΤΑΙ ΕΝ ΤΩ ΧΑΡΤΟΦΥΛΑΚΕΙΩ (1).

Χαλεπον μὲν, πάθος σαρκὸς, χρόνιον ἤδη γενόμενον, ἐκμοχλεῦσαι· χαλεπώτερον δὲ, χρονικῇ παρόδῳ βεβαιωθὲν ἔθος ἀποσκευάσασθαι· ἄμφω γὰρ πρὸς ἕξιν τινὰ μεταστοιχειοῦνται, πρᾶγμα γινόμενα μονιμώτερον, καὶ ῥᾳδίως ἥκιστα δυνάμενον μεθαρμόζεσθαι. Ἀλλ' εἰ καὶ ταῦθ' οὕτω τῷόντι δοκεῖ, ἀλλ' ἡμεῖς γε ῥᾷον παλαιὰν συνήθειαν, τὸ φαῦλον πρόδηλον ἔχουσαν, τοῦ εὐαγοῦς τοῦδε τόπου ἐξεφορήσαμεν, τὸ ἀκαπήλευτον αὐτῷ

(1) Νικόλαος ὁ Παλαιὸς, ὁ καὶ Μυστικὸς ἐπικληθεὶς ἐξ οὗ πρότερον περιεβέβλητο ἀξιώματος, ἔζη ἐπὶ τῶν βασιλέων Λέοντος τοῦ Σοφοῦ, Ἀλεξάνδρου, Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ Ῥωμανοῦ τοῦ Λεκαπηνοῦ. Προχειρισθεὶς εἰς τὸν οἰκουμενικὸν θρόνον περὶ τὸ ἔτος 892, ἀφορίζει τῆς Ἐκκλησίας κατὰ τὸ 901 τὸν Αὐτοκράτορα Λέοντα, ὡς συνάψαντα τέταρτον γάμον μετὰ τῆς Ζωῆς, καὶ ὑποχρεωθεὶς παραιτεῖται τὸ ἔτος 903. Κατὰ δὲ τὸ ἔτος 911, ἐπὶ τοῦ βασιλέως Ἀλεξάνδρου, ἀνακαλεῖται τὸ β΄. εἰς τὸν πατριαρχικὸν θρόνον, καὶ ποιμάνας τὴν τοῦ Χριστοῦ ποίμνην ἕως τοῦ ἔτους 924, ἀποθνήσκει. Ἐπὶ τῆς δευτέρας τούτου πατριαρχείας ἐγένετο ὁ Τόμος τῆς ἑνώσεως. Σώζονται δὲ αὐτοῦ ἐκτὸς τῆς παρούσης διατάξεως καὶ ἐπιστολαί τινες.

μνηστευσάμενοι· καὶ γὰρ ὁ τοῦδε τὴν φυλακὴν ἐμπεπιστευμένος, ὃν ὀστιάριον ἡ Ῥωμαίων γλῶσσα καλεῖ, τοὺς πατριαρχικὰς αἰτουμένους ἐπιστολάς, μισθούς, ὡς οὐκ ὤφελεν, ἀπῄτει τῆς παραλήψεως· καὶ ἦν τὸ πρᾶγμα λίαν ἐφύβριστόν τε καὶ καταγέλαστον, οὐ μόνον Θεὸν παροργίζον, ἀλλὰ καὶ τὸν σεμνὸν τόπον ἐξατιμοῦν, καὶ αὐτὸ τὸ τῆς ἱερωσύνης ἐκφαυλίζον αἰδέσιμον. Ἀλλ' ἡμεῖς γε τὴν ὀστιαρίου σκῆψιν ἐκφυλοφοροῦντες, τούτῳ μὲν ῥόγαν ἐτήσιον δίδοσθαι ἐτάξαμεν· τὴν πονηρὰν δὲ συνήθειαν, λήθῃ βαθείᾳ, καὶ ἀϊδίῳ ὑπερορίᾳ παρεπεμψάμεθα· ἣν μηδαμῶς χώραν ἔχειν ἔτι, ἐν ἁγίῳ διοριζόμεθα Πνεύματι, ἐντελλόμενοι τοῖς τε κατὰ καιροὺς χαρτοφύλαξι, καὶ τοῖς ἀμφ' αὐτοὺς νοταρίοις, ἄθραυστον τὸν παρόντα τύπον διατηρεῖν, καὶ τούτου ἐπιμελεῖσθαι ἀεί· ὡς μὴ ῥαστώνῃ τινὶ καὶ ὀλιγωρίᾳ, ὃ δὴ καὶ ὑπολαμβάνειν, μήτοι γε πράττειν, ἐφάμαρτον, κἂν τὸ βραχύτατον περιτρέπεσθαι. Εἰ δὲ παρόπται τινὲς τοῦ τοσούτου ἀγαθοῦ ἐκ μεγάλης περὶ τὰ θεῖα φωραθεῖεν καταφρονήσεως, τοῦτον μὲν γνώμη φιλόθεος πρὸς τὴν ἀξιέπαινον ἐπανάξει εὐγένειαν· αὐτοὶ δ' εὖ ἴστωσαν, ὡς δίκας Θεῷ δώσουσι νῦν τε, καὶ ὁπηνίκα οὐ τὰ μείζω μόνον τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτά γε τὰ μέτρια πυρὶ ταλαντεύεται καὶ διακρίνεται. Ὡς γὰρ τὰ θεῖα τῆς ἀξιολόγου καθεστήκασιν ἀντιδόσεως ἄξια, οὕτω καὶ τὰ τῆς ἐναντίας μοίρας, τὴν ἰσοπαλῆ τοῖς ἔργοις παρέχεται ἀμοιβήν.

Ο ΤΟΜΟΣ ΤΗΣ ΕΝΩΣΕΩΣ.

Β΄. ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΟΥΣΗΣ ΔΙΑΤΑΞΕΩΣ,

Καὶ εἴδησις, πῶς ἡ τετραγαμία τῷ βασιλεῖ κυρίῳ Λέοντι τετόλμηται, καὶ ὅπως κατήργηται διὰ τοῦ Τόμου τῆς Ἑνώσεως (1).

ΛΕΩΝ ὁ σοφώτατος εἶχε μὲν πρώτην γαμετὴν τὴν ἁγίαν Θεοφανώ, μεθ' ἧς καὶ θυγατέρα ἔτεκεν· ἀλλὰ τάχιον ἐτεθνήκει. Καὶ αὐτῆς δὲ πρὸς Κύριον ἀπελθούσης τῆς ἁγίας, ζεύγνυται Ζωῇ τῇ θυγατρὶ τοῦ Τζαουτζᾶ Στυλιανοῦ, ἑνὸς τῶν ἀρχόντων καὶ φίλων τοῦ βασιλέως. Κἀκείνης συντόμως ἄπαιδος τελευτησάσης, καὶ τρίτην ἠγάγετο γυναῖκα, Εὐδοκίαν, τὴν ἀπὸ τοῦ θέματος Ὀψικίου ἐπιλεγεῖσαν διὰ τὸ κάλλος, ἥτις ἐν αὐταῖς ταῖς ὠδῖσι θνήσκει σὺν τῷ βρέφει. Ὁ δὲ βασιλεὺς ἀφάτῳ συσχεθεὶς λύπῃ ἐπὶ τῷ καταλειφθῆναι ἄπαις, ἐφέσει τεκνογονίας καὶ τετάρτην λαμβάνει γυναῖκα, τὴν τῆς Καρβωνοψίνης Ζωήν, καὶ τίκτει μετ' αὐτῆς τὸν Κωνσταντῖνον. Ὁ πατριάρχης δὲ Νικόλαος, καὶ οἱ μητροπολῖται, ἀφορίζουσι τὸν βασιλέα τῆς Ἐκκλησίας· καὶ τὸν ἀφορισμόν, οἱ μέν τινες τῶν ἀρχιερέων συντεμεῖν ἔλεγον δεῖν, καὶ μὴ ἐπὶ πλείονα παρατείνειν καιρόν· οἱ δὲ οὐκ ἐπείθοντο. Καὶ σχίσματα ἦν ἐν αὐτοῖς, καὶ στάσις πολλή· καὶ πολλὰ δεόμενον τὸν βασιλέα, καὶ παρακαλοῦντα, οἱ μὲν προσεδέχοντο· οἱ δὲ, ἀπειθεῖς ἦσαν, καὶ ἄτεγκτοι. Ὁ δὲ βασιλεύς, συνετὸς ὤν, καί, ὅθεν ἀνεφύη τὸ ἀσύμφωνον τῶν ἀρχιερέων, οὐκ ἀγνοῶν, μεθίστησι τὸν πατριάρχην Νικόλαον, καὶ ἐξορίζει τῆς Ἐκκλησίας ὡς ψεύστην, καὶ πολλάκις μὲν ὅρκοις διαβεβαιοῦντα καὶ ὑποσχόμενον δοῦναι τῷ βασιλεῖ τὴν τοῦ ἐπιτιμίου συμπάθειαν, τοσαυτάκις δὲ μεταμελόμενον καὶ ἀναβαλλόμενον ἐπίτη-

(1) Ἐξεδόθη ἐν Κωνσταντινουπόλει τὸ ἔτος 920. Παρατίθενται δὲ αἱ διατάξεις τοῦ Τόμου τούτου ὑπὸ τοῦ Βαλσαμῶνος ἐν τῷ Νομοκάνονι Τίτλ. ΙΓ΄. κεφ. β΄. (Τόμ. Α΄. σελ. 280), καὶ ἐν τῇ Ἑρμηνείᾳ τοῦ κανόνος Δ΄. τοῦ Βασιλείου, (Τόμ. Δ΄. σελ. 103), καὶ ὑπὸ τοῦ Βλαστάρεως ἐν στοιχ. Γ΄. κεφ. δ΄. (Βλέπε Τόμ. Ϛ΄.)

δες. Προβάλλεται δὲ πατριάρχην τὸν ἑαυτοῦ πνευματικὸν πατέρα Εὐθύμιον, ἄνδρα πολλοῖς ἔτεσι τῇ μοναχικῇ διαπρέψαντα ἀσκήσει, καὶ προφητικοῦ χαρίσματος ἠξιωμένον. Οὗτος ἐλεύθερον τοῦ ἐπιτιμίου δείκνυσι τὸν βασιλέα, καὶ τοῦ χρονίου δεσμοῦ ἀπολύει, καὶ εἰς κοινωνίαν δέχεται. Ἀλλ᾽ ἦσαν ἔτι πολλοὶ τῶν ἀρχιερέων, οἱ μὴ συνελθόντες τῇ τοῦ πατριάρχου οἰκονομίᾳ, καὶ μᾶλλον οἱ τοῦ μέρους τοῦ ἐκβληθέντος Νικολάου. Ἐπεὶ δὲ ὁ μὲν βασιλεὺς Λέων μετέστη πρὸς Κύριον, καὶ ὁ ἀδελφὸς ἐκείνου Ἀλέξανδρος τῆς βασιλείας ἐγκρατὴς ἦν, τὸν μὲν πατριάρχην Εὐθύμιον ἐξωθεῖ τῆς Ἐκκλησίας μεθ᾽ ὕβρεων, ἀντεισάγει δὲ πάλιν τὸν προεκβεβλημένον Νικόλαον· καὶ ἔτι μᾶλλον τὰ τῆς Ἐκκλησίας ἐστασίαζε πράγματα, διαιρεθέντων τῶν μητροπολιτῶν, καὶ τῶν μὲν, τῷ ἐκβληθέντι πατριάρχῃ, τῶν δὲ, τῷ ἀντεισαχθέντι προσκειμένων. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ μὲν Ἀλέξανδρος ἐτεθνήκει· ὁ δὲ Κωνσταντῖνος τῆς βασιλείας κληρονόμος ἐγεγόνει· ὃς συγκαλέσας τόν τε πατριάρχην Νικόλαον, καὶ σύμπαντας τοὺς ἀρχιερεῖς, (ὁ γὰρ Εὐθύμιος ἤδη πρὸς Κύριον ἐξεδήμησε,) πείθει τούτους πρὸς μίαν γνώμην συνελθεῖν καὶ ὁμόνοιαν, καὶ δοῦναι τῷ πατρὶ αὐτοῦ καὶ μετὰ θάνατον κοινῇ ψήφῳ τὴν ἄφεσιν· κανονικὴν δὲ ψῆφον ἐκθεῖναι, τοῦ μηκέτι τολμᾷν τοιοῦτον, ἢ πραχθῆναι ἁμάρτημα, ἐφ᾽ οἷς ὁ λεγόμενος οὑτοσὶ τῆς Ἑνώσεως Τόμος προέβη.

Ο ΤΟΜΟΣ ΤΗΣ ΕΝΩΣΕΩΣ,

Ἤτοι ἔκθεσις τῆς γενομένης τῆς Ἐκκλησίας ἑνώσεως, ἐπὶ Κωνσταντίνου καὶ Ῥωμανοῦ, τοῦ μὲν, βασιλεύοντος, τοῦ δὲ, τὸ τηνικαῦτα τῷ τοῦ βασιλεωπάτορος ἀξιώματι διαπρέποντος.

Ο ΚΥΡΙΟΣ ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς, τοῖς ἑαυτοῦ μαθηταῖς καὶ Ἀποστόλοις, καὶ τοῖς, ὅσοι μετ᾽ ἐκείνων ἄξιοι γεγόνασι τῆς κληρονομίας αὐτοῦ, ἐξαίρετόν τινα κλῆρον τὴν εἰρήνην κατέλιπε, τοῦτο γνώρισμα παρεχόμενος τοῖς οἰκείοις τῆς πρὸς αὐτὸν οἰκειότητος, εἰ τῷ συνδέσμῳ τῆς εἰρήνης σφιγγόμενοι, μὴ τὴν τοῦ Πνεύματος διασπῶσιν ἑνότητα· πρότερον αὐτὸς οἰκείῳ ὑποδείγματι δείξας ἡμῖν, ἣν ἔχει περὶ τῆς εἰρήνης προαίρεσιν, δι᾽ ἣν ὑπεράνω παντὸς ὕψους τελῶν, ἐπὶ τὴν ἐσχατιὰν

κατῆλθε τὴν ἡμετέραν, καὶ παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος ἐκοινώνησεν, ἵνα τοὺς ἐξ ἀλλήλων διῃρημένους εἰς ἑνότητα καταστήσῃ· ἔπειτα καὶ τοῖς τὰ ἐκείνου μαθήματα(1) πεπαιδευμένοις, ταύτην κατέλιπε τὴν κληρονομίαν, τὸ εἰρηνεύειν ἐν ἀλλήλοις, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ πρὸς εἰρήνην ἄγειν ἑτέρους, πρὸς ἑαυτοὺς στασιάζοντας. Ἀλλὰ γὰρ τοιούτου ὄντος τοῦ πράγματος, ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν οὐ διέλιπεν ἡ τοῦ πονηροῦ στασιώδης κακία τὸ ἱερὸν τῆς Ἐκκλησίας διαταράττουσα πλήρωμα, νῦν μὲν ταύτην, νῦν δὲ ἐκείνην ἀνακινοῦσα τὴν πρόφασιν· ἀλλ' ὁ μὲν, τοιοῦτος. Ὁ δὲ τῆς εἰρήνης αἴτιος καὶ διδάσκαλος Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ πύλας εἰπὼν ᾅδου μὴ κατισχύσειν τῆς Ἐκκλησίας αὐτοῦ, ἀεὶ τὰ σκάνδαλα εἰς τὴν τοῦ πονηροῦ κεφαλὴν περιτρέπων, τὴν εἰρήνην τῇ Ἐκκλησίᾳ διαφυλάττει ἀλύμαντον. Οὗτος ἐκεῖνος, ἡ εἰρήνη ἡμῶν, Χριστὸς ὁ Θεὸς, ὁ Πατὴρ, ὁ Ἀρχιερεὺς, ὁ Ποιμὴν ὁ ἀληθινὸς, τῶν ἱερῶν τέκνων τῆς πανάγνου νύμφης αὐτοῦ, τῆς Ἐκκλησίας, ἐξ ἀλλήλων διασπασθέντων, τῇ αὐτοῦ προνοίᾳ καὶ χάριτι τὴν ἕνωσιν αὐτοῖς κατεπράξατο, καὶ τοῖς ἀχράντοις κόλποις πάλιν συνήγαγε τῆς μητρὸς, διδοὺς ἐκείνῃ μὲν χαίρειν ἐπὶ τῇ συναγωγῇ τῶν τέκνων· ἑαυτῷ δὲ τὴν ἐξ ἑνὸς στόματος καὶ μιᾶς καρδίας προσάγεσθαι τῆς δόξης ἀναφοράν· πᾶσι δὲ τοῖς, ὅσοι μὴ πρὸς τὴν ταραχώδη τοῦ δαίμονος προαίρεσιν ἀποκλίνουσιν, ἀλλὰ τοῦ τῆς εἰρήνης αἰτίου τὸ παράγγελμα τιμῶσι, τὴν εὐχαριστίαν προσάγειν. Ἀλλ' ἐπὶ μὲν τῶν ἄνω χρόνων ἐγένοντο σκανδάλων ἀφορμαὶ, ὁποῖαι δὴ καὶ γεγόνασι· καὶ πρὸς τὴν ἑκάστοτε κίνησιν τοῦ κακοῦ, τοῖς σοφοῖς τῶν Ἐκκλησιῶν οἰκονόμοις ἡ πρόσφορος ἐξεύρηται θεραπεία. Νῦν δὲ, ὅτε συμβέβηκε τεταράχθαι τὴν Ἐκκλησίαν ἐξ ἀφορμῆς γαμικῆς, ἐν τῷ μὴ τυγχάνειν τὸν γάμον ἐλεύθερον μέμψεως, πρὸς τὴν ἐκείνου κώλυσιν ἡ τῆς Ἐκκλησίας ἱερὰ κρίσις φέρει τὴν γνώμην, καὶ τοῦ μὴ προέρχεσθαι τοῦτον ἔτι χώραν εὑρίσκειν· οὕτω γὰρ καὶ νῦν καὶ μετέπειτα τῶν κατεχόντων σκανδάλων ἀπηλλάχθαι περιγενήσεται τοῖς, ὅσοι μὴ τὸ φιλόνεικον καὶ τὴν ἔριν ἀντὶ τῆς εἰρήνης ἠγάπησαν τοῦ Χρι-

(1) παθήματα Α. ἐν περισσῷ.

στοῦ. Τῆς γὰρ προφάσεως ἐκποδὼν γεγενημένης, ἀφ' ἧς ἐξέφυ τὰ σκάνδαλα, τοῦ εἰρηνεύειν τοῖς ἀγαπῶσιν εἰρήνην οὐδεμία ἐστὶν ἡ κωλύουσα πρόφασις· καὶ γὰρ ἐν παντὶ πράγματι οὕτως ἔχει· τῆς σφαλερᾶς αἰτίας τῆς τῶν ἀτόπων γενέσεως ἐκποδὼν καθισταμένης, πρὸς τὴν ἐξ ἀρχῆς εὐταξίαν ἀποκαθίσταται τὰ τέως ἐκεῖθεν λαβόντα τὸ πονηρῶς διακεῖσθαι, οὕτω καὶ σώματι νόσου προσγενομένης, τοῦ αἰτίου ταύτης ἀναχωρήσαντος, τὸ ὑγιαίνειν ἐπανέρχεται, καὶ θαλάσσῃ ἐξ ἀνέμων βιαιότητος ταραττομένῃ, τῆς καταιγίδος πεπαυμένης, ἡ γαληνιῶσα κατάστασις ἐπανήκει. Διὰ τοῦτο κοινῇ συναθροισθέντες ἀρχιερεῖς τε καὶ ἱερεῖς, ὅσοι μὴ ἑαυτοῖς, (ἐῶ γὰρ εἰπεῖν, ἄλλοις) ἀρέσκειν ἠγάπησαν, ἀλλὰ τῆς Ἐκκλησίας τὴν εἰρήνην τοῦ στασιάζειν προετίμησαν, συνείδομεν, ἐπείπερ ἐκ τῶν γαμικῶν ἀφορμῶν τὰ σκάνδαλα τὴν γένεσιν ἔλαβε, ταῦτα διανακαθᾶραι, καὶ διασφαλίσασθαι, τοῦ μηδαμῶς ἔτι διὰ τῆς αὐτῶν εἰς τὸν βίον προόδου μήτε τὴν Ἐκκλησίαν ταράττειν, μήτε τὴν ζωὴν τῶν οὕτω ζῆν ἑλομένων, κατάκριτον καὶ κατεγνωσμένην ποιεῖν. Καὶ λοιπὸν ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει, ἀπό γε τοῦ παρόντος ἔτους, ὅ ἐςιν ἑξακισχιλιοςὸν τετρακοσιοςὸν εἰκοςὸν ὄγδοον, ἐπινεμήσεως ὀγδόης, τέταρτον(1) γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς· καὶ τὸν, εἴ τις ἐπὶ τοιοῦτο ἐλθεῖν συνοικέσιον προθυμηθείη (2), πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν ἐπιμένοι(3) τῷ συνοικεσίῳ· τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε Πατράσι· καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐκδηλοτέραν(4) ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς χριςιανικῆς πολιτείας ἀποκηρύττομεν (5). Ἀλλ' οὕτω μὲν περὶ (6) τοῦ τετάρτου γάμου.

Ἵνα (7) δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ, καὶ τοῦ τῶν Χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προσαγωγὴν (8), καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου, ὥστε μὴ

(1) Ἐνταῦθα ἄρχεται ὁ κανὼν Α'. τοῦ Τόμου τῆς Ἑνώσεως. Σ. Ῥ. — (2) Σ. Ῥ. καὶ Λ. ἐν περισελ. — προσθυμηθῇ Λ. — (3) Σ. Ῥ. καὶ Λ. ἐν περισελ. — ἐπιμείνῃ Λ. — (4) Λ. — ἐνδηλοτέραν Σ. Ῥ. — (5) ἀνακηρύττομεν Λ. ἐν περισελ. — (6) Σ. Ῥ. καὶ Λ. ἐν περισελ. — ἐπὶ Λ. — (7) Ἐνταῦθα ἄρχεται ὁ κανὼν Β'. Σ. Ῥ. — (8) Σ. Ῥ. Λ. — προαγωγὴν Λ. ἐν περισελ.

ἁπλῶς, μηδὲ, ὡς ἔτυχεν, ἐπιτελεῖσθαι αὐτόν· καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς Πατράσιν, οὔπω τότε, καθὼς νῦν, γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως (1), οὐδ' εἰς πλάτος ἐξηπλωμένου, ἀλλ' ὥσπερ εἴ τις ἐν οἴκῳ παραπεπτωκὸς ἐν γωνίᾳ παρίδῃ πολλάκις κείμενον ῥύπασμα. Νῦν δὲ, ὅτε χώραν ἔλαβε παῤῥησίας, καὶ ὡς οὐδὲν ἔχων εἰς ἀσχημοσύνην, οὐδὲ ῥυπαίνων (2) λογίζεται ἐκ τοῦ προβῆναι εἰς πληθυσμὸν, καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτὸν, ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ παρεῤῥιμμένον, ἀλλ' ἐξηπλωμένον ἐπὶ τῆς οἰκίας, οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν, καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν. Καὶ τῇ ἀνθρωπίνῃ τοίνυν συνυπείκοντες ἀσθενείᾳ, καὶ τῆς πρεπούσης εὐσχημοσύνης φροντίδα ποιούμενοι τῇ Χριστιανῶν ζωῇ, τοῦτο ἐπὶ τῶν τριγάμων (3) παραφυλάττεσθαι διορίζομεν, ὥστε εἴ τις πρὸς τεσσαρακοστὸν ἔτος ἀναβεβηκὼς, καὶ μήτε τὴν φύσιν αἰδούμενος, μήτε τῆς ὀφειλομένης Χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γινόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιῤῥίπτοι γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον· ὃς γὰρ μετὰ τὸ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ εἶναι καὶ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; Ἀλλὰ γὰρ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως, οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἢ ἐν μόνῃ τῇ σωτηρίῳ (4) τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν ὅσον δυνατὸν ἀνακάθαρσιν. Ταῦτα δὲ φαμὲν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην ἄγεσθαι προῃρημένοις γυναῖκα· ἐπεὶ, ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία· λίαν γάρ ἐστιν ἄδικον, τὸν μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς

(1) Α. — ἀπηρυθριασμένου Σ. Ρ. καὶ Α. ἐν περισελ. (2) ἔχον . . . ῥυπαῖνον Σ. Ρ. (3) Σ. Ρ. Α. ἐν περισελ. — τρίτων γάμων Α. — (4) Α. — τῇ τοῦ Σωτῆρος καὶ Θεοῦ ἡμῶν Σ. Ρ.

δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς, καὶ τὸ ἄλυπον, καὶ ἀτάραχον, καὶ ὅσα οἶδε τὸ ἀνθρώπινον καταλαμβάνειν ἐκ τῆς πολυσπόρου (1) τεκνώσεως. Καὶ εἴ τις δὲ τριακοντούτης ὢν, καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων, τρίτῃ συνάπτοιτο γυναικὶ, καὶ οὗτος ἀσυγχώρητος μέχρι τετάρτου ἔτους, καὶ τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος ἔςω(2), διότι δῆλός ἐστιν, ἐξ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ ὑπὸ ἀκρασίας κινούμενος, καὶ τοῦ δοῦλος εἶναι σαρκικῆς ἐπιθυμίας, ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. Καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται τῆς ἀπολαύσεως (3)· ἅπαξ μὲν, ἐν τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσει, δεύτερον δὲ, ἐν τῇ Κοιμήσει τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ τρίτον, ἐν τῇ γενεθλίῳ ἡμέρᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. Εἰ δὲ παῖδες μὴ παρείησαν (4), ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται. Ταῦτα μὲν καὶ περὶ τοῦ τρίτου γάμου. Οὐ μὴν (5) οὐδὲ τὸν δεύτερον, οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν· ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς, ἢ ἐκ προηγησαμένης λαθραίας φθορᾶς, ἀλλὰ νομίμως, καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων, καὶ πορνικῆς ἀκαθαρσίας. Εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας τύπων, πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν συνέλθοι, τοῦτον ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἡ καθαρὰ καὶ μηδένα σπῖλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐτασμοῖς, οὐ πρὶν εἰς μετάληψιν τῶν θείων παραδέξεται μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον ἀκριβῶς ἐκπληρώσῃ (6), (εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγοι ἀναχώρησις,) τουτέστι, μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος· ὁ δὲ τολμῶν ἱερεὺς

(1) Σ. Ῥ. Α. ἐν περισελ. — πολυπόνου Δ. — (2) Σ. Ῥ. Δ. ἐν περισελ. — ἔςαι Δ. — (3) Λ. — ἀπολαῦσαι Σ. Ῥ. — (4) Σ. Ῥ. Α. ἐν περισελ. — περίεισι Δ. — (5) ἐνταῦθα ἄρχεται ὁ κανὼν Γ'. Σ. Ῥ. — (6) [μάθῃ] ἀκριβῶς αὐτὸν ἐκπληρῶσαι Δ.

παρὰ τὸν διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμὸν, δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας, πάλιν εἰς τὸ ἀκοινώνητον περιϊσταμένου, μέχρι τῆς συμπληρώσεως τοῦ ἑβδόμου ἔτους.

Ἀλλὰ ταῦτα μὲν (1), ὡς δεδήλωται, ὑπὸ τῶν πάλαι βασιλευσάντων ἐπράχθησαν. Νῦν δὲ τῇ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος εὐδοκίᾳ καὶ χάριτι, καὶ ταῖς τῆς πανάγνου καὶ Θεομήτορος, καὶ ταῖς τοῦ μεγάλου Ἀρχιστρατήγου πρεσβείαις (2), τοὺς ἤδη πρὸ ἐνενήκοντα χρόνων ἕνεκεν τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀποῤῥαγέντας ἱερεῖς καὶ μονάζοντας, ἡ παγγάληνος βασιλεία τῶν θεοστεφῶν βασιλέων ἡμῶν Βασιλείου καὶ Κωνσταντίνου συνῆψέ τε καὶ συνήνωσε, καὶ μίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν εἰργάσατο· ὅθεν χρεὼν ἀνακηρύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τὸ τοιοῦτον θεοφιλὲς καὶ ἀξιόλογον ἔργον πεπληρωκότας.

Πολλὰ τὰ ἔτη τῶν βασιλέων Βασιλείου καὶ Κωνσταντίνου, τῶν ὀρθοδόξων ἡμῶν βασιλέων, πολλὰ τὰ ἔτη. Τῆς εὐσεβεστάτης Αὐγούστης Θεοφανοῦς, πολλὰ τὰ ἔτη. Νικολάου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, πολλὰ τὰ ἔτη. Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, Κωνσταντίνου καὶ Ῥωμανοῦ, Χριστοφόρου, Ῥωμανοῦ, Νικηφόρου, καὶ Ἰωάννου, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη. Εὐδοκίας καὶ Θεοφανοῦς, Θεοδώρας καὶ Ἑλένης, τῶν εὐσεβεστάτων Αὐγούστων, αἰωνία ἡ μνήμη. Γερμανοῦ, Ταρασίου, Νικηφόρου, καὶ Μεθοδίου, τῶν ἀοιδίμων καὶ μακαρίων πατριαρχῶν, αἰωνία ἡ μνήμη. Ἰγνατίου, Φωτίου, Στεφάνου καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου, καὶ Ἀντωνίου, τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη. Ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν, Γερμανοῦ, Ταρασίου, Νικηφόρου, καὶ Μεθοδίου, γραφέντα, ἢ λαληθέντα, ἀνάθεμα. Ἅπαντα (3) τὰ παρὰ τὴν ἐκκλησιαστικὴν

---

(1) Α. Χ. Τρ. — ἀλλὰ τὰ σκάνδαλα δῆλον ταῦτα μὲν Σ. Ῥ. — (2) καὶ ταῖς τῆς παναγίας . . . πρεσβείαις, οὐ κεῖται παρὰ Α. ἀλλ' ἐν Σ. Ῥ. — (3) Ἐνταῦθα ἄρχεται ὁ κανὼν Δ΄. Σ. Ῥ.

παράδοσιν, καὶ τὴν διδασκαλίαν, καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ ἀοιδίμων (1) Πατέρων καινοτομηθέντα καὶ πραχθέντα, ἢ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα. Τοῖς συκοφαντοῦσι (2) τὴν ἁγίαν Ἐκκλησίαν, ὅτι τετραγαμίαν ἐδέξατο, χάριν τῆς εὐδοκίᾳ Θεοῦ γεγενημένης οἰκονομίας, καὶ τῆς προσλήψεως καὶ ἑνώσεως τῶν ἀδελφῶν ἡμῶν, οὓς ἡ τῶν προλαβόντων σκανδάλων αἰτία ἐχώριζεν, ἀνάθεμα. Τοῖς τολμῶσι (3) λέγειν, ὅτι ἡ Ἐκκλησία τὸ καθαρὸν καὶ ἄχραντον οὐ σώζει τῆς ἁγιστείας αὐτῆς, ἀλλὰ μολυσμόν τινα προσετρίψατο διὰ τὴν χάριτι Θεοῦ γενομένην σύναψιν τῶν τέκνων, οὓς διεμέρισε μὲν τὸ ἤδη προγεγονὸς σκάνδαλον, συνῆψε δὲ ἡ τούτου παρὰ πάντων ὁμοῦ ἀθέτησις καὶ ἀποκήρυξις, ἀνάθεμα. Τοῖς ἐν καταφρονήσει (4) τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων (5) Πατέρων ἡμῶν, οἳ καὶ τὴν ἁγίαν Ἐκκλησίαν ὑπερείδουσι, καὶ ὅλην τὴν χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα.

Τούτων οὕτω διωρισμένων πρὸς ἀσφάλειαν τῆς ἁγίας Ἐκκλησίας, τοῦ ἀμέτοχον εἶναι τὸ εὐσεβὲς τῶν Χριστιανῶν πλήρωμα τῶν ἐξ ἀθεμίτων γάμων ῥύπων, δεόμεθα τῆς σῆς ἀγαθότητος, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔτι καὶ διαπαντὸς πᾶν σκάνδαλον, πᾶσαν διαμερισμοῦ αἰτίαν, τῆς σῆς ἐξελαύνειν Ἐκκλησίας, καὶ συντηρεῖν αὐτῇ τὴν εἰρηναίαν κατάστασιν, πρεσβείαις τῆς Δεσποίνης ἡμῶν καὶ ἀχράντου σου Μητρὸς, τῶν πανιέρων σου μαθητῶν καὶ Ἀποστόλων, δι' ὧν ἐν πάσῃ τῇ Οἰκουμένῃ τὴν σὴν κατεφύτευσας εἰρήνην, καὶ πάντων οἷς ἐξ αἰῶνος εὐαρεστούμενος ὤφθης ἁγίοις. Ἀμήν (6).

(1) Α. — μακαρίων Σ. Ῥ. — (2). Ἐνταῦθα ἄρχεται ὁ κανὼν Ε΄. Σ. Ῥ. — (3) Ἐνταῦθα ἄρχεται ὁ κανὼν Ϛ΄. Σ. Ῥ. — (4) Ἐνταῦθα ἄρχεται ὁ κανὼν Ζ΄. Σ. Ῥ. — (5) Σ. Ῥ. — τῶν ἱερῶν Α. — (6) Ἅπας ὁ τελευταῖος οὗτος παράγραφος οὐ κεῖται παρὰ Λεϋγκλ. ἀλλ' ἐν τῇ Ῥωμαϊκῇ Σταχυολογίᾳ, ληφθεὶς ἐκ τοῦ Οὐατικανοῦ κώδικος.

ΣΙΣΙΝΝΙΟΥ.

ΤΟΜΟΣ ΣΙΣΙΝΝΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ (1),

ΠΕΡΙ ΤΟΥ ΜΗ ΛΑΜΒΑΝΕΙΝ ΔΥΟ ΑΔΕΛΦΟΥΣ ΕΞΑΔΕΛΦΑΣ ΔΥΟ.

Σισίννιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Καὶ ΙΑΤΡΟΣ ἡδίων ἐκεῖνος, καὶ πολλοῦ ἄξιος πόλεσιν (2), ὅς τις λοιμοῦ προσβάλλειν ἐπειγομένου, πρὶν εἰσπηδῆσαι τὸ κακὸν διωθῶν, πεῖραν τῆς νόσου λαβεῖν οὐκ ἐᾷ· δίαιταν δὲ ὑποτιθέμενος ἄνοσον, ταύτῃ τοῖς σώμασι ῥῶσιν ἀκίνδυνον πραγματεύεται· ἐπεὶ ἅπαξ εἰσπηδήσασαν ἔνδον, καὶ τὰ σώματα δίκην πυρὸς νεμομένην, μόλις ἂν δυνηθείη ἀναστεῖλαι καὶ ἀπελάσαι, τῆς ἐπιστήμης αὐτῷ ἀναγκαίως πάντοθεν παραχωρούσης τῷ σφοδρῷ τοῦ νοσήματος (3). Καὶ ψυχῶν ἰατρὸς εὐχερῶς τούτων πως ἀντιποιήσαιτο, ὅς τις παντοίως ἀντέστη (4) πρὶν εἰσκωμάσαι τὴν νόσον, προφυλακτικὰ σωτήρια λόγου φάρμακα κερασάμενος, καὶ μὴ ἐάσας ταύτην πάνδημον καταχορεῦσαι κατὰ τῆς φύσεως. Ἤδη δὲ τοῦ δεινοῦ εἰσφθαρέντος, καὶ χρόνον συχνὸν τὰς τῶν πολλῶν πολλάκις ἐπικαταγεμηθέντος ψυχάς, ἐργώδης ἀλλ' οὐκ εὐχερὴς ἡ βοήθεια, καὶ τὰ ἐπὶ ταύτῃ δυσμεταχείριστα φάρμακα· ἀλλὰ τοῖς μὲν αὖθις φυλαξομένοις τὸ πάθος πρόχειρος ἡ σωτηρία, καὶ τὸ διαφυγεῖν τὸν ὄλεθρον, ῥᾴδιον· οἱ δὲ φθάσαντες περιπεσεῖν τῷ δεινῷ, ἀπῆλθον οὗτοι τὴν ἐκ τῆς νόσου βλάβην δυσαπάλλακτον ἑαυτοῖς καὶ ὅλην ἀπομορξάμενοι. Ὥσπερ οὖν τῷ κακῷ τινι περι-

(1) Σισίννιος ὁ β', Μάγιστρος τὴν ἀξίαν, ἀπὸ λαϊκοῦ ἐκλεχθείς, προχειρίζεται κατὰ τὴν τάξιν τῶν βαθμῶν πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 996· ἀνὴρ σοφώτατος περί τε τὰ θεῖα καὶ τὴν ἐπιστήμην τῶν νόμων, ἔμπειρος δὲ καὶ τῆς ἰατρικῆς. Σώζονται δὲ ἐκτὸς τοῦ παρόντος Τόμου καί τινες ἄλλαι Ἐκκλησιαστικαὶ αὐτοῦ διατάξεις. Ἐκυβέρνησε τὴν Ἐκκλησίαν ἔτη τρία, ἀποθανὼν τὸ 999. — (2) Α. ἐν περισελ. — καὶ πολλῶν ἄξιος πόλεων Α. — (3) Α. ἐν περισελ. — παθήματος, Α. — (4) Α. ἐν περισελ. — ἀνέστη Α.

πεπτωκότι τὸ τοῦτο διαφυγεῖν κρεῖττον τοῦ συγκατορυχθῆναι αὐτῷ, καὶ τὸ ἀναστεῖλαι σοβάδα νόσον καὶ πάνδημον κατὰ σωμάτων κυμαινομένην, καὶ πᾶσαν ἡλικίαν βοσκομένην καὶ γένος, τοῦ ἐάσαι χωρεῖν ἀνεπικωλύτως, ἐστὶν αἱρετώτερον· οὕτω καὶ πάθους ἐπὶ λύμῃ καὶ σηπεδόνι ψυχῶν ἐμπεσόντος, ἀνακόψαι καὶ στῆσαι τὸν ἐκ τούτου ἐπιφυόμενον ὄλεθρον, ἐπαινετὸν ὁμοῦ καὶ Θεῷ ἀρέσκον, καὶ τοῖς λογικοῖς ποιμέσιν ἡμῖν πρόσφορόν τε ποιεῖν καὶ ἁρμόδιον. Ἐπεὶ τοίνυν τὸν τοῦ Χριστοῦ λαὸν, ὃν τῷ οἰκείῳ οὗτος ἐξηγόρασεν αἵματι, τὸ ἅγιον ἔθνος, πάλαι μὲν τὸ διδασκάλιον τῶν θείων καὶ ἱερῶν Ἀποστόλων, καὶ τῶν μετ' αὐτοὺς αὖθις ἁγίων Πατέρων, οἱονεί τινα θείοις νόμοις πάντοθεν (1) περιεχαράκωσεν ἄμπελον, ἱερῶς ἤδη καταφυτευθεῖσαν τῷ πάντα εἰς τὸ εἶναι παραγαγόντι Θεῷ, περικόπτον πάντα (2) καὶ ἀποκαθαῖρον ἐπὶ λύμῃ τῆς φύσεως ἀῤῥωστήματα, καὶ πᾶσαν ὁρμὴν ἄνετον ἐθνικοῦ βίου ταῖς φυσικαῖς ἐπιθυμίαις δουλεύουσαν, καθάπερ τινὰ ποτάμιον ῥοῦν, ἐφ' ὕβρει τῆς ἀρχετύπου εἰκόνος φερόμενον, ἀνεχαίτισε καὶ ἀνέστειλε, πρὸς δὲ τοῖς θείοις κανόσι, καὶ νόμοι πολιτικοὶ, τοῖς μὴ τῇ εὐσεβείᾳ στοιχοῦσι, μακρὰν δὲ τοῦ δέοντος ἐκτραχηλιζομένοις, ὁσημέραι τὴν μάχαιραν ἐπισείουσι, τοῦτο (3) ἐχρῆν τὸ ἅγιον ἔθνος ἐν καθαρῷ τῷ συνειδότι βιοῦν, καὶ μηδὲν τῶν ἀπειρημένων ἐπεισάγεσθαι τούτῳ, καὶ τὸν ἡμέτερον βίον καταθολοῦν. Θεῖοι μὲν γὰρ κανόνες καὶ νόμοι πολιτικοὶ, βίον πνευματικὸν καὶ ἤθη χρηστὰ, τὸ τραχύνον τῆς ἀνθρωπίνης καθομαλίζοντες φύσεως, ταῖς διανοίαις ἡμῶν (4) ἀπολιορκήτως κατορωρύχασιν, ὡς ἂν ἔχοιμεν τῷ ἀπροσκόπῳ τοῦ βίου ἀξίαν τῆς κλήσεως ἐν παντὶ καιρῷ τὴν πολιτείαν ἐνδείκνυσθαι. Καὶ ἐπεὶ ῥίζαν καὶ ὑποβάθραν τοῦ γένους, καὶ τῆς ἡμετέρας φύσεως ἐργαστήριον, τὸν σεμνὸν γάμον ᾔδεσαν ὄντα, ἵνα τὸ καθαρὸν ἐξ αὐτῆς ἤδη τῆς ῥίζης καὶ τὸ ἀθόλωτον ἔχοι, καὶ μή τισι μώμου περιῤῥαντίσμασι καταχραίνοιτο (δεινὸν γὰρ τῷ σίτῳ συνεσπάρθαι καὶ τὸ ζιζάνιον), παντοίαις λόγων φοραῖς καὶ εἰσηγήσεσι κατωχύρωσαν, μακρὰν τοῦ νομίμου γάμου τὸν ἀθέμιτον διαστέλλοντες, ἢ καὶ τὸν σεμνὸν ἐγκρίνοντες (5), καὶ τοῖς κατ' αὐτὴν ἤδη

(1) Δ. ἐν περισελ. ἄνευ τοῦ, πάντοθεν Λ. (2) Δ. ἐν περισελ. — πάντη Δ. (3) Ἴσ. τῷ τοι. (4) ἡμῶν, ἀρχῆθεν Δ. ἐν περισελ. — (5) Δ. ἐν περισελ. ἐκκρίνοντες Δ.

τῆς φύσεως τὴν ἀνάγκην τὸν ἐπίζυγα βίον ἀσπαζομένοις παραινοῦντές εἰσιν ἐπὶ τοῦτον καὶ εἰσηγούμενοι, τὸν δὲ ἀπωθεῖσθαι τούτους πείθοντες τῆς ἑαυτῶν συζυγίας, καὶ ἀποτρέπεσθαι παντοίως. Πάλαι μὲν γὰρ τῷ Ἰσραὴλ, σφραγίδα λαχόντι Θεοῦ τὴν περιτομὴν, κατ᾽ οἰκείαν ἑκάστῳ (1) φυλὴν τὰ τοῦ γάμου ἐπρυτανεύετο, ἀποκλείοντος τοῦ νομοθέτου τὴν τῶν ἐθνῶν πρὸς τοῦτον ἐπιμιξίαν, καὶ οἷον ἀνάκρασιν· γένει δὲ τὴν τοῦ γένους οἰκείωσιν δεξιουμένῳ, ἡ πρὸς τοῦτο τοῦ γάμου ὁδὸς ἀναφερομένη καὶ ἀναπλεκομένη, ἀπερικώλυτος ἦν (2). Ὡς δὲ λαὸς Θεοῦ περιούσιος, εὐδοκίᾳ τοῦ ἡμᾶς προσλαβόντος καὶ οἰκειώσαντος ἑαυτῷ, πάντα τὰ ἔθνη γεγόναμεν, καὶ χεῖρας, κατὰ τὸν Προφήτην, χαρμονικῶς ἐκροτήσαμεν, καὶ νέος πάντες γεγόναμεν Ἰσραὴλ, καὶ πάντας, ὁ εἰρηνοποιήσας τὰ πάντα, εἰς ἓν συνήγαγεν, εἰς τοῦτο συνάπτειν (3) ἡμᾶς καὶ τὴν ἀγάπην πρὸς ἑαυτὸν καὶ ἀλλήλους βουλόμενος ἕνωσιν, τὰς ἔνδοθεν πύλας τοῦ γάμου, καὶ τὴν πρὸς συγγένειαν ἀποκλείσας ὁδὸν, τὰς ἔξωθεν πᾶσιν ἠνέῳξε διαβάσεις τοῖς καθημένοις ἐπὶ πρόσωπον πάσης τῆς γῆς· καὶ δὴ ἐπὶ τοῦτον τὸν γάμον τοῖς χωρεῖν βουλομένοις ἡ οἰκουμένη πᾶσα ἠνέῳκται, ὥσπερ ἡ πρὸς συγγένειαν ἄγουσα πᾶσα θείοις ἐπεζυγώθη νόμοις καὶ ἐπεκλείσθη ὁδός. Τοὺς τοίνυν ἀθεμίτους τῶν γάμων, τοὺς νόμους οἱ γεγραφότες, τοὺς μὲν ὀνόμασι ῥητοῖς διέστειλαν· τοὺς δὲ τῷ τῆς ἀκαθαρσίας ὀνόματι διαλαβόντες γενικῶς, ἀφῆκαν καὶ παρεσιώπησαν, τοῦ σεμνοῦ παντοίως (4) φροντίζοντες, καὶ μὴ ἐπὶ μακρῷ καὶ καθ᾽ ἕκαστον τὴν γλῶτταν καταῤῥυπαίνειν ἐθέλοντες. Οἷς καὶ ὁ μέγας Ἀπόστολος Παῦλος συνᾴδων, Πορνεία, φησὶ, καὶ ἀκαθαρσία πᾶσα μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὰ πρέπει ἁγίοις (5), τῷ τῆς ἀκαθαρσίας ὀνόματι πᾶσαν ἀθεμιτογαμίαν καὶ ἀῤῥητοποιΐαν περιλαμβάνων. Καὶ οὐ πάντως ἡ σιωπὴ τοῖς φιληδόνοις ἐν τούτοις ἐγένετο ἄδεια· ἀλλὰ καὶ αὐτοῖς τοῖς ἐπιτετραμμένοις τῶν γάμων ὁ νόμος οὐκ ἀφῆκε ῥᾳδίως ἐπιπηδᾷν. Ἀλλὰ τί φησιν; Ἐν τοῖς γάμοις οὐ τὸ ἐπιτετραμμένον μόνον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς δεῖ σκοπεῖν (6)· οὕτω καὶ περὶ τοῦ

(1) Λ. ἐν περισελ. — ἑκάστην Δ. — (2) ἀπεκωλύετο Δ. ἐν περισελ. — (3) Δ. — συνάπτων Δ. ἐν περισελ. — (4) πάντως Δ. ἐν περισελ. — (5) Ἐφεσ. Ε, 3. — (6) ρπζ΄. Βασιλικ. Β΄. 3. καὶ ς΄, Βασιλικ. ΚΗ, 5.

ἀῤῥυπώτου τῆς φύσεως καὶ πάντοθεν ἀνεγκλήτου, καὶ θεῖοι Πατέρες κανόσι, καὶ νομοθέται νόμοις διησφαλίσαντο. Ὁ δὲ πρὸς τὸν ἡμέτερον πόλεμον εὔζωνος μαχητής, καὶ πρὸς ἀκηρύκτους πολιορκίας ψυχῶν δυσκαταμάχητος καὶ βιαιότατος ἀνταγωνιστής, μετὰ τῶν ἄλλων, οἷς πολλάκις ἐπαναστάς, καὶ κοινῇ καὶ ἰδίᾳ τὸ σεμνὸν ἀνορύττων τοῦ γάμου, φιλονεικότερον ἐκονίσατο (1), καὶ τοῦτο λαθὼν ἐπεισήγαγεν, ὥστε πολλοὺς ἐν οὐδενὶ τίθεσθαι, ἀδελφοὺς ὄντας, εἰς γάμον αὐτοῖς δύο ἐξαδέλφας λαμβάνειν, τοῦτο δὲ καταφανῶς καὶ ἀνεπικωλύτως μετὰ τῆς ἱερολογίας ποιεῖν, ἢ δύο τισὶν ἀδελφαῖς ἐξαδέλφους αὖθις ὡς ἐπὶ νομίμῳ γάμῳ συζεύγνυσθαι, ἢ θεῖον καὶ ἀνεψιὸν ἀδελφαῖς συνάπτεσθαι δυσίν, ἢ ἀδελφοὺς δύο τὸ ἔμπαλιν θείᾳ καὶ ἀνεψιᾷ, τὸ δὲ τοιοῦτον ἄτοπον τῷ τοῦ γάμου σεμνῷ κατοχυρωθὲν (2), ὑβρίζον τὴν φύσιν ἐλάνθανε.

Διὰ τοῦτο ἡ μετριότης ἡμῶν τοῖς ἀθεμίτοις περιαλγοῦσα συνοικεσίοις, μετὰ τῆς ἱερᾶς τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων συνδιασκεψαμένη συνόδου, καὶ τὸ βαρὺ τῆς ἀπειλῆς φοβηθεῖσα κρίμα, (ὃ τοῖς μὴ ἀναγγέλλουσι τῷ λαῷ τὴν ἐρχομένην ῥομφαίαν ἠπείληται,) ἔγνω καὶ ἐδοκίμασεν εἶναι λυσιτελές, θεραπείαν ἐπινοῆσαί τινα τοῦ κακοῦ, ἵν' οἱ μὲν ἑαλωκότες, ὡς ἴαμα ἢ διαμαρτυρίαν τὴν ἀπόφασιν ἔχοιεν, τοῖς δὲ ἄλλοις προφυλακτήριον εἴη τοῦ μέλλοντος. Ἐντεῦθεν διοριζόμεθα, μηκέτι ἀπό γε τοῦ νῦν τοιοῦτόν τι περὶ τοὺς γάμους τολμᾶσθαι πονηρὸν πρᾶγμα, καὶ περὶ τοὺς ἐξ αἵματος ἀδικώτατον, καὶ αὐτῇ πολεμοῦν καθόλου τῇ φύσει, καὶ συγχέον ταύτην πρὸς ἑαυτήν. Ἐντεῦθέν τις καταμάθοι καὶ διασκοπήσοι τρανώτερον. Ὁ ἱερὸς καὶ μέγας Βασίλειος, ὁ καὶ τὰ βάθη τοῦ Πνεύματος, κατὰ τὴν θεολόγον φωνήν, ἐρευνῶν, οὗτος περί τινος ἀθεμίτου γάμου διαλεγόμενος, ἐπίτομον γνώρισμα (3) δίδωσιν, ἐν ᾧ τὰ τῶν ἀθεμίτων γάμων ῥᾳδίως τῶν νομίμων ἀποκριθήσεται, Ἐν οἷς, λέγων, τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος(4). Πῶς οὖν ἐπὶ τοῦ παρόντος γάμου τὰς προσηγορίας ἁρμόσοι τις; Οἱ μὲν γὰρ ἀδελφοί, κατὰ τοῦτο

(1) Λ. ἐν περισελ. — ἐκομίσατο Λ. — (2) Λ. ἐν περισελ. — καταχωρηθέν, Λ. (3) γνώμην . . . ἐν ᾗ Λ. ἐν περισελ. — (4) καν. πζ΄. Βασιλ.

αὐτὸ καὶ ἀδελφοὶ καὶ σύγγαμβροι προσαγορευθήσονται, ὥσπερ αὖ αἱ συναφθεῖσαι τούτοις εἰς γάμον ἐξαδέλφαι τε ἅμα καὶ σύννυμφοι· τὰ δὲ ἀπὸ τούτων τικτόμενα ἔκγονα, ἐκ ποίας συγγενείας οἱ τεκόντες προσαγορεύσουσιν; Ἀπὸ μὲν γὰρ τῶν ἀδελφῶν, ἡ τοῦ δευτέρου βαθμοῦ τούτοις ἁρμόσει προσηγορία, ἐξαδέλφους προσαγορεύεσθαι· ἀπὸ δὲ τῶν μητέρων, ἡ τοῦ τρίτου μᾶλλον ἔσται κατάλληλος· δισεξαδέλφους γὰρ ἦν εἰπεῖν δικαιότερον· καὶ ἡ τῶν ὀνομάτων ἀκατάλληλος σύγχυσις, τὴν τοῦ ἀθεμίτου γάμου παρανομίαν, κατὰ τὸν ἐν ἁγίοις Πατέρα Βασίλειον, καταφανέστερον ἀποδείκνυσιν.

Ἀλλ' ἴσως τῷ πάθει συνηγορήσων τις ἀναστὰς ἐρεῖ, πυθόμενος δῆθεν, Διὰ τί μὴ τοῦτο (1) τῶν γεγραμμένων τις ὀνομαστὶ κεκώλυκε νόμος, ἀδελφοὺς λέγων, τὰς ἐξ ἀδελφῶν γεννωμένας, εἰς κοινωνίαν γάμων μὴ προσλαμβάνεσθαι; Καὶ διὰ τί τῷ κατ' ἔθος πραττομένῳ, χρόνον τοσοῦτον εἰς συνηγορίαν λαβόντι, ἀντινομοθετεῖς, λόγων στροφαῖς καὶ δεινότητι κλέπτων τὴν ἀκοὴν, καὶ τὸ πρᾶγμα κατασοφιζόμενος, καὶ ὑπ' εὐθύνην ἄγων τὸ ἀπὸ τῶν νόμων ἀνεύθυνον; Ἀλλ' οὐκ ἔγωγε· ὁ δὲ τοῦ Πνεύματος τούτων τὴν ἁμαρτίαν ἐλέγχων(2) προενομοθέτησε πάλαι Βασίλειος, οὗ νόμος ἡ γλῶττα τῇ Ἐκκλησίᾳ, καὶ ὁ τῶν ῥημάτων φθόγγος, θεόγραφοι πλάκες δακτύλῳ ἐγκεχαραγμέναι Θεοῦ. Ὁ δὲ ζητῶν ἕτερον νομοθέτην ἐν τούτοις, οὐκ οἶδα, εἰ σωφρονοῦσιν οὗτός γε δόξει σωφρονεῖν. Εἰ δὲ καὶ δῶμεν μηδεμίαν γεγράφθαι μνήμην παρ' οὐδενὸς τῶν Πατέρων περὶ τοῦ πράγματος, οὐδ' οὕτως ἂν ἀλόγως ἐθέλειν ἀποκινῆσαι τὸ ἀῤῥώστημα τοῦτο τῆς Ἐκκλησίας, τοῖς μὴ περὶ τὴν κρίσιν δικάζουσι δόξωμεν. Οἱ γὰρ περὶ σωφροσύνης νομοθετήσαντες, γυναικός τε μοιχείαν καὶ βίαν τιμωρησάμενοι κόρης, οὐ προστιθέασιν, ἂν θυγατέρα ἁλῷ πατὴρ βιασάμενος, ὅ,τι δέοι παθεῖν· ὡς οὔτε ῥᾳδίως τὰ τοιαῦτα τολμώμενα, κἂν ἄρα πραχθῇ τι, πρόδηλον ὂν ὡς δίκην ὑφέξει, τῶν ἐλαττόνων τιμωρουμένων. Ἆρα ὅτι (3) μὴ τοῦτο νόμῳ κεκώλυται, ῥᾳδίως τις καταπράξαιτο, ἢ τολμήσας οὐχ ἕξει τὸν ἐπὶ

(1) Δ. ἐν περισελ. — μὴ τούτων γεγραμμένων, Δ. — (2) Δ. ἐν περισελ. — τοῦτο τὴν ἁμαρτίαν προενομοθέτησεν, Δ. — (3) Δ. ἐν περισελ. — ἆρα μὴ τοῦτο, Δ.

τούτῳ γραψόμενον; Οὐκ ἂν φαίη τις σωφρονῶν. Ὥσπερ τοίνυν ἐκείνου σιωπωμένου, οὐ δίδωσι χώραν ἡ σιωπὴ τολμηρῶς ὑβρίζειν κατὰ τῆς φύσεως, οὕτως οὐδὲ τούτου ἴσως παραλειφθέντος (εἴπου καὶ παρελείφθη), ἄδειαν ἕξει τις ἀνεπικωλύτως ποιεῖν· καὶ ταῦτα, Χριστιανῶν ὄντων ἡμῶν, καὶ ἄκρως (1) εἰδότων, ὅτι Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, κατὰ τὸν Ἀπόστολον Παῦλον· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι (2)· καί τοι οὐδὲ παραλέλειπται, ἀλλ', οἷς ἐῤῥέθη, κεκώλυται· Οὐ γὰρ τὸ ἐπιτετραμμένον, φησὶν, ἐν τοῖς γάμοις δεῖ σκοπεῖν, ἀλλὰ καὶ τὸ εὐπρεπές. Καὶ ὁ ἱερὸς αὖθις καὶ μέγας Βασίλειος, καθὼς εἴρηται, Ἐν οἷς, φησὶ, τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. Ὥσπερ γὰρ ἡ τῶν διὰ γάμου συναπτομένων ἕνωσις οὐκ οἶδεν ὅλως διαστολὴν, ἀλλὰ σὰρξ ἄμφω μία γνωρίζεται, Ἔσονται, γάρ φησιν, οἱ δύο εἰς σάρκα μίαν (3), οὕτω καὶ οἱ κατὰ γένος προσήκοντες ἑκατέροις ἀκολούθως δικαίῳ συγγενείας ἐπισυνάπτονται, καὶ εἰς μίαν ἁρμόζονται (4) ἀγχιστείαν αἵματος καὶ οἰκείωσιν· ὡς ἐπάναγκες εἶναι τούτοις εὐλαβεῖσθαι καὶ δεδιέναι σφαλερὰν τὴν εἰς ἀλλήλους γαμικὴν ἐπιμιξίαν καὶ συμπλοκήν· οὐ γὰρ ἐνὸν εἰσιέναι πρὸς πάντα οἰκεῖον σαρκὸς, διὰ τὰς συνθολώσεις καὶ συγχύσεις τοῦ γένους. Ποῦ τοίνυν τὸ πάντοθεν ὡς ἀθέμιτον καὶ κανόσι καὶ νόμοις ἀσφαλισθὲν ἤδη παραλέλειπται, ὡς καὶ διὰ τοῦτο δόξαι ἀνεύθυνον; Περὶ δὲ τοῦ συνηγοροῦντος τῷ πάθει χρόνου τοῦτό ἐστιν εἰπεῖν ῥᾴδιον, ὅτι τοῖς ἀσελγαίνειν ἐθέλουσι, καὶ τοῖς διαμόχθηρον ἔχουσι βίον, οὐδεμία τις ἀπὸ χρόνου πάντως ἔσται βοήθεια· οὐδὲ γὰρ μοιχοῖς, ἢ λωποδύταις, ἢ τοιχωρύχοις, ἢ ἑτέρως πως ἀδικοῦσιν, ἂν ἐπαυτοφώρῳ ἁλῶσιν, ἀρκέσει πρὸς σωτηρίαν τὸ ἀπὸ χρόνου μακροῦ ταῦτα πραττομένους αὐτοὺς ἔχειν ἀποδεικνύειν· εἰ μήπου καὶ μείζονα ἐπάξει τὴν καταδίκην, πρὸς τὸ δοῦναι δίκας τῶν τολμηθέντων, ὧν τε ἄρτι καὶ ὧν κατὰ τὸν πάλαι χρόνον πεπλημμεληκότες διαποδειχθήσονται. Ἄλλως τε τὸ σεμνὸν τοῦ ἀσέμνου πρωτεῦόν (5) ἐστι, καὶ τοῦ κακοῦ δεύτερον ἡ ἀποτυχία· καὶ ἡ ἕξις ἀεὶ τῆς στερήσεως προτερεύουσα· καὶ

---

(1) ἀκριβῶς, Α. ἐν περισελ. — (2) α', Κορ. Ζ', 29 — (3) Γεν. Β', 24. — (4) ἁμαρτάνοντες, Α. ἐν περισελ. — (5) προτερεῦον, Α. ἐν περισελ.

τὸ σωφρονεῖν ἐπὶ γάμοις, τοῦ τῶν ἀθεμίτων κατατολμᾷν, τῷ χρόνῳ ἐπικρατέστερον. Τίνα γοῦν ἕξει βοηθείας ῥοπὴν τὸ κακὸν χρόνῳ ἐπικυλινδηθὲν μακρῷ τινι καὶ ἀπερικόπῳ(1) ἐπὶ λύμῃ ψυχῶν; Τίνας δὲ ἑτέρους εἴποι τις ἀθεμίτους τῶν γάμων, τοὺς παρόντας παραγραφόμενος; Ἐπὶ γὰρ τῶν ἀνιόντων καὶ κατιόντων, εἰς ἀπέραντον, ὡς ὁ νόμος φησὶ, τὰ τῶν γάμων κεκώλυνται· ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ἀδελφῶν, ἐξαδέλφων, καὶ τῶν ἀπὸ τούτων τικτομένων, καὶ μόνων. Οὔκουν οὐδὲ βαθμός τις ἀνακράσει αἵματος εἰς ἑαυτὸν συμπλεκόμενος ὅλως, εἰς κοινωνίαν γάμου δυσὶν ἀδελφοῖς ἢ ἀδελφαῖς ἀνακραθήσεται, πρὸ τοῦ διαλυθῆναι αὐτῶν τὴν ἐξ αἵματος ἄνωθεν ἀναπλεκομένην σειράν. Πρὸς δὲ τούτοις ἐκεῖνο εἰπεῖν ἐστιν, ὅτι ἐπὶ παντὸς ἔργου καὶ πράγματος, τὸ μὴ ἀποδοχῆς ἄξιον, εἰς ἔργον ἐκβαῖνον ὑπεύθυνον· καὶ τὸ ἐν ἐπαίνου μοίρᾳ τοὺς μὴ πράττοντας ἔχον, ὑπ' εὐθύνην ἄγει τοὺς αἱρουμένους ποιεῖν. Οὐ τοίνυν χώραν ἔχει τὸ λέγειν τὸν τοιοῦτον γάμον ἀνεύθυνον· οὐδὲ γὰρ οὐ μόνον ἀνεύθυνος, ἀλλ' εἴπου τις ἐξετάσει διασκοπῶν, μεῖζον τὸ δεῖγμα ἐν τούτῳ τῆς ἁμαρτίας, καὶ τὸ κακὸν τῶν ἄλλων ὀλεθριώτερον. Καί μοι μὴ θορυβείτω πρὶν ἀκούσῃ μηδείς. Τῶν ἐλαττόνων ἀδικημάτων τὰ μείζονά πως ἐφόλκια γίνεται· καὶ τοῦ φόνου κακὸν ἔλαττον ὁ θυμός· ὁ δ' εὐχερής (2) τις ἐπὶ τούτῳ καὶ ῥᾳδίως τῷ πάθει κρατούμενος, τάχα που καὶ τυπτήσει· εἶτα προϊόντος τοῦ χρόνου χωρήσει καὶ πρὸς μιαιφονίαν ῥᾳδίως. Καὶ τὸ ἐν ἅπασιν ἐπιβάλλειν τὸν ὀφθαλμὸν, παρὰ τῇ φύσει ἀκώλυτον. Εἰ δέ τις τῇ ὁράσει μὴ ἐπιθῇ χαλινὸν, τάχα τι τῶν μὴ προσηκόντων ἰδὼν, πρῶτον θαυμάσει· εἶτα θαυμάσας ἐπιθυμήσει, καὶ προϊόντος τοῦ χρόνου, τοῦ ἡνιοχοῦντος (3) ἐκκυλισθεὶς λογισμοῦ, τῷ πάθει ἁλώσεται. Ὁρᾷς πῶς τὰ ἐλάττονα τῶν ἀδικημάτων αἴτια γίνεται τῶν μειζόνων ἀεὶ, καὶ θύρα τῶν ὀλεθριωτέρων κακῶν ἡ ἐπὶ τούτοις ἀρχή; Καὶ διὰ ταῦτα ὑπὸ δίκην τῶν ἄλλων τὰ τοιαῦτα μᾶλλον ἄγεται, ἃ καὶ φυλάττεσθαι πλεῖον τῶν μειζόνων ἐλαττωμάτων ἡ Κυριακὴ φωνὴ ἐγκελεύεται. Ἐῤῥέθη γὰρ, φησὶ, Μὴ πορνεύσης· ἐγὼ

(1) ἀπεριχόπτῳ, Α. ἐν περισελ. — (2) Α. ἐν περισελ. — εὐχερῶς Α. (3) τὰ ἀπὸ τοῦ, χωρήσει, ἕως τοῦ ἡνιοχοῦντες, ἀναγινώσκεται ἐν περισελ. Α.

δὲ λέγω ὑμῖν, μὴ ἐπιθυμῆσαι ὅλως. Καὶ γέγραπται· Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος· ἐγὼ δὲ λέγω ὑμῖν, μηδὲ ἀρχὴν ὀργισθῆναι (1). Οἱ τοίνυν δύο ἐξαδέλφας ἀγαγόμενοι ἀδελφοὶ, ἅπαξ τῷ ἀγκίστρῳ περιπαρέντες, καὶ ὁδοῦ ἀπαγούσης πρὸς ὄλεθρον ἐπιβάντες, τάχα που καὶ πρὸς τὰ μείζονα τῶν ἁμαρτημάτων (2) ἑτοίμως χωρήσουσι· τῆς δὲ τοῦ ἐλάττονος ἁμαρτίας ἐκκοπτομένης, φειδώ τις πρὸς τὰ μείζονα ἔσται. Ἡ γνώμη τοίνυν ἁπανταχῆ τῶν δρώντων (3), καὶ καταδίκης πικρᾶς καὶ στεφάνων ἀξία. Ταύτην οὖν ἐξετάζων τις, καὶ γωνιάζουσαν ἐρευνῶν, οὐκ ἀπαθῶς (4) εὑρήσει τοῖς τοιούτοις γάμοις ἐπιπηδῶσαν, μετὰ δέ τινος πέδης πάθους δριμυττομένου, δεσμῶτιν κυλινδουμένην αὐτοῖς· ἢ γὰρ δόξα γένους, καὶ ὄγκος ἀξιωμάτων, ἢ πλοῦτος ἀνδρὸς, ἢ κάλλους φαιδρότης, τῶν ἁπανταχοῦ γῆς ἐπιτετραμμένων καὶ μηδένα μῶμον προσεπιτριβόντων ἐκκρούσαντα γάμων, πρὸς τὸν ἀθέμιτον ἐξεκύλισαν· Διὰ ταῦτα ἔρχεται, φησὶν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· διὰ ταῦτα πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί (5)· διὰ ταῦτα, δείματα φοβερά· σεισμοὶ, κλονοῦντες θεμέλια γῆς, καὶ πόλεων ἀνασπῶντες οἰκοδομάς· αὐχμοὶ φρικώδεις, νόσων κατὰ σωμάτων ἐπιδρομαί· πολεμίων ἐπαναστάσεις, καὶ τὸ τελευταῖον λιμοὶ καὶ λοιμοὶ, ἡλικίαν πᾶσαν ἀπάγοντες, καὶ μηδαμόθεν παραμυθίαν λαμβάνοντες. Τούτων τὴν ἐν ἀνθρώποις ἐπὶ ὀλέθρῳ φορὰν (6), ἡ μετριότης ἡμῶν ἅμα τῇ συνεδριαζούσῃ τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων συνόδῳ (7), στῆσαι περὶ πολλοῦ ποιουμένη, καὶ τοῦ καταῤῥύπου καὶ ἀπρεποῦς καὶ ἀσέμνου γάμου τὸν περιούσιον λαὸν τοῦ Χριστοῦ ῥυομένη, διωρίσατο, μηκέτι τοὺς τοιούτους γάμους χώραν ἐν τοῖς Χριστιανοῖς τοῦ λοιποῦ ἔχειν, μηδὲ παρά τινος μηδέποτε καταπραχθῆναι. Εἰσηγεῖται δὲ πᾶσι κοινῶς, καὶ τῇ ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐξουσίᾳ πατρικῶς καὶ δεσποτικῶς διορίζεται, ὥστε μηδένα τῶν ἁπάντων, ἀπό γε τοῦ νῦν, κἂν τῶν ἐν δυναστείαις ᾖ τις καὶ ἐξουσίαις, κἂν πλού-

(1) Ματθ. Ε, 27, 38. — (2) ἀτοπημάτων Α. ἐν περισελ. — (3) Α. ἐν περισελ. — δρωμένων, Α. — (4) Α. ἐν περισελ. — ἀπειθῶς, Α. — (5) α', Κορ. ΙΑ', 30. (6) φθορὰν Α. ἐν περισελ. — (7) συνόδῳ Α. ἐν περισελ.

τῷ κομῶν, κἂν τῶν πολλῶν καὶ τοῦ δήμου, πρὸς τοιοῦτον γάμον ἐλθεῖν. Εἰ δέ τις ἀπὸ τοῦ παρόντος, τὰ διωρισμένα ταῦτα θέμενος παρ' οὐδὲν, πρὸς τὸν τοιοῦτον ἑαυτὸν ἐπιῤῥίψειε γάμον, ἢ ἐπιδῷ τέκνα, τῆς Ἐκκλησίας (1) οὗτος ἐκκήρυκτος ἔσται πάσας τὰς ἡμέρας τοῦ βίου αὐτοῦ· καὶ οὐ πρότερον δεχθήσεται εἰς μετάνοιαν, πρὶν ἂν διασπάσῃ τὸν γάμον, κἂν φθάσῃ παῖδας ἀποτεκεῖν· ὁ δὲ τῷ τοιούτῳ γάμῳ εὐχὴν ἐπιδοὺς ἱερεὺς, καθαιρέσει τελείᾳ ὑποπεσεῖται. Διὸ καὶ τὰ ὡρισμένα ἐνταῦθα ἐξετέθη, καὶ σφραγισθέντα τῷ χαρτοφυλακείῳ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας, εἰς ὑπόμνησιν τοῖς ἐσομένοις ἐπρυτανεύθη, κατὰ τὴν κα'. τοῦ Φεβρουαρίου μηνὸς τῆς ι'. ἐπινεμήσεως, ἐν ἔτει ,ϛφε' (2).

Οἱ δὲ μεθ' ἡμῶν συνδιασκεψάμενοι καὶ συνδιορισάμενοι ταῦτα μητροπολῖται, εἰσὶν οὗτοι· Ἰωάννης, Ἡρακλείας· Ἰωάννης, Ἀγκύρας· Λέων, Σάρδεων· Στέφανος, Νικομηδείας· Δανιὴλ, Χαλκηδόνος· Θεόδωρος, Μελιτηνῆς· Ἰωάννης, Τυάνων· Πέτρος, Γαγγρῶν· Ἰωάννης, Καρίας· Βασίλειος, Ἰκονίου· Θεοφύλακτος, Ἀντιοχείας· Ἰωάννης, Συλαίου· Θεοδήγιος, Ἀθηνῶν· Στυλιανὸς, Λαρίσσης· Γεώργιος, Τραϊανουπόλεως· Λέων, Κατάνης· Εὐθύμιος, Φιλίππων· Ἀρσεβὴρ, Ἱεραπόλεως· Βασίλειος, τῆς ἁγίας Σεβερινῆς· Νικόλαος, Νέων Πατρῶν· Στέφανος, Κοτυαείου· Λεόντιος, Σεῤῥῶν· Βασίλειος, Πομπηϊουπόλεως· Φίλιππος, Παρίου· Λέων, Κυψέλων· Κωνσταντῖνος, Κίου· Ἰωάννης, Δέρκου· Ἰωάννης, Λευκάδος· Θεόδωρος, Ῥοδίων (3)· καὶ Κωνσταντῖνος, Σουγδίας (4).

Ἑρμηνεία τοῦ Ζωναρᾶ.

Ὁ συνοδικὸς οὗτος τόμος, εἰ καὶ πολλαῖς παρεκβάσεσι κέχρηται, ἀλλὰ τὸ ὅλον ἐκ τούτου συνάγει· κωλύει γὰρ δύο ἀδελφοὺς, δύο ἐξαδέλφας λαβεῖν· καὶ τὸ ἀνάπαλιν, δύο ἐξαδέλφας, δύο ἀδελφούς· καὶ θεῖον καὶ ἀνεψιὸν, ἀδελφὰς δύο· καὶ αὖθις ἀδελφοὺς δύο, θείαν καὶ ἀνεψιὰν, καὶ πλέον οὐδέν.

(1) Λ. ἐν περισελ. — τῇ Ἐκκλησίᾳ Δ. — (2) ,ϛυφθ' παρ' ἄλλοις, Δ. ἐν περισελ. (3) Ῥοΐων Δ. — (4) Ὅρα καὶ Νομοκάν. Τίτλ. ΙΓ'. Κεφ. Β'. ἐν τῇ ἑρμηνείᾳ τοῦ Βαλσαμῶνος. Τόμ. Α. σελ. 282.

ΑΛΕΞΙΟΥ.

Α'. ΙΣΟΝ ΥΠΟΜΝΗΜΑΤΟΣ

ΕΝΑΠΟΤΕΘΕΙΜΕΝΟΥ ΤΩ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΕΥΑΓΕΙ ΧΑΡΤΟΦΥΛΑΚΕΙΩ, ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΟΥ ΑΛΕΞΙΟΥ (1),

Περὶ τῶν διὰ δωρεᾶς λαμβανόντων μοναστήρια, καὶ περί τινων ἄλλων ἀναγκαίων Ἐκκλησιαστικῶν ὑποθέσεων, ταῖς μητροπόλεσι, ταῖς ἀρχιεπισκοπαῖς, καὶ ταῖς ἐπισκοπαῖς ἀνηκουσῶν. (2)

ΜΕΤΑ τῶν ἄλλων ἁπάντων, παρατρέχων ὁ χρόνος, καὶ τὰς πατριαρχικὰς ἐκαινοτόμησε δωρεάς· καὶ τὰς ἐπὶ διαμονῇ, καὶ εὐθηνίᾳ, καὶ πλατυσμῷ τῶν ἱερῶν φροντιστηρίων πράξεις τῶν μακαριωτάτων πατριαρχῶν, πράσεις ἀνελευθέρους, καὶ μεταφορὰς ἀπὸ προσώπων εἰς πρόσωπα, καπήλους καὶ πάσης βωμολοχίας πεπληρωμένας· καὶ εἰκότως. Ἐκλειπόντων γὰρ τῶν ἀμέμπτως πορευομένων, ἐπλήθυναν οἱ ἀριοτριῶντες τὰ ἄτοπα, κατὰ τὸν Ἰὼβ (3), καὶ τὴν ἀρετὴν παρευημέρησεν ἡ κακία· πᾶς δέ τις κέχηνεν εἰς ἀργύριον, οὐδένα πόρον αἰσχρὸν, ἢ κέρδος ἄδικον παραιτούμενος, ἀλλὰ καὶ ἀπὸ εὐαγῶν καὶ ἀπὸ ἐναγῶν ὁμοίως ζητῶν χρηματίζεσθαι· ὡς κινδυνεύειν ἐντεῦθεν τὰ ἱερὰ ἐν ἴσῳ κεῖσθαι τοῖς μιαροῖς, καὶ κοινοῦσθαι τὰ ἅγια· καὶ τὸν διακρίνοντα μεταξὺ ἱεροῦ καὶ βεβήλου, ἢ κατορθοῦντα, καὶ ὁρῶντα, καὶ περιπατοῦντα ὀρθῶς, μὴ εἶναι σχεδὸν, μηδὲ πολιτεύεσθαι. Καὶ σκόπει, τί μοι βούλεται τὸ προοίμιον. Παρεισεφθάρη τῷ βίῳ πᾶσα φαυλότης τανῦν, καὶ τολμᾶται ἀνέδην τὰ ἄσεμνα· ἡ δὲ σκη-

---

(1) Ἀλέξιος, ὁ ἐκ τῆς μονῆς τοῦ Στουδίου, ἧς πρότερον ἐξῆρχε, Στουδίτης ἐπικληθεὶς, ἐξελέχθη πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1025, ἐπὶ τοῦ αὐτοκράτορος Βασιλείου τοῦ Βουλγαροκτόνου. Ἐπατριάρχευσεν ὀκτωκαίδεκα ἔτη, τελευτήσας κατὰ τὸ ἔτος 1043 ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου.

(2) Ὅρα καὶ ἑρμηνείαν Βαλσαμῶνος εἰς κανόνα ιγ'. τῆς Ζ'. Οἰκουμενικῆς Συνόδου Τόμ. Β'. σελ. 614. — (3) Ἰὼβ, Δ', 8.

νῆ καὶ τὸ προσωπεῖον, ὡς τίμιον ἐπιτήδευμα, καὶ ἐπαινετόν· καὶ οὐδὲν ἄλλο διὰ πεφροντισμένης σπουδῆς οἱ πάντες σχεδὸν τίθενται ἄνθρωποι, ἢ πόθεν ἄν τις καὶ ὅπως κερδήσοι, καὶ τῇ φιλοχρηματίᾳ πόρον ἐξεύροι, καὶ τοῖς οὖσι προσθήκην ἐμπραγματεύσαιτο, καὶ ἐπινοίας ἐπινοήσοι ἄντικρυς αἰχμαλωτιζούσας ἀπὸ Θεοῦ· καὶ ποιοῦμεν τὰ χρήματα τῆς ἑαυτῶν ψυχῆς προτιμότερα. Ἥψαντο καὶ τῶν ἀψαύστων πολλοὶ, καὶ οὐκ ἐφείσαντο· ἀλλὰ τὴν ἑαυτῶν ἀπληστίαν καὶ μέχρι τῶν ἀτολμήτων ἐξέτειναν, καὶ τοῖς ἀνακειμένοις Θεῷ, πλεονέκτιδα ἐπιθυμίαν, καὶ ἀκόλαστον ἐπέβαλον ὄρεξιν· οἴκους τε ἁγίους ἠχρείωσαν, καὶ ἱερὰ ἠρήμωσαν φροντιστήρια· καὶ τεμένη θεῖα, ἱερῶν κειμηλίων ἐψίλωσαν, τὸν ἁγνὸν τοῦ Θεοῦ φόβον, καὶ τὴν ἐπὶ τούτοις νέμεσιν, πόῤῥω που καὶ μακρὰν ἑαυτῶν ἐξοικίσαντες. Οὕτω ῥήματα τὰ ἅγια ἐψεύσαντο τοῦ Θεοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐμυκτήρισαν. Ἤδη δέ τινες καὶ μὴ ἐπιστενάζειν τοῖς πεπραγμένοις τὸν τῆς δίκης ἄληστον ἐξαπατώμενοι ὀφθαλμὸν, ἔσπευσαν μεθ' ὑποκεκρυμμένου φρονήματος, καὶ γλώσσης ἀπατηλῆς, καὶ πατριαρχῶν ἁγίων καὶ ἱερέων ἑτέρων ἁπλότητος καὶ ἐπιεικείας ἁγιοπρεποῦς κατορχήσασθαι, καὶ αἰτήσασθαι μὲν φροντιστήρια διὰ δωρεᾶς λαβεῖν παρ' αὐτῶν, ἐφ' ὑποσχέσει τοῦ πᾶν εὐποιίας εἶδος εἰς αὐτὰ ἐπιδείξασθαι, καὶ ἀποσκεδάσαι τὴν ἐπισυμβᾶσαν τούτοις δυστυχίαν ἔκ τε τῶν καιρῶν καὶ τῶν ἄλλων ἐπιφορῶν, καὶ ὄψιν αὐτοῖς εὐπρεπεστάτην ἐπισκευάσαι· λαβόντας δὲ, τοσούτου δεῆσαι εἰς ἔργα τοὺς λόγους ἀποτελέσαι, καὶ τὰς ἐπαγγελίας ἀποπληρῶσαι, ὅτι καὶ τἀναντία πάντα ἀνερυθριάστως νεανιεύονται· καὶ ταῖς ἐρημώσεσι τούτων, ἐρημώσεις ἀπεργάζονται· τῶν μὲν, ὧν φέρουσιν, ἀγαθῶν εἰς κόρον ἀπολαύοντες· τῶν δὲ, ὧν δέονται, οὐδὲ τὸ εὐτελὲς ἀντεισφέροντες· ἕως εἰς ἐσχάτην αὐτὰ καταστροφὴν καὶ ἐρήμωσιν συνελάσωσιν· ἐπειδὰν δὲ οὕτω ταῦτα καταλυμήνωνται, ἐπίσης κοινοῖς κτησειδίοις ἀπεμπολῶσιν, ἢ δωρεὰν ἄλλοις ἐκδιδόασιν, ὡς ἂν τὰ κατάλοιπα τῆς κάμπης καταφάγοι ἡ ἀκρὶς, καὶ τὴν ἐσχάτην πληγὴν ὁ παντελὴς διαδέξηται ὄλεθρος, καὶ εἴ τι ἐκείνους διέφυγεν, ὑπὸ τούτων ἀναλωθείη· τόλμημα τολμῶντες βαρβαρικῆς ἐπιδρομῆς ὅμοιον, χριστιανικῆς δὲ σεμνοπρεπείας καὶ κοσμιότητος πάν-

τη ἀνάξιον. Καὶ τὸ ἔτι τούτων ἀσεμνότερόν τε καὶ ἀπρεπέστερον, γυναῖκες μὲν ἀνδρώων ἐπιστατοῦσι φροντιστηρίων, ἄνδρες δὲ γυναικείων φροντίζουσι· λύκοι, φασὶν, ἄρνας (1) ποιμαίνοντες, ἢ καὶ πῦρ εἰς χόρτον ἐπαφιέμενοι· ὅπου γὰρ οὐδὲ πάροδος τυχαία καὶ ἀπερίσκεπτος ἀνδράσι μὲν εἰς γυναικεῖα ἐφεῖται παρὰ τῶν θείων κανόνων, ἢ τοὐναντίον γυναιξὶν εἰς ἀνδρῶν καταγώγια, πολλοῦ γε δεῖ ἐνδοθῆναι, ἄνδρας μὲν γυναικῶν ἄρχειν τιμίων, Θεῷ μόνῳ ζῆν ἑλομένων, γυναῖκας δὲ ὁσίων προΐστασθαι ἀνδρῶν· εἰ μήπω τις τὰ ἄμικτα μιγνύειν ἐθέλοι, καὶ τῶν θείων νόμων καὶ τῆς ἐντολῆς καταπαίζειν αὐθαδιάζοιτο. Ἀλλ' ἡ μετριότης ἡμῶν, τῆς τε φυλακῆς τῶν ἱερῶν κανόνων, καὶ τῶν θείων δικαιωμάτων παρατηρήσεως μηδέν τι προὐργιαίτερον ποιουμένη, καὶ τὰ τοιαῦτα ὥσπερ φθάνουσα καὶ ἱστῶσα δεινὰ, καὶ τῆς ἐπὶ τὰ πρόσω φορᾶς ἀνακόπτουσα, διορίζεται, μήτε μετένεξιν, ἀπὸ τοῦ παρόντος, μοναστηρίου γίνεσθαι οἱανδήποτε, ἀπὸ τοῦ διὰ δωρεᾶς κατέχοντος τοῦτο εἰς ἕτερον πρόσωπον· ἀλλ' εἰ καὶ γένηταί ποτε, ἄκυρον εἶναι ταύτην, καὶ ἄδεκτον, καὶ εὐθύναις ἔνοχον ταῖς ἁρμοδιωτάταις· μήτε γυναῖκα, οἵας ἂν εἴη τύχης, ἀνδρῴου δεσπόζειν μοναστηρίου· ἢ τοὐναντίον, ἄνδρα γυναικείου, καὶ μάλιστα ἡλικίας ὑποπτευομένης τυγχάνοντα, καὶ σκανδάλου ἀφορμὴν τοῖς πιστοῖς ἐμπαρέχοντα· καὶ τοῦτο φυλάττεσθαι καὶ ἐν μητροπόλεσι, καὶ ἐν ἐπισκοπαῖς, καὶ πανταχοῦ· ἐκποδὼν γὰρ δεῖ ποιεῖσθαι τὰς πονηρὰς ὑποψίας πάσῃ μηχανῇ, ἀλλ' οὐχὶ καὶ πτώματα ἐντεῦθεν συγχωρεῖν ἀποτίκτεσθαι, καὶ τὸ τίμιον τῆς Ἐκκλησίας καθυβρίζεσθαι πλήρωμα. Ὡς ἂν οὖν μήτε μεταφορᾶ τὸν μέλλοντα χρόνον ἀπὸ προσώπου εἰς πρόσωπον ἱεροῦ φροντιστηρίου πλημμεληθείη, ἢ ἀπεμπόλησις, (τοῦτο δ' αἰσχύνη καὶ ὑπολογίζεσθαι, μή τι λέγειν καὶ πιστεύειν γραφῇ,) μήτε μὴν γυναικείων ἄνδρες σεμνείων ἐπιστατοῖεν, ἢ γυναῖκες ἀνδρώων προΐσταιντο, τὸ παρὸν ὑπόμνημα ἐξετέθη· πρὸς τοῖς εἰρημένοις ἔτι καὶ πᾶσαν ἔκδοσιν παραλαυρίων τε, καὶ ἱερῶν φροντιστηρίων, καὶ κτημάτων, καὶ τοπίων ἁπλῶς, καὶ ἀμπελώνων, ἥτις μὴ κατὰ γνώμην πατριαρχικὴν, ἢ εἴδησιν τῶν

(1) Λ. ἐν περισσλ. — ἄνδρας Λ.

τοῦ σεκρέτου τοῦ εὐαγοῦς χαρτοφυλακείου προέβη, ἀναργύρως ἀνατρέπον καὶ ἀκυροῦν· οὕτω μέν τοι, ὥστε μηδεμίαν ἐντεῦθεν ζημίαν τὰ εὐαγῆ σεμνεῖα ὑφίστασθαι, ἀλλ' αὐτοὺς ἐκείνους τοὺς ἐκδεδωκότας, οἴκοθεν ταύτην ἐπιγινώσκειν, καὶ πρὸς οὓς ἐκδεδώκασι· τοὺς μὲν, ὡς δολεροὺς, καὶ ἃ μὴ ἐπετράπησαν παρὰ τῶν ἁγιωτάτων ἀρχιερέων, ἐπὶ κέρδει ἰδίῳ κακῶς ἐκποιουμένους· τοὺς ἐκλαμβάνοντας δὲ, ὅτι μὴ ἐφρόντισαν ἀκριβώσασθαι παρ' ὧν δεῖ ἐκλαμβάνειν, καὶ ἠσφαλίσαντο ἑαυτούς· καὶ μάλιστα, εἰ μὴ προφανὲς εἴη καὶ δῆλον, ὅτι εἰς χρειώδεις καὶ ἀναγκαίας ἐξόδους τῶν φροντιστηρίων προεχώρησαν τὰ εἰσδεκτικά· ἀπὸ δὲ τοῦ παρόντος, μηδέν τι τούτων γίνεσθαι· ἀλλ' εἰ καὶ δεήσει γενέσθαι, τῇ ἡμῶν ἀναφέρειν μετριότητι, ἢ καὶ τῷ θεοφιλεστάτῳ χαρτοφύλακι, καὶ τοῖς περὶ αὐτὸν εὐλαβεστάτοις διακόνοις, καὶ πατριαρχικοῖς νοταρίοις· καὶ προτροπῇ, καὶ συναινέσει ἐγγράφῳ, προβαίνειν τὴν ἔκδοσιν· ἄλλως δὲ, τὸ βέβαιον καὶ ἀῤῥαγὲς οὐδεμία δέξεται τῶν ἐκδόσεων· ἀλλὰ καὶ ὁ ἐκλαμβάνων τοῦ τιμήματος ἐκπεσεῖται, κατὰ τὴν τῶν κανόνων καὶ τῶν νόμων διάταξιν(1), καὶ ὁ ἐκδιδοὺς ζημιωθήσεται. Τοῦτο δὲ καὶ ἐπὶ μητροπόλεων κρατείτω, καὶ ἀρχιεπισκοπῶν, καὶ ἐπισκοπῶν· καὶ μήτε δωρεὰ μοναστηρίου εἰς πρόσωπον ἀμωσγέπως μεταβαινέτω τὸ μὴ ἀνατεττόμενον ἐν αὐτῇ, μήτε ἄνδρες γυναικείων, ἢ γυναῖκες ἀνδρῴων μοναστηρίων φροντιζέτωσαν· μήτε μὴν ἔκδοσις παραλαυρίων, ἢ τινος ἀκινήτου ἑτέρου, χωρὶς εὐδοκήσεως τοῦ ἁγιωτάτου πατριάρχου, ἢ μητροπολίτου, καὶ ἀρχιεπισκόπου γινέσθω· γεγονυῖα δὲ, ἐν γράμμασι κείσεται μόνον· ἐν πράγμασι δὲ, οὐδ' ὅσα ὄνειροι ἐνεργήσει, ἢ ὀνήσει τοὺς ἐκλαμβάνοντας. Ἀλλὰ καὶ ἐπίσκοποι, ὅσοι δωρεαῖς μητροπολιτῶν κατέχουσι μοναστήρια, καὶ ἔτυχε τὰς μὲν μητροπόλεις στενοῦσθαι καὶ ἀπορεῖν, εὐθηνεῖσθαι δὲ καὶ εὐπορεῖν τὰς ἐπισκοπὰς, δικαίως τὰς δωρεὰς ἀντιστρέψωσι, καὶ τῶν φροντιστηρίων ὑπεκστῶσι ταῖς μητροπόλεσιν, ὡς ἂν μικρόν τι ἐντεῦθεν ἡ σύγκληρος αὐτῶν παραμυθῆται στενοχωρία· ὡσαύτως καὶ πρόσωπα ἕτερα· ἀτεχνῶς γὰρ ἄτοπόν ἐστι καὶ παράλογον, τὰς μὲν μη-

(1) Α. ἐν περισσ. — διάστιξιν Α.

τροπόλεις παντοίαις βαρεῖσθαι εἰσπράξεσιν ὑπὲρ τῶν ἐξαπορουμένων αὐτῶν ἐπισκοπῶν· τὰς εὐπορούσας δὲ τῶν ἐπισκοπῶν μὴ συγκροτεῖν καὶ συναίρεσθαι ταῖς ἀπορούσαις αὐτῶν μητροπόλεσι, καὶ τῶν διαφερόντων αὐταῖς, εἰ τύχοι, μοναστηρίων παραχωρεῖν. Ἀλλ' ὥςπερ ἐκεῖνο ὡς ἀναγκαῖον καὶ ἀπαραίτητον ἡ εἰσφορὰ καινοτομεῖ τῶν δημοσίων εἰσπράξεων, οὕτω τοῦτο ἡ παροῦσα λελογισμένη κρίσις οἰκονομεῖ, καὶ δίδωσιν ἐνεργεῖσθαι καὶ πράττεσθαι τοῦ λοιποῦ. Ταῦτα εἰς ἐπήκοον ἀναγνωσθέντα θεοφιλεστάτων μητροπολιτῶν, Κυριακοῦ, Ἐφέσου· Κωνσταντίνου, Νικαίας· Θεοδώρου, Χαλκηδόνος· Κωνσταντίνου, Σίδης· Ἰωάννου, Μελιτηνῆς· Κωνσταντίνου, Τυάνων· Ἰωάννου, Κλαυδιουπόλεως· Θεοφάνους(1), Νεοκαισαρείας· Ἰωάννου, Ἰκονίου· Σεργίου, Κορίνθου· Μιχαὴλ, Ἀθηνῶν· Θεογνώστου, Μωκισοῦ· Κωνσταντίνου, Τραπεζοῦντος· Ἀγαπητοῦ, Ἀδριανουπόλεως· Στεφάνου, Κρήτης· Νικολάου, Ὑδροῦντος· καὶ ἀρχιεπισκόπων, Διονυσίου, Προικοννήσου· Στρατηγίου, Ἄπρω· Λέοντος, Βρύσεως· Πέτρου, Κυψέλων· Νικολάου, Λήμνου· τῇ διὰ μολύβδου σφραγίδι ἐπιστώθη, καὶ ἐπεβεβαιώθη, καὶ ἐπεδόθη μηνὶ Νοεμβρίῳ, ἐπινεμήσεως ια'. ἔτους ,ςφλς'.

---

(1) Θεοφυλάκτου Α. ἐν περισελ.

Β.' ΥΠΟΜΝΗΜΑ

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΙΟΥ,

Περὶ διαφόρων Ἐκκλησιαστικῶν ὑποθέσεων, ἀνηκουσῶν πάσαις ταῖς μητροπόλεσι καὶ ἀρχιεπισκοπαῖς.

Ἀλέξιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνςαντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης.

ΤΩΝ θείων καὶ ἱερῶν κανόνων ἑκάστῳ τῶν θεοφιλεστάτων ἐπισκόπων τὴν ἐξουσίαν τῶν ἐκκλησιαστικῶν ἐπιτρεπόντων πραγμάτων, οὕτω μέν τοι, ὥστε καὶ τοῖς δεομένοις σὺν εὐλαβείᾳ ἐπιχορηγεῖν, καὶ αὐτοὺς τῶν δεόντων μεταλαμβάνειν, τινὲς τῶν ἐπισκόπων ἀδιαφόρως, ὡς ἄν τις εἴποι, καὶ ἀδεῶς τοῖς πράγμασι προσφερόμενοι, καὶ τῆς ἑαυτῶν χρήσεως ταῦτα ποιούμενοι, οὐ μόνον αὐτὰς τὰς ἐπισκοπὰς προφάσει δῆθεν τῆς τῶν καιρῶν δυσκολίας εἰς ἔσχατον κατήνεγκαν ὄλεθρον, ἀλλὰ καὶ τὰς μητροπόλεις, ὑφ' ἃς τελοῦσιν, ἀφορήτοις τοῖς ζημιώμασι καὶ ταῖς καινοτομίαις ὑπέβαλον, ἐκ τοῦ τὰ ἀνήκοντα ἐκείναις βάρη ταύτας εἰσπράττεσθαι, καὶ συνωθεῖσθαι κατὰ μικρὸν εἰς τὴν ὁμοίαν καταστροφήν. Διόπερ ἡ μετριότης ἡμῶν ἅμα τῇ ἐνδημούσῃ σεβασμίᾳ συνόδῳ τὰ τοῦ πράγματος διασκεψαμένη, χαλεπὸν ὄντως κρίνασα καὶ ἀτεχνῶς ἄδικον τὸ τηλικαύτας ζημίας ὑφίστασθαι τὰς μητροπόλεις ὑπὲρ τῶν ἐπισκοπῶν, ἐξ ὧν οὐδὲν κέρδος ταύταις προσγίνεται, δεῖν ἔγνω τρόπον ἐξευρεῖν, οὐ ξένον τῶν ἱερῶν διατάξεων, ἀλλὰ καὶ λίαν οἰκεῖον καὶ σύμφωνον, ᾧ τὸ ἀζήμιον ταύταις καὶ ἀβαρὲς κατὰ τὸ ἐνδεχόμενον περιποιηθήσεται. Ἔνθεν τοι καὶ διωρίσατο ἀπὸ τῆς τῶν ἱερῶν κανόνων αὐθεντίας, οἰκονόμους καθίστασθαι παρὰ τῶν θεοφιλεστάτων μητροπολιτῶν, ἐφ' ὅσαις τῶν ἐπισκοπῶν, ἀφελείᾳ τῶν λαβόντων αὐτὰς, αἱ μητροπόλεις ἐζημίωνται, ἄχρις οὗ τὸ ὑπὲρ ἑκάστου αὐτῶν ζημίωμα ταῖς μητροπόλεσι ποριαθῇ, καὶ διάγνωσις γένηται, ὁπόθεν εἰς ἀπορίαν καὶ στένωσιν καταφέρονται. Ἐπεὶ δὲ ἑτέρας ἐπισκοπὰς, διὰ μοχθηρίαν καὶ κακοήθειαν τῶν προέδρων αὐτῶν, ὅμοια πείσεσθαι ὑπο-

πτεύειν φασὶν οἱ μητροπολῖται, καί τινας αὐτῶν σπουδάσματα ποιουμένους τὴν τῶν θείων κανόνων παρόρασιν, εἶτα τὴν ἐξ αὐτῶν καταδίκην ὑφορωμένους, τούς τε καρποὺς καὶ τὰς ἄλλας προσόδους τῶν Ἐκκλησιῶν ὑφαιρεῖσθαι καὶ μετακομίζειν ἔνθα καὶ βουλητόν ἐστιν αὐτοῖς, καὶ σκοπὸν ἔχοντας, ἐπιδημούντων ἀπαιτητῶν, ἀποδημεῖν τῶν λαχουσῶν, καὶ ἀλλαχοῦ που μεθίστασθαι, κἀντεῦθεν πρὸς τὰς μητροπόλεις ἀμύνης τρόπον τῶν αὐτοῖς προσηκόντων ὀφλημάτων τὴν εἴσπραξιν παραπέμπειν, ἀναγκαῖον κἀν ταύταις πρὸ τοῦ εἰς τέλος ἀχθῆναι τὸ σπουδαζόμενον, ἀσφαλείας χάριν, καὶ οἷον θεραπείας, καὶ φυλακῆς, τὸν αὐτὸν τηρηθῆναι τύπον· καὶ φροντιστὰς ὁμοίως παρὰ τῶν μητροπολιτῶν δοθῆναι, τοὺς ὀφείλοντας ἅπασάν τε τὴν πρόνοιαν τῶν Ἐκκλησιῶν ποιεῖσθαι, ἅμα τοῖς αὐτῶν ἐπισκόποις, καὶ λόγους τῆς κατ' ἐνιαυτὸν εἰσπράττεσθαι διοικήσεως· καὶ τὸ περιττεῦον τῶν προσόδων, εἴγε καὶ περισσεύοι, τὸ μὲν ἐκ τῶν ζημίας αἰτίων γινομένων τῇ μητροπόλει, ταύτῃ δηλονότι ἀναδίδοσθαι, τὸ δ' ἐκ τῶν λοιπῶν, συντηρεῖν τῇ Ἐκκλησίᾳ ἀκαινοτόμητον. Ὅτι δὲ κανονικῆς ἔχονται ἀκριβείας τὰ ὁρισθέντα, ἐξ αὐτῶν τῶν θείων κανόνων δείκνυται. Καὶ γὰρ ὁ κέ. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν, τοῖς ἐπισκόποις τὴν ἐξουσίαν τῶν ἐκκλησιαστικῶν ἐπιτρέπων πραγμάτων, κωλύει μεταβάλλειν αὐτὰ εἰς ἰδίας χρείας, καὶ οἰκείοις αὐτῶν συγγενέσι παρέχειν, ὥστε διὰ τούτου λεληθότως βλάπτεσθαι τοὺς λόγους τῶν Ἐκκλησιῶν· διὸ καὶ ὑπευθύνους ταῖς κατ' ἐπαρχίαν συνόδοις τιθεὶς, τὸ πρέπον αὐτοῖς δοκιμάζειν ἐπιτρέπει. Καὶ τοίνυν κἀνταῦθα, ἐπεὶ κατὰ τὸ λεληθὸς πρὸς τὰς μητροπόλεις ἔρχεται τὰ τῆς βλάβης, τὸ πρέπον ἡ καθ' ἡμᾶς ἁγία σύνοδος δοκιμάσασα, ἀναγκαίως τὴν τῶν οἰκονόμων προχείρισιν διετάξατο, κατὰ τὸν ιά. δηλονότι τῆς ἑβδόμης συνόδου κανόνα· ἄδειαν γὰρ ἐκεῖνος δίδωσι καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ, καὶ τοῖς ἱερωτάτοις μητροπολίταις, οἰκονόμους καθιστᾷν ἐν ταῖς Ἐκκλησίαις, ὧν οἱ μητροπολῖται καὶ οἱ ἐπίσκοποι τοῦτο ποιεῖν οὐκ ἀνέχονται, ἢ καὶ κακῶς τὰ τῶν Ἐκκλησιῶν διέπουσιν. Ὅτι δὲ ὁ τοιοῦτος κανὼν τῷ τοῦ προτέρου συνᾴδει σκοπῷ, οὐδένα οἶμαι διαμφιβάλλειν τῶν μὴ παρέργως αὐτοῖς τὸν νοῦν ἐφι-

στώντων. Ἐπεὶ οὖν ἐνταῦθα, ὡς σαφῶς ἀποδέδεικται, τοῖς θείοις κανόσιν ἑπόμενοι, τὰ ἀνωτέρω εἰρημένα διετυπώσαμεν, δεῖ ταῦτα διενεργεῖσθαι ἀναμφιλέκτως, ἐπί τε τῶν ἤδη προξένων γεγονότων ζημίας ταῖς μητροπόλεσιν ἐπισκόπων, καὶ ἐπὶ τῶν ἤδη προσδοκωμένων, καὶ κακῶς τὰ τῶν Ἐκκλησιῶν καταχρωμένων, καὶ ἐκποιουμένων, καὶ σκορπιζόντων ἀνελευθέρως ἃ οὐκ ἐπισυνήγαγον αὐταῖς, καὶ μάλιστα τῶν τὰ ἀλλότρια κτήματα ἐκλαμβανομένων, ἢ καὶ κοσμικὰς ἀναξίως μεταχειριζομένων φροντίδας, τῶν δὲ τῆς λαχούσης αὐτοὺς καταφρονούντων· ἀλλὰ καὶ τῶν τοιούτων, εἰ μὴ μεταβάλλοιντο, καὶ καθαίρεσιν τελείαν οἱ τοῦ λόγου μύσται καὶ μυσταγωγοὶ τῶν Πατέρων σὺν αὐτοῖς ἐκείνοις καταψηφίζονται, μηδενὸς ἐμποδίου παρὰ τῶν ἐπισκόπων ἐπαγομένου τοῖς πράγμασιν, ἄχρις οὗ τά τε ζημιώματα ταῖς μητροπόλεσιν ἱκανωθῇ, ἐξ ὧν καὶ ἐπηνέχθη, καὶ διάγνωσις γένηται τοῦ λοιποῦ, εἴτε πρὸς τὰ ἐπικείμενα ταύταις ἐξαρκοῦσι βάρη, εἴτε καὶ μή. Εἰ δέ γε, πρὸ τοῦ ταῦτα γενέσθαι, τολμήσειέ τις τῶν ἐπισκόπων πρόφασιν ἐμποδισμοῦ τοῖς οἰκονόμοις ἐπενεγκεῖν, ἢ παρενοχλῆσαι τοῖς πράγμασι, πλὴν τοῦ ἀναδιδάσκειν εἴ τι τῶν πρὸς ὠφέλειαν τῶν Ἐκκλησιῶν ἐπίστανται συντελεῖν, αὐτὸς ἑαυτῷ τῆς μείζονος καταδίκης γενήσεται πρόξενος, ὡς τοῖς συνοδικῶς καὶ κανονικῶς ὁρισθεῖσιν ἐναντιούμενος. Ἀλλὰ μηδὲ τῆς κατὰ τὴν ἐπαρχίαν συνόδου ἀπολιμπάνεσθαι τοὺς ἐπισκόπους, χωρὶς ἀναγκαίας τινὸς καὶ ἀπαραιτήτου αἰτίας, συνοδικῇ ψήφῳ καὶ κρίσει διοριζόμεθα· ὡς γὰρ ἐπὶ λυσιτελείᾳ πολλῶν καὶ οἰκοδομῇ, τάχα δὲ καὶ διορθώσει ἐναντίων τινῶν συμπιπτόντων, ἑκασταχῇ δεῖ ἐκ παντὸς τρόπου τὴν συνέλευσιν γίνεσθαι· καὶ ὁ ἀνευλόγως ταύτης ἀφυστερῶν, ἢ, καλούμενος, ἀπειθῶν, εἰ μὴ εὐπροφάσιστον λόγον ἀποδώσει τῆς ἑαυτοῦ ἀπολείψεως καὶ τοῦ ἐμποδισμοῦ, ἔστω εἰδὼς, ψῆφον νομοθετηθησομένην κατ' αὐτοῦ, ὡς μεθ' ἑτέρων πολλῶν καὶ ὁ ἐν Καρθαγένῃ ος'. ὁρίζει κανών. Μήτε δὲ ἀλλοτρίαις τούτους ἐνορίαις πλεονεκτικῶς ἐπεμβαίνειν, καὶ χειροτονεῖν ὑπερόρια, καὶ νομοθετεῖν οὕτω τὴν ἀταξίαν, τοὺς ὀφείλοντας εὐταξίας καὶ ἑτέροις ὑπόδειγμα γίνεσθαι, καὶ ἀρχέτυπον ἀρετῆς· μὴ

τε κληρικοὺς ἑτέρας ἐπαρχίας προσίεσθαι καθ' οἱονδήτινα τρόπον, πάρεξ γνώμης καὶ ἐγγράφου συστατικοῦ τοῦ ἰδίου αὐτῶν ἐπισκόπου, ὡς οἱ ἱεροὶ καὶ θεῖοι κανόνες προσαπαιτοῦσιν· ὃ καὶ μᾶλλον ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει καλῶς φυλαχθήσεται, ἅτε τῶν ἁπανταχοῦ γῆς κληρικῶν, ὑπευθύνων τε ἅμα καὶ ἀνευθύνων, καὶ κεχειροτονημένων καὶ ἀχειροτονήτων, εἰς αὐτὴν συντρεχόντων, καὶ ἀκωλύτως ἱερουργούντων. Μήτε μὴν διγάμους, ὃ πολλαχοῦ ἀκηκόαμεν γίνεσθαι νῦν, ἢ ἐν αἰτίαις τισὶν ἀπηγορευμέναις γεγενημένους, ἢ ἔτι ἀφήλικας, ἢ χωρὶς μαρτυρίας ἀκριβεστάτης, ἢ προμνηστευσαμένους ἑτέρας, καὶ ἑτέραις συναφθέντας, εἰς ἱερωσύνην παραδέχεσθαι ὅλως· ἐπεὶ οἱ ταῦτα μὴ παρατηροῦντες ἐπίσκοποι, ἀθετοῦντες τοὺς κανόνας, ἀθετηθήσονται παρ' αὐτῶν, καὶ ταῖς ἠπειλημέναις ὑπ' ἐκείνων εὐθύναις ἀφύκτως ὑποβληθήσονται. Κληρικοὺς δὲ κληρικοῖς διαμφισβητοῦντας, ἢ καὶ μοναχοὺς μοναχοῖς, παρὰ τῷ οἰκείῳ κρίνεσθαι ἐπισκόπῳ, ἀκολούθως τοῖς θείοις κανόσιν ἀποφαινόμεθα· κληρικοὺς δὲ ἐπισκόποις, ἢ ἐπισκόπους ἐπισκόποις, παρὰ τῷ τῆς ἐπαρχίας μητροπολίτῃ συνοδικῶς. Εἰ δὲ σκάνδαλον ὑποτρέχον, ὑποψίαν θατέρῳ ἐμποιεῖ τῶν μερῶν, παρὰ τῷ κατὰ τὴν ἡμέραν ἁγιωτάτῳ πατριάρχῃ, καὶ τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τηρεῖσθαι καὶ τέμνεσθαι τὸ ἀμφισβήτημα. Πλὴν μὴ ἄνευ γνώμης καὶ συστατικῆς τοῦ μητροπολίτου γραφῆς ἐπιβαίνειν τῆς βασιλευούσης ἐπίσκοπον, ἢ ἀλλαχοῦ που στέλλεσθαι ἀποδημίαν, εἴ τι δ' ἂν καὶ εἴη τὸ καλοῦν ἀναγκαῖον· ἐπεὶ ἔνοχον ἑαυτὸν ἀπεργάσεται τοῖς κανόσιν. Ἐπίσκοπον δὲ προπετῶς ἐπιτιμίου ὀλιγωροῦντα μητροπολίτου, καθαιρεῖσθαι ἀναπολογήτως προστάσσομεν. Κοσμικοῖς δὲ δικασταῖς ἱερατικὸν πρόσωπον, ἢ καὶ μοναχικὸν πρόσωπον προσιέναι, καὶ ζητεῖν ὑπ' ἐκείνων δικάζεσθαι δίκην ἥν τινα τύχῃ, ὅλως οὐκ ἐφίεμεν· ἀλλὰ τῶν μὲν ἐπισκόπων, τῆς ἐπισκοπῆς, τῶν δὲ κληρικῶν, τοῦ κλήρου, καὶ τῶν μοναχῶν, τοῦ μοναστηρίου δικαίαν αὐτόθεν καταψηφιζόμεθα ἔκπτωσιν· καὶ κατὰ τῶν παραδεχομένων τούτους δικαστῶν, ἢ καὶ βιαίως ἑλκόντων, μετὰ τῆς ἐκ Θεοῦ δικαίας ὀργῆς, ἔτι καὶ τὴν τῆς βασιλικῆς μεγαλειότητος

ἀγανάκτησιν ἐπικαλεσόμεθα, καὶ τὰς ἐκ τῶν νόμων εὐθύνας. Ὁ δὲ ἀφ' ἡμῶν δεσμὸς, ἄλυτος αὐτοῖς μέχρις ἐξόδου παρεκταθήσεται, εἴπερ δῆλον μὴ μεταβουλεύσαιντο, καὶ τῆς ἀνοσίου ταύτης ἀπόσχοιντο προαιρέσεως· ὅτι καὶ οἱ εὐσεβεῖς νόμοι, καὶ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς ὁ Πορφυρογέννητος, μετὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει αὐταδέλφου αὐτοῦ, ἐν τοῖς ἐγγράφοις αὐτῶν τυπικοῖς, ἀναστέλλουσι τοὺς δικαστὰς, τοιαῦτα εἰς τὰ ἐκκλησιαστικὰ νεανιεύεσθαι πρόσωπα· ὑφαρπάζεσθαι γὰρ τὰ ἐκκλησιαστικὰ, καὶ ἱερὰ, καὶ θεῖα προνόμια, παρὰ τῶν θεματικῶν ἢ πολιτικῶν δικαστῶν, ὅλως οὐκ ἀνεχόμεθα· ἀλλὰ καὶ πρὸ ἡμῶν ὁ ὑπὸ τούτων καταφρονούμενος καὶ μυκτηριζόμενος Θεὸς, ἔκδικον αὐτοῖς ἐποίσει τὴν ἀγανάκτησιν, καὶ τὴν ῥομφαίαν δικαίαν στιλβώσει τῆς ἐκδικήσεως· αἰσχύνη γὰρ καὶ ὕβρις, τοὺς τῆς θειοτέρας καὶ κρείττονος μοίρας, ἐπὶ κοσμικῶν διαπληκτίζεσθαι, καὶ τὰς λοιδόρους διερεθίζειν γλώσσας κατὰ παντὸς τοῦ τῆς Ἐκκλησίας πληρώματος· ὃ καὶ μάλιστα οἱ τῶν βασιλικῶν λεγομένων μονῶν καὶ κλήρων κληρικοὶ καὶ μονάζοντες ἀνευλαβῶς ποιεῖν καὶ ἀνοσίως θρασύνονται, ὑπὸ κοσμικῶν αἱρούμενοι ἐπὶ καταγνώσει ἑαυτῶν κρίνεσθαι καὶ κατακρίνεθαι, οὓς βελτιοῦν αὐτοὶ καὶ ῥυθμίζειν ἐτάγησαν, ἢ ἀρχιερεῦσι Θεοῦ εἰς γνῶσιν τὰ διάφορα προτιθέναι, καὶ τὰς τούτων αἰτίας, καὶ τὴν ἁρμόζουσαν ἐκεῖθεν θεραπείαν ὡς ἐξ ἐπιστημόνων κομίζεσθαι ἰατρῶν, καὶ πρὸς τὴν τοῦ καλοῦ μελέτην ἐπιθαῤῥύνεσθαι τὴν ἀρετήν. Ἀλλὰ τοὺς τῶν τοιούτων μοναστηρίων μοναχοὺς τοιαῦτα τολμῶντας, συνοδικῶς ἀποφαινόμεθα, μήτε τοὺς τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπους, μήτε τοὺς παρ' ἐνορίαν, ἢ χειροθεσίας καταξιοῦν, ἢ εὐλογίας ἑτέρας καὶ κοινωνίας μεταδιδόναι· οὐ γὰρ πάροδον ἑαυτοῖς ἐπὶ ταῦτα πραγματευόμενοι, ἀλλὰ τὸ σεμνὸν ἐκ παντὸς τρόπου καὶ τὸ τίμιον τῆς μοναδικῆς πολιτείας διώκοντες, τὰ παρόντα διοριζόμεθα· ὥστε εἰμὴ τὴν ἀναφορὰν ἐκεῖνοι, καὶ τὴν ἄλλην τιμὴν τοῖς τῆς ἐπαρχίας ἀποδώσουσιν ἐπισκόποις, οὐκ ἀντιλήψονται παρ' αὐτῶν ἢ παρ' ἑτέρων ἱερωσύνης ἀξίωμα οὐδὲ ἕν. Κληρικοὺς δὲ ἀπειθοῦντας τοῖς οἰκείοις μητροπολίταις, ἐπίταγμα αὐτοῖς ἐκκλησιαστικὸν ἀμνησικάκως τὸ δυνατὸν ἐπιτάττουσιν, εὐθύνεσθαι

ἐπιτάσσομεν· οὐ γὰρ ἀνυποταξίαν καὶ ἀνηκοΐαν ἡ Κυριακὴ νομοθετεῖ ἐντολὴ, ἀλλ᾽ εὐπείθειαν καὶ ὑπακοήν· ὥστε ὁ μὴ ταύτῃ στοιχῶν, καὶ τῆς κλήσεως, καὶ τῆς Ἐκκλησίας ἀλλότριος. Τοὺς δὲ διακονίας ἐκκλησιαστικὰς ἐμπεπιστευμένους, καὶ λόγους, ὧν ἐπιστεύθησαν, δοῦναι μὴ ἀνεχομένους, κανονικῶς εὐθύνεσθαι, καὶ ἐκλογισμοῖς καὶ ἄκοντας ὑποβάλλεσθαι μετὰ κληρονόμων καὶ λοιπῶν τοῦ γένους διαδόχων, κατὰ τοὺς ἱεροὺς κανόνας καὶ πολιτικοὺς νόμους, ὁρίζομεν. Ἐπεὶ δὲ καὶ περὶ μοναστηρίων ἐκδιδομένων διὰ δωρεᾶς οἱ ἱερώτατοι ἀδελφοὶ ἀνήγγειλαν καὶ συλλειτουργοὶ, ὡς ἐπιβλαβῶς πρὸς ταῦτα διατεθέντες οἱ τὰς δωρεὰς εἰληφότες, εἰς ἔσχατον αὐτὰ συνήλασαν ἀφανισμὸν, τὰς τούτων προσόδους οἴκοι μετακομίζοντες, καὶ γυμνὰ τῶν οἰκείων ἐῶντες ἀγαθῶν, ἕτερα δὲ καὶ εἰς κοσμικὰ τελείως μεταμείβουσι καταγώγια, τοὺς τούτων μοναχοὺς πάσῃ ἐνδείᾳ καὶ στενοχωρίᾳ μεταναστεῦσαι καὶ ἄκοντας ἐκεῖθεν καταναγκάσαντες, ἐξέσται αὐτοῖς, τοὺς τοιούτους εὐθύνειν κατὰ πᾶσαν ἄδειαν εἰς ὅ τι ἂν εὑρεθεῖεν τὰ μοναστήρια καινοτομήσαντές τε καὶ καταβλάψαντες· εἶτα καὶ τοῖς δικαίοις τῶν μητροπόλεων ἀνασώζειν ἐπ᾽ ἐξουσίᾳ, τοὺς κακοὺς αὐτῶν φροντιστὰς μεθ᾽ ὕβρεως ἐξ αὐτῶν ἀπελάσασιν. Εἰ δέ τι τυχὸν ἔχοιεν πρὸς ταῦτα εὔλογον προτείνειν οἱ τούτων προνοηταὶ, μὴ κοσμικοῖς προσίτωσαν δικαστηρίοις, ἐπεὶ ἐκκλείσουσι παντὸς δικαίου ἑαυτούς· ἀλλὰ τῇ καθ᾽ ἡμᾶς ἱερᾷ προσφοιτάτωσαν συνόδῳ, καὶ τῆς ἐνδεχομένης οὐκ ἀμοιρήσουσι δικαιώσεως. Ἀναιτίως δὲ, καὶ ἀνεγκλήτως, καὶ διὰ μόνην ἐπήρειαν, οὐδένα πιστεύομεν τῶν ἱερωτάτων μητροπολιτῶν καὶ λοιπῶν ἀρχιερέων, χαριστηκάριον ἐξωθῆσαι μονῆς· εἰ μή τις ἀναξίως ἑαυτοῦ βούλοιτο πολιτεύεσθαι, καὶ τὴν ἀδικίαν ἀσπάζεσθαι. Εἰ δέ τινα τῶν φροντιστηρίων τύπον εἶχον ἐκ παλαιοῦ συνεισφοράν τινα συνεισφέρειν ταῖς μητροπόλεσιν, εἴτε ἐπὶ μονοπροσώπων παροχῇ, εἴτε ἐπὶ τροφαῖς κριτῶν καὶ τῶν τοῦ δημοσίου ἀπαιτητῶν, εἴτε καὶ ἀλλαχοῦ, καὶ ἔτυχε ταῦτα ὕστερον ἀνατεθῆναί τισι, τὴν συνεισφορὰν διοριζόμεθα παρέχειν πρὸς τὰς μητροπόλεις ἀνυστερήτως ἀκαινοτόμητον. Ὅσα δὲ κοινωνεῖ κατά τι ταῖς μητροπόλεσιν, ἢ πλησιασμὸν ἐν ταύταις ἔχει, καὶ ἀνακοίνωσιν, καὶ οὐκ ἀπεχαρί-

σθη πρὸ τούτου τισὶν, εἰς δωρεὰν δίδοσθαι προσώποις οὐκ εὐδοκοῦμεν· ἀλλ' εἰ καὶ ἐδόθη, ἀκύρους εἶναι καὶ ἀνισχύρους τὰς δωρεὰς βουλόμεθα, καὶ τὰ φροντιστήρια αὐτόθεν ἀντιστρέφεσθαι πρὸς τὰς μητροπόλεις, ἢ ἐπισκοπάς· τὰ γὰρ μήκοθεν καὶ ἰδιοπεριόριστα δωρεῖσθαι, καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις Πατράσι καλῶς ἔδοξε, καὶ ἡμῖν· τὰ δὲ οἷον ἐνδιαιτήματα τῶν μητροπολιτῶν καὶ ἐπισκόπων, καὶ ὑπερείσματα καὶ συγκροτήματα τῶν ἁγίων Ἐκκλησιῶν, οὐδαμῶς· οὐδὲ ἡ ἡμῶν τοῦτο παραδέχεται μετριότης τὸ σύνολον. Ἐκδοτικῶς δὲ, καὶ οἷον ἐπὶ χρόνοις εἴκοσι καὶ ἐννέα μοναστήριον, ἢ πακτικῶς μητρόπολιν ἐκδίδοσθαι, καὶ ἐπισκοπὴν, ὡς ξένον τῆς Εὐαγγελικῆς διατάξεως, καὶ τῶν Ἀποστολικῶν τε καὶ Πατρικῶν παραδόσεων, πάντη ἀπαγορεύομεν· καὶ τούς τε τολμῶντας ἅμα, καὶ τοὺς τὸ γινόμενον παρορῶντας, ἀναξίους τῆς ἀρχιερατικῆς κρίνομεν τελειότητος, καὶ τῶν ἱερῶν κανόνων ἐναντιόφρονας· καὶ τοῖς πράγμασιν ἐκδίκησιν τὴν πρεπωδεστάτην κανονικῶς προμηθεύσασθαι οὐκ ἀποκνήσομεν. Οὐ γὰρ καπηλεύεσθαι τὴν ἱερὰν χάριν, καὶ κοινωνεῖν τοῖς κοινοῦσιν ἀκανονίστως τὰ ἅγια, καὶ τὰς πνευματικὰς δωρεὰς ὡς κοινὰς ἐμπορεύεσθαι ἀνεξόμεθα ἐμπορίας χάριν. Περὶ δὲ τῆς τῶν ἐπισκόπων καθέδρας, διοριζόμεθα, κατὰ τὴν τάξιν αὐτοὺς τῶν οἰκείων καθέζεσθαι μητροπολιτῶν, καὶ ἐν συνθρόνοις, καὶ ἐν συνόδοις, καὶ ἐν ἑστιάσεσι· καὶ μὴ τὰς προεδρίας ἁρπάζειν, καὶ τὸ φιλόπρωτον, ἀναξίως ἑαυτῶν, τοὺς τῆς ὑποβεβηκυίας μητροπόλεως ἐπισκόπους· ἀλλ' ὡς πρὸς κανόνας καὶ ὅρους, τοὺς ἰδίους ὁρᾷν μητροπολίτας, καὶ τυποῦν ἑαυτοὺς ἔν τε καθέδραις, καὶ πανταχοῦ. Ἐπεὶ δὲ καί τινες τῶν κατὰ τόπους δυνατῶν ἐν τοῖς τῶν οἴκων εὐκτηρίοις σημαίνειν τε καὶ συνάγειν φιλονεικοῦσι, καὶ ἱερολογίας, καὶ βαπτίσματα, καὶ ἕτερα ἐπιτελεῖν, πατριαρχικοῖς δῆθεν σταυροπηγίοις ἢ καὶ ἐπισκοπικοῖς θαῤῥοῦντες, τὰς καθολικὰς παραιτούμενοι, καὶ τῶν ἐπὶ ταύταις συνάξεων καταφρονοῦντες, ἄξιον καὶ περὶ τούτων διορίσασθαι, ὥστε μηκέτι τοιοῦτόν τι συγχωρεῖν τοὺς τῆς ἐπαρχίας ἐπισκόπους γίνεσθαι· ἀλλὰ τοὺς μὲν ἱερεῖς, τοὺς πλὴν μόνης λειτουργίας, κἀκείνην τυχὸν ἐν ἑορτῇ, καὶ κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου, ἑτέραν ἀκολουθίαν ἱερὰν ἐν εὐκτηρίοις ἐπιτελέσαι τολμήσοντας, καθαιρέ-

σει, τοὺς δὲ μὴ καταδεχομένους τοῦτο τῶν δυνατῶν, ἀναθέματι ὑποβάλλειν· φησὶ γάρ· Εἴ τις διδάσκοι τὸν οἶκον τοῦ Θεοῦ εὐκαταφρόνητον εἶναι, καὶ τὰς ἐν αὐτῷ συνάξεις, καὶ παρὰ τὴν καθολικὴν Ἐκκλησίαν ἰδίᾳ ἐκκλησιάζοι, καὶ μὴ συνόντος παντὸς τοῦ πρεσβυτερίου, ἀνάθεμα ἔστω(1). Ταῦτα οὕτω συγκεφαλαιωθέντα καὶ ὁρισθέντα, καὶ ἐπὶ συνεδρίου τῶν θεοφιλεστάτων μητροπολιτῶν, Κυριακοῦ, Ἐφέσου· Δημητρίου, Κυζίκου· Κωνσταντίνου, Νικαίας· Θεοδώρου, Χαλκηδόνος· Κωνσταντίνου, Σίδης· Ἰωάννου, Μελιτηνῆς· Κωνσταντίνου, Τυάνων· Ἰωάννου, Κλαυδιουπόλεως· Θεοφυλάκτου, Νεοκαισαρείας· Ἰωάννου, Ἰκονίου· Γεωργίου, Κορίνθου· Μιχαὴλ, Ἀθηνῶν· Θεογνώστου, Μωκισοῦ· Κωνσταντίνου, Πατρῶν· Κωνσταντίνου, Τραπεζοῦντος· Ἰωάννου, Φιλίππων· Ἀγαπητοῦ, Ἀδριανουπόλεως· Θεοδώρου, Καμάχου· Κωνσταντίνου, Χωνῶν· Στεφάνου, Κρήτης· Νικήτα, Ὑδροῦντος· Σισινίου, Κελτζηνῆς· καὶ ἀρχιεπισκόπων, Νικήτα, Βιζύης· Διονυσίου, Προικοννήσου· Νικηφόρου, Κίου· Στρατηγίου, Ἄπρω· Ἀνδρέου, Χερσῶνος· Λέοντος, Βρύσεως· Νικολάου, Λήμνου· Ἰωάννου, Βοσπόρου· Ἀρσενίου, Σουγδίας· ἐν ὑπομνήμασιν ἐντεθέντα, τῇ συνήθει διὰ μολύβδου σφραγίδι ἐβεβαιώθη, καὶ ἐπεδόθη μηνὶ Ἰανουαρίῳ, ἐπινεμήσεως ιά, ἔτους ,ςφλς'.

Γ'. ΠΕΡΙ ΔΙΣΕΞΑΔΕΛΦΩΝ ΔΥΟ, ΩΝ Ο ΜΕΝ ΕΙΣ Συνάλλαγμα συνεστήσατο μετὰ θυγατρός τινος ἀτελοῦς οὔσης τὴν ἡλικίαν, ἤτοι χρόνων πέντε πρὸς τῷ ἡμίσει, ἕτερος δὲ τῇ ταύτης συνεζύγη μητρὶ μετὰ τελευτὴν αὐτῆς, ὡς ἀντ' οὐδενὸς δοκοῦντος τοῦ πρώτου γάμου, διὰ τὸ παντελῶς ἀτελὲς τῆς κόρης.

Αι τῶν γάμων ζητήσεις περὶ θείου γινόμεναι πράγματος, καὶ διαμονὴν τοῦ γένους τῷ βίῳ χαριζομένου, πεφροντισμένως ὀφείλουσι προϊέναι, ἵνα μήτε τὰ καλὰ λυμήνηται τὸ ἀμέριμνον, μήτε τὰ φαῦλα ῥυπαίνωσι τῶν συναλλαγμάτων τὸ τιμιώτατον. Ἡ γοῦν ὑπόθεσις, περὶ ἧς ὁ λόγος ὥρμηται διαλαβεῖν, ἔχει τινὰ θεω-

(1) Γαγγρ. καν. έ καὶ ς'.

ρίαν οὐκ ἄμουσον, οὐδ' ἄχαριν, ἀλλὰ καὶ λίαν ἡδέως εἰς τὸν νοῦν τῶν πεπαιδευμένων διαβαίνουσαν· ἣν καὶ διηγητέον, ἵνα γένηται δῆλον τὸ λεγόμενον. Συμεὼν ὁ ἐπίκλην Σεμίδαλις, ἑλκύσας εἰς δικαστήριον τὸν Εὐφήμιον, παρανόμων γάμων τοῦτον ἐγράψατο. Καὶ ἡ διήγησις, Εὐφήμιος, φησὶ, καὶ Γεώργιος ἐξ ἀνεψιῶν τεχθέντες, δισεξαδέλφων ἔχουσι τάξιν. Ἰούτων ὁ μὲν Γεώργιος μεθ' ἱερολογίας ἠγάγετο Θεοδότην ὄνομα, οὐ μόνον οὐ γάμων, ἀλλ' οὐδὲ μνηστείας ὡραίαν. Ἐπιζήσασα δὲ ἡ κόρη ἐνιαυτὸν ἕνα πρὸς τῷ ἡμίσει, θνήσκει. Ἔπειτα Εὐφήμιος Μαρίαν τὴν ταύτης μητέρα γαμεῖ. Ὁ μὲν κατήγορος, ταυτὶ διεξῆλθεν. Ὁ δὲ διωκόμενος ἀπελογήσατο, ἐνιαυτῶν μὲν εἶναι πέντε καὶ ἡμίσεως λέγων τὴν Θεοδότην, ὅτε ἡ ἱερολογία συνίστατο κατὰ τὸν Μάρτιον μῆνα τῆς τρίτης ἐπινεμήσεως, ἐν δὲ τῷ Ἰουλίῳ μηνὶ τῆς τετάρτης ἐπινεμήσεως θανεῖν, καὶ διὰ τοῦτο αὐτὸν τῇ ταύτης μητρὶ πρὸς γάμον συνελθεῖν. Δέον τοιγαροῦν ταῖς τοιαύταις δικαιολογίαις παραθεῖναι τὸν νόμον, καὶ οὕτως ἀπόφασιν ἐνεγκεῖν, ἐδικάσαμεν χρῆναι πρότερον διὰ μαρτύρων συστῆσαι, πόσον ἔτος ἦγεν ἡ κόρη κατὰ τὸν καιρὸν τῆς ἱερολογίας· καὶ εἴτε μνηστεία συνέστη πρότερον, εἶθ' οὕτως ὁ γάμος· ἢ εἰ τὸ πρῶτον γαμικὸν συνάλλαγμα, μὴ προϋπαρξάσης μνηστείας. Παρήχθησαν τοιγαροῦν ὑπὸ τοῦ κατηγορουμένου μάρτυρες· εἰ γὰρ καὶ τοῖς κατηγόροις προσῆκον τὰς ἀποδείξεις ἐπιφορτίζεσθαι, ὅμως φειδοῖ τοῦ μή τι παρανενομῆσθαι, καὶ τὴν φύσιν ἠδικῆσθαι, τῷ διωκομένῳ τὴν συγγένειαν ὁμολογοῦντι τὸ τῶν ἀποδείξεων ἄχθος ἐπετέθη. Καὶ τῶν ἀναβεβηκότων μαρτύρων, ὁ μὲν Γελάσιος, ᾧ ἐπώνυμον Θράκης, καὶ Προκόπιος, ἐπίκλην Στραβοπροκόπιος, καθ' ἕνα διερωτηθέντες, σύμφωνον καὶ εἰς ἕνα σκοπὸν συμπεραινόμενον μαρτύριον ἔνειμαν· ὡς γεννηθείη μὲν ἡ παῖς περὶ τὸν Αὔγουστον μῆνα τῆς ιβ'. ἐπινεμήσεως, ὑπερβᾶσα δὲ τὸν πέμπτον ἐνιαυτὸν, καὶ τὸν ἕκτον ἀνύουσα, πρὸς γάμον συναφθείη τῷ Γεωργίῳ, ἀμφὶ τὸν Μάρτιον μῆνα τῆς τρίτης ἐπινεμήσεως, καὶ μεταλλάξειε τὴν ζωὴν κατὰ μῆνα Ἰούλιον τῆς τετάρτης ἐπινεμήσεως. Ὁ δὲ Θεόκτιστος, καὶ Νικήτας ὁ υἱὸς τοῦ πρωτοσπαθαρίου Ἰωάννου, καὶ Θεόδωρος ὁ Δαιμόνιος, σύν γε Ἰωάννῃ τῷ τὴν ἐπωνυμίαν Κλασματᾷ, τὰ μὲν ἄλλα τούτοις ὅμοια μεμαρτυρήκασι· τὸν δὲ τῆς τετάρτης

ἐπινεμήσεως μῆνα, καθ' ὃν ἐξέλιπε τὸν βίον ἡ Θεοδότη, μὴ εἰδέναι εἶπον. Οὕτω καὶ οὗτοι συνῳδὰ τοῖς δυσὶ διεξῆλθον. Εἰ γὰρ καὶ διεχώρισεν ὁ λόγος ἀνὰ μέσον τῶν δύο, καὶ ἀνὰ μέσον τῶν τεσσάρων, ὅμως ὡς οὐκ ἐναντιότητα τῆς μαρτυρίας ἐχούσης εἰργάσατο τοῦτο, ἀλλὰ τῆς ἀληθείας περιεχόμενος, καὶ μηδὲν τῶν εἰρημένων ἄῤῥητον παρελθεῖν ἀνεχόμενος· ἐπεί, ὅσον γε πρὸς τὸ πολυπραγμονούμενον, δι' ὅλων οἱ μάρτυρες συμφωνοῦσι. Τὴν γὰρ ἀρχὴν τοῦ συναλλάγματος ζητοῦμεν, ἀλλ' οὐ τὴν λύσιν· ὅπερ οὐδὲν ἐπισημαίνει τῷ πράγματι· ὃ γὰρ οὐκ ἦρκται καλῶς, οὐδὲ λελύσθαι λέγεται, ἀλλ' ἀπαρχῆς δέσιν μὴ ἐσχηκέναι. Ὁ μέν τοι κατήγορος, ἀλήπτους ὄντας τοὺς μάρτυρας καὶ διαβολῆς ὑπερτέρους, τὴν μὲν ἐπινέμησιν, καθ' ἣν ὁ γάμος συνέστη, καὶ καθ' ἣν ἐπῆλθεν ἡ τελευτὴ τῇ κόρῃ, ἀληθῶς ἔφη διεξελθεῖν, πρὸς δὲ τὸν τῆς γενέσεως χρόνον ἐσφάλθαι· οἴεσθαι γὰρ ἐνιαυτῶν ἓξ καὶ μηνῶν ἰσαρίθμων εἶναι κατὰ τὸν τοῦ γάμου καιρόν. Ἡ δὲ τοιαύτη ἀντίθεσις κατ' οὐδὲν ἐπήμυνε ταῖς τούτου δικαιολογίαις, ἀτέλειαν ἡλικίας ὁμολογοῦντος, καὶ μηδ' αὐτῷ τῷ ῥηθέντι στεῤῥῶς ἐμμένοντος, ἀλλ' εἰκασμῷ καὶ μετ' ἐνδοιασμοῦ τὴν ἀντίθεσιν ποιουμένου. Καὶ ὁ προκατηγορῆσαι λεγόμενος Μαλακηνὸς ἀχθεὶς εἰς τὸ δικαστήριον, καὶ μηδὲν ἄτοπον συνειδέναι τῷ συναλλάγματι τρανῶς ἀνεῖπε, μήτε τι σαφῶς εἰδέναι ἢ περὶ τοῦ χρόνου τῆς γενέσεως τῆς κόρης, ἢ τοῦ τῆς ἱερολογίας, ἢ τῆς τελευτῆς. Τῆς δοκιμασίας τοίνυν εἰς τοῦτο προκεχωρηκυίας, καὶ τῶν μαρτύρων μὴ διαστειλάντων γάμου (1) καιρὸν καὶ μνηστείας, ἀλλὰ φαμένων ἱερολογίαν θεάσασθαι τελουμένην, ἀγνοεῖν δὲ, εἰ προϋπῆρξε μνηστεία κατ' αὐτὴν τὴν ἡμέραν, οὐδὲν ἦν τὸ προσιστάμενον τῇ ἀποφάσει. Εἰ μὲν γὰρ ὑπερβᾶσα ἦν ἡ κόρη τὸν ἕβδομον ἐνιαυτὸν, ὅτε τὰ τῆς ἱερολογίας ὑπεθειάζετο, προσῆκον ἦν ἄρα, τοῦ γάμου ἐντὸς τοῦ δωδεκάτου ἐνιαυτοῦ γεγονότος, πολυπραγμονεῖσθαι, εἰ συνέστη πρὸ τούτου ἔννομος μνηστεία μετὰ τὸν ἕβδομον ἐνιαυτόν· ἵνα, τοῦ γάμου μὴ λαμβάνοντος ὑπόστασιν, τέως γοῦν, εἰ νόμιμον ἰσχὺν ἔσχεν ἡ μνηστεία, κατασταθῇ δῆλον. Ἐπεὶ δ' ὁ χρόνος τῆς

---

(1) Α. ἐν περιελ. — χρόνου Α.

ὥςπερ ἐν σκηνῇ παιχθείσης ἱερολογίας συνωμολόγηται καὶ παρὰ τοῦ κατηγόρου μηδὲ μνηστείας εἶναι δεκτικὸς, ἀμφισβήτησις πᾶσα περιῄρηται, τῆς ἐναργοῦς παρανομίας πᾶσιν ὑπ' ὄψιν ὑποπιπτούσης. Μνηστείαις γὰρ ἕβδομον ἐνιαυτὸν οἰκεῖον εἶναι παρεληλυθότα, γάμοις δὲ γυναικῶν δωδέκατον, θεσπιζόντων τῶν νόμων, εἰ μὲν, καθάπερ νενόμισται, συσταίη συνάλλαγμα, οὐδεὶς ἐπιτρίβεται τῷ πραχθέντι μῶμος· εἰ δέ τις ἐπακολουθήσει περιπέτεια, νόμος ὧδε φησίν· Ὁ κόρην ἧττονα τῶν δώδεκα ἐνιαυτῶν ἐπαγόμενος πρὸς γάμον, οὐ συνίστησι γάμον· ἀλλ' εἰ μὲν προηγήσατο μνηστεία, μένει φυλαττομένη, κἂν τὰ μάλιστα ἐν τάξει γαμετῆς εἰς τὸν οἶκον αὐτὴν (1) ἀνήνεγκεν· εἰ δὲ μὴ προηγήσατο μνηστεία, μηδὲ τοιαύτην ἐξ ἀρχῆς ἔσχε διάθεσιν, οὐ διὰ τοῦτο νῦν γενέσθαι δοκεῖ (2). Οὕτω τοῦ νόμου φράζοντος, πάρεστι καταμανθάνειν, ὅτι καὶ γάμου καὶ μνηστείας τῶν μεταξὺ Γεωργίου καὶ Θεοδότης ἀπεστέρηται τὸ συνάλλαγμα, μήτε τὸν τοῦ γάμου τηρῆσαν ὅρον, καὶ τὸν τῆς μνηστείας λωβησάμενον. Καὶ γὰρ εἴωθεν ὁ νόμος τὴν φύσιν μιμεῖσθαι· καὶ ὃ μὲν οἶδεν αὕτη, προσίεται· τὸ δ' ἠγνοημένον αὐτῇ παραπέμπεται. Εἰ τοίνυν ἡ μὲν (3) ἡβάσκουσα γονῆς ἐστιν ἀνεπίδεκτος, διὰ δὲ παιδογονίαν ὁ γάμος, ὁ συνερχόμενος ἄρα τῇ μὴ γεγονυίᾳ δωδεκάτου ἐνιαυτοῦ, φθορεύς ἐστιν, ἀλλ' οὐ γαμέτης· καὶ διὰ τοῦτο ὁ τῆς ἧττονος τῶν δώδεκα ἐνιαυτῶν ἀπείρηται γάμος· καὶ ὁ ἱερολογῶν ἱερεὺς αἰτιάματι καθυποπίπτει. Τὰ αὐτὰ δὲ καὶ περὶ τῆς μνηστείας ἐπιλογιζόμεθα· ὡς ἡ μὲν ἥττων τῶν ἑπτὰ ἐνιαυτῶν, διακρίσεως ἐντελοῦς ἀμοιρεῖ· ὁ δὲ μὴ διακρίνων, οὐδὲ λελογισμένως δύναται συναινεῖν· συναινέσεως δὲ χωρὶς, συμφώνων σύστασις οὐ προβαίνει, διότι νόμος φησί· Σύμφωνόν ἐστι δύο εἰς ταὐτὸν ἀρεστὸν συναίνεσις (4)· ὥστε οἱ νομοθέται ἑπόμενοι τοῖς φυσικοῖς λόγοις, τὰ περὶ τῶν γάμων διέταξαν δόγματα. Οὐκοῦν ἐπεὶ τὸ τῆς Θεοδότης καὶ τὸ τοῦ Γεωργίου συνάλλαγμα, οὔτε τοῖς νόμοις, οὔτε τῇ φύσει

(1) κἂν τὰ μάλιστα τὴν μνηστευθεῖσαν ἐν τάξει γαμετῆς εἰς τὸν οἶκον αὐτοῦ ἀνήνεγκε. ζ'. Βασιλικ. ΚΗ', 1. — (2) ζ'. Βασιλικ. ΚΗ', 1. — (3) ἴσως, ἡ μὲν μήπω ἡβάσκουσα. — (4) ά, Βασιλικ. ΙΑ', 1.

γνώριμόν ἐστιν, ἀκωλύτως ὁ τοῦ Γεωργίου δισεξάδελφος Εὐφήμιος τὴν τῆς Θεοδότης μητέρα πρὸς γάμον ἠγάγετο. Ὃ γὰρ ἀντ' οὐδενὸς δοκεῖ, τοῦτο πῶς ἔσται τῷ καλῶς καὶ ἐννόμως γινομένῳ κώλυμα; Πολλοῦ γε καὶ δεῖ. Ταῦτα συνεδοκίμασε μεθ' ἡμῶν ἐν τῇ βασιλίδι πόλει, καὶ συναπεφήνατο καὶ Μιχαὴλ ὁ θεοφιλέστατος μητροπολίτης Ἀθηνῶν. Οὗτος γὰρ καὶ τῆς δίκης παρ' αὐτῷ προκαταρχθείσης προσήκατό τε τὸν γάμον, καὶ γραφὴν πρὸς τὸν ἁγιώτατον πατριάρχην μάλα δικαιοτάτην καὶ ἀκριβεστάτην Ἀθήνηθεν πέπομφεν εἰς τοῦτο, καὶ ὑπέγραψε.

Σχῆμα τῶν προλαβόντων.

Δισεξάδελφοι.

Εὐφήμιος.	Γεώργιος.	Μαρία, μήτηρ.
		|
		Θεοδότη, θυγάτηρ.

Γεώργιος ὁ τοῦ Εὐφημίου δισεξάδελφος ἔλαβε τὴν Θεοδότην, ἀτελοῦς οὖσαν ἡλικίας· θανούσης αὐτῆς μετὰ μικρὸν, ἔλαβεν ὁ Εὐφήμιος τὴν Μαρίαν, αὐτῆς μητέρα· καὶ κρίνεται ὁ τοιοῦτος γάμος ἀθῶος καὶ ἔννομος.

Δ'. ΤΟΥ ΑΥΤΟΥ,

Περὶ γάμου τοῦ ζ'. βαθμοῦ (1).

ΠΡΟΚΑΘΗΜΕΝΟΥ Ἀλεξίου, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς δεξιοῖς μέρεσι τῶν κατηχουμενείων, συνεδριαζόντων αὐτῷ θεοφιλεστάτων μητροπολιτῶν, Νικολάου, Ἀγκύρας· Κωνσταντίνου, Πατρῶν· Λαυρεντίου, Δυῤῥαχίου· καὶ Κωνσταντίνου, Χωνῶν· παρισταμένων ἐκκλησιαστικῶν ἀρχόντων, παρέστη Ἰωάννης Κουβουκλείσιος, ὁ ἐξ Εὐρίπου ὁρμώμενος, καὶ τοιόνδε προεβάλετο πρόβλημα. Γεώργιος, φησὶ, καὶ Νικόλαος ἀδελφοί· θυγάτηρ Γεωργίου μὲν, Θεοδότη, Ἑλένη δὲ, Νικολάου· καὶ αὖ πάλιν Θεοδότης μὲν υἱὸς, Δημήτριος, Ἑλένης δὲ, Βασίλειος· Δημητρίου δὲ θυγάτηρ Θεοδότη τῷ Βασιλείῳ πρὸς γάμον συνεζύγη· καὶ ἐπυνθάνετο, εἰ ἔννομος, ἢ μὴ, ὁ

(1) Βλέπε καὶ Νομικάν. Τίτλ. ΙΓ'. Κεφ. Β'. Τόμ. Α'. σελ. 280.

γάμος. Ἐπεὶ οὖν ὁ μὲν Βασίλειος ἑβδόμου βαθμοῦ τῇ Θεοδότῃ καθέστηκεν, ὁ δὲ δὴ νόμος ἐπιτρέπει τοῖς ὀγδόου βαθμοῦ πρὸς ἀλλήλους οὖσι τὸν γάμον, ἀπαγορεύει δὲ τοῖς τοῦ ἕκτου, τοῖς γε μὴν ἑβδόμου οὐδαμοῦ οὔτε ἐπιτρέπει, οὔτε ἀπαρνεῖται, καὶ διὰ τοῦτο πολλάκις ὁμοίων ἀμφισβητήσεων κινηθεισῶν, ᾠκονόμηται, τὸν τοιοῦτον γάμον, πρὸ μὲν τοῦ προβῆναι, μὴ ἐπιτρέπεσθαι, μετὰ δὲ τὸ γενέσθαι, μὴ διασπᾶσθαι μὲν, ἐπιτιμίοις δὲ τοὺς οὕτω συναφθέντας καθυποβάλλεσθαι, ὡρίσθη τὸ αὐτὸ πάλιν πραχθῆναι, γράμματος δεσποτικοῦ περὶ τῆς τοιαύτης ὑποθέσεως γενομένου πρὸς Λέοντα, τὸν θεοφιλέστατον μητροπολίτην Ἀθηνῶν καὶ σύγκελλον.

Τὸ σχῆμα τοῦ ἐξ αἵματος ἑβδόμου βαθμοῦ.

Ἀδελφοί.

Γεώργιος. Νικόλαος.

Πρωτεξάδελφοι.

Θεοδότη. Ἑλένη.

Δεύτεροι ἐξάδελφοι.

Δημήτριος. Βασίλειος.

|

Θεοδότη.

Ε'. ΠΕΡΙ ΤΙΝΟΣ ΑΡΜΟΣΑΜΕΝΟΥ ΤΩι ΙΔΙΩι ΥΙΩι

Πρὸς γάμον θυγατέρα τινὸς ὑπεξουσίαν, παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς.

Πέτρος, ᾧ τὸ ἐπώνυμον Βομβυλᾶς, ἀπὸ Ἑλλάδος ὁρμώμενος (1), περὶ γάμου τῷ νόμῳ ἀπροσδέκτου τῇ ἡμῶν ἀνήνεγκε μετριότητι. Ἐμοῦ γάρ, φησίν, ἀποδήμου τυγχάνοντος, Νικήτας ἐκεῖνος, ᾧ τὸ ἐπίκλην Χαλκούτζης, τήν τε γυναῖκά μου Καλὴν, καὶ τὴν θυγατέρα Μιτζὴν, εἰς τὸν οἶκον αὐτοῦ ἀγαγὼν, ἱερολόγησε, καὶ συνέζευξε τὴν ἐμὴν θυγατέρα Μιτζὴν μετὰ Λέοντος υἱοῦ Ἀνθίμου τοῦ πρωτοσπαθαρίου (2). Ταῦτα προτεινόμενος,

(1) τέκνον ἐν Κυρίῳ περὶ γάμου κτλ. Α. ἐν περισελ. — (2) Α. ἐν περισελ. — Ἐνετ. τοῦ, πρωτοσπαθαρίου, Α.

ἤτει διαλυθῆναι τὸ οὕτως ἀνομώτατον συνοικέσιον. Εἰ γοῦν (1) παρὰ γνώμην τοῦ διεγκαλέσαντος τὴν θυγατέρα αὐτοῦ πρὸς γάμον ἠγάγετό τις, καὶ οὔτε πρότερον οὔθ' ὕστερον εὑρίσκεται συναινέσας τῷ συναλλάγματι, ἀλλ' ἀεὶ τούτῳ ἀπαρεσκόμενος φαίνεται, διάσπασαι τὴν τούτου ὑπεξουσίαν ἀπὸ τοῦ κακῶς συναφθέντος αὐτῇ· τὰς γὰρ τοιουτοτρόπους συνοικήσεις μισοῦσι μὲν οἱ νόμοι καὶ ἀποτρέπονται, καὶ οὐδὲ γάμους ἡγοῦνται, ὡς καὶ ἡ ἀγχίνοιά σου ἐπίσταται· πόῤῥω δὲ τοῦ πολιτεύματος καὶ οἱ ἱεροὶ κανόνες ἐλαύνουσιν. Ὁ γοῦν τὰ θεῖα πολὺς Βασιλέων, πορνείας οὐδὲν διενηνοχέναι ταύτας φησίν· ὁ μὲν γὰρ νόμος, Οὐ γίνεται, φησί, γάμος, εἰ μὴ συναινοῦσιν οἱ συναπτόμενοι, καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους(2), καὶ πολλαχοῦ δῆλός ἐστι, τοὺς παρὰ γνώμην τῶν ἐχόντων τινὰς ὑπεξουσίους γενομένους γάμους, ἀντὶ μηδενὸς λογιζόμενος· ὁ δὲ μέγας Βασίλειος, ποτὲ μέν, Αἱ κόραι, φησίν, αἱ παρὰ γνώμην τῶν πατέρων γεγαμηκυῖαι, πορνεύουσι· διαλλαγέντων δὲ τῶν γονέων, δοκεῖ θεραπείαν λαμβάνειν τὸ γεγονός· οὐκ εὐθὺς δὲ εἰς τὴν κοινωνίαν ἀποκαθίστανται, ἀλλ' ἐπιτιμηθήσονται τρία ἔτη(3)· ποτὲ δέ, ὅτι οἱ ἄνευ τῶν κρατούντων γάμοι, πορνεῖαί εἰσιν· ὡς, ἐὰν ἐπινεύσωσιν οἱ κύριοι τὴν συνοίκησιν, τότε λαμβάνει ὁ γάμος τὸ βέβαιον(4). Ἐκεῖνο δὲ καλὸν ὑπομνῆσαί σου τὴν λογιότητα, ὅτι νόμος ἐστὶν ὁ κελεύων, Ἐὰν ἐπὶ τριετίαν ὁ πατὴρ ἠγνόηται ποῦ διάγει, καὶ εἰ περίεστι, δύνασθαι τοὺς ἑκατέρας φύσεως αὐτοῦ παῖδας. νομίμως γαμεῖν. Εἰ δὲ πρὸ τῆς τριετίας οἱ παῖδες τοῦ αἰχμαλώτου ἢ τοῦ ἀπόντος γαμήσουσι, καὶ δῆλόν ἐστι μὴ ἀπαρέσκειν τῷ πατρὶ τὸ πρόσωπον, ἐῤῥῶσθαι τὸν γάμον (5)· καὶ μή ποτε καὶ τὸ τοῦ Πέτρου τοιοῦτόν ἐςι, καὶ ἀπὼν ἠγνοεῖτο ἴσως ποῦ διάγει, καὶ εἰ περίεστιν· εἰ γὰρ οὕτω πολλάκις ἔχει τὰ τοῦ πράγματος, κατὰ τὴν δύναμιν τοῦ νόμου δεῖ περαιωθῆναι τὴν ζήτησιν. Οὐ λανθάνει δέ σου τὴν πολυμάθειαν οὐδὲ ἐκεῖνο τὸ νόμιμον, τὸ λέγον· Εἴ τινι τῶν γονέων βουλομένῳ τῇ ἰδίᾳ θυγατρὶ ἢ ἐγγόνῃ ἄνδρα δοῦναι,

---

(1) Διὰ τοῦτο γράφω τῇ εὐλαβείᾳ σου, ζητῆσαι τὰ τῆς ὑποθέσεως ἐπιμελῶς, καὶ εἰ παρὰ γνώμην, κτλ. Λ. ἐν περισσλ. — (2) Β΄, Βασιλικ. ΚΗ΄, 4. — (3) Καν. λά. τοῦ μεγάλου Βασιλείου. (4) Καν. μβ΄. τοῦ αὐτοῦ. — (5) ζ΄. ή. Βασιλικ. ΚΗ΄, 4.

καὶ προῖκα κατὰ τὴν δύναμιν τῆς ἰδίας περιουσίας ὑπὲρ αὐτῆς παρασχεῖν, ἐκείνη μὴ συναινέσῃ, ἀλλ' αἰσχρὸν βίον ἐπιλέξηται, ἐξεῖναι τῷ πατρὶ ἀποκληρονόμον αὐτὴν ποιεῖν. Εἰ δὲ μέχρι τῆς τῶν εἰκοσιπέντε ἐνιαυτῶν ἡλικίας ἡ θυγάτηρ γένηται, καὶ οἱ γονεῖς ὑπέρθωνται ταύτην ἀνδρὶ συνάψαι, καὶ ἴσως ἐκ τούτου συμβαίη εἰς τὸ ἑαυτῆς σῶμα ταύτην ἁμαρτῆσαι, [ἢ δίχα συναινέσεως τῶν γονέων ἀνδρὶ ἑαυτὴν, ἐλευθέρῳ μέντοι γε, συζεῦξαι,] τοῦτο εἰς ἀχαριστίαν αὐτῇ μὴ λογίζεσθαι, ἐπειδὴ οὐ τῇ ἑαυτῆς, ἀλλὰ τῇ τῶν γονέων αἰτίᾳ τοῦτο γινώσκεται πλημμελήσασα (1). Δεῖ τοίνυν σκοπεῖν, μὴ καὶ ἡ τοῦ Πέτρου θυγάτηρ ὑπὲρ τὸν εἰκοστὸν πέμπτον ἴσως ἐγεγόνει νιαυτόν· τότε γὰρ, εἴ τι καὶ παρὰ γνώμην τοῦ πατρὸς πεποίηκεν, οὐ κατακριθήσεται. Εἰ μέν τοι μηδὲν τοιοῦτον συνέβη, ἀλλὰ παρὰ πάντα νόμον ἡ ὑπεξουσία τοῦ Πέτρου θυγάτηρ παρὰ γνώμην αὐτοῦ ἐγήματο, οὐ μόνον τοὺς συναφθέντας διαζυγῆναι χρὴ παρὰ τῆς εὐκλείας σου, ἀλλὰ καὶ τοὺς εἰς τοῦτο συναραμένους εὐθυνθῆναι, καὶ τὸν τὴν ἱερολογίαν τολμήσαντα ἱερέα τῷ κατὰ τὸν τόπον ἐπισκόπῳ παραπεμφθῆναι, δίκας τοῦ τολμήματος τὰς ἀξίας ληψόμενον· εἰ δὲ καί τινα πράγματα, ὡς ὁ δηλωθεὶς ἔφη Πέτρος, ἀπὸ τῆς οἰκίας αὐτοῦ πρὸς τὴν τοῦ συναφθέντος τῇ θυγατρὶ αὐτοῦ οἰκίαν μετηνέχθησαν, κἀκεῖνα ἀναληφθῆναι καὶ ἀποκατασταθῆναι αὐτῷ. Δεῖ δὲ καὶ ὑπὲρ τῆς φθορᾶς πρόστιμον ἀπαιτηθῆναι κατὰ τὴν τῶν νόμων περίληψιν, καὶ τῷ τῆς φθαρείσης μέρει παρασχεθῆναι. Μηνὶ Ἀπριλίῳ, ἐπινεμήσεως.... ἔτους ,ϛφμϛ'.

---

(1) Νεαρὰ Ἰουστιν. ΡΙΕ΄, κεφ. γ΄. 11. Ἐξ αὐτῆς ἀνεπληρώθησαν καὶ τὰ παρὰ Λεϋγκλαβίῳ ἐλλείποντα, καὶ ἐν παρενθέσει ἐνταῦθα περικλειόμενα.

ΜΙΧΑΗΛ ΤΟΥ ΚΗΡΟΥΛΑΡΙΟΥ.

Α'. ΙΣΟΝ ΤΗΣ ΕΚΤΕΘΕΙΣΗΣ ΣΥΝΟΔΙΚΗΣ ΨΗΦΟΥ *ΕΠΙ ΜΙΧΑΗΛ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ*

ΠΑΡΑ ΝΙΚΗΤΑ ΤΟΥ ΟΣΙΩΤΑΤΟΥ ΠΡΩΤΟΣΥΓΚΕΛΛΟΥ ΚΑΙ ΧΑΡΤΟΦΥΛΑΚΟΣ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ,

Κατὰ τὸ ,ςφξε'. ἔτος, τῆς ε'. ἐπινεμήσεως, περὶ τοῦ μὴ γίνεσθαι γάμον ἑβδόμου βαθμοῦ (1).

ΑΝΗΝΕΓΚΑΣ, ἱερώτατε, πρὸς τὴν ἡμετέραν μετριότητα, ὡς μελλόντων τινῶν τρισεξαδέλφων πρὸς γάμου κοινωνίαν ἀλλήλοις συνέρχεσθαι, πρός γε τὸ παρὸν ἐκώλυσας τὸν γάμον αὐτός· καὶ ἐζήτησας διὰ γραμμάτων, εἰ δέον τοὺς τοιούτους τῶν γάμων μὴ κωλύειν, ἀλλ' ἐπιτρέπειν προβαίνειν. Καὶ πάντως οἶσθα, θεοφιλέστατε, οἷα περὶ τῶν γάμων οἱ νομοθέται θεσπίζουσι. Φασὶ γάρ· Ἐπὶ τῶν ἀνιόντων καὶ κατιόντων εἰς ἀπέραντον ὁ γάμος κεκώλυται· ἐπὶ δὲ τῶν ἐκ πλαγίου ἔστι τις κώλυσις (2). Τὸ γοῦν *τὶς* ῥῆμα, ἀντιδιαστελλόμενον πρὸς τὸ ἀπέραντον, μερικὴν εἰσάγει κώλυσιν· καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ αὖθις οἱ νόμοι φασί· Κωλύονται πρὸς γάμου κοινωνίαν ἀδελφοί, ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι μόνον (3). Τί τούτου τοῦ νόμου σαφέστερον ζητήσειέ τις; οὐδέν. Καὶ πῶς ἄν τις ἐπιχειρήσειε κώλυσιν ἢ ἄφεσιν ἑτέραν ὑπὲρ τὴν τεθεσπισμένην ποιήσασθαι; Εἰ γοῦν τὸν ὅρον τῆς κωλύσεως τῶν ἐκ τοῦ αὐτοῦ γένους γάμων ὁ νομοθέτης μέχρι τῶν δισεξαδέλφων ἐπήξατο, καὶ τὰ πορρωτέρω τούτων ἀφῆκεν ἀπεριόριστα, οὐδείς ἐστιν

(1) Μιχαὴλ ὁ Κηρουλάριος ἐξελέχθη πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1043. Ἐπὶ τῆς πατριαρχείας αὐτοῦ ἀπεσχίσθη ἐριστικῶς ἡ Δυτικὴ Ἐκκλησία ἀπὸ τῆς Ἀνατολικῆς. Σώζονται αὐτοῦ ἐπιστολαὶ πρὸς Πέτρον Ἀντιοχείας, μετά τινος πραγματείας κατὰ Λατίνων, ἧς ἡ ἀρχή, Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητος τοῦ παναγάθου Κυρίου, κτλ. καὶ αἱ ἐνταῦθα δημοσιευόμεναι περὶ γάμων συνοδικαὶ διατάξεις. Ἐτελεύτησεν ἐξόριστος, πατριαρχεύσας ἔτη ἑκκαίδεκα. — (2) α'. θέμ. β'. καὶ γ'. Βασιλικ. ΚΗ', 5. — (3) ιέ. καὶ ις'. βασιλικ. Ξ', 37.

ὁ τὸν νομικὸν ὅρον ὑπερβῆναι δυνάμενος· ἀντινομοθετεῖ γάρ. Καὶ ἄκουε τὸν τῶν τρισεξαδέλφων διαῤῥήδην ἐπιτρεπόμενον γάμον. Ἡ γραφεῖσα, φησὶν, ὑπὸ αἵρεσιν κληρονόμος, τὴν, ἐὰν τῷ τρισεξαδέλφῳ γαμηθῇ, πληρούτω τὴν αἵρεσιν· οὐ γὰρ αἰσχρός ἐστιν ὁ γάμος(1)· διὰ τί; ὅτι ἀπεσχοίνισται πρὸς τὸν ὄγδοον βαθμὸν ὁ γάμος. Εἰ γὰρ καὶ τῆς αὐτῆς ῥίζης καὶ τῆς αὐτῆς γονῆς κεκοινωνήκασιν οἱ τῶν δισεξαδέλφων παῖδες, ἀλλ' ἡ τῶν βαθμῶν ἐπίτασις, καὶ ἡ τοῦ νομοθέτου φωνὴ πρὸς ἕνωσιν καὶ αὖθις τὰ γένη καλεῖ, συγχωροῦσα τὸν γάμον. Ὁ μὲν γὰρ ἕκτος βαθμὸς καὶ ἐπὶ τῶν ἐκ πλαγίου καὶ ἐπὶ τῶν ἐξ ἀγχιστείας πάμπαν ἀπείργει τὸν γάμον, καὶ τὸν συστάντα ἴσως διαλύει· ὁ δ' αὖ ὄγδοος τῶν βαθμῶν, συγκεχωρημένην ἔχει τὴν συνέλευσιν, εἴτε τῶν ἐκ πλαγίου, εἴτε τῶν ἐξ ἀγχιστείας εἰσὶν οἱ γαμοῦντες. Περὶ μέν τοι τὸν ἕβδομον βαθμὸν τὸ πᾶν περιΐσταται ζήτημα, οὐκ ἄλλως ἢ τῇ νομικωτάτῃ τῶν ἐπιστημῶν διαλυόμενον, καὶ ἀνεπιφθόνῳ φρενὶ διαιρούμενον. Ὅσα μὲν γὰρ τῶν συνοικεσίων, ἐξ οἰκειότητος, ἤγουν ἐξ ἀγχιστείας ἀλλήλοις συνημμένων τῶν προσώπων, τῷ ἑβδόμῳ περικλειόμενα βαθμῷ, τὴν σύστασιν λάβῃ, ταῦτα καὶ ἀδιάλυτα μένει ὡς ἐξ ἀμέμπτων συναφθέντα τῶν γάμων· δύο γὰρ ἐξάδελφοι πρῶτοι πρὸς θείαν μεγάλην (1) καὶ ἀνεψιὰν, [ἐξ] ἑτέρας σειρᾶς καὶ γένους ὡρμημένας, τὰ γαμήλια θέμενοι, κατηγοριῶν καθ' ἑαυτῶν οὐκ ἐπιθήσουσι γραφάς· οἱ μὲν γὰρ πρὸς ἀλλήλους τέταρτον ἐπέχουσι βαθμὸν, οἱ πρῶτοι ἐξάδελφοι· ἡ δὲ θεία τῆς ἀνεψιᾶς τρισὶ διήρηται βαθμοῖς· καὶ οὕτως ὁ ἕβδομος ἐπὶ τούτοις συναγόμενος βαθμὸς τὴν μέμψιν εἰς τέλος ἐκπέφευγεν, ἰσχναῖς ἐπινοίαις καὶ λεπτοῖς διαλογισμοῖς, διὰ τὴν ἐντολήν· ἐν μὲν τοῖς πρὸ τοῦ ἑβδόμου ἑτέροις βαθμοῖς, ἑνοῦντος τοῦ σώφρονος τὴν τῶν διῃρημένων γενῶν συνάφειαν, τὸν δέ γε ἐπὶ τῷ ἑβδόμῳ γάμον οὐκ εἴργοντος. Τῶν δὲ ἐκ πλαγίου συγγενῶν ὁ τῷ ἑβδόμῳ καταλαμβανόμενος δι' ὅλου ἀπείρηται γάμος, καὶ ἀποτρόπαιος εἶναι νομίζεται· οὐδὲ γὰρ ὁ δισεξάδελφος τῇ τοῦ δισεξαδέλφου θυγατρὶ συναρμοσθήσεται πώποτε, ἢ ἡ τοῦ δισεξαδέλφου θυγάτηρ ἐπὶ τὸν τοῦ πα-

(1) λ'. Βασιλικ. ΛΕ', 12. — (2) Τὴν μεγάλην, παρέλκει.

τρὸς αὐτῆς ἀναποδίσασα δισεξάδελφον, τοῦτον πρὸς τὸν ἑαυτῆς γάμον καθελκύσει ποτέ· μολυσμὸς γὰρ τοῦτο γένους καὶ φθορὰ, καὶ συγγενείας φυρμὸς, καὶ μίξις ἀκόλαστος, καὶ τῇ νομικῇ διατάξει ἀντίθετος· ἐπεὶ οὐδ' ἡ αὐτὴ πάντως οἰκειότης τῶν ἐξ ἀγχιστείας συνημμένων προσώπων, καὶ τῶν ἐκ τῆς αὐτῆς συγγενείας καὶ τοῦ αἵματος ἀπογεννωμένων, ἵνα καὶ ἕβδομος ἐπ' ἀμφοτέροις βαθμὸς ἐπίσης ἢ συγχωρηθῇ, ἢ κωλυθῇ. Τῶν μὲν γὰρ ἐκ πλαγίου συγγενειῶν μία ἡ ῥίζα, καὶ πηγὴ μία, κἂν διάφορα τὰ βλαστήματα, καὶ τὰ ῥεύματα μετρητά· ὅσαι δὲ τῶν οἰκειοτήτων ἐξ ἐπιγαμιῶν τὴν σύστασιν εἰλήφυῖαι, δύο ξένων γενῶν συνάφειαν ἐπισύρονται, αὗται, ὥσπερ μετεγκεντριζόμεναι καὶ συμφυόμεναι ἐξ ἑτέρου γένους πρὸς ἕτερον, τὸν γάμον ἔχουσι κεκωλυμένον, οὐ διὰ θεσμὸν συγγενείας, ἀλλ' ἐκ τῶν νομικῶν διαταγμάτων, καὶ φωνῆς θείας, εἰς ἓν ἐξ ἀρχῆς τὸ θῆλυ συναπτούσης τῷ ἄῤῥενι. Οὐ γὰρ, ἐπεὶ ἡ τοῦ ἀδελφοῦ μου γυνὴ μία ἐστὶ τῷ ἀνδρὶ ταύτης καὶ ἀδελφῷ μου σὰρξ, καὶ λεπτῷ νῷ καὶ νοήματι κἀμοῦ λελόγισται ἀδελφὴ ἡ νύμφη, καὶ τὴν ταύτης ὅλην συγγένειαν εἰς ἓν συναλείφων πρόσωπον, ἀδελφὰς καὶ συγγενίδας λογίσομαι· ὁδηγεῖ γάρ με ὁ νόμος, τίνας ταύτης τῶν συγγενίδων οὐκ ἅξομαι, καὶ τίσιν ἀμέμπτως προσέλθω· οὔτε γὰρ πρὸς τὴν τῆς νύμφης μου ἀδελφὴν, οὔτε πρὸς τὴν πρώτην ταύτης ἐξαδέλφην ἢ τὴν θείαν τὴν μείζω, καὶ μέντοι οὐδὲ πρὸς τὴν ἀνεψιὰν γαμικὰ συγγράψω συμβόλαια· ἐπειδὴ ταῖς τοῦ ἕκτου καὶ τῶν ὑπ' αὐτὸν βαθμῶν ἄρκυσι περιείλημμαι. Πρὸς δὲ τὴν δισεξαδέλφην ταύτης, καὶ τὴν μικρὰν ἀνεψιὰν, ἀνεπιτίμητον θήσομαι τὸ συνοικέσιον· ἡ μὲν γὰρ πρὸς τὸν ὄγδοον ἀπελήλαται βαθμόν· ἡ δὲ ἀνεψιὰ ὑπερβαίνει τὸν ἕκτον, καὶ ἐπὶ τὸν ἕβδομον ἵσταται. Οὕτω καὶ θεῖος καὶ ἀνεψιὸς ἀλλοφυέσι πρώταις ἐξαδέλφαις ἐπιμιγνύμενοι, ἔννομον συνιστῶσι τὸν γάμον· χάσματι γὰρ τῷ νομικῷ ἀποδιεστήκασιν ἀλλήλων, τὴν συγγένειαν ἐκ τούτου καταῤῥυπαίνοντες μηδαμῶς. Οὐδεὶς οὖν ὀρθῶς εἴποι, τὸν ἐξ ἀγχιστείας συνημμένον, καὶ συγγενῆ καταχρηστικῶς ἐπωνομασμένον, οἰκειότερον ἢ ἴσον εἶναι τῷ ἐκ τοῦ γένους καὶ αἵματος, ἵνα διὰ τοῦτο καὶ τοῖς αὐτοῖς τῶν γάμων στοιχήσῃ τοῖς ὅροις, ὥς περ καὶ

προδιείληπται· ὁ γὰρ νομοθέτης τοὺς τῶν ἐξαδέλφων παῖδας πρὸς γάμου κοινωνίαν κωλύσας, τοῖς δὲ τρισεξαδέλφοις τὴν συνέλευσιν ἐπιτρέψας, καὶ μή τι περὶ τῶν ἐν μέσῳ διαταξάμενος, ἐκ τοῦ κεκωλυμένου καὶ ἀκωλύτου σαφῆ τὸν ἑαυτοῦ κατέςησε σκοπὸν, ὡς οὐ δεῖ παρεκβαίνειν τὸ ὁροθέσιον. Εἰ (1) μὲν γὰρ ὁ δισεξάδελφος πρὸς τὴν τοῦ δισεξαδέλφου αὐτοῦ θυγατέρα ἐρωτικῶς ἀπιδὼν ἐπιγαυριάσει, τὸν νομικὸν ὅρον μὴ παραφυλαξάμενος καθαρῶς, ὡς ἵππος ἐπὶ τὸ συγγενὲς ἐχρεμέτισεν, οὐ γαμέτης ἀλλὰ φθορεὺς ἐντεῦθεν κρινόμενος· ὁ δέ γε τρισεξάδελφος, τῶν καταριθμουμένων ἐν κωλύσει τῷ νομοθέτῃ βαθμῶν τυγχάνων ἔξω, εἴπερ ἀναποδίσας ὑπεραναβῇ τὸν φραγμὸν, καὶ, τὴν τρισεξαδελφίαν ἀφεὶς, εἴσω τῶν κεκωλυμένων εἰσπηδήσῃ γάμων, καὶ τῇ τοῦ πατρὸς δισεξαδέλφῃ παρεισφθαρῇ, ἐπιβούλως ἄρα καὶ ληστρικῶς (2) καὶ οὐ νομίμως ταύτην γαμήσει· καὶ διὰ ταῦτα ἀτίμως ταύτης διαιρεθήσεται, καὶ τὰ πρὸς ταύτην αἰσχρὰ συντρίψας φίλτρα, μόνα ταύτῃ τῶν ἀπηγορευμένων γάμων ὥσπερ τινὰ ἕδνα χαρίσεται τὰ ἐξαίρετα· τίνα δὴ ταῦτα; ὄνειδος αἰώνιον, καὶ φήμην οὐκ εὔφημον. Διὰ ταῦτα γοῦν τὰ ῥυπάσματα, καὶ τὸν φυρμὸν, καὶ τὴν σύγχυσιν τοῦ γένους, καὶ τὴν ἐπιμιξίαν τοῦ συγγενικοῦ αἵματος, θεοφιλέστατε, ἐπὶ τῶν ἐκ πλαγίου ὁ τοῦ ἑβδόμου βαθμοῦ οὐ συγκατηρίθμηται γάμος, οὐδὲ τοῖς εὖ φρονοῦσι γνωρίζεται, τῶν ἐννόμων ἐκφυλοφορούμενος εὐσεβέστατα συνοικεσίων. Οὕτω τοῖς νομικοῖς τὰ διατάγματα βούλονται· οὕτω καὶ οἱ παλαίτατοι τῶν σοφωτάτων δικαστῶν ἐξ ἀρχῆς καὶ ἄχρι τῶν νῦν καιρῶν περὶ τούτων διετυπώσαντο, καὶ τοιοῦτον τοῖς γάμοις τεθείκασιν ὅριον· καὶ τοιαῦτα περιφανῶν καὶ μεγάλων ἀνδρῶν συνέστη καὶ συστήσονται συνοικέσια, καὶ ἔτι συνίστανται, ἀμώμητον τὴν μίξιν λαβόντα, καὶ τῷ συγγενικῷ λύθρῳ τὴν ἀμίαντον κοίτην μηδόλως μολύνοντα. Ὁ δὲ μακαριστὸς ἐν πατριάρχαις κύριος Σισίννιος, εὑρών, ὡς ἔοικεν, ἐν τοῖς κατ' αὐτὸν χρόνοις ἀνέδην ἐπὶ τῶν ἐξ ἀγχιστείας τοὺς τοῦ ἕκτου μιγνυμένους βαθμοῦ, καὶ ἀνεπιτίμητον ὂν, ἀδελφοὺς δύο δυσὶν ἐξα-

(1) Α. ἐν περισελ. — ὁ μὲν γὰρ, Α. — (2) Α. — σφαλερῶς, Α. ἐν περισελ.

δέλφαις πρώταις ἑτερογενέσιν, ἢ θείᾳ μείζονι καὶ ἀνεψιᾷ συνέρχεσθαι, καὶ τὸν γάμον αἰσχρὸν εἶναι μὴ δοκεῖν, τοῦτο μὲν διὰ νεαροῦ κεκώλυκε θεσπίσματος (1), τὰ δὲ ἐκτὸς τούτων ἀφῆκεν ἀπεριόριστα καὶ ἀκώλυτα· εἰπὼν γὰρ μὴ δύνασθαι θεῖον καὶ ἀνεψιὰν δύο ἀδελφὰς λαμβάνειν, ἢ δύο ἀδελφοὺς, θείαν καὶ ἀνεψιὰν, καὶ, ὃ δοκεῖ μεῖζον ἁμάρτημα τῷ πατριάρχῃ, ἀπειρηκὼς, δύο ἀδελφοὺς δύο ἐξαδέλφαις πρώταις μίγνυσθαι γαμικῶς, ὡς ἐκ τούτου συγχύσεως τῶν γενῶν ἐπισυμβαινούσης, καὶ τῶν ὀνομάτων συμπτώσεως, καὶ μέχρι τούτου τὰς κωλυομένας περιγραψάμενος τῶν συνελεύσεων, καὶ μή τι ἐκφωνήσας ὑπὲρ ταύτας, δοκεῖ σαφέστατα, τὸν μὲν τοῦ ἕκτου βαθμοῦ καὶ τὸν κατωτέρω τούτου γάμον κωλύειν, καὶ μὴ συγχωρεῖν χώραν λαμβάνειν, τῶν δ' ὑπερβαινόντων τὸν ἕκτον ὅρον θεμιτὴν τὴν συνάφειαν ἡγεῖσθαι· ταὐτὰ τοῖς πάλαι νομοθετῶν νομοθέταις, καὶ κανονίζων ἱεροπρεπέστατα, καὶ μᾶλλον πλέον τούτων τὸν ἐξ ἀγχιστείας περιστέλλων καὶ συσφίγγων γάμον. Ὃ γὰρ ἐκεῖνοι μέχρι τετάρτου ἔστησαν βαθμοῦ, ἢ διὰ τὸ εὐπρεπὲς ἀπειρήκασιν, εἰπόντες οὕτως, Οὐ δύναμαι λαμβάνειν τὴν ἐξ ἄλλου θυγατέρα τῆς ἐμῆς γαμετῆς, ἢ τὴν ἐγγόνην, ἢ προεγγόνην· οὐδὲ τὴν γαμετὴν τοῦ υἱοῦ μου, ἢ τοῦ ἐγγόνου, ἢ τοῦ προεγγόνου μου· ἀλλ' οὐδὲ τὴν πενθεράν μου, ἢ τὴν μητρυιάν μου (2)· οὗτος ὁ σοφὸς τὰ θεῖα πατριάρχης, μηδὲ ταῦτα ἢ τἄλλα νομικὰ κωλύματα παριδὼν, ἀλλὰ καὶ τὰ μέχρις ἕκτου βαθμοῦ κωλύσας ἐπεκτεινόμενα, ἐν τούτῳ μόνῳ τὸ κωλυτικὸν ἔθετο ὅριον· ὅπερ παρελθὼν οὐδεὶς τοῦ Χριστωνύμου λαοῦ ἀνεπιτίμητος ὑποστρέψει ποτὲ, ἀλλὰ τῇ αἰσχύνῃ τὸ πρόσωπον ἐπικαλυψάμενος, καταθρηνήσει πολλά. Ἅτε γὰρ δικαστηρίοις ἐκ παίδων ἐντεθραμμένος ἐκεῖνος, ὁ καὶ τὸν χρόνον καὶ τὴν σύνεσιν πολιὸς, καὶ τὰς νομικὰς μὲν ἀνελίττων βίβλους καθ' ἑκάστην, τελευταῖον δὲ καὶ ἐπὶ τὸ ἱερὸν καθίσας συνέδριον, καὶ τὰ τῶν θεοφόρων ἀνδρῶν διεξελθὼν (3) κανονίσματα, καὶ πανταχόθεν τὸ σεμνὸν καὶ τίμιον συλλεξάμενος, οὐκ ὤκνησε τῶν συνοικεσίων ἀκριβεστάτην τάξιν ἐκθεῖναι, καὶ τόμον περὶ

(1) Ὅρα τόμον Σισιννίου, σελ. 11 τοῦ παρόντος τόμου. — (2) ά. τι. ζ'. Βασιλικ. ΚΗ, 5. — (3) Λ. ἐν περισσ. — Λ. συνιδών.

τούτων συγγράψασθαι, καὶ τοῖς μετ' αὐτὸν καταλιπεῖν, στηλογραφίαν ὄντως ἀψευδῆ καὶ ἀμώμητον, καθαρὰν τῷ βροτείῳ γένει τὴν ὕπαρξιν τοῦ γένους χαριζομένην, καὶ Θεῷ καθαρωτάτους ταῖς ἐπιμιξίαις καὶ συναφείαις τῶν ἀμέμπτων γάμων τοὺς ἀνθρώπους φυλάττουσαν. Ταῦτά σοι, ὦ ἱερώτατε, ὀλίγα ἐξ ὀλίγων πρὸς τὰ παρὰ σοῦ γραφέντα περὶ γάμων ἀναλεξάμενοι καὶ διαχαράξαντες (1), ἐκπεπόμφαμεν ἐγγράφως. Σὺ δὲ καὶ πλείονα τούτων τῷ ποριμωτάτῳ ἐξευρίσκων τῆς φύσεως, ὡραίῳ τῆς εὐσεβείας στεφάνῳ τὰ περὶ τῶν γάμων ζητηθέντα ὡράϊσον, καὶ οὕτως ὡραιοτάτην πάντως τὴν νυμφικὴν ἀναδείξεις ὑπόθεσιν.

Τοῦτο δὴ τὸ ἴσον τοῦ πατριαρχικοῦ συνοδικῶς ἐκτεθέντος γράμματος ἐκ τῶν εναποκειμένων κωδικίων τῷ εὐαγεῖ σεκρέτῳ ἐκβληθὲν, καὶ τῇ αὐτοχείρῳ ὑπογραφῇ καὶ σφραγῖδι Νικήτα τοῦ ὁσιωτάτου πρωτοσυγκέλλου καὶ χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας πιστωθὲν, ἔτι δὲ καὶ ταῖς ὑπογραφαῖς τῶν λογιωτάτων διακόνων καὶ πατριαρχικῶν νοταρίων βεβαιωθὲν, ἐπεδόθη, μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις.

Β'. ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ, ΚΥΡΙΟΥ

ΜΙΧΑΗΛ ΤΟΥ ΚΗΡΟΥΛΑΡΙΟΥ,

Περὶ γάμου κεκωλυμένου.

Ἀκήκοεν ἡ μετριότης ἡμῶν, εὐκλεέστατε, παρὰ Λέοντος τοῦ Κρεμνίτου γαμικὸν προβῆναι συνοικέσιον, ἀναίσχυντον τὴν ἀνομίαν ἐπισυρόμενον. Λέων γὰρ, φησὶ, καὶ Νικηφόρος, ἀδελφοί· τούτων, ὁ μὲν Λέων γεννᾷ τὴν Καλήν· ὁ Νικηφόρος δὲ, τὸν Γεώργιον· εἶτα συνέρχεται πρὸς γάμου κοινωνίαν ἡ Καλὴ τῷ Μιχαὴλ, καὶ ὁ Γεώργιος ὁ ταύτης ἐξάδελφος γαμεῖ Εἰρήνην, τὴν τοῦ Μιχαὴλ ἀδελφήν· ὡς συμπλακῆναι δύο πρώτων ἐξαδέλφων γάμον πρὸς δύο ἀδελφοὺς ἑτέρου γένους, ὅπερ δῆλ[illegible] πάντη καὶ τοῖς πολιτικοῖς νόμοις, καὶ τοῖς ἱεροῖς κανόσιν ἐτα[illegible]εκ-όν ἐστι· Κωλύονται γὰρ, φησὶν ὁ νόμος, πρὸς γάμου [illegible]σ.νωνί[illegible] ἀδελφοί, ἐξάδελφοι, καὶ οἱ ἐκ τούτων καταγόμενοι

(1) Τὰ ἐπο[illegible]-α εὕρηνται παρὰ Λ, ἐν περισσ[illegible].

καὶ μόνον· ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ἔστι τις κώλυσις(1)· τοῦτο γοῦν τὸ τίς ῥῆμα, μερικὴν ἐπάγον τὴν κώλυσιν, οὐκ εἰς ἀπέραντον ἐξικνεῖται, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ γένους καὶ ὁ τοῦ ἑβδόμου βαθμοῦ κωλύεται γάμος· οὐ γὰρ δύναται ὁ δισεξάδελφος τὴν τρισεξαδέλφην γαμεῖν, κἂν ὁ τῶν τρισεξαδέλφων γάμος οὐκ ἀπειρημένος ἐστί. Πρὸς δὲ τοὺς ἐκ πλαγίου καὶ ὁ ἕβδομος συγχωρεῖται βαθμός· ἐπὶ δὲ τοῦ προσαγγελθέντος συνοικεσίου ἕκτος εὑρίσκεται βαθμός· ἡ μὲν γὰρ Καλὴ πρὸς τὸν Γεώργιον, πρῶτοι ὄντες ἐξάδελφοι, τέταρτον ἔχουσι πρὸς ἀλλήλους βαθμόν· ὁ δὲ Μιχαὴλ πρὸς τὴν Εἰρήνην, δύο ἀπέχει βαθμοὺς, ἅτε ἀδελφὸς ὢν ταύτης· καὶ οὕτω τοῦ ἕκτου βαθμοῦ συναγομένου, κωλύεται τὸ συνοικέσιον τῆς Εἰρήνης· ὃ δὴ καὶ αὐτὸς ὁ λογιώτατος ἢ μὴ γενόμενον κώλυσον, ἢ γενόμενον διάλυσον, εὑρίσκων τοῦτο κατὰ τὴν προσαγγελίαν τοῦ Λέοντος, τῷ ἕκτῳ περικλειόμενον· καὶ μηδὲν φοβηθῇς· πολλοὺς γὰρ ἔχω τοὺς συναιρομένους σοι τοῦ ἔργου, καὶ πολιτικοὺς νόμους, καὶ ἱεροὺς κανόνας, καὶ αὐτὸν τὸν νεαρὸν τόμον τοῦ ἀειμνήστου καὶ ὁσίως ἀναπαυσαμένου κυροῦ Σισιννίου τοῦ πατριάρχου.

Σχῆμα.

Ἀδελφοί.		*Ἀδελφοί.*
Λέων,	Νικηφόρος.	Μιχαὴλ καὶ Εἰρήνη.
|	|	
Καλὴ,	Γεώργιος.	

—

Γ'. Ἐξ ἐπιστολῆς Μιχαὴλ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ Πατριάρχου.

Ἱερεὺς γνοὺς τὴν σύνοικον μοιχευθεῖσαν, ἀπωσάμενος μὲν, ἀκώλυτος· παραδεξάμενος δὲ, ἀνίερος. Τῆς δὲ προικὸς τῆς μοιχευθείσης τοῦ ἱερέως γυναικὸς, τὸ μὲν δίμοιρον ὑπὲρ τοῦ σχεθέντος αὐτοῖς ἀποκρατηθήσεται παιδός· τὸ δὲ τρίτον παρασχεθήσεται αὐτῇ, δοθησόμενον εἰς μοναστήριον, ἐν ᾧ ἀποκαρήσεται.

(1) ά. Βασιλικ. ΚΗ, ς.

Δ'. Τοῦ αὐτοῦ.

ΙΕΡΕΥΣ, τινὰς παρὰ γνώμην τῶν γονέων συναπτομένους, ηὐλόγησεν· εἶτα διαστάντας ἀπ' αὐτῶν, καὶ συναπτομένους ἑτέροις κατὰ γνώμην τῶν τεκόντων, εὐλόγησεν ἕτερος ἱερεύς. Εἰ μὲν ἠγνόησε τὸ τῶν τεκόντων ἀβούλητον, ἐπὶ χρόνον τινὰ ῥητὸν τῆς ἱερουργίας ἐπισχεθήσεται, καὶ τὴν ἐν νηστείαις καὶ προσευχαῖς ταλαιπωρίαν ὑποστήσεται· ὁ χρόνος γε μὴν τῆς ἐπιτιμίας, μ'. ἡμέραι, ἢ δὶς τοσαῦται· εἰ δὲ ᾔδει, τῆς ἱερωσύνης ἐκπεσεῖται. Εἰ δὲ προσωτέρω τῆς ἡλικίας ἤλασαν, τῶν γονέων ὑπερτιθεμένων, καὶ παρὰ τοῦτο ἠναγκάσθησαν συναφθῆναι ἀκόντων, ἐπεὶ τὸ τοιοῦτον καὶ τοῖς νόμοις δοκεῖ, καὶ ὁ εὐλογήσας ἀναίτιος· καὶ ὁ δεύτερος δὲ ἀγνοῶν τὸ πρῶτον συνοικέσιον, ἀναιτίατος· εἰδὼς δὲ, ἐπιτιμίοις μετριωτέροις ὑποβληθήσεται, ὅτι τοὺς πορνείας ἐγκλήματι ἁλόντας, ὡς καθαροὺς, ἐστεφάνωσεν. Εἰ μέντοι γνώμῃ τῶν γονέων ὁ πρῶτος συνέστη γάμος, εἶτα παραλόγως διέστησαν, ὁ μὲν πρῶτος ἱερεὺς, ἀθῶος· ὁ δεύτερος δὲ, τῆς ἱερωσύνης ἀλλότριος, εἴτε παρῆσαν οἱ γονεῖς, εἴτε μή.

Ε'. Ἐξ ἐπιστολῆς τοῦ αὐτοῦ πατριάρχου Μιχαήλ.

ΕΠΙ τῶν ἐκ τοῦ αὐτοῦ γένους, καὶ ὁ τοῦ ἑβδόμου βαθμοῦ κωλύεται γάμος· οὐ γὰρ δύναται ὁ δισεξάδελφος τὴν τοῦ δισεξαδέλφου θυγατέρα γαμεῖν, κἂν ὁ τῶν τρισεξαδέλφων γάμος οὐκ ἀπηγόρευται· πρὸς δὲ τοὺς ἐκ πλαγίου ἐξ ἀγχιστείας, καὶ ὁ ἕβδομος συγχωρεῖται βαθμός. Πρῶτοι οὖν ἐξάδελφοι εἰ συνήφθησαν ἀδελφαῖς ἐξ' ἑτέρου γένους, ὁ ὕστερος γάμος ἀθέμιτος· καὶ γενόμενος μὲν, διασπασθήτω· μὴ γενόμενος δὲ, κωλυθήτω· τετάρτου μὲν γὰρ βαθμοῦ οἱ ἐξάδελφοι, δευτέρου δὲ οἱ ἀδελφοί· καὶ εὑρίσκονται ἕκτου βαθμοῦ· ὅπερ καὶ ὁ πολιτικὸς ἀπείργει νόμος (1).

---

(1) Ὅρα καὶ Ἐπιτομὴν τῶν κανόνων ὑπὸ Ἀρμενοπούλου (Τόμ. ς', τῆς παρούσης ἐκδόσεως) Τμῆμα Α'. Ἐπιγραφὴ δ'. τὸ εἰς τὸν β'. τῆς Δ'. καὶ ιθ'. τῆς Ζ'. σχόλιον, ὅπου μνημονεύεται καὶ ἕτερον συνοδικὸν ψήφισμα Μιχαὴλ τοῦ Κηρουλαρίου.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΛΕΙΧΟΥΔΟΥ.

ΣΗΜΕΙΩΜΑ ΣΥΝΟΔΙΚΟΝ,

ΠΕΡΙ ΔΟΥΛΟΥ ΕΓΚΛΗΜΑΤΙΚΟΥ.

Κωνσταντῖνος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης(1).

Μετα τῶν ἄλλων ἁπάντων τῶν τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας δικαίων τε καὶ καλῶν, οὐδὲ τὰ περὶ τῶν δούλων εὐδοκούμενά τε καὶ διοριζόμενα, τοῦ δικαίου καὶ πρέποντος ἠλλοτρίωνται· ὅσοι γὰρ καὶ τούτων φόνου μύσει χρανθῶσι, καὶ τῶν θείων αὐτῆς περιβόλων ἐντὸς γένωνται, προσίεται συμπαθῶς· καὶ θανάτου μὲν ἐπίσης τοῖς ἄλλοις ῥύεται μητρικῶς, δουλείᾳ δὲ διηνεκεῖ, συμπαρεκτεινομένῃ τῇ ἐκείνων ζωῇ, κατὰ τὴν ἀρχῆθεν ἐμπολιτευομένην αὐτῇ συνήθειαν, κατακρίνει θεοπρεπῶς, θείοις φροντιστηρίοις καὶ εὐαγέσιν οἴκοις ἀπεμπολοῦσα, ὡς ἂν καὶ τὸν δι' ἐλπίδος ἀδέσποτον βίον τῆς διανοίας ἐκβάλοιεν, καὶ τὸν τῆς ἀτοπίας ἔλεγχον ἐγκαλούμενον ἔχοιεν τῷ τῆς δουλείας ὀνόματι, καὶ διὰ μετανοίας τὸ τοῦ φόνου ἄτοπον ἀποκαθαίροιεν. Καὶ τοίνυν Δημήτριον, τὸν οἰκέτην τοῦ δεῖνος, μιάσματι φονικῷ χρανθέντα, καὶ ἐξαγορεύσαντα, κατὰ τὸ ἀνέκαθεν ἔθος, ἐξέδοτο ὡς ἡμαρτηκότα τοιοῦτον φόνου μύσος ἡ τοῦ Θεοῦ μεγάλη Ἐκκλησία διὰ τῶν θεοσεβεστάτων ἐκδίκων Δημητρίῳ ἐπισκόπῳ Πρηΐνης, ἐπὶ παροχῇ νομισμάτων κδ', ὥςε πᾶσαν αὐτοῦ δεσποτείαν ἔχειν καὶ κυριότητα, καὶ μηδένα τῶν ἁπάντων ἕτερον αὐθεντεῖν αὐτοῦ· παραινοῦσα διὰ ταυτησὶ τῆς ὑπαγορευθείσης γραφῆς καὶ τοῖς κατὰ καιροὺς θεοφιλεστάτοις ἐπισκόποις τῆς αὐτῆς ἐπισκοπῆς, κήδεσθαι τῆς αὐτοῦ πλέον σωτηρίας, καὶ τὰ πρὸς λυσιτέλειαν καὶ ἄφεσιν τοῦ τοιούτου

(1) Κωνσταντῖνος ὁ Λειχούδης, διατελέσας πρωτοσπαθάριος τοῦ Παλατίου, ἐξελέχθη πατριάρχης μετὰ Μιχαὴλ τὸν Κηρουλάριον κατὰ το ἔτος 1059, ἐπὶ τοῦ Αὐτοκράτορος Ἰσαακίου τοῦ Κομνηνοῦ. Ἐποίμανε δὲ τὴν τοῦ Χριστοῦ ποίμνην ἔτη πέντε.

κύσους ἐγκελεύεσθαί τε καὶ διδάσκειν· μὴ μέν τοι πειρᾶσθαι, τῆς δουλικῆς αὐτὸν τύχης ἐλευθεροῦν, μήτε πιπράσκειν εἰς πρόσωπον, ἐξ οὗ τῆς διηνεκοῦς δουλείας καὶ τοῦ ἐκκλησιαστικοῦ ἐπιτιμίου λυθήσεται. Εἰ γάρ ποτε καταγγελθῇ ὁ εἰρημένος ἐλευθερίαν ἐπιφερόμενος, αὐτὸς μὲν τὴν δικαίως αὐτῷ ὡρισμένην καταδίκην οὐκ ἐκφεύξεται, ἀλλ' ἐκδοθήσεται πάλιν διὰ τῶν θεοφιλεστάτων ἐκδίκων χαλεπωτάτῃ δουλείᾳ, καὶ βαρυτάτῃ ὑπηρεσίᾳ· ζημιωθήσεται δὲ ἡ ἐπισκοπὴ, ὡς τὰς γεγραμμένας ἀθετήσασα διατάξεις· καὶ ὁ κατὰ καιροὺς ταύτης προεστὼς, ὑπὸ δίκην κανονικὴν ἀχθήσεται. Πρὸς ἀποτροπὴν οὖν τοῦ ποτὲ δεσπόσαντος, τῆς τε νομικῆς ἐπὶ τοῖς τοιούτοις καὶ δικαίας ἀποτολμίας, τοῦ μηδαμῶς εὐθύνεσθαι σωματικῷ θανάτῳ, μήτε μὴν ἐπηρεάζεσθαι, ἢ τιμωρεῖσθαι παρ' ἑτέρου προσώπου τὸν ἐκδεδομένον Δημήτριον, ἐγράφη τὰ διωρισμένα ἐκκλησιαστικῷ ἔθει, καὶ σφραγισθέντα τῷ διὰ μολύβδου βουλλωτηρίῳ, ἐπεδόθη μηνὶ Δεκεμβρίῳ, ἐπινεμήσεως ιϐ', ἔτους ,ϛφξζ'.

—

Β'. ΠΕΡΙ ΤΟΥ ΦΟΝΕΥΣΑΝΤΟΣ ΙΕΡΕΩΣ, ΚΑΙ ΚΑΘΑΙΡΕΘΕΝΤΟΣ.

Την ἄνωθεν τῶν νομοθετῶν περὶ τὰ τεμένη εὐλάβειαν, ἔξεστι μὲν καὶ διὰ πολλῶν ἑτέρων καταμαθεῖν, πολλῷ δὲ μᾶλλον, οἷς τῷ φιλανθρώπῳ τὴν πρὸς τὸν φιλάνθρωπον εὐσέβειαν ἐπιδείκνυνται· τοῖς γὰρ ἀφῃρημένοις πᾶσαν ἐλπίδα ζωῆς μεγέθει τῶν πλημμεληθέντων αὐτοῖς, τοὺς τῆς θείας καὶ μεγάλης Ἐκκλησίας ἤνοιξαν περιβόλους· ὧν εἰ φθάσαιεν ἐντὸς γενέσθαι τινὲς, πάσης ἀφιᾶσιν αὐτοὺς ἐνοχῆς καὶ κακώσεως, τὴν εἰς τὸ ἱερὸν αὐτῶν ἄφιξιν οὐκ ἄνευ θείας προνοίας καὶ σωτηρίας κρίναντες γίνεσθαι. Οὕτω δὴ οὖν, καὶ εἴ τινες τῶν ἱερωμένων εἰς τὸ τῆς ἀνδροφονίας ἐκκυλισθεῖεν μύσος, ἐπεὶ ναὸς Θεοῦ εἰσι τρόπον τινὰ, καθιερωθέντες αὐτῷ, τοῦ τῆς ἱερωσύνης βαθμοῦ καταγόμενοι, διατελοῦσιν εἰς τὸ τῶν λαϊκῶν ἐξεταζόμενοι πλῆθος, μέχρις ἂν ἡ παροῦσα τούτοις ἐπιμετρῆται ζωὴ, ἀρκοῦν ἐξίλασμα τοῦ φόνου τὴν τοιαύτην ἔκπτωσιν ἔχοντες. Ἐντεῦθεν καὶ ὁ δεῖνα ἱερεὺς, τῶν ἱερῶν τῆς Ἐκκλησίας περιβόλων ἔνδον γενόμενος, ἐξηγό-

ρευσε, τοὺς οἰκείους υἱοὺς προτρέψασθαι συναπελθεῖν τῷ λοιπῷ ὁμίλῳ τοῦ χωρίου αὐτῶν, καὶ συνεργῆσαι εἰς τὸν τοῦ Χαλκεωπούλου Κατακαλῶν φόνον. Ταῦτα ἐξαγορεύσας, τοῦ ἱεροῦ καταλόγου, κατὰ τοὺς θείους κανόνας, διὰ τὸ γεγονὸς τοῦ φόνου μύσος, ἐξέπεσεν. Ὥστε δὲ ἄνετον μένειν αὐτὸν, ἀνέπαφόν τε, καὶ ἀνεπηρέαστον, τὸ παρὸν καθαιρετικὸν γράμμα γραφῆναι καὶ ὑπογραφῆναι προετρέψαμεν, μηνὶ Ἰουλίῳ, ἐπινεμήσεως ιϐ΄.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΞΙΦΙΛΙΝΟΥ (1).

Α'. ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ.

Μηνὶ Ἀπριλίῳ κς', ἡμέρᾳ δ', ἐπινεμήσεως δ', ἔτους ςφοδ', προκαθημένου Ἰωάννου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς δεξιοῖς μέρεσι τῶν κατηχουμενείων, συνεδριαζόντων αὐτῷ πανιερωτάτων μητροπολιτῶν, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Ἀγκύρας, τοῦ Κυζίκου, τοῦ Χαλκηδόνος, τοῦ Σεβαστείας, τοῦ Γάγγρας, τοῦ Φιλίππων, τοῦ Ἱεραπόλεως, τοῦ Κοτυαείου, τοῦ Μιτυλήνης, τοῦ Χωνῶν, τοῦ Νακωλείας· καὶ ἀρχιεπισκόπων, τοῦ Μαρωνείας, τοῦ Προικοννήσου, τοῦ Γαρέλλης, τοῦ Λήμνου, τοῦ Βοσπόρου, τοῦ Γοτθίας, τοῦ Ἡρακλέος· ἐλθόντων καὶ ἐν ὑστέρῳ, τοῦ Ἀμασείας, τοῦ Μελιτηνῆς, τοῦ Κλαυδιουπόλεως, τοῦ Ἰκονίου, καὶ τοῦ Ὑδροῦντος.

Εἰ καὶ μὴ προδήλως καὶ κατὰ λέξιν ἐν τῷ ἐκτεθέντι συνοδικῷ τόμῳ παρὰ τοῦ ἀοιδίμου πατριάρχου κυρίου Σισιννίου, ἐπὶ τῶν] κεκωλυμένων καὶ ἀθεμίτων γάμων, διείληπται καὶ περὶ τῆς μνηστείας, ἀλλ' ἐπεὶ καὶ τὴν τοῦ πατρὸς μνηστὴν, καὶ τὴν τοῦ ἀδελφοῦ, κωλύει παντάπασιν ὁ πολιτικὸς νόμος τῷ υἱῷ ἢ τῷ ἀδελφῷ ζεύγνυσθαι, διὰ τὸ τὴν μὲν μητρυιᾶς τάξιν ἔχειν, τὴν δὲ νύμφης, κἂν ὁ γάμος μὴ προβέβηκε (2)· τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς μνηστῆς τοῦ θεοῦ υἱοῦ, κἂν ἡ θέσις λυθῇ, μὴ δυναμένου τοῦ θετοῦ πατρὸς ταύτην λαβεῖν, ὡς νύμφην, καὶ τοῦ ἰδίου υἱοῦ γαμετὴν(3)· ἐκράτησε δὲ καὶ μέχρι τῆς δεῦρο τὸν μνηστευσάμενον κόρην, καὶ ἢ θανάτῳ ταύτην ἀποβαλόντα, ἢ διαζυγίῳ, ἢ συναινέσει, καὶ προστίμων καταβολῇ, εἶτα ἑτέραν

(1) Ἰωάννης ὁ Ξιφιλῖνος, Τραπεζούντιος, μοναχὸς γενόμενος ἀπὸ συγκλητικοῦ, ἐξελέχθη πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1064 ἐπὶ τοῦ Αὐτοκράτορος Κωνσταντίνου τοῦ Δούκα. Πατριαρχεύσας ἔτη ἕνδεκα, ἀποθνήσκει τὸ ἔτος 1075 ἐπὶ Μιχαὴλ Δούκα, τοῦ ὀνομασθέντος Παραπινακίου.

(2) ά. Βασιλικ. ΚΗ', 5. — (3) ϐ'. Βασιλικ. ΚΗ', 5.

ἀγαγόμενον, μὴ δύνασθαι ἱερέα, ἢ διάκονον, ἢ ὑποδιάκονον χειροτονεῖσθαι, δίγαμον δηλαδὴ λογιζόμενον· ἔδοξε καὶ νῦν τῇ ἡμῶν μετριότητι, καὶ πάσῃ τῇ ἐνδημούσῃ ἱερωτάτῃ συνόδῳ, τοῦ κρατεῖν ἐπὶ πάντων τῶν ἀθεμίτων καὶ κεκωλυμένων, μὴ μόνον εἰ γάμος καὶ ἱερολογία φθάσει προβῆναι, κωλύεσθαί τε καὶ ἄθεσμον τὸ συνάλλαγμα ὀνομάζεσθαι· ἀλλὰ κἂν μνηστεία κατὰ τὸν νόμον τετέλεσται, γάμος δὲ οὐκ ἀπήρτισται, θανάτῳ δὲ, ἢ ἑτέρῳ τρόπῳ διαλέλυται, μὴ ἐξὸν εἶναι, θάτερον τῶν προσώπων, τῷ κατὰ τὴν συγγένειαν ἡνωμένῳ αὐτῷ προσώπῳ ἐξ ἧς αἰτίας κώλυμα γίνεται γάμου, ἢ κατὰ ἄλλον τινὰ τρόπον τὸ ἀθέμιτον παρεισάγεται, συνάπτεσθαί τε κατὰ τὸν νόμιμον γάμον, καὶ νόμοις ἐγνωσμένον, ἢ θείοις κανόσι τὸ συνάλλαγμα ἢ τὴν συνοίκησιν κεκλῆσθαί τε καὶ ὅλως καθίστασθαι· τῆς νομίμου μνηστείας τοῦ γάμου τάξιν τε καὶ κατάστασιν ἐχούσης. Διὰ τοῦτο γὰρ καὶ προστίμων ἄνευ λύεσθαι ταύτην οὐκ ἔξεστιν· ἀλλ' ἐπὶ μὲν τῶν ἀθεμίτων νομικὸς διορίζεται κανὼν, ὡς, ἔνθα τὸ συνάλλαγμα νόμοις ἀπρόσδεκτον, ποινὴν ἀπαιτεῖσθαι οὐκ ἔξεστιν· ἐπὶ δὲ τῶν ἐῤῥωμένων καὶ νομίμων, ὥσπερ ἐν τοῖς γάμοις, αἱ ποιναὶ ἀντιδίδονται· εἰ μὲν ἐξ αἰτίας δηλονότι τῆς γυναικὸς τὸ διαζύγιον πέμπεται, τοῦ ἀνδρὸς κερδαίνοντος· εἰ δὲ παρ' αἰτίαν τοῦ ἀνδρὸς, τῆς γυναικὸς ἀποφερομένης τὸ κέρδος· οὕτω καὶ ἐν ταῖς μνηστείαις, τῆς λύσεως μετὰ προστίμου συνισταμένης, πρόδηλον, ὡς ὁ μνηστείαν συστησάμενος, καὶ κατὰ νόμους διαλυσάμενος, εἶτα ἑτέραν ἀγαγόμενος, δίγαμός τέ ἐστι, καὶ οὕτω νῦν καὶ εἰς τὸ ἑξῆς ὀνομασθήσεταί τε καὶ ἔσται· τὸ δ' αὐτὸ πάντως καὶ ἐπὶ τῶν θηλειῶν· ἐπεὶ τὰ αὐτὰ ἐφ' ἑκατέρας φύσεως οἱ νόμοι κρατεῖν κἂν τοῖς γάμοις, κἂν τοῖς ἑτέροις συναλλάγμασι θεσπίζουσι. Διαῤῥήδην τοίνυν ἀποφαινόμεθα, ὅσα καὶ οἷα πρόσωπα ἀπὸ τῶν πολιτικῶν νόμων, ἢ ἀπὸ τῶν θείων κανόνων, ἢ ἀπὸ τοῦ δηλωθέντος συνοδικοῦ τόμου, ἢ ἀπὸ ἑτέρου τοῦ περὶ τριγαμίας συνοδικοῦ τε ἅμα καὶ βασιλικοῦ θεσπίσματος, εἰς γάμου κοινωνίαν κεκώλυται, τὰ αὐτὰ καὶ ἐπὶ τῶν μνηστειῶν τὴν κώλυσιν ἐναργεστάτην ἔχειν, καὶ μηδὲν εἶναι γάμου τε καὶ μνηστείας διάφορον, εἰς σύστασιν τοῦ θεμιτοῦ καὶ ἐῤῥωμένου.

Β'. ΕΤΕΡΑ ΣΥΝΟΔΙΚΗ ΑΠΟΦΑΣΙΣ

Περὶ μνηστείας.

ΜΗΝΙ Μαρτίῳ ιθ'. ἐπινεμήσεως ε'. ἔτους ,ςφοέ, προκαθημένου Ἰωάννου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, ἐν τῷ μικρῷ σεκρέτῳ, συνεδριαζόντων αὐτῷ καὶ τινων ἀρχόντων συγκλητικῶν, πρὸς τούτοις δὲ πανιερωτάτων μητροπολιτῶν, τοῦ Καισαρείας, τοῦ Ἡρακλείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Τυάνων, τοῦ Νεοκαισαρείας, τοῦ Ἀμωρείου, τοῦ Κοτυαείου, τοῦ Ἀμάστριδος, τοῦ Κελεσηνῆς, τοῦ Κολωνείας, καὶ ἀρχιεπισκόπων, τοῦ Σηλυβρίας, τοῦ Ῥουσίου, καὶ τοῦ Γοτθίας.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν συγκλητικῶν ἁπάντων ὑποχωρησάντων, ἐλθόντος δὲ καὶ τοῦ μητροπολίτου Πατρῶν, καὶ συγκέλλου Νικήτα, προετέθη τὸ τῆς μνηστείας ἀμφιβαλλόμενον· εἴ γε χρὴ ἐν τοῖς γαμικοῖς συναλλάγμασιν, ἔνθα συγγενείας ἐστὶ νόμος κώλυσιν ἐπάγων, ἀντὶ γάμου ταύτην λογίζεσθαι· καὶ ἢ ἐπιτρέπεσθαι τὸ μετὰ τοῦτο μέλλον προβῆναι συνοικέσιον, ἢ ἀποτρέπεσθαι, ὡς ἄθεσμόν τε, καὶ νόμοις ἐναντιούμενον, καὶ θείοις κανόσι προσκόπτον. Καὶ ἠρωτήθησαν οἱ παρουσιάζοντες ἅπαντες πανιερώτατοι ἀρχιερεῖς, καὶ εἶπον κοινῇ γνώμῃ κατὰ τὸ ἀναμφίβολον (1), κωλυτέον εἶναι τὸ συνάλλαγμα, ἔνθα μνηστείας προβάσης, καὶ γάμου μὴ ἐπακολουθήσαντος, πρός τι πρόσωπον ἢ ἀπὸ συγγενείας, ἢ ἀπὸ ἀγχιστείας προφανοῦς εἰργόμενον, μέλλει ἕτερον τελεσθῆναι συνάλλαγμα· τοῦτο μὲν, τοῦ ἐνενηκοστοῦ ὀγδόου κανόνος τῆς ἁγίας οἰκουμενικῆς ἕκτης συνόδου οὕτω κατὰ ῥῆμα διαλαμβάνοντος· Ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν, ἔτι τοῦ ἀνδρὸς ζῶντος, εἰς γάμον ἀγόμενος, τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι· εἰ γὰρ μὴ ἐλογίζοντο οἱ θεῖοι Πατέρες τὴν μνηστείαν εἰς γάμου τάξιν, ἀλλ' ἄλλο τι, πῶς ἂν μοιχείας ἐγκλήματι τὸν συναπτόμενον τῇ ἕτερον μνηστευσαμένῃ ὑπέβαλλον; πρὸς ὕπανδρον γὰρ προδήλως ἡ μοιχεία πλημμελεῖται, καὶ ἀδιάφορον οἱ κανόνες τὸν τῶν ἐπιτιμίων λόγον καὶ τρόπον ἐπί τε τῆς μοιχείας καὶ τῆς πορνείας οὐ τίθενται· τοῦτο δὲ, καὶ τοῦ πο-

(1) Δ. — κατὰ τὸ ἀμφίβολον, Δ. ἐν περισσ.

λιτικοῦ νόμου ἐν τῷ ε. τίτλῳ τοῦ κή. βιβλίου τῶν Βασιλικῶν οὕτω λέγοντος· Τὴν τοῦ πατρός μου, ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν οὐ δύναμαι λαμβάνειν, κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν· ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει. Καὶ μετά τινα κεφάλαια· Κἂν πολλὰς ἔσχεν ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω· οὐδὲ μητέρα τῆς ποτέ μου μνηστῆς· γέγονε γάρ μου πενθερά(1). Δῆλον οὖν καὶ ἐπὶ τούτου, ὡς ἀντὶ γάμου τὴν μνηστείαν οἱ νομοθέται ἔθεντο, καὶ ἄθεσμον τὸ συμβαῖνον ἡγήσαντο, καὶ μὴ οἷόν τε συνάπτεσθαι ἐθέσπισαν· καὶ ταῦτα ἐπὶ ἀγχιστείας· μετὰ γὰρ τὸ ἀριθμήσασθαι τὰς ἐξ αἵματος κωλύσεις, ἐπάγουσιν· Εἰσὶ δὲ καὶ ἕτεροι, οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες(2)· καὶ ἐν τῷ καταλόγῳ τῶν τοιούτων κωλυμάτων συντάττονται καὶ τὰ εἰρημένα κεφάλαια. Καὶ οἱ συμπαρόντες πανιερώτατοι ἀρχιερεῖς τῇ τοιαύτῃ κανονικῇ τε καὶ νομικῇ γνώμῃ ὡμογνωμόνησαν, καὶ οὕτω φρονεῖν τε καὶ λέγειν ἀνωμολόγησαν, καὶ μηδέν τι ἐναντίον φρονεῖν ἢ πράττειν, ὁμοφώνως ἐξεῖπον· ἐπεὶ καὶ ἐν ταῖς εἰς ἱερωσύνην παραγγελίαις οὕτω ποιεῖν καὶ χειροθετεῖν ἔφασαν, ὡς ὅτε τις μνηστευσάμενός τινα, καὶ μὴ κατὰ γάμον συναφθείς, ἀποσταίη ταύτης οἱῳδήποτε τρόπῳ, εἶτα ἑτέρῳ νομίμῳ γάμῳ συναφθῇ, οὔτε ἱερέως χειροτονίαν δέχεται, οὔτε χειροτονούμενος ἴσως ἐξ ἀγνοίας ὠφέλειάν τινα ἔχει, ἀλλὰ τῆς ἱερωσύνης, ὡς δίγαμος, ἀλλοτριοῦται· ἐπεὶ καὶ τὴν ἑτέρῳ μνηστευθεῖσαν εἴ τις ἀγάγηται, εἰς ἱερωσύνης βαθμὸν ἐμποδίζεται ἀναβαίνειν. Οὕτω καὶ γινώσκειν καὶ λέγειν ὁμοῦ πάντες κατέθεντο, καὶ οὕτω πράττεσθαι ἐκ παντὸς χρεὼν, ἐξεφώνησαν.

Γ'. ΨΗΦΙΣΜΑΤΟΣ ΙΣΟΝ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΚΑΙ Οἰκουμενικοῦ πατριάρχου, Κυρίου Ἰωάννου, πρός τινα μητροπολίτην, περὶ κεκωλυμένων γάμων, ἐκτεθέντος παρὰ Νικήτα διακόνου καὶ χαρτοφύλακος.

ΟΤΙ μὲν ἐπὶ τῶν ἀθεμίτων ἢ κεκωλυμένων γάμων, τινὰ πρόσωπα τοῖς εὐσεβέσι καὶ βασιλικοῖς νόμοις ὥρισται ῥητῶς ἐπὶ συναλλάγμασιν ἰέναι κωλυόμενα πρὸς γάμον ὅλως συνάπτεσθαι,

---

(1) α. Βασιλικ. ΚΗ. 5. θέμ. θ'. — (2) αὐτόθι θέμ. ζ'.

διὰ τὸ τοῦ πράγματος ἀθέμιτον· εἰσὶ δέ τινα μηδεμιᾷ κωλύσει ὑποκείμενα, ἀλλ' ἄνετον ἔχοντα τὸ θέλημα ἐπὶ συναλλάγματι γαμικῷ, διὰ τὸ ἀκώλυτον τῆς πράξεως· οὐκ οἶμαί σε ἀγνοεῖν, θεοφιλέστατε. Ἔνθα δὲ ῥητῶς τι μὴ διηγόρευται τοῖς νόμοις καὶ τοῖς θείοις κανόσι, συνοδικὴ διὰ τὰς συνεχεῖς ἐρωτήσεις οἰκονομία ἐπὶ τοῦ μακαρίτου πατριάρχου κυρίου Ἀλεξίου γέγραπται, τυποῦσα τὸ ὀφεῖλον ἐν τοῖς τοιούτοις προβαίνειν, ἤγουν, ἔνθα περ ἕβδομος τῆς συγγενείας ἐστὶ βαθμός· καὶ δηλοῦσα, ὡς εἰ μὲν ἐρωτηθῇ τὸ τοιοῦτο πρὸ τῆς αὐτοτελοῦς πράξεως καὶ τοῦ ἀποτελέσματος, κωλύεσθαι· εἰ δὲ λάθοι ὡς ἀγνοούμενον, καὶ ἀποτελεσθείη, μένειν μὲν ἀδιαίρετον, ὑποκεῖσθαι δὲ τοὺς συναφθέντας ἐπιτιμίοις, καθὼς ἂν ὁ τοῦ τόπου συνίδῃ ἐπίσκοπος. Ἐπεὶ οὖν καὶ ἡμεῖς ἠρωτήθημεν παρά τινος τῶν ἐν τῇ ὑπὸ σὲ ἐνορίᾳ, ὡς ὁ Γεώργιος καὶ ἡ Μαρία, ἀδελφοὶ ὄντες, ἔτεκον, ὁ μὲν τὴν Εἰρήνην, ἡ δὲ τὸν Βασίλειον· ὁ δὲ Βασίλειος ἐγέννησε τὴν Μαρίαν· τῆς δὲ Εἰρήνης τῷ Ἐπιφανίῳ συναφθείσης, βούλεται ὁ τοῦ Ἐπιφανίου αὐτάδελφος τὴν Μαρίαν ἀγαγέσθαι· ἀπεφηνάμεθα διὰ γραφῆς, ὡς οὐκ ἔξεστιν αὐτῷ ἑνωθῆναι αὐτῇ διὰ τὸν τοῦ Ἐπιφανίου μετὰ τῆς Εἰρήνης τῆς θείας αὐτῆς ἤδη γεγενημένον γάμον. Καὶ οὕτω μὲν ἀνεχαιτίσθη τηνικαῦτα ἡ τοιαύτη τῶν εἰρημένων προσώπων ἕνωσις· θάτερόν γε μὴν τῶν μερῶν, σπεῦδον ἐπὶ τὴν τοῦ συναλλάγματος ἐνέργειαν, τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ἐδεήθη, ὡς ἂν ὁ λογιώτατος νομοφύλαξ κρίνῃ περὶ τούτου καὶ ψηφίσηται. Ἀλλ' αὖθις ὁ ἀντιδικῶν αὐτῷ, δέησιν τῷ θειοτάτῳ κράτει ἐπανατεινάμενος, θείας εὐμοίρησεν ἀντιγραφῆς, οὕτως ἐχούσης· Τὸ κριθὲν παρὰ τοῦ τιμιωτάτου χαρτοφύλακος, καὶ μᾶλλον ἐπὶ κωλύσεως γάμου, οὕτω μενεῖ, ὥσπερ ἐκρίθη. Τὴν τοιαύτην οὖν δεξάμενοι ἀντιγραφὴν, δηλοῦμέν σοι, ὃ καὶ πρότερον ἐπὶ τῆς τοιαύτης ὑποθέσεως ἐρωτηθέντες δεδηλώκαμεν· ὥστε μὴ ἐξεῖναι, τὸν Μιχαὴλ ἑαυτῷ τὴν Μαρίαν συνοικήσασθαι, διὰ τὸν τοῦ Ἐπιφανίου μετὰ τῆς Εἰρήνης ἤδη ἐκτεθέντα γάμον συγχεομένων τῶν ὀνομάτων τῆς συγγενείας· καὶ μάλιστα, κατὰ τὸν τοῦ θεοφόρου καὶ μεγάλου πατρὸς Βασιλείου λόγον καὶ ὅρον· τὰς γὰρ τῶν ἀδελφῶν γαμετὰς, θείαν οὔσας καὶ ἀνεψιὰν, καὶ συννύμφας ἐνταὐτῷ συμβαί-

νει καλεῖσθαι· ὡς κεκωλυμένον συνάλλαγμα, ἄπρακτον διαμεῖναι, καὶ μηδὲ πρόστιμον ἐκ παραβασίας ἀπαιτηθῆναι· οὕτω γὰρ, καὶ ὅτε καταρχὰς ἠρωτήθημεν, ἀπελογησάμεθα, τοῦ ζητήματος τότε τῆς τοιαύτης ἕνεκεν αἰτίας ὄντος· καὶ διδάσκει ἡ ὑποκειμένη τῇ διαγραφῇ (1) τῆς ὑποθέσεως ἡμετέρα ἔγγραφος ἀπόκρισις. Εἰ δὲ καὶ προῖκα ἴσως τὸ τοῦ ἀνδρὸς ἔφθασε δέξασθαι μέρος, ἢ προγαμιαίας δωρεᾶς ὑπόσχεσιν, ἢ δόσιν, τὸ τῆς γυναικὸς, οὐ παρὰ τοῦτο συντηρηθήσεται τὸ συνάλλαγμα· ἐπεὶ μηδὲ αἱ προῖκες συνιστῶσι τοὺς γάμους, δυναμένους καὶ χωρὶς τούτων συνίστασθαι, ὅτε νομίμως συναλλάττονται· τὰ δὲ ἐπὶ τοῖς ἀθεμίτοις ἢ κεκωλυμένοις ὑπισχνούμενα ἢ διδόμενα γάμοις, οὔτε προῖκες, οὔτε προγαμιαῖαι δωρεαὶ καθεστήκασι· καὶ χρὴ ἀναδοθῆναι τὰ δεδομένα καθ' ὃν τρόπον ἐδόθησαν, μηδεμιᾶς αὐξήσεως ἀπὸ τόκων προστιθεμένης.

Σχῆμα.

Ἀδελφοί.	*Ἀδελφοί.*
Γεώργιος, Μαρία.	Ἐπιφάνιος καὶ Μιχαήλ.
Ἐξάδελφοι.	
Εἰρήνη, Βασίλειος.	
|	
Μαρία.	

Ἐκωλύθη ἡ Μαρία λαβεῖν τὸν Μιχαήλ.

---

(1) Α. ἐν περισιλ. — τῆς διὰ γραφῆς Α.

ΕΥΣΤΡΑΤΙΟΥ (1).

ΠΕΡΙ ΔΥΟ ΔΙΣΕΞΑΔΕΛΦΩΝ, ΛΑΒΟΝΤΩΝ

Μητέρα καὶ θυγατέρα, καὶ λυθέντος τοῦ δευτέρου συνοικεσίου, ὡς ἀνόμως συστάντος.

Προκαθημενου Εὐςρατίου τοῦ ἁγιωτάτου πατριάρχου ἐν τῷ μικρῷ σεκρέτῳ, συνεδριαζόντων αὐτῷ Πέτρου τοῦ περιφανεστάτου πρωτοσπαθαρίου καὶ ἐπάρχου, καὶ θεοφιλεστάτων μητροπολιτῶν, τοῦ Νεοκαισαρείας, τοῦ Σεβηρίνης, τοῦ Χωνῶν, καὶ ἀρχιεπισκόπου τοῦ Ζηκχίας, καὶ πολιτικῶν ἀρχόντων, Πόθου πρωτοσπαθαρίου καὶ μεγάλου οἰκονόμου, Θεοδοσίου πρωτοσπαθαρίου καὶ οἰκονόμου τῶν εὐαγῶν, Ἰωάννου πρωτοσπαθαρίου καὶ χαρτουλαρίου, τοῦ γενικοῦ, τοῦ ἐπὶ τῶν δεήσεων Βασιλείου σπαθαροκανδιδάτου καὶ συμπόνου, καὶ Ῥωμανοῦ ἀσηκρῆτις καὶ σκρίβα, καὶ Λέοντος ἀσηκρῆτις καὶ λογοθέτου τοῦ πραίτωρος, εἰσήχθη ὅ, τε Μαλακηνὸς, καὶ ὁ Βάρδας, καὶ ὁ Θεόδωρος, οἱ Ἑλλαδικοὶ, πρωτοσπαθάριοι, ἐπιφερόμενοι καὶ γράμματα τοῦ τε μητροπολίτου Ἀθηνῶν, καὶ τοῦ μητροπολίτου Θηβῶν, καὶ τοῦ ἐπισκόπου Εὐρίπου· ὧν εἰς ἐπήκοον τῆς ἱερᾶς συνόδου καὶ τῶν συνεδριαζόντων πολιτικῶν δικαστῶν ἀναγνωσθέντων, ἐπεὶ περὶ ἀθεμιτογαμίας διελάμβανον γεγονυίας παρά τε Εὐθυμίου τοῦ Καπουλῆ, καὶ Μαρίας τῆς θυγατρὸς Βάρδα πρωτοσπαθαρίου καὶ ταξιάρχου, οἷα δύο δισεξαδέλφων, μητέρα καὶ θυγατέρα εἰς γάμου κοινωνίαν λαβόντων, ὡρίσθη, τόν τε γάμον ἀθέμιτον ὄντα ἀκυρωθῆναι, καὶ διαζύγιον περὶ αὐτὸν γενέσθαι· μὴ μέντοι εἰς ἀμφότερα τὰ μέρη, ἀλλ' εἴς τε τὸν Εὐθύμιον καὶ τὴν Μαρίαν, ὡς ἔσχατον καὶ μετὰ τὸν πρῶτον γάμον συναφθέντων αὐτῶν· πλὴν μέντοι ἀνεύθυνα διατηρεῖσθαι εἰς τὰ πρόστιμα τὰ τοιαῦτα πρόσωπα, ὡς συνοδικῶς τοῦ διαζυγίου προβαίνοντος· ἀποκαρῆναι δὲ τὴν Μαρίαν ἔν τινι τῶν κατὰ τόπον μοναστηρίων.

(1) Εὐστράτιος ὁ Γαριδᾶς, ἀμαθὴς μοναχὸς, ἄλλος παρὰ τὸν ὁμώνυμον νομικὸν, ἐξελέχθη πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1081, Ἐξώσθη μετὰ 3 ἔτη.

ΝΙΚΟΛΑΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ (1).

Α'. ΠΕΡΙ ΓΑΜΟΥ ΘΕΙΟΥ ΚΑΙ ΑΝΕΨΙΑΣ ΜΕΤΑ ΘΕΙΑΣ ΚΑΙ ΑΝΕΨΙΟΥ ΚΑΤ' ΑΓΧΙΣΤΕΙΑΝ.

ΜΗΝΙ Μαΐῳ ιέ, ἡμέρᾳ ζ', ἐπινεμήσεως ιέ, προκαθημένου Νικολάου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ Θωμαΐτῃ, συνεδριαζόντων συγκλητικῶν ἀρχόντων ζ', καὶ πολιτικῶν δικαστῶν, Ἰωάννου τοῦ μεγάλου δρουγγαρίου τῆς Βίγλας, Γεωργίου πρωτοπροέδρου τοῦ Μαγγάνη, Ἰωάννου πρωτοπροέδρου τοῦ Σολομῶντος, καὶ θεοφιλεστάτων μητροπολιτῶν (2) ἱκανῶν· παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων· προέθετο ὁ θεοφιλέστατος μητροπολίτης Φιλιππουπόλεως ἐπὶ τῆς ἱερᾶς συνόδου ἐρώτησιν, πυθόμενος, εἰ χρεὼν ἐςι θεῖον καὶ ἀνεψιὰν θείᾳ καὶ ἀνεψιῷ κατ' ἀγχιστείαν συνελθεῖν, ὡς τοῦτο μαθεῖν ἐθέλων, καὶ φυλάττειν εἰς τὸ ἑξῆς κατὰ τὴν ἑαυτοῦ ἐπαρχίαν. Καὶ πρὸς τὴν τοιαύτην τούτου ἐρώτησιν ἀπεκρίθησαν ἅπαντες, μέχρι μέν τινος ἀμφίβολον εἶναι τὸ τοιοῦτον συνάλλαγμα· ἐπεὶ δὲ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως δικάσαντος ἅμα ἡμῖν καὶ τῇ ἱερᾷ συνόδῳ περὶ τοῦ συναλλάγματος τοῦ προέδρου Βάρδα τοῦ Ξηροῦ, καὶ μετὰ ταῦτα ἑρμηνεύσαντος τὰ ἐν τῇ κρίσει ταύτῃ δόξαντα ἀμφίβολα, διεγνώσθη περὶ αὐτοῦ καὶ ἀπεφάνθη· τῇ τοιαύτῃ κρίσει ὁ ἀντιλέγων οὐκ ἔστιν, ὡς ἀκωλύτων φανέντων πανταχόθεν τῶν τοιούτων συναλλαγμάτων. Καὶ ταῦτα μὲν οἱ ἄλλοι πάντες. Ὁ Κλαυδιουπόλεως δὲ, καὶ ὁ Καρίας, καὶ πρὸς τούτοις ὁ Εὐχανείας, οὐ δύνασθαι ἔφησαν ἐκ ταὐτομάτου περὶ τούτου ἀποκριθῆναι, ἔστ' ἂν ἀναγνωσθῇ αὐ-

(1) Νικόλαος ὁ Γραμματικὸς, ἀνὴρ διασήμου παιδείας, ἐξελέχθη πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1084, ἐπὶ τοῦ Αὐτοκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ. Σώζονται δὲ αὐτοῦ, ἐκτὸς τῶν ὧδε ἐκδιδομένων διατάξεων, καὶ αἱ εἰς τὰς ἐρωτήσεις μοναχῶν τινων ἔξω τῆς πόλεως ἀσκουμένων ἀποκρίσεις ἐπὶ διαφόρων ἐκκλησιαστικῶν ζητημάτων. (Ὅρα τόμ. Δ'. σελ. 417.) Ἐπατριάρχευσεν ἔτη 27 ἀποθανὼν ἐν βαθεῖ γήρᾳ τὸ ἔτος 1111. — (2) μητροπολιτῶν κέ. καὶ ἀρχιεπισκόπων ϛ'. Λ. ἐν περισελ.

τοῖς καὶ διαγνωσθῇ τὰ τῆς τοιαύτης σεβαστῆς κρίσεως, καὶ τῆς ἐπ' αὐτῇ ἑρμηνείας, καὶ εἴ τι περὶ τοῦ τοιούτου συναλλάγματος συνοδικὸν προέβη σημείωμα. Ὅ γε μὴν Φιλιππουπόλεως, ἀπὸ τοῦ τόμου τοῦ πατριάρχου κυρίου Σισιννίου, καὶ εἰς τὴν τούτου ἐρώτησιν παρορμηθῆναι ἔφησε, καὶ ἔτι (1) τούτου ἐνίστασθαι, καὶ τὴν αὐτοῦ ἑρμηνείαν ἐπιζητεῖν.

Β'. Η ΓΕΝΟΜΕΝΗ ΠΡΟΣ ΤΟΥΣ ΜΗ ΣΥΝΕΛΘΟΝΤΑΣ

Τοῖς λοιποῖς ἀρχιερεῦσιν ἐπὶ τῇ ἐν τῷ ἀνωτέρω σημειώματι δηλουμένῃ ὑποθέσει ἐρώτησις, καὶ ἡ τούτων ἀπόκρισις.

ΜΗΝΙ Ἰουνίῳ ιδ'. τῆς αὐτῆς ἐπινεμήσεως ιέ, προκαθημένου Νικολάου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ Θωμαΐτῃ, συνεδριαζόντων αὐτῷ θεοφιλεστάτων μητροπολιτῶν ιγ', παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων· ἠρωτήθησαν οἱ γενομένης παρὰ τοῦ θεοφιλεστάτου μητροπολίτου Φιλιππουπόλεως Βασιλείου τῆς πεύσεως, περὶ τοῦ εἰ χρὴ θεῖον καὶ ἀνεψιὰν θεία καὶ ἀνεψιῷ κατὰ ἀγχιστείαν συνελθεῖν, τοῖς ἄλλοις ἀρχιερεῦσι μὴ συμφωνήσαντες, μηδὲ συναποκριθέντες αὐτοῖς, κατὰ τὰ τηνικαῦτα παρὰ τούτων πρὸς τὴν ῥηθεῖσαν τοῦ Φιλιππουπόλεως πεῦσιν ῥηθέντα, καὶ σημειώματα παραδοθέντα· ἤγουν ὁ Κλαυδιουπόλεως Ἰωάννης, ὁ Καρίας Ἰωσήφ, καὶ ὁ Εὐχανείας Ἰωάννης, ὁποίου σκοποῦ τυγχάνουσι τῆς τοιαύτης ἕνεκεν πεύσεως, ἐπὶ τοσοῦτον διασκεψάμενοι περὶ αὐτῆς, καὶ τί τούτοις περὶ ταύτης δοκεῖ· ἆρα συμφωνοῦσι τοῖς ἑτέροις, ἢ ἐναντιοῦνται τούτοις καὶ ἀντιλέγουσι. Καὶ ἀπελογήσαντο οἱ τρεῖς ὁμοθυμαδὸν, καὶ διεβεβαιώσαντο κατὰ μηδένα τρόπον διΐστασθαι τῶν ἰδίων συλλειτουργῶν, ἀλλὰ καὶ συμφρονεῖν κατὰ πάντα τούτοις, καὶ εἶναι συγγνώμονες, ὡς ἀναγνόντες καὶ διαγνόντες ἤδη καὶ τὰ πρότερον διεγνωσμένα καὶ σεσημειωμένα τῷ τε κρατίστῳ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ,. καὶ τῷ ἁγιωτάτῳ ἡμῶν δεσπότῃ τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ ἱερωτάτῃ συνόδῳ, καὶ τὰ ἐς ὕστερον ἐπιλυθέντα τε καὶ ἑρμηνευθέντα παρὰ τῆς

---

(1) ἴσως, ἐκ τούτου.

φιλοχρίστου βασιλείας αὐτοῦ, ἐφ' οἷς ἐδόκουν ἔχειν τινὰ ἀμφίβολα, καὶ μηκέτι κατά τι ἀντιλέγοντες, ὡς ἀκωλύτων τῶν τοιούτων συναλλαγμάτων φανέντων, καθὰ καὶ προσεσημείωται.

Γ'. ΠΕΡΙ ΤΩΝ ΚΑΝΟΝΙΚΩΝ.

Μηνὶ Νοεμβρίῳ ιε', ἐπινεμήσεως ι', προκαθημένου Νικολάου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ μικρῷ σεκρέτῳ, συνεδριαζόντων αὐτῷ τῶν θεοφιλεστάτων μητροπολιτῶν, τοῦ Ἀγκύρας, τοῦ Κυζίκου, τοῦ Κλαυδιουπόλεως, τοῦ Χριστιανουπόλεως, τοῦ Ῥωσίας· καὶ ἀρχιεπισκόπων, τοῦ Λεοντοπόλεως, τοῦ Σουγδίας, τοῦ Ῥουσίου· παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων·

Ὤοντο μέν τινες τῶν κατὰ χώραν θεοφιλεστάτων ἐπισκόπων ἐκ τοῦ συνοδικοῦ ἐπιστάλματος, ὃ πάλαι μὲν περὶ τῆς τοῦ κανονικοῦ δόσεως ἐπὶ τοῦ μακαρίτου πατριάρχου κυροῦ Ἀλεξίου ἐξετέθη, οὐ μικρῶς καταβλάπτεσθαι, ὡς ταῖς μετέπειτα γενομέναις θείαις καὶ βασιλικαῖς κατὰ τὰς πάσης τῆς οἰκουμένης πόλεις ἐναντιοῦσθαι δοκοῦντος χρυσοβούλλοις διαταγαῖς, παρόσον τὸ μὲν συνοδικὸν ὑπὲρ κανονικοῦ, νόμισμα ἓν χρυσοῦν ἐκ μόνου τοῦ ἱερέως εἰσπράττεσθαι διορίζεται, τῶν διακόνων καὶ ὑποδιακόνων μηδέν τι παρεχομένων· καὶ ἀφ' ἑκάστου τῶν χειροτονουμένων, εἰ μὲν ἀναγνώστης εἴη, νόμισμα ἓν χρυσοῦν· εἰ δὲ διάκονος, νομίσματα τρία ὅμοια· εἰ δὲ πρεσβύτερος, ἕτερα νομίσματα τρία ὅμοια, τὸν χειροτονοῦντα ὑπὲρ διατροφῆς λαμβάνειν διατάττεται· ὅτι μηδὲ ἀδάπανον, κἂν ἄμισθόν ἐστι τὸ Εὐαγγέλιον. Οἱ δὲ παρὰ τῶν εὐσεβῶν τεθέντες χρυσόβουλλοι λόγοι, προσθήκην τε τινὰ τοῖς παρὰ τῶν χειροτονουμένων παρεχομένοις ἐξεῦρον μετέπειτα, καὶ τὰς ἀπὸ τῶν λαϊκῶν ἀπαρχὰς κανονικὸν ὀνομάσαντες, ὡρίσαντο παρ' ἑκάστου τούτων ἀναλόγως τῇ αὐτῶν εὐπορίᾳ εἰσπράττεσθαι, καὶ τοῖς εὐλαβεστάτοις ἱερεῦσι παρέχεσθαι. Ἀλλὰ συνοδικῶς παραστάντες, καὶ τὰ βασιλικὰ διατάγματα εἰς μέσον προθέμενοι, καὶ τοὺς παλαιοτέρους συνοδικοὺς ὁρισμοὺς ἀναγνωσθῆναι πρὸς τούτοις καθικετεύσαντες, ἐφάνησαν μηδ';

ὁτιοῦν ἐντεῦθεν ἐπὶ τῇ τῶν κανονικῶν εἰσπράξει πρόκριμα ὑφιςάμενοι· ὅτι τὰ μὲν συνοδικὰ τὴν ἐκ τῶν λαϊκῶν τοῦ κανονικοῦ εἴσπραξιν. ἀπείργοντα φαίνεται, δι' ὃ οὐδὲ μνήμην τινὰ τούτων, ὡς ἀπαγορευομένων ἐν γραφαῖς, τίθεται· τὰ δὲ μὴ κώλυσιν ὁθενοῦν δεξάμενα, πῶς ἐναντιότητά τινα εἰσάξει γινόμενα; οἱ δέ γε θειότατοι βασιλεῖς πρὸς τὸν καιρὸν, ὡς ἔοικεν, ἀποβλέψαντες, καὶ τῇ πρὸς τοὺς ἀρχιερεῖς τιμῇ διὰ τῆς τῶν πραγμάτων εἰσφορᾶς χώραν παρέχοντες, καὶ τοὺς λαϊκοὺς τῇ παροχῇ ταύτης ὑπέθεντο. Ἔνθεν τοι καὶ δικαιότατον ἔδοξεν, ἀμφοτέρωθεν τοὺς ἀρχιερεῖς, ἔκ τε τῶν ἱερέων, καὶ τῶν λαϊκῶν, τὰ ὑπὲρ τοῦ κανονικοῦ τυπωθέντα κομίζεσθαι· ὅτι μηδὲ στρατεύεταί τις, κατὰ τὸν θεῖον Ἀπόστολον, ὀψωνίοις ἰδίοις (1)· ἀλλὰ καὶ ποιμήν τις ποιμαίνων, ἐκ τοῦ γάλακτος ἐσθίειν οὐκ ἀποτέτραπται· καὶ ἀμπελῶνα φυτεύων, ἐκ τοῦ καρποῦ δρέπεσθαι οὐ κεκώλυται. Καὶ ὁ παλαιὸς δὲ νόμος (2), ἐμβαλεῖν ἐκ τῶν καρπῶν εἰς τὸν κάρταλλον παρακελεύεται, καὶ εἰσοίσειν εἰς τὸν τοῦ Θεοῦ οἶκον· λήψεσθαί τε ταῦτα ἐκ τῶν χειρῶν τοῦ προσοίσοντος τὸν ἱερέα, καὶ τεθῆναι ἀπέναντι τοῦ θυσιαστηρίου· εὐλογῆσαί τε καὶ εὔξασθαι, καὶ οὕτως εὐλογημένον εἶναι τὸν προσενέγκαντα, καὶ τὸν οἶκον αὐτοῦ, καὶ τὴν χώραν αὐτοῦ, καὶ τὰ ἐγκαταλείμματα αὐτοῦ. Εἰ δὲ τοιαῦτα τὰ ἐκείνων, πῶς οὐχὶ μείζονος τεύξεται εὐλογίας, ἱερωτέρας οὔσης τῆς θείας, καὶ τελεωτέρας; Οὕτω γοῦν τοῦ προεκφωνηθέντος συνοδικοῦ ἐπιστάλματος, καὶ τοῦ ἀκολουθήσαντος βασιλικοῦ θείου προστάγματος, κατ' οὐδὲν διαφωνούντων πρὸς ἄλληλα, οὐδὲ παρὰ ταῦτα ἕτερόν τι γίνεσθαι ὥρισται· ἀλλ' ὅσα μὲν ἐκ τῶν ἱερέων τετύπωται καταβάλλεσθαι, ταῦτα δὴ καὶ καταβληθήσεται· νομισμάτων μὲν ὄντων, διὰ νομισμάτων· μὴ ὄντων δὲ, διὰ τῆς ἀναλόγου ποσότητος τῶν ἐν τοῖς βασιλικοῖς τυπικοῖς ἀνατεταγμένων· καὶ οὐ πλέον τούτων, ὑπὲρ διατροφῆς τοῦ χειροτονοῦντος, ἐκ τοῦ χειροτονουμένου καταβληθήσεται· ὅσα δὲ αὖθις ἐκ τῶν λαϊκῶν, διὰ νομισμάτων, εἰδῶν τε, καὶ ἀργυρίων, τῶν ἀνατεταγμένων ἐν τούτοις. Οὔτε γὰρ τὰ πάλαι συνοδικῶς ὁρισθέντα παραβαίνεσθαι δόξει,

(1) α'. Κορ. Θ'. 7. — (2) Δευτερ. Κς'. 2, 3, 4.

οὔτε τὰ μετέπειτα ἐκ βασιλικῆς τυπωθέντα προστάξεως, ἀθετητέα γενήσεται· ἀλλὰ καὶ ἀμφότερα συμβιβασθέντα πρὸς ἄλληλα, κρατητέα ἔσται ἀκωλύτως ἐπὶ πάσαις χώραις καὶ πόλεσι. Ταῦτα παρεκβληθέντα καὶ συνήθως πιστωθέντα, ἐπεδόθη μηνὶ Μαΐῳ, ἐπινεμήσεως ιέ.

Ἡ ὑπογραφή.

Πέτρος ὁ εὐτελὴς διάκονος καὶ χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας.

Νικήτας διάκονος καὶ χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, τὸ παρὸν ἴσον ἀντιβαλὼν μετὰ τοῦ ἐμφανισθέντος μοι πρωτοτύπου, καὶ εὑρὼν κατὰ πάντα ἰσάζον, ὑπέγραψα, καὶ ἐσφράγισα.

—

Δ'. ΣΥΝΟΔΙΚΟΝ ΓΡΑΜΜΑ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ, ΚΥΡΙΟΥ ΝΙΚΟΛΑΟΥ,

Πρὸς τὸν εὐσεβέστατον βασιλέα, κυρὸν Ἀλέξιον τὸν Κομνηνὸν, παριστῶν ἐκ τῶν ἁγίων κανόνων καὶ νόμων, ὅτι οὐκ ἔξεστιν ἀφαιρεῖσθαι τὰς ἐπισκοπὰς ἀπὸ τῶν μητροπόλεων.

ΘΕΙΟΝ νόμον ἡγούμενος τὰ τῆς εὐσεβοῦς σου βασιλείας ἐπιτάγματα, (εἰσὶ γὰρ καὶ τῷόντι δίκαια καὶ ἀξιοσπούδαστα,) θεόστεπτε ἅγιε δέσποτά μου, καὶ κραταιὲ καὶ ὑψηλὲ ἡμῶν βασιλεῦ, δεξάμενος τὴν ἐν τῇ προσενεχθείσῃ δεήσει τῷ κράτει σου παρὰ τοῦ θεοφιλοῦς μητροπολίτου Ἀγκύρας Νικήτα δοθεῖσαν θείαν ἐπίλυσιν, διὰ σφραγῖδος ἐκ κηροῦ καὶ φοινικῶν αὐτοχείρων γραμμάτων τὸ ἀξιόπιστον κεκτημένην, τὴν καὶ περιέχουσαν οὕτως, « Ὁ ἁγιώτατός μου δεσπότης καὶ οἰκου» μενικὸς πατριάρχης ἅμα τῇ ἐνδημούσῃ ἱερᾷ συνόδῳ, πρὸς δὲ » καὶ τοῖς συγκλητικοῖς ἄρχουσιν, οὓς ἐζήτησας, ἵνα ἀκροά» σηται τῆς τοιαύτης ὑποθέσεως, καὶ πέρας ἐπιθήσῃ ταύτῃ » νόμῳ καὶ τοῖς κανόσι συνᾷδον, μὴ κωλυόμενος ἀπὸ τοῦ » προγεγονότος σημειώματος τῇ βασιλείᾳ μου· μετὰ δὲ τὸ » ταύτην τὴν ὑπόθεσιν ζητηθῆναι, γράψῃ καὶ τῇ βασιλείᾳ μου,

» καὶ παρὰ ταύτης τὸ δέον οἰκονομηθήσεται. Μηνὶ Αὐγούςῳ, ἐπινεμήσεως ζ'. » ἔσπευσα κατὰ τὸ ἐγχωροῦν, τὴν θεσπεσίαν ταύτην πληρῶσαι ἐπιταγήν. Καὶ δῆτα μετακληθέντων τῶν σὺν ἐμοὶ ταχθέντων πονῆσαι τῇ ζητήσει συγκλητικῶν, καὶ τῆς ἐνδημούσης τηνικαῦτα συναθροισθείσης συνόδου, συνέδριον γέγονε. Καὶ τῆς ἐξετάσεως ἀρχὴν ἤδη λαμβάνειν μελλούσης, παράδοξόν τι παρὰ προσδοκίαν ἀπήντησε, τῶν κληρικῶν τῆς ἁγίας καὶ μεγάλης τοῦ Θεοῦ Ἐκκλησίας αὐθαιρέτως ἐξάπινα ςασιασάντων, ὡς μηδὲ ἀνασχέσθαι ζήτησιν ὅλως περὶ τοῦ σκέμματος προτεθῆναι· ἀλλ' ἐφ' ἱκανὰς ὥρας κόπτεσθαι τὸ συνέδριον μάτην, μηδ' ὑποδεχομένων τῶν ἐκκλησιαστικῶν τὴν τῆς ὑποθέσεως ἀγωνίαν, μήτε μὴν ἀποκρουομένων. Ἦν δὲ μόνον φωνὴ παμμιγής, καὶ ὑπὸ τοῦ λίαν ἐνηχεῖν ταῖς ἀκοαῖς ἀδιάκριτος, ὡς καὶ κατασιγάζουσι τοῖς ἱεροκήρυξι τὴν ἄσημον κραυγήν, καὶ σιγὴν παραγγέλλουσιν, ἐπισχεθῆναι τὰς φωνάς· ὃ συνεννοηκὼς ἐγὼ μετὰ τῶν δοθέντων μοι συνεργῶν τῆς σκέψεως, καὶ τηνάλλως τρίβεσθαι τὸν καιρὸν οὐκ ἐθελήσας, ἔλυσα τὴν ἐκκλησίαν, καὶ εἰς ἑτέραν ἥκειν παρήγγειλα, παρεσκευασμένους ὄντας, καὶ ἐπαγομένους τά, μεθ' ὧν οἴονται νικᾷν, βοηθήματα· ἐπιτιμίοις, καὶ παλαμναίαις ἀραῖς καὶ φρικωδεστάταις (ὡς ᾠόμην) ἀσφαλισάμενος τοὺς εἰς τὴν μέλλουσαν θορυβήσειν ἐπιχειρήσοντας, ἢ φθέγξασθαί τι κατὰ χρείαν, ἢ χάριν, ἢ πάθος ἕτερον, κοινῶς ἢ ἰδίᾳ διαφέρον αὐτοῖς, τῶν τεινόντων εἰς παράβασιν τῶν θείων καὶ παρακοὴν κανόνων, καὶ σύστασιν ψεύδους. Ἧκον εἰς δευτέραν· καὶ πάλιν ἀφίκοντο οἱ τῆς ἐκκλησίας ἐνστάναι καὶ ἐναγόμενοι· οἳ οὐδὲ περιέμειναν πεῦσιν, ἀλλ' εὐθὺς ἐπίμπλαντο τὰ πάντα ἀκοσμίας καὶ ταραχῆς, καὶ τοῦ προτέρου συνεδρίου μείζων ἀταξία κατέσχε τὸ δεύτερον. Λοιπὸν ἔλυσα καὶ πάλιν τὴν ἐκκλησίαν, καὶ τὴν ζήτησιν ἀνήρτησα, προχειρίσασθαι παραγγείλας εἰς ἀπολογίαν ἀφ' ἑκάστου τῶν ἐκκλησιαστικῶν ταγμάτων δύο τυχὸν ἢ καὶ τρεῖς, τοὺς λόγον στρογγύλειν εἰδήμονας, καὶ εἰπεῖν, καὶ ἀκοῦσαι δοκιμωτάτους· ἐπάγεσθαί τε κελεύσας καὶ θείους κανόνας, εἰ ἔχουσιν ἐναντίους τοῖς παρὰ τῶν ἀπεναντίας προφερομένοις, ἢ ἕτερά τινα δικαιώματα· ἐπισχεῖν δὲ τὸ πλῆθος καὶ τὸν σύρφακα ὄχλον οὐ σὺν τῷ δι-

καίῳ, σὺν βίᾳ δὲ τῆς δίκης ἀποπειρώμενον, καὶ συγχέοντα, καὶ θλίβοντα τὸ ἀκροατήριον. Εὐτρεπίσθη καὶ πάλιν ἐκκλησία τρίτη· καὶ συμπαρῆσαν ἅπαντες οἱ προτεταγμένοι, ἠνεῳγμένας ἔχοντες καὶ ἑστώσας ὡς πρὸς ἀκρόασιν τὰς ἑαυτῶν ἀκοὰς, καὶ οἰόμενοι ἀκούσεσθαί τι λαμπρὸν καὶ γενναῖον· ἀλλ' ἦν οὐδὲν οὐδαμοῦ τοιοῦτον· ὄχλος δὲ, καὶ θροῦς, καὶ ἐνθουσιώδης ὁρμὴ, καὶ δῆμος πάλιν παράβακχόν τι βλέπων καὶ μανικὸν, καὶ πολλῶν λόγων ματαία τριβὴ, ὡς τὸ πρότερον. Τελευταῖον δὲ μετὰ πολλὰς τῆς ἡμέρας ὥρας, καὶ περὶ δείλην ὀψίαν, ἤδη δόξαν οὕτως αὐτοῖς, εἰς μέσον προετέθη χρυσόβουλλον προσκυνητὸν τοῦ θειοτάτου κράτους σου, τῇ μεγάλῃ φιλοτιμηθὲν Ἐκκλησίᾳ, ἐπί τισι μὲν καὶ ἄλλοις κεφαλαίοις διαφόροις, περιέχον δὲ καὶ περὶ τῆς ζητουμένης ταύτης πρὸς ἔπος ταῦτα· « Ὅσαι δὲ ἀρχῆθεν ἐπισκοπαὶ εἰς ὕψος ἀνήχθησαν ἤδη μητρο- » πόλεων, ἢ καὶ ἐπισκοπαὶ εἰς ἀρχιεπισκοπῶν ἢ μητροπόλεων » ἀξίωμα ἀνεβιβάσθησαν, ἔσονται καὶ αὗται ἐπὶ τῆς αὐτῆς » ἀξίας ἑστῶσαι καὶ βάσεως, καὶ οὐδεὶς ταύτας ὑποβιβάσει, » τὸ ἀμετακίνητον καὶ πάλιν ὀφειλούσας κεκτῆσθαι, ὥσπερ » δὴ καὶ τετύπωται, καὶ γεγόνασιν· εἰ μή που χρονικὸν ἴσως, » καὶ προσώποις περιγραπτὸν τὸ τοιοῦτον δεδώρηται φιλοτί- » μημα παρά τινος βασιλέως. Πρὸς τῷ θείῳ δὲ τούτῳ χρυσοβουλλίῳ, ἐνεφανίσθη καὶ τὸ σημείωμα τοῦ θεοπροβλήτου κράτους σου, μεταξὺ δικάσαντος τοῦ τε ῥηθέντος θεοφιλοῦς μητροπολίτου Ἀγκύρας, καὶ τοῦ εὐλαβεστάτου χαρτοφύλακος, καί τινων τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας ἐκ προστάξεως τοῦ πρὸ ἡμῶν τὰ τῆς Ἐκκλησίας οἰακίζοντος ἐκπεμφθέντων περὶ τῆς προκειμένης ὑποθέσεως, δικαιοῦν τὴν μεγάλην Ἐκκλησίαν. Ὥς τι δὲ ὅπλον προβαλλόμενοι πρόβλημα, ταῦτά τε καὶ τὸν μακρὸν χρόνον, μὴ δεῖν τὴν ἐπὶ τοσοῦτον χρόνον κρατήσασαν ἐκ μακρᾶς καὶ ἀπαραποδίστου συνηθείας πρᾶξιν ἀθετηθῆναι ἔλεγον. Ὧν οὐχ ἱκανῶν ἡμῖν εἰς κανόνων καθαίρεσιν ἀναφανέντων, ἀγανακτούντων δὲ τῶν μητροπολιτῶν ἐπὶ ταῖς τοιαύταις ἀλόγοις τῶν ἐκκλησιαστικῶν ἀντιῤῥήσεσιν, ἐπιβοωμένων δὲ καὶ τῶν ἐκκλησιαστικῶν, καὶ τὸ θεῖον βασιλικὸν ἐπικαλουμένων βῆμα, καὶ μὴ πρότερον ἀπολογήσασθαι βεβαιουμένων, εἰ μὴ ταῦτα ἀθε-

τηθεῖεν, μετεωρίσθη πάλιν τὰ τῆς ζητήσεως, καὶ τῇ τῆς σῆς μεγαλειότητος ἐξετάσει ἐταμιεύθη. Ἵνα δὲ καὶ τὸ ἅγιόν σου κράτος γνῷ, ὡς οὐκ ἐν παρέργῳ ἡμῖν ἐδόθη τὰ τῆς προστάξεως, οὐδὲ παρέργως ἢ ἀμελῶς ἐξητάσθη, δεῖν ἔγνω ἡ μετριότης ἡμῶν πᾶσαν ἱερὰν βίβλον, εἰ οἷόν τε, ἀναπτύξασθαι, καὶ πάντα θεῖον κανόνα πολυπραγμονῆσαι, καὶ ἐξ αὐτῶν λαβεῖν τοῦ ζητουμένου κατάληψιν· καὶ μετὰ γνῶσιν, γράμματι παραστῆσαι τῷ θεσπεσίῳ κράτει σου τὰ εὑρεθέντα πᾶσιν· ἅπερ ἐπεξιόντι τοῖς ἀπ' ἀρχῆς μέχρι τέλους ..... ὅπως ἀπὸ τῶν καθέκαστα καὶ κατὰ μέρος δικαιολογιῶν ἑκάστου τῶν μερῶν λαβοῦσα εἴδησιν ἡ δικαιοτάτη καὶ ἀῤῥεπὴς βασιλεία σου μάθοι καὶ πληροφορίαν λάβοι, ὡς οὐκ ἐπ' ἀδίκοις οἱ περὶ τούτων μαχόμενοι θεοφιλεῖς μητροπολῖται φιλονεικοῦσιν· οὐκοῦν καὶ ἄκουσον γαληνότατε βασιλεῦ. Πολλῶν κανόνων εἰς μέσον τεθέντων, καὶ ἱερῶν βίβλων, εὑρέθη ἐκ τούτων, ὡς ἑξῆς δηλωθήσεται, ὡς τὸ τὰς ἐπισκοπὰς εἰς μητροπόλεων ὕψος ἀνάγεσθαι, πολλοὶ καὶ ἱεροὶ καὶ θεῖοι κανόνες, καὶ πολιτικοὶ νόμοι, καὶ πράξεις καθολικῶν ἁγίων συνόδων κωλύουσι, τάξιν ἑκάστῳ καὶ τύπον ἐπιθέντες, καὶ μὴ πηδᾷν ὑπερόρια, μηδ' ἐφίεσθαι ἐπιτρέποντες τῶν οὐ προσηκόντων. Καὶ ἵνα μὴ μηκύνων τῇ τῶν πάντων παραγωγῇ, ταῖς σαῖς ἁγίαις ἐνοχλῶ ἀκοαῖς, τοὺς καιριωτέρους προθεὶς εἰς μέσον, καὶ ἐξ ὧν μόνον δυνατόν ἐστι τὴν ἀλήθειαν ἀναφανῆναι, τοὺς ἄλλους καταλιμπάνω. Πατριάρχου γάρ τινος Ἀντιοχείας, τῶν ἐν Κύπρῳ Ἐκκλησιῶν τῆς χειροτονίας πάλαι ἀντεχομένου, καὶ ζητήσεως περὶ τούτου ἐν τῇ ἁγίᾳ καὶ καθολικῇ τρίτῃ συνόδῳ γενομένης, ἀπόφασις τῶν θείων ἐδόθη Πατέρων, ὡς ὁ ζ'. ταύτης κανὼν παρίστησι, τοιαύτη· » Πρᾶγμα
» παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῶν
» ἁγίων Πατέρων καινοτομούμενον, καὶ τῆς πάντων ἐλευθερίας
» ἁπτόμενον, προσήγγειλεν ὁ θεοφιλέστατος ἐπίσκοπος Ῥηγῖνος,
» καὶ οἱ σὺν αὐτῷ εὐλαβέστατοι ἐπίσκοποι τῆς Κυπρίων ἐπαρ-
» χίας Ζήνων καὶ Εὐάγριος· ὅθεν, ἐπειδὴ τὰ κοινὰ πάθη μεί-
» ζονος δεῖται θεραπείας, ὡς καὶ μείζονα τὴν βλάβην φέροντα,
» καὶ μάλιστα, εἰ μηδὲ ἔθος ἀρχαῖον παρηκολούθησεν, ὥστε
» τὸν ἐπίσκοπον τῆς Ἀντιοχέων πόλεως τὰς ἐν Κύπρῳ ποιεῖ-

» σθαι χειροτονίας, καθὰ διὰ τῶν λιβέλλων καὶ τῶν οἰκείων φω-
» νῶν ἐδίδαξαν οἱ εὐλαβέστατοι ἄνδρες, οἱ τὴν πρόσοδον τῇ
» ἁγίᾳ συνόδῳ ποιησάμενοι, ἕξουσι τὸ ἀνεπηρέαστον καὶ ἀβί-
» αστον οἱ τῶν ἁγίων Ἐκκλησιῶν τῶν κατὰ τὴν Κύπρον προε-
» στῶτες, κατὰ τοὺς κανόνας τῶν ὁσίων Πατέρων, καὶ τὴν
» ἀρχαίαν συνήθειαν, δι' ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβε-
» στάτων ἐπισκόπων ποιούμενοι. Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων
» διοικήσεων, καὶ τῶν ἁπανταχῇ ἐπαρχιῶν φυλαχθήσεται, ὥσ-
» τε μηδένα τῶν θεοφιλεστάτων ἐπισκόπων ἐπαρχίαν ἑτέραν,
» οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ ἢ γοῦν τῶν
» πρὸ αὐτοῦ χεῖρα, καταλαμβάνειν· ἀλλ' εἰ καί τις κατέλαβε,
» καὶ ὑφ' ἑαυτὸν πεποίηται βιασάμενος, τοῦτον ἀποδιδόναι, ἵνα
» μὴ τῶν Πατέρων οἱ κανόνες παραβαίνωνται, μηδὲ ἐν ἱερουρ-
» γίας προσχήματι, ἐξουσίας τύφος κοσμικὸς παρεισδύηται, μη-
» δὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν
» ἐδωρήσατο τῷ ἰδίῳ αἵματι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριςός, ὁ
» πάντων ἐλευθερωτὴς ἀνθρώπων. Ἔδοξε τοίνυν τῇ ἁγίᾳ καὶ
» οἰκουμενικῇ συνόδῳ, σώζεσθαι ἑκάςῃ ἐπαρχίᾳ καθαρὰ καὶ ἀβί-
» αστα τὰ αὐτῇ προσόντα δίκαια ἐξ ἀρχῆς καὶ ἄνωθεν, κατὰ
» τὸ πάλαι κρατῆσαν ἔθος, ἄδειαν ἔχοντος ἑκάστου μητρο-
» πολίτου, τὰ ἴσα τῶν πεπραγμένων πρὸς τὸ οἰκεῖον ἀσφαλὲς
» ἐκλαβεῖν. Εἰ δέ τις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις
» προκομίσοι, ἄκυρον τοῦτον εἶναι ἔδοξε τῇ ἁγίᾳ πάσῃ καὶ
» οἰκουμενικῇ συνόδῳ.» Καὶ τοῦτο μὲν ὥρισται παρὰ τῆς ἁγίας τρίτης συνόδου. Καὶ δεήσεως ταύτῃ προσενεχθείσης παρά τινος Εὐνομίου, τῆς Νικομηδέων ἁγίας Ἐκκλησίας ἐπιστατοῦντος, κατὰ Ἀναστασίου τῆς κατὰ Νίκαιαν Ἐκκλησίας κατάρχοντος, τὴν ἐπισκοπὴν Βασινουπόλεως ὑφαρπάσαντος, διὰ τὸ ἔναγχος τὴν εἰρημένην μητρόπολιν τῆς Νικαίας παρὰ Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος τῶν βασιλέων εἰς μητροπόλεως ἀναχθῆναι τάξιν, ἀναχθέντων ἄρτι ἐν αὐτῇ πρὸς τὴν τοῦ βασιλείου κράτους περιωπὴν, καὶ ἀναβοῶντος ὡς ἀδικοῖτο, ἡ ἁγία σύνοδος ἐζήτησε περὶ τούτου, παρόντων καὶ τῶν προσώπῳ τοῦ βασιλέως Μαρκιανοῦ συνεδρευόντων συγκλητικῶν ἀρχόντων· καὶ δεῆσαν οὕτω, τὸ βασιλικὸν διάταγμα τὸ τὴν εἰρημένην

πόλιν (1) τῆς Νικαίας ἀναβιβάζων εἰς μητροπόλεως ὕψος ὑπανεγνώσθη· καὶ εἶχεν οὕτως·

« Αὐτοκράτορες, Καίσαρες, Οὐαλεντινιανὸς καὶ Οὐάλης, εὐ-
» σεβεῖς, εὐτυχεῖς, σεβαστοὶ, αἰώνιοι, νικηταὶ, Νικαεῦσιν.

« Εἰ καὶ ἡ σπουδὴ ἡ ἡμετέρα ἐξ ἐκείνου δήλη πᾶσι καὶ πε-
» ρίβλεπτος γέγονεν, ἐξ οὗ τῆς βασιλείας τὸ ὑπεραναβεβηκὸς,
» καὶ τῶν δημοσίων τοὺς οἴακας βουλήσει τοῦ κρείττονος ὑπε-
» δεξάμεθα, ὅμως πρὸς τούτοις ἀποσώσομεν καὶ εἰς τὴν ἀρχὴν
» τῆς εὐτυχίας αὐτῆς, ὅτι γε ἡ ὑμετέρα πόλις προσαναπλη-
» σθεῖσα καὶ γαυριωθεῖσα ἐπὶ τῇ ἡμετέρᾳ εὐτυχίᾳ, χαρᾶς καὶ εὐ-
» φροσύνης παντὶ δήμῳ αἰτία γέγονε. Διὸ δὴ, ἐπειδὴ μητρόπολις
» πάλαι ὠνομάσθη, καὶ τοῦτο νόμοι παλαιοὶ περιέχουσι, τὰ αὐτὰ,
» ἅπερ Νικομηδεῦσι νομοθετούντων ἡμῶν ὑπῆρξεν, οὐδεμίαν ἀμφι-
» βολίαν ἔχειν δύναται, τὸ ἀσάλευτα καὶ ἰσχυρὰ μένειν, καὶ
» εἰς τὸ ἔπειτα αὐξηθησόμενα τῇ ὑμετέρᾳ πόλει. Διαμενέτω
» τοίνυν εἰς τὸ διηνεκὲς ἡ συνήθεια αὕτη, καὶ ἡ πόλις ὑμῶν
» μητρόπολις ἔστω, τῆς συνηθείας τῆς ἐπὶ τῇ προόδῳ τοῦ
» Βιθυνιάρχου διαμενούσης, οὐδεὶς γὰρ ἀφαιρεῖταί τι τῶν ἄλλων,
» βουλήσει τοῦ κρείττονος, αὐξηθείη τῆς ὑμετέρας πόλεως τὸ
» ἀξίωμα. Χαίροντες τοίνυν τὰς εὐχὰς διπλασιάζετε, καὶ ἥδε-
» σθε ἐφ' οἷς αὕτη ἡ τιμὴ ὑμῖν παρέσχηται, πάσης ἀμφιβολίας
» εἰς τὸ ἑξῆς σχολαζούσης, συνορῶντες, ὅπως αἰωνίου πρᾳότη-
» τος καὶ προνοίας ἐκ τῶν ἡμετέρων θεσπισμάτων τετυχήκατε. »

Καὶ τὸ μὲν γράμμα τῶν βασιλέων, ὅπερ τοῖς Νικαεῦσι πεφιλοτίμητο, τοῦτο. Σχετλιασάντων δὲ πρὸς αὐτὸ, ὡς φαίνεται, Νικομηδέων, γέγονε καὶ ἕτερον πρόσταγμα τῶν αὐτῶν βασιλέων Νικομηδεῦσιν, ἐξ αἰτήσεως τοῦ ἐπισκόπου Νικομηδείας. Ἀνεγνώσθη δὲ καὶ αὐτὸ ἐν τῇ συνόδῳ· καὶ ἀναγνωσθὲν, εἶχεν οὕτως.

« Οὐαλεντινιανὸς, εὐσεβὴς, εὐτυχὴς, αὔγουστος, Νικομηδεῦ-
» σι χαίρειν.

« Ἡ περὶ τὰ πριβιλέγια τῆς πόλεως τῆς ὑμετέρας πάλαι ὑ-
» πάρχουσα ἀρχαία συνήθεια φυλαχθήσεται· οὔτε γὰρ ἡ προσθή-
» κη τῆς τιμῆς τῆς Νικαέων πόλεως τὸ δίκαιον τὸ ὑμέτερον

(1) Α. ἐν περισσ. — μητρόπολιν Α.

» βλάψαι δύναται, ὁπότε ἐπαύξεται τὸ ἀξίωμα τῆς Νικομη-
» δέων, ὅτι περ (1) ἐκείνη, ἡ ἐν δευτέρῳ τόπῳ οὖσα, μητροπόλεως
» ὀνόματι καλεῖται. »

« Οἱ ἐνδοξότατοι ἄρχοντες, οἱ προσώπῳ τοῦ βασιλέως Μαρ-
» κιανοῦ τῇ συνόδῳ συνεδριάζοντες, εἶπον· Οὐδὲ ἓν μὲν θεῖον
» γράμμα περὶ ἐπισκόπου διαλέγεται· ἑκάτερον δὲ τὴν τιμὴν
» ταῖς πόλεσι παρέχει· τὸ δὲ θεῖον γράμμα τῶν τῆς θείας λή-
» ξεως Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος, τηνικαῦτα τῇ Νικαέων
» παρασχὸν τὸ μητροπολιτικὸν δίκαιον, ἰδικῶς παρακελεύεται,
» τῶν ἄλλων μηδὲν ὑφαιρεῖσθαι πόλεων· καὶ ὁ κανὼν τῶν
» ἁγίων Ἀποστόλων, περὶ ἑνὸς μητροπολίτου καθ' ἑκάστην τῶν
» ἐπαρχιῶν διαγορεύει. Τί τοίνυν τῇ ἁγίᾳ συνόδῳ παρίσταται
» περὶ τούτου; Ἡ ἁγία σύνοδος ἐβόησεν· Οἱ κανόνες κρατείτω-
» σαν· τοῖς κανόσι τὸ ἱκανὸν γενέσθω. Ἀττικὸς ὁ εὐλαβέστατος
» ἐπίσκοπος Νικοπόλεως, παλαιᾶς Ἠπείρου, εἶπεν· Ὁ κανὼν οὕτω
» διαγορεύει, ὥστε ἐν μιᾷ ἑκάστῃ τῶν ἐπαρχιῶν τὸ κῦρος ἔχειν
» τὸν τῆς μητροπόλεως, καὶ αὐτὸν καθιστᾷν πάντας τοὺς ὑπὸ
» τὴν αὐτὴν ἐπαρχίαν ὄντας ἐπισκόπους· καὶ αὕτη ἐστὶν ἡ διά-
» νοια τοῦ κανόνος. Τῷ δὲ τῆς Νικομηδείας, ἐπειδὴ ἐξ ἀρχαίου
» αὕτη μητρόπολίς ἐστι, κεχρεώστηται, πάντας τοὺς ὑπὸ τὴν
» ἐπαρχίαν αὐτοῦ ὄντας ἐπισκόπους χειροτονεῖν. Ἡ ἁγία σύ-
» νοδος εἶπε· Ταῦτα πάντες βουλόμεθα· ταῦτα πανταχοῦ κρα-
» τείτω· ταῦτα πᾶσιν ἀρέσκει. Ἰωάννης, Κωνσταντῖνος, πατρί-
» κιοι, καὶ οἱ λοιποὶ εὐλαβέστατοι ἐπίσκοποι τῆς Ποντικῆς διοι-
» κήσεως εἶπον· Οἱ κανόνες ἕνα ἴσασι μητροπολίτην, τὸν
» ἀρχαιότερον· καὶ δῆλον, ὡς τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Νι-
» κομηδείας διαφέρουσιν αἱ χειροτονίαι· ἐπειδὴ καὶ αἱ νομοθε-
» σίαι, ὡς σύνοιδε καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια, ὀνόματι μη-
» τροπόλεως μόνῳ ἐτίμησαν τὴν Νικαέων· προτιμᾶται δὲ τῶν
» λοιπῶν ἐπισκόπων τῆς ἐπαρχίας τῇ τιμῇ μόνῃ. Ἡ ἁγία σύ-
» νοδος εἶπε· Κανονικῶς ἐδίδαξαν· καλῶς ἐδίδαξαν· πάντες τὰ
» αὐτὰ λέγομεν· καὶ αὖθις· Οἱ κανόνες κρατείτωσαν· τοῖς κα-
» νόσι τὸ ἱκανὸν γενέσθω. Ὧν οὕτω συνδοξάντων, συμπέρασμα

(1) Α. ἐν περισπ. — ὅπερ Α.

» ἐπήγαγον οἱ ἄρχοντες, καὶ ἀπόφασιν, ἔχουσαν οὕτω· Τὴν μὲν » αὐθεντίαν τοῦ μητροπολίτου ἐν ταῖς κατὰ Βιθυνίαν Ἐκκλη- » σίαις ὁ Νικομηδείας εὐλαβέστατος ἐπίσκοπος ἕξει, τοῦ Νικαίας » τὴν τιμὴν μόνην τοῦ μητροπολίτου ἔχοντος, ὑποκειμένου δὲ, » κατὰ μίμησιν τῶν ἄλλων ἐπισκόπων τῆς ἐπαρχίας, τῷ τῆς » Νικομηδείας· τοῦτο γὰρ καὶ τῇ ἁγίᾳ παρέστη συνόδῳ.

Τῇ τοιαύτῃ ψήφῳ καὶ ἡ ἁγία σύνοδος ἐπακολουθήσασα, τὸν ιϐ'. κανόνα ὑπηγόρευσεν, ἀπαγορεύοντα τὴν μίαν ἐπαρχίαν εἰς δύο κατατέμνεσθαι, καὶ μητροπολίτας δύο ἐν μιᾷ ἐπαρχίᾳ εἶναι· καὶ καθαίρεσιν ἀπεντεῦθεν ἀπειλοῦσα τῷ ἐκ περιδρομῆς τολμήσοντι ἐπισκόπῳ διὰ θείου τύπου τοῦτο λαϐεῖν· καὶ θεσπίζουσα, τὸν ἐπίσκοπον τὸν ἐκ ϐασιλικῆς ἐξουσίας ἤδη μητροπολιτικὸν εἰληφότα δίκαιον, μόνης ἀπολαύειν τῆς τιμῆς, σωζομένων ἀκεραίων τῇ κατὰ ἀλήθειαν μητροπόλει τῶν οἰκείων δικαίων. Ἔχει δὲ ὁ κανὼν οὕτως·

» Ἦλθεν εἰς ἡμᾶς, ὥς τινες παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς » προσδραμόντες δυναστείαις, διὰ πραγματικῶν τὴν μίαν ἐπαρ- » χίαν εἰς δύο κατέτεμον, ὡς ἐκ τούτου δύο μητροπολίτας εἶναι » ἐν τῇ αὐτῇ ἐπαρχίᾳ. Ὥρισε τοίνυν ἡ ἁγία σύνοδος, τοῦ λοιποῦ » μηδὲν τοιοῦτον τολμᾶσθαι παρὰ ἐπισκόπου· ἐπειδὴ τὸν τοιούτῳ » ἐπιχειροῦντα, ἐκπίπτειν τοῦ ἰδίου ϐαθμοῦ. Ὅσαι δὲ πόλεις διὰ » γραμμάτων βασιλικῶν τῷ τῆς μητροπόλεως ἐτιμήθησαν ὀνόμα- » τι, μόνης ἀπολαυέτωσαν τῆς τιμῆς, καὶ ὁ τὴν Ἐκκλησίαν αὐτῆς » διοικῶν ἐπίσκοπος, σωζομένων δηλονότι τῇ κατὰ ἀλήθειαν » μητροπόλει τῶν οἰκείων δικαίων. » Οἷς σύμψηφος ἐγένετο καὶ ὁ βασιλεὺς Μαρκιανὸς, τὴν θείαν ταύτην ὑπαγορεύσας διάταξιν·

« Τὸν ἀφαιρούμενον πόλεως οἱασδήποτε, πάλαι οὔσης, ἢ » νῦν πολισθείσης, τὸ τῆς ἰδικῆς ἐπισκοπῆς δίκαιον, ἢ ἕτερόν » τι προνόμιον, κἂν ἀπὸ ϐασιλικῆς ἐπιτροπῆς, ἀτιμοῖ καὶ δη- » μεύει ἡ διάταξις, ἀκυροῦσα καὶ τὴν ἐγχείρησιν.

Ὑπεξαιρεῖ δὲ καὶ τὰς ἐν Σκυθίᾳ ἐπαρχίας, καὶ Λεοντόπολιν τῆς Ἰσαυρίας. Ἔστι δὲ καὶ ἕτερος νόμος, οὕτω διεξιών·

« Βεϐαιούσθω τὰ ἐκκλησιαστικὰ πάντα προνόμια(1). » Καὶ πάλιν ἄλλος·

(1) 12. Κώδ. 1. 2.

« Τοὺς θείους κανόνας οὐκ ἔλαττον τῶν νόμων ἰσχύειν, οἱ » νόμοι βούλονται· καὶ ὅπερ οἱ κανόνες κωλύουσι, τοῦτο καὶ » οἱ νόμοι (1).

Καὶ ταῦτα μὲν ἀπόχρη πρὸς τὸ δεῖξαι, οὐ δύο μητροπολίτας εἶναι ἐν μιᾷ ἐπαρχίᾳ, ἀλλὰ τὸν ἀρχαιότερον· καὶ τὸ, τοὺς φθάσαντας γενέσθαι, τῇ τιμῇ μόνον τῶν ἄλλων ἐπισκόπων ὑπερέχειν, ὑποκειμένους μέντοι γε τῷ κατὰ ἀλήθειαν μητροπολίτῃ· εἰς τὸ ἑξῆς δὲ καὶ αὐτῆς τῆς ἐγχειρήσεως κωλυομένης, καὶ τὸν τοῦτο τολμήσαντα ποιῆσαι ἐπίσκοπον, ἔκπτωσιν πάσχειν τοῦ οἰκείου βαθμοῦ· καὶ τὸ, μηδὲν τῶν φθασάντων προσπαγῆναι ἐπισκοπῇ τινι προνομίων ἀφαιρεῖσθαι παρ' οἱουδήτινος. Ὅτι δὲ οὐ κατὰ πραγματικὸν θεῖον ἔξεστι τύπον τὰ τῶν ἐπισκόπων προβαίνειν, κατὰ μόνους δὲ τοὺς πατρικοὺς ὅρους, τοὺς καὶ κανόνας, ἐξ ἑτέρας πράξεως τῆς τοιαύτης ἁγίας οἰκουμενικῆς τετάρτης συνόδου καταμαθεῖν δυνατόν. Τῆς γὰρ πόλεως Βηρυτοῦ, μητροπόλεως δίκαιον εἰληφυίας παρὰ Θεοδοσίου τοῦ βασιλέως, τοῦ, πρὸς ἀντιδιαστολὴν τοῦ μεγάλου, λεγομένου μικροῦ, Εὐστάθιος ὁ ταύτης τῆς πόλεως ἐπίσκοπος, τῷ τοιούτῳ φιλοτιμήματι τῆς μητροπόλεως κατεπαρθεὶς, κατεξανέστη Φωτίου τοῦ μητροπολίτου τῆς Τύρου, τῆς τῶν Φοινίκων μητροπόλεως· καὶ δύο τινὰς ὑποκειμένους αὐτῷ ἐπισκόπους καθελὼν, ὡς δῆθεν μητροπολίτης, καὶ εἰς πρεσβυτέρων βαθμὸν κατασπάσας, ἑτέρους κεχειροτόνηκεν· ὃ μὴ φέρων ὁ Φώτιος, τῇ ἁγίᾳ προσέδραμε συνόδῳ· καὶ, δίκης κροτηθείσης, τὴν δικαιοῦσαν ἀπείληφε, μηδὲν ὠφεληθέντος Εὐσταθίου τοῦ τῆς Βηρυτοῦ, ἐκ τοῦ βασιλικοῖς ὠχυρῶσθαι γράμμασι λέγειν, τοῖς ἐπιτρέπουσι τοῦτο· οὐ γὰρ προσέσχεν ἡ σύνοδος τοῖς παρ' αὐτοῦ λεγομένοις, ἀλλὰ τῆς ὑποθέσεως δοκιμαζομένης, τῶν ἀρχόντων πρότερον ἐρωτησάντων τὴν σύνοδον ῥητῶς οὕτως· »Τῷ θειοτάτῳ δεσπότῃ τῆς οἰκουμένης ἤρεσε, μὴ κατὰ θεῖα »γράμματα, ἢ κατὰ πραγματικοὺς τύπους τὰ τῶν ἐπισκόπων »προβαίνειν, ἀλλὰ κατὰ τοὺς κανόνας τῶν Πατέρων. Εἰπάτω »οὖν ἡ ἁγία σύνοδος, εἰ ἔξεστι κατὰ θεῖον πραγματικὸν τύπον

---

(1) Ϛ'. Βασιλικ. Ε. Ξ.

»ἀλλοτρίας Ἐκκλησίας δίκαια ἑτέρους ἐπισκόπους παραιρεῖσθαι; Ἡ ἁγία σύνοδος ἀπεκρίνατο, κατὰ τῶν κανόνων πραγματικὸν μηδὲν ἰσχύσειν· οἱ κανόνες τῶν Πατέρων κρατείτωσαν. »Καὶ αὖθις τῶν ἀρχόντων εἰπόντων· Νῦν καιρός ἐστι διδαχθῆ»ναι ἡμᾶς παρὰ τῆς συνόδου, εἰ ἔξεστι κατὰ θεῖον πραγματι»κὸν, ἀλλοτρίας Ἐκκλησίας δίκαια ἑτέρους ἐπισκόπους πα»ραιρεῖσθαι. Ἡ ἁγία σύνοδος ἀνεβόησεν· Οὐκ ἔξεστι· τοῦτο »παρὰ τοὺς κανόνας ἐστί. Ἔστι δὲ καὶ νόμος ὁ τοῦτο βουλόμενος, οὕτω διεξιών· Οἱ τοῖς κανόσιν ἐναντιούμενοι πραγματικοὶ τύποι, ἄκυροί εἰσι(1). Καὶ ὅρα, μέγιςε βασιλεῦ, ὅπως διὰ πάντων τούτων ἀποδέδεικται τηλαυγῶς, τὸ μὴ δεῖν αὐθεντεῖν τὸν βασιλέα ἐν τοῖς τοιούτοις, κανονικῶς δὲ τὰ ἐκκλησιαστικὰ διεξάγεσθαι. Εἰσὶ μὲν οὖν καὶ ἄλλοι πολλοὶ κανόνες τῶν θεοσέπτων Ἀποστόλων καὶ ὑπηρετῶν τοῦ Λόγου, καὶ τῶν ἐφεξῆς ἁγίων συνόδων, αὐτὰ ταῦτα διατρανοῦντες, οὓς παραθεῖναι τῷδε τῷ γράμματι εὔηθες ἔδοξε, καὶ μὴ πόῤῥω φιλοτιμίας ἀνωφελοῦς· ἱκανῶν γὰρ τῶν προβληθέντων εἰς ἀπόδειξιν ὄντων, τί δεῖ καὶ προσεπεξεργάζεσθαι; καὶ τῆς ἀληθείας δυναμένης ἀναλάμψαι, καὶ τοῖς πᾶσι γενέσθαι δήλης, τῶν πολλῶν οὐδαμῶς χρεία· αὐτάρκης γὰρ εἰς συνηγορίαν ἑαυτῆς ἡ ἀλήθεια. Κοινῷ μὲν οὖν λόγῳ καὶ καθολικῶς ἐλέχθη ταῦτα· ἰδίᾳ δὲ, καὶ κατὰ μέρος, καὶ ἑτέροις ἕκαστος φράγνυται δικαιώμασιν. Αὐτὸς μὲν γὰρ ὁ καὶ τὸν περὶ τῶν ὅλων συστήσας ἀγῶνα, καὶ τὸ σμῆνος τῶν λόγων κινήσας, τὸν θεοφιλῆ δὲ λέγω μητροπολίτην Ἀγκύρας, ὑπομνήματί τε πέφρακται τοῦ μακαρίτου βασιλέως τοῦ Δούκα, ὅστις τὴν τοῦ Βασιλείου ἐπισκοπὴν εἰς μητροπολιτικὸν ἀνήγαγε δίκαιον, διοριζομένῳ, τῷ θανάτῳ τοῦ τιμηθέντος μητροπολίτου, εἰς ἐπισκοπὴν κατεσπάσθαι τὴν εἰρημένην Ἐκκλησίαν· μὴ ἐπαισχυνθέντος λίαν νουνεχῶς τοῦ βασιλέως τὸ οἰκεῖον ὀλίσθημα καὶ τὴν ἄγνοιαν καὶ θριαμβεῦσαι, καὶ διορθώσασθαι, ἀλλὰ κατὰ τὸν Θετταλὸν μειρακίσκον, καὶ τρώσαντος, καὶ συμπαθῶς καὶ φιλανθρώπως ἐπεγνωκότος τὴν ἴασιν· καὶ πρὸς τούτῳ χρυσοβούλλῳ ὥπλισται ἄλλῳ τοῦ υἱοῦ τούτου καὶ βασιλέως, τὸ φθάσαν ὑποστηρίζοντι, καὶ ὑπομνήματι συνοδικῷ τῶν τότε ζώντων μητροπολιτῶν,

ὀλίγων δεόντων, ταῖς αὐτοχειρίοις ὑποσημασίαις τὸ ἔμπεδον ἀποφέροντι, ὧν καὶ οἱ πλείους περίεισι, στοιχησάντων ἁπάντων τῇ κανονικῇ ἀποφάσει. Ἅτερος δὲ ὁ Ἡρακλείας πρὸς τοῖς κοινοῖς δικαιώμασιν, αὐτό τε τὸ συνοδικὸν ὑπόμνημα προβάλλεται εἰς συνασπισμὸν, καὶ χρυσοβούλλῳ τεθωράκισται, οὗ δημιουργὸς ὁ μακαρίτης βασιλεὺς ὁ Βοτανειάτης, διοριζομένῳ, τῇ τελευτῇ τοῦ νυνὶ ἀρχιερατεύοντος ἐν Μαδύτῳ, τὸ ὑπ' αὐτῷ μητροπολιτικὸν παύεσθαι δίκαιον, καὶ ὑπὸ τὴν Ἡράκλειαν ἐπαναστρέφειν τὴν εἰρημένην Ἐκκλησίαν, ὡς τὸ πρότερον. Προσεπιτούτοις καὶ ὁ θεοφιλέστατος μητροπολίτης Πατρῶν, πολλοῖς καὶ διαφόροις τετείχισται δικαιώμασιν, εἰς τὸ συμφυεῖς καὶ ἀτμήτους καὶ ἀναποσπάστους ἔχειν τὰς τῇ κατ' αὐτὸν Ἐκκλησίᾳ δωρηθείσας ἐπισκοπὰς παρὰ Νικηφόρου βασιλέως τοῦ ἀπὸ γενικῶν, διὰ τὸ ἐν τῇ καταστροφῇ τῶν Ἀβάρων παρὰ τοῦ Κορυφαίου τῶν Ἀποστόλων καὶ Πρωτοκλήτου Ἀνδρέου ὀφθαλμοφανῶς γενόμενον θαῦμα, ἐπὶ διακοσίοις δεκαοκτὼ χρόνοις ὅλοις κατασχόντων τὴν Πελοπόννησον, καὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς ἀποτεμομένων, ὡς μηδὲ πόδα βαλεῖν ὅλως δύνασθαι ἐν αὐτῇ Ῥωμαῖον ἄνδρα· ἐν μιᾷ δὲ ὥρᾳ τούτων μὲν ἀφανισθέντων ἐκ μόνης ἐπιφανείας τοῦ Πρωτοκλήτου, τῆς δὲ χώρας ἁπάσης τοῖς Ῥωμαϊκοῖς σκήπτροις ἐπανελθούσης. Καὶ πρῶτον μὲν προβάλλεται τὸ τοῦ ῥηθέντος βασιλέως χρυσόβουλλον, τοῦ καὶ τὴν αὐτὴν ἁγιωτάτην Ἐκκλησίαν Πατρῶν ἐξ ἀρχιεπισκοπῆς εἰς μητροπόλεως δόξαν ἀναγαγόντος διὰ τὸ ῥηθὲν τεράστιον τοῦ Κορυφαίου, καὶ τρισὶν ἐπισκοπαῖς αὐτὴν δωρησαμένου, τῇ Μεθώνῃ, τῇ Λακεδαίμονι, καὶ τῇ Σαρσοκορώνῃ· καὶ ἕτερον τούτῳ συνᾷδον, Λέοντος καὶ Ἀλεξάνδρου τῶν βασιλέων· καὶ τρίτον Ῥωμανοῦ, Χριστοφόρου, καὶ Κωνσταντίνου, κατ' ἴχνος τοῖς ἄλλοις βαῖνον· καὶ ἄλλο ἐπὶ τούτοις, Νικηφόρου τοῦ Φωκᾶ· καὶ πέμπτον ἐπὶ τούτοις, τοῦ πρὸ μικροῦ βεβασιλευκότος Βοτανειάτου, τοὺς εἰρημένους πάντας ἐπισφραγίζοντος. Καὶ ὁ Νεοκαισαρείας δὲ ἐστήρικται ὁμοίως ὑπομνήματι τοῦ ἐν μακαρίᾳ τῇ λήξει πατριάρχου, κυροῦ Μιχαὴλ, καὶ χρυσοβούλλῳ κυροῦ Μιχαὴλ τοῦ Δρύκα. Εὑρίσκονται δὲ καὶ πράξεις διαγορεύουσαι, ὅτι περ, ὅσαι τῶν ἐπισκοπῶν εἰς μητροπόλεων ἔμελλον ἀναβιβασθῆναι κλέος,

οὐκ ἄλλως τούτου ἐπέτυχον, εἰ μὴ κοινωφελὴς προὔκειτο οἰκονομία, καὶ ἡ σύνοδος κατεδέξατο, καὶ ὁ μητροπολίτης τῆς μελλούσης τιμηθῆναι Ἐκκλησίας, ἀντιδόσεις ἀξίας εἰληφὼς τῆς βασιλικῆς δεξιᾶς, τοῖς πραττομένοις συνήνεσε. Τοσούτων τοίνυν ὄντων βοηθημάτων, καὶ κοινῶν τοῖς πᾶσι, καὶ τῶν καθέκαστον ἰδίων, ἐμοί τε καὶ τοῖς ὁμοίοις δοκεῖ, φιλανθρωπότατε βασιλεῦ, παράνομον εἶναι καὶ ἄῤῥυθμον τὴν τοιαύτην πρᾶξιν, καὶ τῶν ἱερῶν κανόνων ἀπεναντίαν, καὶ τοῖς πνευματικοῖς ὅροις, καὶ νόμοις ἀντίθετον, καὶ οὐχ ἱκανὰ τὰ παρὰ τοῦ ἀντιῤῥόπου μέρους ἀντιτιθέμενα· οὔτε γὰρ πραγματικὸς θεῖος τύπος κατὰ τῶν θείων κανόνων ἰσχύσει, ὡς ἄνωθεν διατετράνωται, οὔτε μὴν καταδίκη, ὁμόσε νόμων καὶ κανόνων χωροῦσα, ἐπαινετή. Εἰ γὰρ καὶ τὸ σημείωμα τῆς ἐκ Θεοῦ βασιλείας σου τεχνικῶς καὶ ῥητορικῶς κατεσκεύασται, καὶ πιθανὸν δοκεῖ τοῖς πολλοῖς, ἀλλ' οὔπω καὶ δυνατὸν, νόμους ἀνελεῖν καὶ κανόνας, καὶ τὴν ἀλήθειαν κατασεῖσαι· σοφιστεία γὰρ, καὶ συλλογισμοὶ, ἐκ φαινομένων ἐνδόξων, μὴ ὄντων δὲ, πόῤῥω τοῦ ὄντος καὶ ἐπιστήμης εἰσίν· ἀλλ' οὐδὲ μακρὰ συνήθεια, τὸ ἀπαρχῆς ἀνυπόστατον, εἰς ὑπόστασιν ἄξει ποτέ· τότε γὰρ καὶ ἡ μακρὰ συνήθεια οὐδὲν ἧττον νόμου κρατεῖ, ὅταν, πρὸς τῷ μὴ ἀλόγιστος εἶναι, καὶ νόμον οὐκ ἀναιρῇ· ὧδε δὲ τῶν θείων ἀνατρεπομένων κανόνων, ποίῳ λογισμῷ συνήθεια λαμβάνουσα παρείσδυσιν προσδεχθήσεται; Ἀκούσῃ γὰρ τοῦ νόμου λέγοντος· » Τὸ μὴ μετὰ λογι- » σμοῦ εἰσενεχθὲν, ἀλλὰ κατὰ πλάνην καὶ συνήθειαν κρα- » τῆσαν, οὐ δεῖ κρατεῖν ἐν τοῖς ὁμοίοις (1). Οὐκ ἀγνοοῦμεν δὲ καὶ τὰ παρ' ἐνίων προσφερόμενα πικρὰ ῥήματα, τὰ σπουδάζοντα δωρεὰν ἀποδεικνύειν βασιλικὴν, τὴν τῶν Ἐκκλησιῶν ἐπανάβασιν, καὶ μὴ δεῖν φάσκοντα ταύτην ἀνατρέπεσθαι, λόγου ἀχαριστίας μὴ παρεμπίπτοντος. Εἰ γὰρ ἀνθρώπῳ, φασὶ, δωρούμενος ὁ βασιλεὺς, οὐκ ἄλλως ἀναλαμβάνει τὴν δωρεὰν, εἰ μὴ ἀχαριστίας παρεμπέσοι λόγος, πολλῷ μᾶλλον ἐπὶ τῶν ἁγίων Ἐκκλησιῶν, ἐφ' ὧν ἀχαριστίαν λέγειν οὐκ εὔλογον. Πρῶτον μὲν γὰρ πρὸς τὰς πόλεις, οὐ πρὸς τὰς Ἐκκλησίας, ἡ βασιλικὴ δωρεά· εἰ δὲ καὶ θείη τις τοῦτο βιαζόμενος δωρεὰν εἶναι, ἄδικον αὐτὴν

(1) μζ'. Βασιλικ. Α', 3.

εὑρήσει, καὶ νόμοις ἀπρόσδεκτον· οὗτοι γὰρ κωλύουσι καὶ τὰς ἀδίκους αἰτήσεις, καὶ τὰς προχείρους εὐεργεσίας, εἰς ἄλλων βλάβην αἰτουμένας, χαρίζεσθαι· καὶ ἔτι, οὐκ ὀφείλουσιν ἑτέροις εἶναι ἐπιζήμιοι αἱ ἑτέρων τιμαί. Τῆς ὑποθέσεως οὖν οὕτως ἐπιμελῶς ζητηθείσης, χρεὼν πάντως, θεσπέσιε βασιλεῦ, τὴν ἀλόγιστον ταύτην καὶ ἄδικον πρᾶξιν τέως εἰς τὸ ἑξῆς ἀνακόψαι, θείων θεσπισμάτων ἐκτιθεμένων παρὰ τῆς σῆς ἡμερότητος, γίνεσθαι ταύτην τοῦ λοιποῦ κωλυόντων καθάπαξ· τῶν προηγησαμένων δὲ προσήκουσαν καὶ κατάλληλον τῇ μεγαλεπηβόλῳ συνέσει σου ποιῆσαι οἰκονομίαν. Καὶ ὅσαι τῶν Ἐκκλησιῶν, ἐξ ἐπισκοπικῶν δικαίων εἰς ὑπεροχὴν μητροπόλεων ἀναχθεῖσαι, ὑπερήλασαν ἀδιακόπως καὶ τὴν χρονίαν παραγραφὴν τῆς τριακονταετηρίδος, μενέτωσαν ἐπὶ σχήματος, καὶ τῇ ἁγίᾳ καὶ μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ ἔστωσαν ὑποκείμεναι· ἐπειδὴ καὶ τοῦτο προνόμιον ἐπισκοπικόν, καὶ κανόνες εἰσὶν ἐπιτρέποντες, δεσπόζειν ἐπίσκοπον προνομίου ἑτέρας Ἐκκλησίας διὰ παραδρομῆς τῶν εἰρημένων ἐνιαυτῶν. Φησὶ γὰρ ὁ ιζ΄. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου· Τὰς καθ' ἑκάστην Ἐκκλησίαν ἀγροικικὰς παροικίας ἢ ἐγχωρίους, μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα, εἰ τριακονταετῆ χρόνον ταύτας ἀβιάστως διακατέχοντες ᾠκονόμησαν. Εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐνιαυτῶν γένηταί τις ἢ γένοιτο περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικῆσθαι, περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας· ᾧ τινι θείῳ κανόνι καὶ ἡ ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συστᾶσα ἁγία σύνοδος διὰ τοῦ κέ. κανόνος ἐπηκολούθησε· τὰς δὲ τοῦτο παθούσας, μηδὲ χρόνῳ βοηθουμένας, ἐπαναστρέφειν ἀναμφιλέκτως εἰς τὰ τῶν οἰκείων μητροπόλεων δίκαια. Μὴ ταραττέτω δὲ τὴν κραταιὰν καὶ ἁγίαν βασιλείαν σου τὸ κατὰ φαντασίαν παρεισαγόμενον ἄτοπον, καὶ ἡ δοκοῦσα προσγίνεσθαι ταῖς Ἐκκλησίαις ὕβρις, ἀτιμαζομέναις ὥσπερ τῷ ὑφαιρεῖσθαι τοῦ μητροπολιτικοῦ ἀξιώματος· οὐκ ἔστι γὰρ τοῦτο ὕβρις, τὸ ὑφαιρεῖσθαι ἐνθέσμως· τοὐναντίον δὲ μᾶλλον τὸ ἕτερον, τὸ ἐκφύλως καὶ ἐκθέσμως γινόμενον· εὑρέθη γάρ τι καὶ τοιοῦτον γενόμενον κρίσει συνοδικῇ, καὶ ἐπικρίσει βασιλικῇ κυρωθέν. Τῆς γὰρ ἐπισκοπῆς τοῦ Ῥιζαίου ὑπὸ

τὸν Καισαρείας τελούσης, καὶ ἀρχιεπισκοπῆς γενομένης παρὰ Γερμανοῦ τοῦ ὁμολογητοῦ καὶ πατριάρχου, καὶ τοῦ ἐπ' ἐκείνου βασιλεύοντος, χρόνοις διακοσίοις ὕστερον, ἐπὶ Θεοφυλάκτου τοῦ ἀοιδίμου πατριάρχου, κελεύσει βασιλέως Ῥωμανοῦ τοῦ πρεσβυτέρου, ἐξ αἰτήσεως Νικηφόρου τινὸς, ποιμενάρχου Νεοκαισαρείας τυγχάνοντος, δικαστήριον συνέστη συμμιγὲς ἔκ τε ἀρχιερέων, καὶ ἐλλογίμων συγκλητικῶν, προκαθημένου καὶ αὐτοῦ τοῦ εἰρημένου πατριάρχου· καὶ ἡ νικῶσα τῷ μητροπολίτῃ ἐδόθη. Παρίστησι τοῦτο τρανῶς τὸ τῶν δικαιωσάντων σημείωμα, καὶ ὑπόμνημα τοῦ ῥηθέντος πατριάρχου, καὶ χρυσόβουλλος λόγος τῶν βασιλέων, Ῥωμανοῦ, Χριστοφόρου, καὶ Κωνσταντίνου, ἐπισφραγίζων τὰ κεκριμένα. Καὶ εἰκότως, φιλάγαθε βασιλεῦ· τὸ γὰρ κακῶς γενόμενον, δέον διορθωθῆναι καλῶς. Οὕτω φρονῶ· οὕτως ἀποφαίνομαι ταῖς πατροπαραδότοις διδασκαλίαις τῶν ἁγίων θεοφόρων Πατέρων ἑπόμενος, καὶ τοῖς ἱεροῖς καὶ θείοις κανόσι στοιχῶν· οὐ γὰρ ὅσιον, οὐδὲ δίκαιον ἥγημαι τὸ μὴ δικαίως τε καὶ ὁσίως γενόμενον· οὐκοῦν οὐδὲ πέφρικα τὰς τῶν πολλῶν ὑπολήψεις, ἀξιούντων με τῶν τῆς ἐκ Θεοῦ δεδομένης μοι Ἐκκλησίας ἀντιποιεῖσθαι καὶ μὴ καταμελεῖν προνομίων, καὶ εὐκόλως ταῦτα προΐεσθαι· οὐ γάρ ἐστι τῶν ἀρχιερέων, ὡς ἐπάναγκες εἶναι τῶν τῆς οἰκείας Ἐκκλησίας προνομίων ἀδιαφόρως ἀντέχεσθαι, δικαίων τε ἅμα καὶ ἀδίκων· ἀλλὰ τὰ μὲν δίκαια φυλάττειν ἀλώβητα, τῶν δὲ ἀδίκων ὑπεκχωρεῖν καὶ ἐξίστασθαι. Οἱ γὰρ τὸν τῆς ἀληθείας λόγον ὀρθοτομεῖν ἐκ τῶν διδαγμάτων τῆς αὐτοαληθείας τοῦ Λόγου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καθάπαξ κεκελευσμένοι, οὐκ ἀναίτιοι πάντως ἐσόμεθα τῷ Θεῷ, εἰ προὔργου ταῦτα διὰ πάθος τὰ κέρδη ποιήσομεν. Καὶ ἡμεῖς μὲν μηδὲν προτιμότερον τῶν θείων ἐντολῶν καὶ τῶν πατρικῶν παραδόσεων ποιεῖν ἐξανάγκης ὀφείλοντες, ἀλλ' ἀμετάπτωτα ταῦτα φυλάττειν, ὡς δύναμις, οὕτω καὶ νοοῦμεν, καὶ ὁριζόμεθα. Σκοπησάτω δὲ καὶ τὸ εὐσεβὲς καὶ παγγάληνον κράτος σου, καὶ οἰκονομησάτω τὸ δέον· καὶ ὃ πάντως ἄμεμπτον, καὶ ἀπρόσκοπον, καὶ πρὸς Θεὸν αὐτὸν, καὶ πρὸς τοὺς ἱεροὺς κανόνας, διαφυλάξοι ἡ βασιλεία σου.

ΛΕΟΝΤΟΣ ΤΟΥ ΣΤΥΠΠΗ (1).

Α΄. ΣΗΜΕΙΩΜΑ ΣΥΝΟΔΙΚΟΝ.

Μηνὶ μαΐῳ, ἰνδικτιῶνος τρίτης, προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Λέοντος ἐν τοῖς δεξιοῖς κατηχουμενείοις τοῦ ἁγίου Ἀλεξίου, συνεδριαζόντων καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἀγκύρας, τοῦ Κυζίκου, τοῦ Ἀμασείας, τοῦ Μελιτινῆς, τοῦ Λαοδικείας, τοῦ Κρήτης, τοῦ Ἀντιοχείας τῆς Πισιδίας, τοῦ Τραϊανουπόλεως, τοῦ Φιλίππων, τοῦ Ἀμάστριδος, καὶ τοῦ Μεσημβρίας, καὶ θεοφιλῶν ἀρχιεπισκόπων, τοῦ Καραβυζύης, καὶ τοῦ Γοτθίας, παρισταμένων καὶ τῶν δεσποτικῶν ἀρχόντων. Καὶ τὸ μὲν περὶ σωμάτων θεραπείαν ἐνασχολεῖσθαι, καὶ φαρμακεύειν ἐπιχειρεῖν πονηρῶς ἔχοντα σώματα, οὐ τοῦ τυχόντος, εἴποι τις ἄν, οὐδὲ τοῦ βουληθέντος ἁπλῶς καὶ μόνον θελήσαντος· ἐκείνου δὲ πάντως, καὶ κυρίως, καὶ μάλιστα, ὃν ὁ μὲν τῆς ἰατρικῆς τέχνης λόγος ἐμαίευσεν, ἡ δὲ χρονία ἐμπειρία λαβοῦσα πάλιν ἐτιθηνήσατο, καὶ ὁ τῆς ἰατρικῆς προεξάρχων, ὡς λυδία τις λίθος, προεξετάσας τὰ πρῶτα, καὶ κατειληφὼς οὐκ ἀδόκιμον, τὸ τῆς ἐπικρίσεως τούτῳ προσεπεβράβευσε σύμβολον· ἰατῆρας δὲ ψυχικοὺς, βίου τε διδασκάλους ἀκριβεστέρους, καὶ καλῶν λόγων ὑφηγητάς τε καὶ συγγραφεῖς, ἐπί τισι δὲ καὶ δογματιστὰς, (ὁμοῦ γὰρ ταῦτα πάντα καὶ νῦν τῇ προκειμένῃ σήμερον ὑποθέσει συνέδραμε,) τοὺς ἅμα μόνον θελήσαντας ἀδοκιμάστως αὐτίκα, καὶ αὐτοχειροτονήτως (τοῦτο δὴ τὸ λεγόμενον) γενέσθαι, τίς συγχωρήσειε; Καὶ ῥαββὶ κληθήσεται ὁ βουλόμε-

---

(1) Λέων ὁ Στυππῆς, ἀναβὰς εἰς τὸν τῆς Κωνσταντινουπόλεως πατριαρχικὸν θρόνον τὸ ἔτος 1134, ἐπὶ τοῦ αὐτοκράτορος Ἰωάννου τοῦ Κομνηνοῦ, τοῦ ἐπονομασθέντος Καλοϊωάννου, ἐποίμανε τὴν Ἐκκλησίαν ἔτη ἐννέα, ἀποθανὼν τὸ ἔτος 1143.—Τὸ ἑπόμενον αὐτοῦ σημείωμα, μὴ περιεχόμενον ἐν τῇ συλλογῇ τοῦ Λεϋγκλαυΐου, ἐλήφθη ἐκ τοῦ συγγράμματος Λέοντος τοῦ Ἀλλατίου σελ. 644, De Ecclesiæ occidentalis atque orientalis perpetua consensione. (Περὶ τῆς διαρκοῦς συμφωνίας τῆς δυτικῆς καὶ τῆς ἀνατολικῆς Ἐκκλησίας.)

νος, καὶ διδασκαλικῶν συγγραμμάτων ἐκθέτης, ὁ θέλων ἅπας γενήσεται. Καὶ τίς ἂν μὴ φρενὸς τυγχάνων ὅλως ἐπισφαλοῦς τῷ λόγῳ συνθήσεται; Πῶς δὲ καὶ οὐχὶ, τούτου συγχωρουμένου, πολλοὶ μὲν καὶ τῶν φρονούντων ἐπισφαλῶς, πολλῆς ἀδείας τοῦ γράφειν δραξάμενοι, πολλὰ μὲν προσεπισπαροῦσι τῷ φαινομένῳ σίτῳ ζιζάνια; τινὲς δὲ καὶ τῶν ἁπλουστέρων ὡς σωτηρίοις ἀβούλως τοῖς ὀλεθρίοις προστρέχοντες, ἄνθρακας πυρὸς, ὡς εἰπεῖν, τὸν δοκοῦντα τούτοις θησαυρὸν ἐφευρήσουσι; Διὰ τοῦτο τοιγαροῦν καὶ ἡμεῖς, ἅμα μὲν τὸ τῶν πολλῶν πρὸς τὸ γράφειν, καὶ διδάσκειν ἄλλους αὐτοπροκλήτως αὐθόρμητον ἀναστέλλοντες, ἅμα δὲ καὶ τῆς τῶν πολλῶν σωτηρίας, καὶ πλέον δῆτα τῶν ἁπλουστέρων φροντίζοντες, οἷσπερ οὐχ ἱκανὸν τροφίμου βοτάνης διακρίνειν τὸ κώνειον· ἐπεὶ διά τινων μοναχῶν προσελεύσεως τῇ κατὰ τὸ ἱερὸν τοῦ κυρίου Νικολάου λεγομένῃ ἐνασχολουμένων μονῇ συγγράμματά τινα ἐφευρίσκεσθαι τοῦ τὸν βίον ἤδη καταλιπόντος Κωνσταντίνου ἐκεῖ τοῦ Χρυσομάλλου ἀνεδιδάχθημεν· εἷς δῆτα καὶ αὐτοὺς ἐντυχόντας οὐ μετρίως σκανδαλισθῆναι διὰ πολλήν τινα τὴν ἐμφερομένην αὐτοῖς ἐρεσχελίαν ἅμα καὶ ἀτοπίαν, ὡς ἔλεγον, διαδίδοσθαι δὲ ἤδη καὶ πρὸς πολλοὺς τὰ τοιαῦτα, ὥς τινα μᾶλλον τῶν ὠφελεῖν δυναμένων, καὶ πρὸς βίον ῥυθμίζειν τοὺς πολλοὺς ἀκριβέστερον· διὰ φροντίδος ὅτι πολλῆς τὸ πρᾶγμα ποιήσαντες, καὶ ἀπὸ τῶν τὰ τοιαῦτα κεκτημένων συγγράμματα, τὰς προσούσας τούτοις βίβλους ἀναλαβόμενοι· ἀνεμάθομεν γὰρ ἀνερευνήσαντες, μίαν μὲν εἶναι παρὰ Πέτρῳ τινὶ μονάζοντι ἐπὶ τῇ τοῦ ἁγίου Ἀθηνογένους προσκαθημένῳ μονῇ, ἑτέραν δὲ παρὰ Γεωργίῳ προέδρῳ τῷ λεγομένῳ Παμφίλῳ, ἑτέραν δὲ πάλιν τὴν παρὰ τῶν δηλωθέντων μοναχῶν, τῶν τὰ περὶ τούτου προσαγγειλάντων, προσαχθεῖσαν ἡμῖν, ἣν καὶ ἀναλαβέσθαι ἐξεῖπον ἀπὸ τοῦ ἐν τῇ τοῦ Γηροκομείου μονῇ μονάζοντος· ταύτας οὖν τὰς τρεῖς συμφορήσαντες, τὰ μὲν αὐτὰ καὶ παρὰ ταῖς τρισὶν ὡς ἐκ μεταγραφῆς ἐμφερόμενα συγγράμματα εὕρομεν, πλείονα δὲ τῶν δύο τὰ παρὰ τῷ Πέτρῳ ἐφευρέθησαν· ὡς τὰ μὲν ἐν ταῖς δυσὶν ἐκείναις εἰς *** πρὸς τοῖς διακοσίοις τὰ ὅλα συμποσοῦσθαι κεφάλαια· οὕτω γὰρ ἡ διδασκαλία τῷ

συγγραφεῖ ἐν κεφαλαίων διαιρέσει συντέθειται· πολλὰ δὲ τῶν ἐμπεριεχομένων ταύταις καὶ ἰδίᾳ κατασκοπήσαντες, καὶ συνοδικῶς ἐξετάσαντες, οὐκ ἐρεσχελιῶν μόνον, καὶ καινολογιῶν ἁπλῶς, καὶ μωρολογιῶν, ἀλλὰ καὶ αἱρέσεων προφανῶς ἀνάμεστα εὕρομεν, καὶ πλέον τῶν ἄλλων Ἐνθουσιαστῶν, καὶ Βογομήλων. Ἵνα γὰρ τ' ἄλλα παρῶμεν, τά τε παρὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν δηλαδὴ καὶ παράδοσιν ἐκ κοιλίας τούτῳ ἐξερευχθέντα, καὶ ὑπὸ τῆς ἑαυτοῦ διανοίας ἀναπλασθέντα τῆς κακοδαίμονος, καὶ ὅσα πρὸς καταδρομὴν ἐκείνῳ καὶ ὕβριν κατὰ Χριστιανοῦ παντὸς ἐνεγράφησαν, ὅσα τε πάλιν πρὸς ἀτιμίαν ἀρχῆς ἁπάσης καὶ περιφρόνησιν τῷ Σατανᾷ προσκυνεῖν ἀποφλυαρήσαντι τοὺς ὁποιωδήποτε ἄρχοντι τιμὴν, ἢ προσκύνησιν ἀπονέμοντας· ἀλλὰ τὸ λέγειν βαπτισθέντα πάντα Χριστιανὸν, διὰ τὸ ἐν νηπιότητι κατὰ τὴν κρατοῦσαν συνήθειαν ἀκατηχήτως, ὥς φησι, τοῦτον βαπτίζεσθαι, μηδὲ Χριστιανὸν εἶναι τῇ ἀληθείᾳ, κἂν ὀνομάζοιτο· ἀλλὰ κἄν τινας ἐκ τῶν ἀρετῶν κατορθώσοι, ὡς ἐθνικὸν κατορθοῦν, καὶ μηδὲ δεῖν ἀναγινώσκειν αὐτὸν τοὺς λόγους τῆς διδασκαλίας τοῦ Εὐαγγελίου, ἀλλὰ πρότερον κατηχηθῆναι, καὶ μυηθῆναι, καὶ μεταστοιχειωθῆναι, τουτέστι μεταστῆναι ἀπὸ τῆς ἐξουσίας τοῦ Σατανᾶ· καὶ τὸ λέγειν πάλιν, ὅτι ὅσοι ὀνομαζόμενοι Χριστιανοὶ μὴ συνήκασι τὴν ἐκ τοῦ θείου βαπτίσματος ἑαυτῶν ἀναστοιχείωσιν, κἂν εἰς ἀρχιερατικὸν βαθμὸν κατηντήκασι, κἂν πᾶσαν τὴν θεόπνευστον Γραφὴν ἐπὶ γλώττης φέρουσι καὶ διδάσκουσιν, εἰς τὴν φυσιοῦσαν αὐτοὺς γνῶσιν ἐναβρυνόμενοι, οὐδὲν ὠφελήθησαν, εἰ μὴ, κατηχηθέντες αὖθις, ἀναστοιχειώσεως τύχωσι καὶ μορφώσεως τῶν ψυχικῶν αὐτῶν ἕξεων, μυστικῆς διὰ μεσιτείας, καὶ ἐπιθέσεως τῶν χειρῶν τῶν ἐπιγνωμόνων οἰκονόμων τοῦ μεγάλου τούτου μυστηρίου, καὶ τῆς ἱερᾶς γνώσεως ἐπιστημόνων· καὶ ἐν ἑτέρῳ πάλιν κεφαλαίῳ προστιθέναι, ὅτι, ὅστις οὐ νοερᾷ αἰσθήσει νοερῶς αἰσθάνεται ποιοῦντος ἐν αὐτῷ τοῦ Θεοῦ τὸ θέλημα αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, εἰς κενὸν κοπιᾷ, καὶ ὅτι τῷ ἀκατηχήτῳ Χριστιανῷ μετανοοῦντι, καὶ ἐξομολογουμένῳ τὰ μετὰ τὸ ἅγιον βάπτισμα ἁμαρτήματα, οὐδὲν ὄφελος δεσμὰ, καὶ φάρμακα θεραπευτικὰ, ἄνευ διδα-

χῆς θείας, καὶ μυήσεως, καὶ πίστεως· καὶ πάλιν ὡς, ἐὰν Χριστιανὸς βαπτισθεὶς οὐκ ἐνεδυναμώθη ἀπὸ ἀσθενείας, καὶ τῆς εἰς τὴν ἁμαρτίαν ῥοπῆς, πορευθεὶς πρότερον ἐνδυναμωθήτω διὰ πίστεως καὶ χειρῶν ἐπιθέσεως τῶν οἰκονόμων τῆς Χριστοῦ χάριτος, ἥτις ἐκ πίστεως χαρίζεται, οὐκ ἐξ ἔργων· ἔτι δὲ καὶ τὸ λέγειν, τοὺς ἀληθεῖς παρ' ἐκείνῳ Χριστιανοὺς μηδὲ νόμῳ ὑποκεῖσθαι, ὡς μετὰ τὸ φθάσαι εἰς τὸ μέτρον τῆς κατὰ Χριστὸν ἡλικίας, μηκέτι δύνασθαι εἶναι ὑπὸ νόμον, ἀλλ' ὡς δυνατὸν ποιεῖν τὰ τοῦ νόμου, φησί· καὶ τὸ δογματίζειν, τὰς μετὰ τὸ ἅγιον βάπτισμα τοῖς τῆς κακίας λογισμοῖς ἐπηρεαζομένας ψυχὰς μὴ δύνασθαι τούτων ἐλευθερωθῆναι, εἰ μὴ διὰ τῶν ἐπισκευαστῶν ἀνακαλουμένων ἀνοήτως· μήτε εἰς Ἐκκλησίαν εἰσιέναι, μήτε ψάλλειν, μήτε προσεύχεσθαι, μήτε Χριστὸν ὀνομάζειν, μήτε τὰ Χριστιανῶν ἐπιτελεῖν· ἀλλαχοῦ δὲ, μηδὲ μετιέναι τινὰ ἀρετὴν πρὸ τοῦ τὴν καλὴν ἀλλοιωθῆναι ἀλλοίωσιν, διὰ τὸ ἀποστρέφεσθαι ταῦτα τὸν Θεὸν, καὶ μισεῖν· δαίμοσι γὰρ ἐοικέναι τοὺς ταῦτα κατορθοῦντας, καὶ ὁμολογοῦντας μὲν διὰ τὸν Θεὸν κατορθοῦν, ἀλόγως δὲ, ὥς φησι, ταῦτα ποιοῦντας· καὶ, ἵνα συντέμωμεν τὰ πολλὰ, τὸ ἐν διαφόροις κεφαλαίοις αὐτὸν ἀποφαίνεσθαι, μηδέν τι τοὺς Χριστιανοὺς ὠφελεῖσθαι, κἂν πᾶσαν ἐργάσωνται ἀρετὴν, καὶ κακίαν πᾶσαν ἐκκλίνωσι, κἂν διὰ τὸν Θεὸν ταῦτα ποιῶσιν, εἰμὴ νοερὰν αἴσθησιν τοῦ θείου Πνεύματος δέξονται, φυσικῶς τε καὶ ἀνωδύνως ἐν αὐτοῖς ἐνεργοῦντος τὸ ἀγαθὸν, καὶ ἀκινήτους πάντη ποιοῦντος πρὸς τὸ κακόν· νομοθετεῖν δὲ, καὶ ἐὰν μὴ τοιοῦτον ἐν συναισθήσει δέξωνται φωτισμὸν οἱ ἀναγεννώμενοι, ὡς ἐν τῷ ψάλλειν ἀκλινῆ τε ἔχειν τὸν νοῦν καὶ ἀμετακίνητον, συνιέναι δὲ καὶ τὴν τῶν ψαλλομένων πᾶσαν διάνοιαν, μηδὲ ψάλλειν ὅλως τούτους, μηδὲ προσεύχεσθαι, ἀλλὰ μηδὲ ὡς πιστοὺς εἰς Ἐκκλησίαν εἰσέρχεσθαι, ἄχρις ἂν διὰ τῆς παρ' ἐκείνου εἰσαγομένης κατηχήσεώς τε πάλιν καὶ μυήσεως, μύρων τε χρίσεως ἀναστοιχειωθέντες τοῖς τοῦ θείου Πνεύματος ἐν αὐτοῖς δυνάμεώς τε καὶ ἐνεργείας αἴσθησιν δέξωνται· ἀλλὰ καὶ τὸ τὰ αὐτὰ ἀξιοῦν καὶ περὶ τῆς ἀποκάρσεως, καὶ τὸν ἀποκειρόμενον λέγειν ἀνωφελῶς καὶ αὐτὸν ἀποκείρεσθαι, εἰμὴ

ἐν νοερᾷ αἰσθήσει, καὶ οὐκ ἐν πίστει τῆς χαριζομένης αὐτῷ αἰσθητικῆς τοῦ Πνεύματος χάριτος, καὶ τῆς δι' αὐτῆς ἀλλοιώσεως, καὶ μεταστοιχειώσεως, ὡς μηκέτι ἢ θέλειν, ἢ δύνασθαι ἁμαρτάνειν· πρὸς δὲ καὶ πᾶσι τοῖς ἄλλοις εἰσάγειν, ὡς πᾶς Χριστιανὸς δύο ἔχει ψυχάς, τὴν μὲν αὐτῶν ἀναμάρτητον, τὴν δὲ ἁμαρτητικήν· εἰ δὲ μίαν ἔχει ψυχὴν, Χριστιανὸς οὔπω ἐγένετο· πῶς οὐχὶ προφανῶς τὰ τοιαῦτα τῶν δηλωθεισῶν αἱρέσεων ἴδια; Τὸ μὲν γὰρ νοερὰν αἴσθησιν, ἢ αἰσθητὴν πάλιν νόησιν, ἢ καὶ μόνην αἴσθησιν, ὡς ἐν ἄλλοις φησὶ, καὶ ἔλλαμψιν, καὶ ἀποκάλυψιν, καὶ ἐπίγνωσιν τοῦ Πνεύματος ἀπαιτεῖν αὐτὸν τοὺς βαπτιζομένους, ἢ μὴν ἀνόνητον εἶναι λέγειν τούτοις τὸ βάπτισμα, κἂν εἰ καὶ πᾶν ἀγαθὸν μετέρχοιντο, τῆς τῶν Ἐνθουσιαζομένων πάντως αἱρέσεως, ἀποκαλύψεως θείας φανταζομένων εἰσδέχεσθαι ταῖς τῶν πονηρῶν δαιμόνων ἐξαπατήσεσι· τὸ δέ γε μετὰ τὸ θεῖον βάπτισμα τοὺς βαπτιζομένους διὰ τὸ ἀκατηχήτως, ὥς φησιν, αὐτοὺς ἀναγεννηθῆναι, τουτέστι πάντας ἡμᾶς τοὺς Χριστιανοὺς μέχρι διδασκάλων, καὶ ἱερέων, καὶ ἀρχιερέων αὐτῶν δεῖσθαι πάλιν ἐξ ἀρχῆς κατηχήσεως, καὶ μυήσεως, καὶ ἀναστοιχειώσεως, διὰ τῆς παρ' ἐκείνου εἰσαγομένης τελεσιουργήσεως, καὶ τῆς τῶν χειρῶν ἐπιθέσεως τῶν ἐπιστημόνων οἰκονόμων τῆς μυστικῆς ταύτης χάριτος, οὓς καὶ μετὰ πάσης σπουδῆς ἀνερευνᾷν ἀπαιτεῖ, σπανίως εὑρισκομένους τοὺς μόνους δυναμένους ἀνακαινίζειν τοὺς προσιόντας, καὶ θείας χάριτος μετόχους ποιεῖν, τῆς τῶν Βογομήλων αἱρέσεως ἀναμφίβολον γνώρισμα, τὸ καθ' ἡμᾶς ὡς ἀτελὲς διασυρόντων ἅγιον βάπτισμα, καὶ δεύτερον εἰσαγόντων τὸ ἑαυτῶν, τελειοποιὸν, καὶ παρεκτικὸν θείου Πνεύματος· ἀλλὰ καὶ τὸ, ἢ δύο ψυχὰς τὸν Χριστιανὸν ἔχειν, ὥς φησιν, ἢ μὴ εἶναι Χριστιανὸν, οὕτω ῥητῶς ὑπὸ τῆς τῶν Μασσαλιανῶν, ἤτοι Βογομήλων, παμβεβήλου θρησκείας δογματιζόμενον εὕρηται. Οὐκ ἐκ τούτων οὖν μόνων· ταῦτα γὰρ ὥσπερ τι μικρὸν γεῦμα παμπλήρους πίθου, ἢ ὅλου, ὅ φασιν, ὑφάσματος κράσπεδον ἡμῖν ἐνταῦθα παρείληπται, ἀλλὰ καὶ μυρίων ἄλλων τῶν ταῖς βίβλοις ἐνεσπαρμένων, τὸ σαπρὸν τῆς γραφῆς, καὶ πυρὸς ἄξιον, καὶ ἀφανισμοῦ τελείου κατειληφότες, τὰς μὲν βίβλους αὐτὰς, καὶ

πυρὶ παραυτίκα δοθῆναι διωρισάμεθα, καὶ ἀναθέματι πάντας τοὺς φρονοῦντας οὕτω καθυποβάλλομεν, διοριζόμεθά τε πᾶσι κοινῶς, μηδένα μήτε τολμᾶν νέας ἐκτιθέναι διδασκαλίας αὐτοχειροτονήτως, ὥσπερ ἑαυτῷ περιτιθέντα τὸ τῆς διδασκαλίας ἀξίωμα· μήτε μὴν παρ᾽ οὑτινοσοῦν ὁποιονδήποτε νέον καινοφανὲς ἀναγινώσκεσθαι σύγγραμμα, μὴ φθάσαν ἐπιγνωσθῆναί τε τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ, δοκιμασθὲν πρότερον, ἐπικριθῆναι ὡς εὐσεβὲς καὶ ὠφέλιμον· μάλιστα μέν τοιγε πάντων τὰ δηλωθέντα ταῦτα καὶ λεγόμενα εἶναι τοῦ Χρυσομάλλου συγγράμματα· καὶ οὐκ αὐτὰ δὲ μόνον τὰ εὑρεθέντα· ἀλλ᾽ εἰ καί τινες ἄλλαι εὑρίσκονται γραφαὶ ἐκείνου οἱαιδήτινες, μηδένα μήτε ἔχειν παρ᾽ αὐτῷ, μήτε ἀναγινώσκειν ὅλως αὐτά· τὸν γὰρ μετὰ τὴν παροῦσαν σημείωσιν κεκτημένον τι τούτων, καὶ ἀναγινώσκοντα, ἢ συνειδότα ἕτερον ἔχοντα ταῦτα, καὶ κατ᾽ αὐτὰ φρονοῦντα, καὶ συγκαλύπτοντα ἀσυγγνώστως, αὐτὸν, ὡς ταῖς δηλωθείσαις ἐνισχυμένον αἱρέσεσι, παρὰ μὲν Ἐκκλησίᾳ πάσῃ ὑπὸ ἀναθέματι γίνεσθαι, παραδίδοσθαι δὲ καὶ τοῖς τὰ πολιτικὰ διέπουσιν ἄρχουσιν, ὥστε καὶ παρ᾽ αὐτῶν νομίμως ὑποσχεῖν τὰς εὐθύνας. Ἐπεὶ δὲ τούτων οὕτω παρ᾽ ἡμῶν πραχθέντων τε καὶ διορισθέντων συνοδικῶς ἐνώπιον καὶ τῶν παρ᾽ οἷς αἱ βίβλοι ἐφεύρηνται, ἤγουν τοῦ τε μοναχοῦ Πέτρου, καὶ τοῦ Παμφίλου, δέον ἦν καὶ τούτους ἐρωτηθῆναι, εἴτε τούτων ἀντέχονται, εἴτε μὴν ὡς ἐσφαλμένων καὶ ἀσεβῶν καταπτύουσι, καὶ τὰ ὀλισθηρὰ τούτων ἀναθεματίζουσι δόγματα, μηδέν τι πλέον ἐπὶ τούτοις φρονεῖν τῶν συνοδικῶς σήμερον διαγνωσθέντων ἡμῖν, ἀκουόντων πάντων, ἀπεστομάτισαν, ἀλλ᾽ εἰ καὶ πρότερον παρ᾽ ἑαυτοῖς εἶχον τὰς βίβλους, καὶ τὰ ἐν αὐταῖς ἀσυντηρήτως καὶ ἀπεριμερίμνως ἀναγινώσκοντες ὡς καλῶς ἔχοντα παρεδέχοντο, ἀλλὰ νῦν ἐξεταστικώτερον ταῦτα καὶ αὐτοὶ ἰδόντες ἀναγνωσθέντα, καὶ καλῶς ἀποδοκιμασθέντα κατανοήσαντες, συγγνώμην τε ἐξαιτεῖν ὡμολόγουν, ἐφ᾽ οἷς τοιαύτην μέχρι τοῦ νῦν ἠγνόησαν ἄγνοιαν, ἀγαθῇ προλήψει, καὶ στοργῇ φιλικῇ τῇ πρὸς ἐκεῖνον ἡττώμενοι· καὶ τοσοῦτον τὸ ἀπὸ τοῦδε τῶν τοιούτων ἀφίστασθαι, ὡς καὶ εἰς ἐπήκοον πάντων διηνεκεῖ ἀναθέματι ταῦτά τε τὰ συγγράμματα, καὶ τὸν συγγραψάμενον, καὶ τὸν

οὕτω φρονοῦντα καθυποβάλλειν. Δεξάμενοι γοῦν καὶ ἡμεῖς τὴν τούτων ὁμολογίαν τε, καὶ κατάθεσιν, δι' ἣν ἐποιήσαντο τῶν δηλωθέντων ἀσεβῶν συγγραμμάτων ἐνώπιον τῆς ἱερᾶς συνόδου ἀναθεματισμὸν, καὶ τὴν ἐγκάρδιον τούτων, ὡς διαβεβαιοῦνται, κατάγνωσιν, μετὰ δακρύων τὴν συγγνώμην αἰτούμενοι, τῷ μὲν Παμφίλῳ τὰς ἀναγεγραμμένας ποινὰς πρὸς τὸ μηκέτι τοιοῦτόν τι φρονεῖν, ἢ ἀνθέξεσθαι τούτων ἐπηπειλησάμεθα· τὸν δὲ μοναχὸν Πέτρον ἀσύμφορον εἶναι κρίναντες κατάρχειν ἄλλων, τὸ ἀπὸ τοῦδε, διά τε τὸ τῆς συνειδήσεως τῶν πολλῶν ἤδη κεκαυτηριασμένον ὅσον τὸ ἐπ' αὐτῷ, καὶ ὧν μέλλουσιν ἔχειν σκινδαλμὸν, καὶ τὸ ὕποπτον, ἔτι δὲ καὶ τὸ τούτου ἀνίκανον, (πῶς γὰρ ἂν καὶ κυβερνᾷν ἄλλους, καὶ διδάσκειν ἱκανὸς κριθῇ ὁ τοιαύτην ἀγνοήσας, ὥς φησιν, ἄγνοιαν, καὶ ἔκδηλον οὕτω πᾶσιν ἀσέβειαν κατανοῆσαι μὴ δυνηθείς;) ἐν ἑτέρᾳ σταλῆναι τοῦτον μονῇ, καὶ ὑπὸ ἀρχηγὸν μᾶλλον εἶναι ἄλλον καὶ καθηγητὴν τετυπώκαμεν· ἐπειδὴ καὶ τῶν τῆς ἡμῶν μετριότητος, καὶ πάσης τῆς ἀρχιερατικῆς ὁμηγύρεως προεκυλινδοῦτο ποδῶν.

Β'. ΠΕΡΙ ΓΑΜΟΥ ΔΥΟ ΑΔΕΛΦΩΝ ΜΕΤΑ ΝΥΜΦΗΣ καὶ ἀνδραδέλφης.

Το τοῦ πατριάρχου Στυπῆ ψήφισμα, καὶ τὸ τοῦ πατριάρχου Ἀρσενίου, δύο ἀδελφοὺς, νύμφην λαβεῖν καὶ ἀνδραδέλφην, ἀκώλυτον εἶναι κρίνουσι (1).

---

(1) Ἡ ἀνωτέρω περίληψις δύο ὁμοίων ψηφισμάτων τῶν πατριαρχῶν Στυπῆ καὶ Ἀρσενίου ἐλήφθη ἐκ τῆς Ἑξαβίβλου τοῦ Ἁρμενοπούλου Β βλ. Δ'. Τίτλ. Ζ'. (ΣΤ'.) κεφ. 18. (21). — Ἀρσένιος ὁ Αὐτωριανὸς ἐκλεχθεὶς οἰκουμενικὸς πατριάρχης τὸ ἔτος 1254, ἐξορίζεται τὸ ἔτος 1256 ὑπὸ Μιχαὴλ τοῦ Παλαιολόγου, σφετερισθέντος τὰ δίκαια τοῦ παρ' αὐτοῦ κηδεμονευομένου Ἰωάννου, υἱοῦ Λασκάρεως τοῦ Νεωτέρου.

ΜΙΧΑΗΛ ΟΞΕΙΤΟΥ. (1)

Α'. ΣΗΜΕΙΩΜΑ ΕΠΙ ΤΗ ΚΑΘΑΙΡΕΣΕΙ ΓΕΓΟΝΟΣ

Τῶν ἀπὸ τῆς ἐνορίας τῶν Τυάνων ψευδοεπισκόπων, τοῦτε Σασίμων, καὶ τοῦ Βαλβιάτου, ὡς παρὰ τοὺς κανόνας χειροτονηθέντων, τῶν καὶ Βογομήλων ἐς ὕστερον ἀπελεγχθέντων.

Μηνι Αὐγούστῳ κ'. ἡμέρᾳ ἕκτῃ, ἰνδικτιῶνος ἕκτης, προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μιχαήλου ἐν τῷ Θωμαΐτῃ· συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Ἀγκύρας, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Γαγγρῶν, τοῦ Ἀντιοχείας τῆς Πισιδίας, τοῦ Ἱεραπόλεως, τοῦ Μεσημβρίας, τοῦ Βρύσεως, τοῦ Γαρέλης, καὶ τοῦ Γοτθίας, παρισαμένων καὶ δεσποτικῶν ἀρχόντων. Συνῆλθον μὲν τὴν σήμερον παρ' ἡμῖν βασιλικῆς ἐπιλύσεως τῇ ὑπομνήσει ἐγχαραχθείσης τοῦ ἱερωτάτου μητροπολίτου Τυάνων Βασιλείου, ὅ,τε πανσέβαςος, σεβαςὸς, καὶ μέγας Δρουγγάριος, ὁ μακαριώτατος ἐπίσκοπος Βουλγαρίας, καὶ ὁ μεγαλοεπιφανέςατος πρωτοασηκρήτης, συνδικάσαι τῇ τε ἡμῶν μετριότητι κελευσθέντες, καὶ τῇ παρ' ἡμῖν θείᾳ συνόδῳ, ἐφ' οἷς ὁ δηλωθεὶς ἱερώτατος ἀρχιερεὺς τῶν Τυάνων, κατὰ τὸ ἐφειμένον αὐτοῦ, ὡς τῆς χώρας ἀρχιερεῖ, οὐχ ὡς κατηγόρῳ, λεγομένοις δυσί τισιν ἐπισκόποις τῷ Κλήμεντι, καὶ τῷ Βαλβίσσης Λεοντίῳ βογομηλικῆς ἀσεβείας προσάπτει αἰτίαν, ὡς κακῶς καὶ διδάσκουσι, καὶ φρονοῦσι, καὶ τὰ τῆς τοιαύτης βεβήλου θρησκείας εἰς πολλοὺς τῶν Καππαδοκῶν ὀλεθρίως ἐνσπείρουσιν· ἀλλ' ἡ μὲν συνέλευσις αὐτοῖς διὰ ταῦτα. Ἐπεὶ δὲ, καθάπερ τι προϋποφώνημα τῷ Τυάνων, μᾶλλον δὲ καὶ οἷόν τις προπαρασκευὴ τοῦ δικαστηρίου, τὰ περὶ τῆς τῶν δηλωθέντων ἐπισκόπων ἐγκαταστάσεως εἰς ζή-

(1) Μιχαὴλ ὁ Ὀξείτης, ἀνὴρ εὐσεβέστατος καὶ πλείστης ἐκκλησιαστικῆς παιδείας κάτοχος, ἀναβαίνει ἐπὶ τὸν πατριαρχικὸν θρόνον κατὰ τὸ ἔτος 1143. Ἐπὶ τῶν ἡμερῶν αὐτοῦ διαδέχεται Ἰωάννην τὸν Κομνηνὸν ἀποθανόντα, ὁ υἱὸς αὐτοῦ Μανουήλ. Ποιμάνας δὲ τὴν Ἐκκλησίαν ἔτη τρία, παραιτεῖται τοῦ θρόνου. Τὰ ἑξῆς συνοδικὰ αὐτοῦ σημειώματα ἐλήφθησαν ἐκ τοῦ Ἀλλατίου σελ. 671—681.

τησιν προσενήνεκται, μηδὲ ἐπισκοπικῇ τούτους τετιμῆσθαι· διατεινομένῳ ἀξίᾳ, ὡς εἴτε μηδαμῶς χειροτονηθέντας, εἴτε μὴν παρὰ τὰς τῶν ἱερῶν κανόνων διαταγὰς, καὶ διὰ τοῦτο πάλιν ἐπισκοπικῆς ἀναξίους ὄντας ἀξίας, ἵνα καὶ ὁ ἀγὼν αὐτῷ μετὰ ταῦτα πρὸς ὁποίους ἄρα καὶ εἴη οὐδαμῶς ἀμφιβάλλοιτο. Ὡς γοῦν ἤδη τὰ περὶ τούτων καὶ ἐξητάζετο, οὐ μακρᾶς τινος ἐδεήθη τῆς ἀποδείξεως, ἀλλ' ὥσπερ ὁ σοφός που φησὶ Σολομὼν, ἀνδρὶ παγὶς τὰ οἰκεῖα χείλη τυγχάνει (1), οὕτω δὴ καὶ οἱ αἰτιώμενοι περὶ τῆς ἑαυτῶν εἰς ἐπισκόπους χειροτονίας ἐρωτηθέντες, συνήγοροί τινες ἄντικρυς τῷ μητροπολίτῃ ἐφάνησαν ψηφισθῆναι μὲν ἐνταῦθα φάμενοι διὰ πόλεως ἐπὶ τοῦ ἀποιχομένου ἐκείνου ἱερωτάτου μητροπολίτου Τυάνων μοναχοῦ Ἰακώβου πρὸς κλήρου, καὶ ἀρχιερέων συνήθως· εἶτα μετὰ καιρὸν ἐκείνῳ συνεξελθόντας εἰς τὴν τῶν Καππαδοκῶν δευτέραν, τὰ Τύανα, χειροτονηθῆναι μὲν, ἀλλ' ὑπ' ἐκείνου καὶ μόνου, διὰ τὸ μηδένα ἔχειν τὸν τούτῳ συλλειτουργήσαντα. Ἐπεὶ οὖν οὕτω τούτων καὶ παρ' αὐτῶν καθομολογηθέντων, οὐδέν τι ἦν τὸ ἀμφίβολον παρὰ τὴν τῶν ἱερῶν κανόνων χειροτονηθῆναι τούτους διάταξιν, ὡς τοῦ μὲν ἀποστολικοῦ καὶ πρώτου κανόνος ῥητῶς οὕτως, ἐπίσκοπον χειροτονεῖσθαι ὑπὸ ἐπισκόπων ἢ δύο, ἢ τριῶν διατάσσοντος· τοῦ δὲ τετάρτου τῶν ἐν Νικαίᾳ τὸ πρῶτον, καὶ τοῦ ἐννεακαιδεκάτου τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ναὶ μὴν καὶ τοῦ τῆς ἐν Καρθαγένῃ, καὶ διαφόρων ἑτέρων αὐτὸ τοῦτο διαῤῥήδην θεσμοθετούντων, τὸ χωρὶς τριῶν παρουσίας μηδένα χειροτονεῖσθαι ἐπίσκοπον· διὰ ταῦτα ἔδοξε πᾶσιν ἡμῖν, καὶ διέγνωσται, καὶ τοὺς δηλωθέντας τούτους, ὡς εἴπομεν, ἐπισκόπους, μηδὲ ἐπισκοπικῇ τετιμῆσθαι ὅλως ἀξίᾳ, ὡς καὶ ἀχειροτονήτους ἄντικρυς, διὰ τὸ τῆς χειροτονίας αὐτῶν ἀκανόνιστον. Τούτων οὕτω διαγνωσθέντων καὶ ἀποφανθέντων, ἐξεχωρήθη τὸ ἀπὸ τοῦδε τῷ μητροπολίτῃ Τυάνων, ὡς ἀρχιερεῖ, καὶ τὰ ἐν τῇ κατ' αὐτὸν χώρᾳ προσαγγελλόμενα, εἴτε δὴ καὶ τολμώμενα, ἐφειμένον ἔχοντι ἐξετάζειν, καὶ διορθοῦσθαι, προθεῖναι δὲ καὶ ἐπὶ μέσου τὰ περὶ τῆς θρυλλουμένης κατ' αὐτὸν ἀσεβείας, ὥστε συνοδικῶς ἅμα τοῖς δοθεῖσι συνδικασταῖς ἐξετασθῆναί τε, καὶ λυθῆναι.

---

(1) Παροιμ. ϛʹ, 2.

Β'. ΣΗΜΕΙΩΜΑ, ΔΙ' ΟΥ ΔΙΕΓΝΩΣΘΗΣΑΝ

Οἱ τὴν τῆς ἐπισκοπῆς ἀξίαν προαφαιρεθέντες, ὡς παρὰ κανόνας χειροτονηθέντες, ὅ,τε Σασίμων μοναχὸς Κλήμης, καὶ ὁ Βαλβίσσης Λεόντιος, ἐξ ἀναφορᾶς τοῦ ἱερωτάτου μητροπολίτου Τυάνων κυρίου Βασιλείου, τῆς τῶν Βογομήλων ὄντες μυσαρωτάτης αἱρέσεως.

Μηνι τῷ αὐτῷ, ἡμέρᾳ τῇ αὐτῇ, προκαθημένου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μιχαὴλου ἐν τῷ Θωμαΐτῃ, συνδικαζόντων μὲν τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἐκ βασιλικῆς καὶ θείας προστάξεως τοῦ πανσεβάστου, σεβαστοῦ, καὶ μεγάλου Δρουγγαρίου, τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Βουλγαρίας, καὶ τοῦ πανευγενεστάτου πρωτοασηκρήτης κυρίου Λεοντίου τοῦ Ἰκανάτου, συνεδριαζόντων δὲ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἀγκύρας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Τυάνων, τοῦ Ἀντιοχείας τῆς Πισιδίας, τοῦ Δυῤῥαχίου, τοῦ Ἀλανίας, τοῦ Μαδύτων, τοῦ Μεσημβρίας, τοῦ Βιζύης, τοῦ Γαρέων, καὶ τοῦ Γοτθίας, παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Ἔνθεον ζῆλον ἀναλαβὼν κατ' ἐπίγνωσιν ὁ ἱερώτατος μητροπολίτης Τυάνων Βασίλειος οὐκ ἠνέσχετο τὰ ἐν τῇ κατ' αὐτὸν ἐνορίᾳ τολμηθῆναι αὐτῷ ἀκουσθέντα παρὰ τῶν τάχα ἐπισκόπων αὐτοῦ, ἤγουν, τοῦ μοναχοῦ Λεοντίου, καὶ τοῦ μοναχοῦ Κλήμεντος, οὓς ἤδη προεξετάσαντες, τῆς ἐπισκοπικῆς ἀξίας καθείλομεν, μὴ καὶ εἰς τὸ ἐμφανὲς ἐξελέγξαι, καὶ ὅπως πολλά τινα περὶ τὴν ὀρθόδοξον οὗτοι θρησκείαν παρασφάλλονται ἀνοήτως, καὶ ἡμῖν παραστῆσαι σαφέστερον. Τοίνυν, οὐχ ὡς κατήγορος, οὐδ' ὡς αὐτὸς συνιστῶν κατ' αὐτῶν τὴν τῆς δυσσεβείας κατέγκλησιν· ταῦτα γὰρ ἤδη καὶ διὰ τοῦ προγεγονότος παρ' ἡμῶν σημειώματος προδιέγνωσταί τε καὶ προτετύπωται· ἀλλ' ὡς σπεύδων κωδίῳ προβάτου τοὺς λύκους μὴ ἐπικρύπτεσθαι, καὶ οὕτω λάθρα τὴν τοῦ Χριστοῦ παρ' αὐτῶν λυμαίνεσθαι ποίμνην, ἐνώπιον ἡμῶν τὴν σήμερον παρεστήσατο τὸν τῆς κατ' αὐτὸν τυγχάνοντα ἐνορίας εὐλαβῆ αὐτοῦ Λέοντα, τὸν καὶ παρὰ τοῦ Λεοντίου χειροτονηθέντα, ὡς αὐτὸς ἔλεγεν, ὡς καὶ ἀκριβῶς εἰδότα τὰ κατ' αὐτοὺς καὶ

ἐξελέγχειν αὐτοὺς τῶν ἄλλων πλέον ἰσχύοντα. Ὡς γοῦν παρέστη τῷ συνεδρίῳ, συμπαρίσταντο δὲ καὶ οἱ καθ' ὧν ἡ αἰτίασις, ὁ μοναχὸς δηλονότι Κλήμης, καὶ ὁ Λεόντιος, ἔγγραφον εὐθὺς ὁ τοῦ Τυάνων κανονικὸς προκεκόμικε, διαφόρους πράξεις τούτων διαλαμβάνον πολὺ περιφερούσας τὸ σφαλερὸν, καὶ φανερῶς παριστώσας, τὸν τῶν τοιούτων ἐργάτην μὴ εὐσεβοῦς τυγχάνειν φρονήματος, τὰ δὲ τῆς τῶν Βογομήλων θρησκείας ἀληθῶς νοσεῖν· τὸ δὲ ἔγγραφον ἦν μὲν ἐκτεθειμένον, ὥσπερ ἐφαίνετο ἀπὸ τῶν ἐμφερομένων αὐτῷ σιγνογραφιῶν, παρά τε τῶν κληρικῶν, καὶ ἀρχόντων, καὶ οἰκητόρων ἁπλῶς τῆς μητροπόλεως τῶν Τυάνων, τοιάςδε τινὰς πράξεις τοῖς αἰτιωμένοις προσμαρτυροῦν, διδαχὴν τοῦ τοὺς ἄνδρας ἀπέχεσθαι τῆς τῶν νομίμων τούτοις συναφθεισῶν γυναικῶν συνουσίας, κρέατός τε, καὶ γάλακτος, καὶ ἰχθύος, καὶ οἴνου, ἄχρι χρόνων τριῶν ἀποχήν· μετὰ δὲ ταῦτα, ἀποκριμάτισον παντελῆ τὴν τῶν τοιούτων ἀπόλαυσιν· ἑτέραν, τὸ μηδένα σώζεσθαι κοσμικὸν, κἂν πᾶσαν ἀρετὴν διαπράξηται, εἰ μὴ μοναχὸς γένηται· τὸ τοὺς ἱερολογηθέντας ἄχρις ἑπτὰ ἡμερῶν τῆς προς ἀλλήλους ὁμιλίας κωλύειν· τὸ ἀποκείρειν ἄνδρας παρὰ γνώμην τῶν γαμετῶν, καὶ γυναῖκας, παρὰ τὴν τῶν ἀνδρῶν θέλησιν· τὸ τινὰς θανόντας Χριστιανοὺς, ἀτάφους καὶ ἀψάλτους καταλιμπάνειν, καὶ μηδὲ ζῶντας δέχεσθαι αὐτοὺς εἰς μετάνοιαν· τὸ ἐξανασκάψαι καὶ λείψανα Χριστιανῶν τεθαμμένα ἔξωθέν τε καὶ ἔσωθεν τῶν Ἐκκλησιῶν, ἁμαρτωλοὺς εἶναι λέγοντες τοὺς τελευτήσαντας, καὶ δαίμονας ἐγκατοικεῖν τοῖς σώμασι τῶν τελευτώντων· τὸ μὴ συγχωρεῖσθαι ἄλλως προσκυνεῖσθαι σταυρὸν, εἰ μὴ καὶ ἐπιγραφὴν ἐπιφέρηται, Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ· τὸ ἐξαναβαπτίσαι καὶ παιδία Χριστιανῶν, ὅτι λέγουσιν, ἁμαρτωλοί εἰσιν οἱ βαπτίσαντες, καὶ χειροτονῆσαι γυναῖκας διακονίσσας, καὶ ἐπιτρέπειν αὐταῖς τὰς συνήθεις ἐκκλησιαστικὰς αἰτήσεις ποιεῖσθαι, καὶ τὴν τῶν ἁγίων Εὐαγγελίων ἀνάγνωσιν, καὶ συλλειτουργῆσαι ταύτας μετὰ τοῦ Κλήμεντος· τὸ ἁγίας καταστρέψαι εἰκόνας· τὸ περὶ τοῦ σταυροῦ τοῦ Μεγάλου Ἀρχιστρατήγου ἀπειροπληθῆ ποιοῦντος θαυμάσια λέγειν, ὅτι ἐκ διαβολικῆς ἐνεργείας ταῦτα ποιεῖ· τὸ ἀναθεματίσαι καὶ τὸν Θεὸν, ὃν ἐπίστευσεν Ἀκάκιος ἐπίσκοπος, χριστιανὸς αὐτοῖς τούτοις, ὧν ὑπῆρχε τὰ

ἔγγραφον, ὀρθόδοξος γνωριζόμενος· πρὸς τούτοις καὶ τὸ παραδοῦναι γυναῖκας χριστιανὰς εἰς χεῖρας ἐθνῶν, προφάσει δῆθεν μοιχείας. Ταῦτα καὶ ἄλλα τοιαῦτά τινα τοῦ τοιούτου ἐγγράφου δηλοῦντος, ἀπητοῦντο οἱ μνημονευθέντες πολλάκις πρὸς ταῦτα ἀπολογήσασθαι, καὶ εἰ μὴ πρὸς πάντα. Ἀλλ' ἐπείπερ ἑώρων τὸν κατήγορον σφοδρῶς ἐνιστάμενον, ὁ μὲν Λεόντιος ἀναβαπτισμὸν ποιῆσαι κατέθετο· πλὴν διὰ τὸ παρὰ ἱερέως καθαιρεθέντος ἐπὶ δήλοις ἐγκλήμασι μετὰ τὴν ἐκείνου καθαίρεσιν τὸ πρῶτον βάπτισμα παρ' αὐτοῦ τελεσθῆναι, ὃ καὶ ὡς ἀμφίβολον παραστῆσαι αὐτὸς ἀπητήθη· τούτου γὰρ μὴ γινομένου μεγίστη τις παράστασις τὸ πραχθὲν οὐκ ὀρθοῦ φρονήματος τοῦ Λεοντίου εἰσάγεται, ὡς ἀναβαπτισμὸν ποιῆσαι τολμήσαντος κατὰ τὴν βέβηλον τῶν Βογομήλων θρησκείαν, ὅπου γε καὶ τούτου παρὰ τοῦ Λέοντος ἀποδειχθέντος, ὡς καθῃρημένος τυγχάνων ὁ ἱερεὺς τὸ πρῶτον ἐποιήσατο βάπτισμα, οὐδ' οὕτω παντάπασιν ἀκαταιτίατον γενόμενον· πρὸς δὲ τὸ καταλιπεῖν ἀτάφους καὶ ἀψάλτους νεκροὺς ὁμολογῶν ἦν ὁ Λεόντιος· ἔλεγε δὲ τοῦτο ποιῆσαι, ὡς ἁμαρτανόντων ἐν ζωῇ τῶν τελευτησάντων, καὶ μὴ πειθομένων αὐτῷ συμβουλεύοντι πρὸς διόρθωσιν ἀπιδεῖν· καὶ τὸ παραδοῦναι δὲ χριστιανὴν γυναῖκά τινα τῷ ἐν τῷ *** ἐκπροσωποῦντι τῷ Ἀμηρᾷ ὡμολόγει, διὰ μοιχείαν εἰπὼν ἐπ' ἀδελφῷ τοῦ ἀνδρὸς ὑπ' αὐτῆς τολμωμένην τοῦτο ποιῆσαι, ὡς μὴ δυνάμενος ἄλλως ἀποκοπὴν ἐπινοήσασθαι τοῦ κακοῦ· προσωμολόγει δὲ καὶ θεῖον κατακαῦσαι ναόν· ἀλλ' ὅτι, φησί, πολλάκις παραινέσας τινὶ χορ *** καθωμολόγησαν· ὁ δὲ προκομίσας τὸ ἔγγραφον ἕτοιμος ἦν, καὶ διὰ μαρτυρίας ταῦτα πιστώσασθαι. Διὰ ταῦτα καὶ σήμερον συνελθόντων τῇ ἡμῶν μετριότητι τῶν δοθέντων ταύτῃ συνδικαστῶν, δέον ἡμῖν ἅπασι δέδοκται, καὶ διώρισται, ὥστε πρὸς πληροφορίαν τῶν πρὸς ἡμᾶς στειλάντων τὸ ἔγγραφον, τοῦ ὁμολογημένως τοῦ ὀρθοῦ παρασφάλλεσθαι λόγου τὰ τούτῳ περιεχόμενα, καὶ πολλὴν πονηρίαν τε καὶ ἀσέβειαν καταβοᾶν τῶν οὕτω φρονούντων, ἢ διδασκόντων, ἐν ἐπηκόῳ τουτουὶ τοῦ συνεδρίου ἀναθέματι τὰ πάντα ὑποβαλεῖν· ὅπερ δὴ καὶ αὐτίκα τὴν σήμερον ἐνώπιον ἡμῶν πεποιήκαμεν, τά τε ἀμφίβολα πάντα, ὡς ἑτερόδοξα, ῥητῶς ἀναθεματίσαντες, καὶ ἐφ' οἷς ἴσως ἀμφιβο-

λίας ἦν ἐπισκίασμα, διά τινας προφάσεις παρ' αὐτῶν εἰσαχθείσας πρὸς τὴν τῆς ἑαυτῶν καταγνώσεως ἀποσόβησιν, τοὺς μὴ κατὰ τὴν καθολικὴν Ἐκκλησίαν φρονοῦντας, ἀλλ' ἔξωθέν τι παρ' ἑαυτῶν ἐπεισάγοντας ἀναθέματι καθυποβάλλοντες· πρὸ πάντων δέ γε καὶ αὐτοὺς, εἰ φανερῶς, εἴτε μὴν κεκρυμμένως, ἢ φρονήσαιεν, ἢ διδάξαιεν παρὰ τὰ εὐσεβῆ τῆς καθολικῆς Ἐκκλησίας καὶ δόγματα, καὶ διδάγματα. Τὸ μέντοι τῶν κεφαλαίων κατάστιχον, διὰ τὸ ἀνόθευτον πάντη συντηρηθῆναι καὶ ἀδιάβλητον, ὡρίσθη μεταγραφὲν ὑπογραφῆναι μὲν παρὰ τῶν ἀναθεματισάντων αὐτὸ, ἐπιγραφῆναι δὲ ἔξωθεν καὶ παρὰ τοῦ ἡμετέρου θεοφιλοῦς χαρτοφύλακος, καὶ εἰς τὴν χώραν ἀποσταλῆναι.

Γ'. ΣΗΜΕΙΩΜΑ ΓΕΓΟΝΟΣ ΕΠΙ ΤΩ ΠΕΡΙΟΡΙΣΜΩ,

Τῷ εἰς τὴν μονὴν τῆς Περιβλέπτου, τοῦ Βογομήλου καὶ παμβεβήλου Νήφωνος.

ΜΗΝΟΣ Ὀκτωβρίου ά. ἡμέρα στ'. Ἰνδικτιῶνος ἑβδόμης, προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μιχαήλου ἐν τῷ Θωμαΐτῃ· σύνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τοῦ πανσεβάστου, σεβαστοῦ, καὶ μεγάλου Δρουγγαρίου, τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Βουλγαρίας, καὶ τοῦ πανευγενεστάτου πρωτοασηκρήτου τοῦ Ἰκανάτου, καὶ ἱερωτάτων ἀρχιερέων τοῦ Ἀγκύρας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Τυάνων, τοῦ Ἀντιοχείας τῆς Πισιδίας, τοῦ Δυῤῥαχίου, τοῦ Ἀλανίας, τοῦ Μαδύτων, τοῦ Μεσημβρίας, τοῦ Κυζίκου, τοῦ Γαρέλης, καὶ τοῦ Γοτθίας, παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Οὐκ ὀλίγας, οὐδ' ἀγαθὰς ἀγγελίας ἡ μετριότης ἡμῶν ἐνηχηθεῖσα παρὰ πολλῶν περὶ τοῦ μοναχοῦ Νήφωνος, πολὺ κατ' αὐτοῦ τὸ δύσφημον ἐπισυρομένας, ἀλλὰ καὶ γραφὴν τούτου θεασαμένη πρός τινας καὶ πολλοὺς ἐξ ὀνόματος τῶν ἐν Καππαδοκίᾳ σταλεῖσαν, ἣν ἰδίαν εἶναι καὶ αὐτὸς ὡμολόγησε, καὶ ὅτι πᾶσαν τὴν Ἐκκλησίαν ὑβρίζει, αἱρετικοὺς πάντας ἀποκαλῶν, ὡς ὁ εὐλαβὴς δομέστικος τῶν σεκρετικῶν Βασίλειος ὁ Κυμινιανὸς, καὶ Γεώργιος σεκρετικὸς ὁ τοῦ δευτερεύοντος, καὶ Ἰωάννης σεκρετικὸς ὁ τοῦ οἰνοχόου,

πρὸς αὐτὸν παρ' ἡμῶν σταλέντες ἐξεῖπον ἡμῖν, ναὶ μὴν καί τινες τῶν ἐν τῇ Κοτυαείου μονῇ μοναχῶν, καὶ ἄλλοι πολλοὶ τῶν ἀξιολόγων, παρεστήσατο μὲν αὐτὸν καὶ ἅπαξ, καὶ δὶς ἐνώπιον τοῦ ἱεροῦ συνεδρίου, καὶ τάχα μέν τοι καὶ ἔσπευδεν ἐξετάσαι τῶν ἡμῖν ἀκουσθέντων τινὰ, καὶ λαχεῖν τελείαν διάγνωσιν περὶ ὧν τε ἀνέμαθε, καὶ ὅπως οὗτος ἔχει φρονήματος· ὅτι δὲ καὶ πλείονος καὶ σχολαιοτέρας ἐρεύνης ἑώρα δεόμενα τὰ τῆς τῶν κατ' αὐτὸν ἐξετάσεως, ὑφωρᾶτο δὲ καὶ εὔλογον φόβον, μήπου διὰ τὸ ἄφετον εἶναι καὶ ἐλευθέρως διάγειν ἔνθα καὶ βούλεται, προσομιλεῖν τε ἀκωλύτως καὶ οἷςπερ ἐθέλει, καὶ οὕτω ψυχικῆς βλάβης αἴτιος ἐγκατασταίη πολλοῖς, οὐκ ὀρθοῦ δοκῶν εἶναι φρονήματος, ἐξ ὧν περ ἠκούσαμεν· τούτου δὴ χάριν ἄχρις ἀκριβεστέρας τῶν περὶ αὐτοῦ ἡμῖν ἀκουσθέντων ἐρεύνης καὶ ἐξετάσεως, ἀπαχθῆναι μὲν τοῦτον ἐν τῇ σεβασμίᾳ τῆς Περιβλέπτου μονῇ προσετάξαμεν· παραγγελίαν δὲ γενέσθαι πρός τε τὸν εὐλαβέστατον καθηγούμενον, τὸν οἰκονόμον, καὶ τοὺς λοιποὺς μοναχοὺς, ὥστε ἔν τινι τῶν ἐντὸς τῆς μονῆς κελλίων ἡσυχάζειν αὐτὸν ἀπρόϊτον τοῖς ἐκτὸς τυγχάνοντα πᾶσι, παρ' ἑνὸς δὲ καὶ μόνου διακονητοῦ καθυπηρετούμενον, καὶ μηδενὶ ἔχοντα ἐπ' ἀδείας προσομιλεῖν μήτε τῶν λαϊκῶν, μήτε τῶν ἐκκλησιαστικῶν, ἀλλὰ μηδ' αὐτῶν τῶν ἐν τῇ μονῇ μοναχῶν, ἀλλὰ μηδὲ διὰ γραφῆς ἢ διδάσκειν, ἢ καὶ πρός τινας ἐπιστέλλειν, ἢ δι' ἑαυτοῦ, ἢ δι' ἑτέρου, ἀλλ' ἐν ἡσυχίᾳ καθήμενον, ὡς δεδήλωται, καὶ τῆς ἐνδεχομένης προνοίας ἀπὸ τῆς δηλωθείσης μονῆς χάριν ψυχικῆς σωτηρίας τοῦ ἀοιδίμου κτίτορος αὐτῆς ἀξιούμενον· ἐκείνοις καὶ μόνοις πρὸς ἀνάγνωσιν κεχρῆσθαι βιβλίοις, οἷς ἂν ἡ μετριότης ἡμῶν ἐπιτάξειε, τῶν δὲ λοιπῶν τελείως ἀπέχεσθαι. Ὥστε μέντοι καὶ ἀσφαλῶς αὐτῷ συντηρεῖσθαι τὴν τοιαύτην καθ' ἑαυτὸν ἡσυχίαν, καὶ τὸ μηδενὶ ἐντυγχάνειν, ὡς εἴρηται, καὶ δεσμὸς αὐτῷ παρ' ἡμῶν ἐπηνέχθη συνοδικὸς, ὥςε ὑπὸ ἀφορισμὸν καὶ ἀκοινωνησίαν εἶναι τελείαν, εἰ κεκρυμμένως γοῦν ἢ γράψαι πρός τινας, ἢ διδάξαι τολμήσει· εἰ γὰρ φανείη μετὰ τὴν ἡμετέραν ταύτην παραγγελίαν ἐπ' ἀθετήσει τινὸς τῶν ἤδη διορισθέντων παρ' ἡμῶν ἁλισκόμενος, οὐκέτι ὡς ἀμφιβαλλόμενος ἔσται ἡμῖν, ἐφ' οἷς κατ' αὐτοῦ ἠκηκόειμεν, ἀλλ' ὡς καὶ παντελῶς ἀναμφίβολος μὴ ὀρθὰ φρονῶν, μηδ' ὀρθό-

δοξα· τοῖς αὐτοῖς μέντοι γε ἔνοχοι ἔσονται καὶ ὅσοι ἢ ἀπιέναι τολμήσουσιν εἰς αὐτὸν, ἢ γραφὰς ἐπιστέλλειν αὐτῷ, ἢ ὁμιλεῖν ὁπωσδήποτε.

Δʹ. ΣΗΜΕΙΩΜΑ, ΔΙ' ΟΥ ΔΙΕΓΝΩΣΘΗ Ο ΑΜΟΝΑΧΟΣ

Καὶ παμβέβηλος Νήφων τῆς τῶν Βογομήλων ὁμολογουμένως μυσαρωτάτης εἶναι αἱρέσεως.

ΜΗΝΙ Φεβρουαρίῳ κϛʹ, ἡμέρᾳ γʹ. Ἰνδικτιῶνος ἑβδόμης, προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου, καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μιχαήλου ἐν τοῖς δεξιοῖς κατηχουμενείοις τοῦ ἁγίου Ἀλεξίου, συνεδριάζοντος τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τοῦ μεγάλου ἐπιφανεστάτου πρωτοασηκρήτου κυρίου Λέοντος τοῦ Ἰκανάτου, καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Τυάνων, τοῦ Λαοδικείας, τοῦ Δυῤῥαχίου, τοῦ Θηβῶν, τοῦ Ἀμάστριδος, τοῦ Κολωνείας, τοῦ Μαδύτων, τοῦ Λακεδαιμονίας, τοῦ Λευκάδων, τοῦ Παρίας, καὶ τοῦ Γοτθίας, παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Τὰ κατὰ τὸν μοναχὸν Νήφωνα, ὅπως τε πρὸ καιροῦ συνοδικῶς ἐξητάσθη, καὶ ὅπως διὰ τὰ ἐξ αὐτοῦ τοῖς πολλοῖς ἐπιφυόμενα σκάνδαλα ᾠκονόμηται τὰ κατ' αὐτὸν παρὰ τῆς ἡμῶν μετριότητος, ὡς ἂν ἐν ἡσυχίᾳ καθήμενος, καὶ τὰ καθ' ἑαυτὸν μεμεριμνημένως ἐπισκεπτόμενος, καὶ τῆς σωτηρίας φροντίζων τῆς ἑαυτοῦ, τῆς τῶν ἄλλων ὁμιλίας, καὶ παντοίας ἄλλης ὁποιασδήποτε κοινωνίας ἀπέχηται, τὸ τηνικαῦτα παρ' ἡμῶν ἐκτεθὲν διαλαμβάνει σημείωμα, ὅτε καὶ εἰ μὴ καταλήψεις τελείας, ἀλλὰ τέως προλήψεις, καὶ οὐ τυχούσας ῥοπὰς κατ' αὐτοῦ κατελάβομεν, ὡς ἔν τισι τὰ τοῦ ὀρθοδόξου παραχαράττοντος δόγματα, καὶ ἄντικρυς ἑτεροδιδασκαλοῦντος ἡμῖν, καὶ οἰκείας κοιλίας ἀπογεννῶντος διδάγματα· ἀλλ' οὐ πρόληψις ἡμῖν μόνον, οὐδὲ ῥοπή τις, ἢ ἀμυδρὰ παράστασις, καὶ κατάληψις περὶ τοῦ μὴ ὀρθῶς αὐτὸν φρονεῖν, ἢ διδάσκειν, κατελήφθη τὴν σήμερον. Καὶ ἵνα τ' ἄλλα παρῶμεν, ὅσα τε ἀνηγγέλη ἡμῖν περὶ τούτου παρὰ τοῦ ἱερέως τῆς μεγάλης Ἐκκλησίας Θωμᾶ καὶ Παντυχηνῶν χωριτῶν, ὡς περὶ τῆς ἁγίας τῶν ζωοποιῶν μυστηρίων τοῦ Χριστοῦ κοινωνίας ἔκθεσμά τινα καὶ τῆς εὐσεβοῦς ἀλλότρια πί-

ὅτεως παρεισάγοντος, καὶ μὴν καὶ τὰ παρὰ τοῦ εὐλαβεστάτου καθηγουμένου τῆς τοῦ Παντοκράτορος σεβασμίας καὶ βασιλικῆς μονῆς, προφανῶς τὸν τοιοῦτον καὶ αὐτὰ παριστῶντα τῆς εὐσεβείας ἀλλότριον, οὐ μὴν ἀλλὰ καὶ τὰ παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Δυῤῥαχίου παρεισαχθέντα, εἰ καὶ ἔξαρνος οὗτος ἁπλῶς πρὸς πάντα ἐτύγχανεν, ἀλλ' οὖν αὐτὰ τὰ σήμερον παρ' αὐτοῦ λαληθέντα καὶ εἰς πάντων ἐπήκοον, οὐκέτι δισταγμόν τινα περὶ τούτου ἔχειν ἡμᾶς ἀπὸ τῆς σήμερον συγκεχώρηκεν, καὶ οἷον διαμφιβάλλειν περὶ αὐτοῦ, ὅπως ἄρα καὶ ἔχοι φρονήματος· ἔκ τε γὰρ τοῦ τοὺς ἀποβληθέντας πρὸ μικροῦ παρ' ἡμῶν συνοδικῶς ὡς ἑτεροδόξους δύο ἐπισκόπους τοῦ μητροπολίτου Τυάνων, εὐσεβεῖς αὐτοὺς ὀνομάζειν, καὶ φρονοῦντας ὀρθῶς, καὶ ἁπλῶς διὰ τούτου τοῦ τρόπου ἐναντιοῦσθαι, οὐχὶ τῇ συνόδῳ καὶ μόνῃ ἀλλὰ καὶ πάσῃ τῇ δογματικῇ Ἐκκλησίᾳ τῇ τὰ παρ' ἐκείνων δογματισθέντα ὡς ἀσεβῆ ἀποβαλλομένῃ καὶ ἄθεσμα· καὶ ἐκ τοῦ ἐνώπιον ἡμῶν πάντων ἀποστοματίσαι τὴν σήμερον, καὶ εἰπεῖν ἀνάθεμα τῷ Θεῷ τῶν Ἑβραίων, συνῆκται ἡμῖν ἔκ γε τούτων ἀνενδοιάστως μὴ τὰ τῶν ὀρθοδόξων φρονεῖν, ἢ δογματίζειν αὐτόν· διὸ καὶ ὡς τελείαν τὸ ἀπὸ τοῦδε πληροφορίαν σχόντων ἡμῶν περὶ τῆς ἐσφαλμένης αὐτοῦ καὶ ἀθέου πάντη διδαχῆς, καὶ φρονήσεως, ὡρίσθη περιορισθῆναι αὐτὸν ἔν τινι τόπῳ καθ' ἡσυχίαν, καὶ ἀπρόϊτον εἶναι παντάπασιν, ὥστε μὴ τὴν ἐξ αὐτοῦ λύμην καὶ εἰς πολλοὺς διαδίδοσθαι· πάντως γὰρ ὁ τῇ καθολικῇ Ἐκκλησίᾳ οὕτως ἐναντιούμενος προφανῶς, καὶ ἑαυτὸν μὲν νομίζων ὀρθόδοξον, ἄλλως δ' ἔχειν τοὺς ἄλλους οἰόμενος, οὐ φωτός, ἀλλὰ σκότους μεταδώσει τοῖς αὐτῷ πλησιάζουσιν· ἀλλὰ καὶ ὃς ἂν τολμήσῃ τοῦ λοιποῦ ἔν τινι κοινωνῆσαι αὐτῷ ἐν ὁμιλίᾳ, ἢ διαίτῃ, ἢ ἄλλῳ τρόπῳ ὁποιῳδήτινι φανερῶς, ἢ καὶ λάθρα, ὡς ὁμόφρων αὐτῷ κἀκεῖνος καὶ λογισθήσεται, καὶ τιμωρηθήσεται.

ΑΔΗΛΩΝ ΠΑΤΡΙΑΡΧΩΝ (1).

ΠΙΤΤΑΚΙΟΝ ΠΑΤΡΙΑΡΧΙΚΟΝ,

Ἐκτεθὲν παρὰ Ἰωάννου Χαρτοφύλακος, τοῦ τοῦ Ἰωνοπούλου, περὶ τοῦ, τῇ δισεξαδέλφῃ τῆς ἰδίας μητρὸς συναφθέντος, καὶ τῶν ὀφειλόντων δοθῆναι αὐτῷ ἐπιτιμίων.

Λαμπούδιος οὗτος, ὁ ἀπὸ τῆς κατὰ σὲ ἐνορίας Χρυσοπόλεως ὁρμώμενος, θεοφιλέστατε, διηγήσατο, ὅτι ἐπὶ γαμικῷ συναλλάγματι συνέζευκται Ἄννῃ τῇ δισεξαδέλφῃ Θεοδότης τῆς αὐτοῦ μητρὸς, ἤδη πρὸ πολλοῦ μετ' αὐτῆς ἱερολογηθεὶς, καὶ ἠρώτησεν, εἰ ὁ τοιοῦτος γάμος ἐπιτέτραπται, ἢ μή· ἔμαθεν οὖν, ὡς ὁ νόμῳ γάμου τῇ δισεξαδέλφῃ τῆς ἰδίας μητρὸς συναπτόμενος, οὐ διαζεύγνυται μὲν ἀπὸ τῆς οἰκείας γαμετῆς, εἴγε ταῖς ἀληθείαις ὁ τοιοῦτος γάμος φθάσει προβῆναι· ἐπιτιμίοις δὲ καθυποβάλλεται, αὐτός τε καὶ ἡ συναφθεῖσα αὐτῷ. Διὸ καὶ γράφοντες ὑφηγούμεθά σου τῇ ἱερότητι, ἵνα ἐρευνήσῃς, εἰ οὕτως ἔχει ὁ τῆς συγγενείας βαθμὸς, ὡς αὐτὸς διηγήσατο, καὶ εἰ προέβη ὁ γάμος· καὶ εἴπερ οὕτως ἔχουσαν τὴν ἀλήθειαν ἀπαραλλάκτως εὑρήσεις, ἐάσῃς μὲν τὸ συνοικέσιον ἐπὶ σχήματος, ἐπιτιμήσει δὲ καθυποβάλῃς αὐτόν τε, καὶ τὴν συναφθεῖσαν αὐτῷ, ὅπως ἐφ' ὅλῃ διετίᾳ ἀπέχωνται κρέατος, ἐν δὲ τετράσι καὶ πέμπταις μηδὲ οἴνου μετέχωσι· τῆς μέντοι κοινωνίας μεταλαμβάνωσιν, ἐν μόναις ταῖς δεσποτικαῖς ἑορταῖς. Γίνωσκε γὰρ, ὡς ὁ τοιοῦτος γάμος, πρὸ μὲν τοῦ γενέσθαι, οὐκ ἐπιτρέπε-

---

(1) Εἰ καὶ ἄγνωστος ὁ ἀκριβὴς χρόνος τῆς ἐκδόσεως τοῦ ἀδήλῳ πατριάρχῃ ὑπὸ τοῦ Λεϋγκλαυΐου ἀποδιδομένου τούτου σημειώματος, ἀλλὰ μὴν, ὥς γε ἐκ τῆς ἐννοίας ἐστὶν εἰκάσαι, ἐκδέδοται βεβαίως ὑπὸ πατριάρχου μεταγενεστέρου μὲν τοῦ Ἀλεξίου, προγενεστέρου δὲ τοῦ Λουκᾶ Χρυσοβέργη. ἐπεὶ κατὰ μὲν τὸ σημείωμα τοῦτο ὁ τοῦ ἑβδόμου βαθμοῦ γάμος, μετὰ τὸ γενέσθαι, οὐ διασπᾶται, κατὰ δὲ τὸ ἑπόμενον τοῦ Λουκᾶ ἐκωλύθη παντελῶς ὁ γάμος οὗτος. Ὅθεν τὴν χρονολογικὴν τῶν πατριαρχικῶν διατάξεων σειρὰν διατηροῦντες, ὡς ἀφ' ἑαυτῆς πολλάκις ἐξηγοῦσαν τοὺς περὶ τοῦ αὐτοῦ ἀντικειμένου ἀπαντωμένους ἐναντιοφανεῖς ἐκκλησιαστικοὺς ὁρισμοὺς, οὐκ ἄπο σκοποῦ ἐνομίσαμεν κατατάξαι ἐνταῦθα τὸ διαληφθὲν σημείωμα, καθὸ βεβαίως προγενέστερον τοῦ ἀμέσως ἑπομένου. — Ὅρα καὶ τὸ σημείωμα τοῦ πατριάρχου Ἀλεξίου, σελ. 32 τοῦ παρόντος τόμου.

ται· μετὰ δὲ τὸ γενέσθαι, οὐ διαζεύγνυται μέν, ἐπιτιμίοις δὲ ὑποβάλλεται. Πλὴν διαμάρτυραι παντὶ τῷ ὑπὸ σὲ λαῷ, ὡς ἄν, ὅτε μέλλει προβῆναι συνάλλαγμα, ἀμφιβολίαν τινὰ τὸ σύνολον ἔχον, μηδαμῶς ἄνευ τῆς σῆς προστάξεώς τι ποιῶσιν, ἀλλ' ἀναφέρωσι τὰ περὶ τοῦ πράγματος τῇ θεοφιλίᾳ σου· καὶ οὕτως, ἢ σὺ τέμνῃς τὴν ζήτησιν, ἤ, εἴπερ ἀμφιβάλλεις, πρὸς ἡμᾶς ἀναφέρῃς, καὶ ἐντεῦθεν δέχῃ τὴν λύσιν. Δεῖ δὲ εἰδέναι, ὅτι, ἐπειδὰν οἱ πρὸς ἀλλήλους οἱονεὶ ἕβδομον βαθμὸν ἐπινοούμενον ἐξ ἀγχιστείας σώζοντες συνάπτωνται, τὰ αὐτὰ ἐπιτίμια ὀφείλουσι κρατεῖν καὶ ἐπ' αὐτῶν, ἅπερ ἐν τῷδε τῷ ψηφίσματι εἴρηνται· ἐφ' ἑνὶ μέν τοι καὶ μόνῳ ἐνιαυτῷ.

—

Β'. ΣΥΝΟΔΙΚΑΙ ΑΠΟΚΡΙΣΕΙΣ ΕΙΣ ΤΑ ΤΩ ΣΙΔΗΣ Ἐρωτηθέντα (1).

ΨΗΦΙΣΜΑΤΟΣ τινὸς κατὰ θείαν καὶ βασιλικὴν πρόσταξιν ἐκτεθέντος παρὰ τοῦ μεγαλεπιφανεστάτου Κουροπαλάτου καὶ κοιαίστορος, Βασιλείου τοῦ Πεκούλη, ἐπὶ ἐρωτήσεσι διαφόροις παρὰ τοῦ νῦν ἱερωτάτου μητροπολίτου Σίδης προβάσαις, περί τε δωρεῶν ἀκινήτων τινῶν, ἐκδόσεών τε καὶ ἐμφυτεύσεων, ναὶ μὴν ἀλλὰ καὶ τυπικῶν δόσεων ἐτησίων παρὰ τοῦ πρὸ αὐτοῦ μητροπολίτου, τοῦ ἀποιχομένου ἐκείνου Θεοδοσίου γεγενημένων, εἰς ἐπήκοόν τε τῆς ἡμῶν μετριότητος καὶ τῶν συνεδριαζόντων αὐτῇ ἱερωτάτων μητροπολιτῶν ἀναγνωσθέντος τὴν σήμερον, ὁ δηλωθεὶς οὗτος μητροπολίτης Σίδης Νικήτας ἐζήτει καὶ ἑτέραν γνώμην ἐπὶ τοῖς ψηφισθεῖσιν ἐξενεχθῆναι. Τοίνυν καὶ διεγνώσθη ἡμῖν, τὰ μὲν ἐπὶ δωρεαῖς προαστείων ἢ οἰκημάτων συνισταμένων ἐκτεθέντα ἔγγραφα πρός τινας παρ' ἐκείνου, ἀντ' οὐδενὸς λογισθῆναι, διὰ τὸ μήτε θείοις νόμοις αὐτάς, μήτε μὴν ἱεροῖς κανόσιν ἐπιγινώσκεσθαι· δόσεων δὲ ἐτησίων τυπώσεις, μερικαὶ μέν τοι καὶ αὗται, καὶ μὴ ἐπιπολὺ βαρύνουσαι τὴν μητρόπολιν, εἰ προέ-

(1) Καὶ αὗται αἱ ἀποκρίσεις, τῆς δωδεκάτης οὖσαι βεβαίως ἑκατονταετηρίδος, ὥς γε ἐκ τοῦ ἐν αὐταῖς μνημονευομένου Βασιλείου τοῦ Πεκούλη ἔστιν εἰκάσαι, ἐτέθησαν ἐνταῦθα, εἰ καὶ ἀκριβῶς οὐ γινώσκεται ὁ πατριάρχης ἐφ' οὗ ἐξεδόθησαν. — Ἴδε καὶ Mortreuil, Histoire du droit Byzantin. Τόμ. 3, σελ. 393 σημ. (d).

θησαν πρός τινας τῶν ὁμολογουμένως συμπαθείας ἀξίων, εἴτε διὰ τὸ ἐκείνων παντάπορον, εἴτε μὴν διὰ τὸ ἐπί τισι δουλείαις τῆς μητροπόλεως, ἢ καὶ αὐτοῦ τυχὸν τοῦ μητροπολίτου συμβαλέσθαι αὐτούς, ἀλλὰ καὶ ἐρειποτοπίων ἐκδόσεις, καιρικάς τε καὶ οὐ διηνεκεῖς, ἀσυντελῶν τῇ μητροπόλει παντάπασιν, εἰ ἐπὶ ἐτησίῳ καὶ αὗται δόσει κατὰ τὴν τῶν θείων νόμων περίληψιν ἐξετέθησαν, οὐμενοῦν ταύτας ἀθετηθῆναι διαγινώσκομεν.

ΛΟΥΚΑ ΧΡΥΣΟΒΕΡΓΗ(1).

Α'. ΣΗΜΕΙΩΜΑ ΣΥΝΟΔΙΚΟΝ ΕΠΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ *ΤΟΥ ΚΟΜΝΗΝΟΥ ΚΥΡΙΟΥ ΜΑΝΟΥΗΛ*, ΠΑΤΡΙΑΡΧΟΥ ΟΝΤΟΣ ΛΟΥΚΑ,

Περὶ τοῦ μὴ γίνεσθαι γάμον ἑβδόμου βαθμοῦ ἐξ αἵματος.

ΜΗΝΙ Ἀπριλίῳ ιά, ἐπινεμήσεως ιδ', προκαθημένου Λουκᾶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς δεξιοῖς Ἀλεξιακοῖς κατηχουμενείοις· συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Μελιτηνῆς, τοῦ Γαγγρῶν, τοῦ Μύρων, τοῦ Καρίας, τοῦ Ἰκονίου, τοῦ Κορίνθου, τοῦ Ἀθηνῶν, τοῦ Μωκησοῦ, τοῦ Κρήτης, τοῦ Λαρίσσης, τοῦ Μιτυλήνης, τοῦ Σμύρνης, τοῦ Νέων Πατρῶν, τοῦ Ἀμάστριδος, τοῦ Δρίστρας, τοῦ Κερκύρας, τοῦ Παροναξίας, τοῦ Μιλήτου, τοῦ Ἀρκαδιουπόλεως, τοῦ Παρίου, τοῦ Σηλυβρίας τοῦ Προικοννήσου, τοῦ Βρύσεως, τοῦ Νίκης, τοῦ Ἀγχιάλου, παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Εὐστόχως ὁ σοφώτατος Σολομὼν, νόμον καὶ ἔλεον ἐπὶ γλώττης φορεῖν τὴν σοφίαν, ἐν Παροιμίαις ἐφθέγξατο(2). Φιλάνθρωπος γὰρ αὐτῆς ὁ νόμος, καὶ τῷ ἐλέῳ συγκέκραται, πᾶν συνοῖσον ὑποτιθέμενος, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας κηδόμενος, τὰ δὲ βλάπτοντα πόῤῥω ἀποκρουόμενος, καὶ παρανομίαν ἀπείργων, καὶ ἀνομίαν ἀναστέλλων, καὶ συνάγων πάντας πρὸς τὸν Θεὸν, καὶ θεσμοῖς ὑποκεῖσθαι τοῦ καλοῦ καὶ τοῦ δικαίου διατταττόμενος. Ἡ σοφία τοίνυν καὶ σήμερον χρηστευομένη μὲν περὶ τοὺς μὴ τοὺς θείους θεσμοὺς παραβαίνοντας, καὶ ἐπ' αὐτοὺς τὸν ἑαυτῆς ἐκχέουσα ἔλεον, τῷ νόμῳ δὲ τῷ θείῳ τοὺς παρανομοῦντας ὑπάγουσα, μετὰ τοῦ Δαυῒδ ψαλτῳδεῖ συνοδικῶς δι' ἡμῶν· Εἶπα τοῖς

(1) Λουκᾶς ὁ Χρυσοβέργης, ἀνὴρ διασήμου παιδείας, ἐκλεχθεὶς πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1155 ἐπὶ τοῦ αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ, τελευτᾷ τὸ ἔτος 1167. — Παράβαλε καὶ Βαλσαμ. σελ. 281. τοῦ Α'. Τόμου.

(2) Παροιμ. Γ', 16.

παρανομοῦσι, μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας(1), τὸν θεῖον νόμον περιγραφόμενοι. Ἵνα δὲ τὴν τοῦ λόγου πρόθεσιν σαφῆ παραστήσωμεν, φέρε τὸν λόγον διαλευκάνωμεν. Ὁ ἱερώτατος μητροπολίτης Ἀθηνῶν Νικόλαος ὁ Ἁγιοθεοδωρίτης, τοῦ ὑπ' αὐτὸν ποιμνίου κηδόμενος, καὶ φροντιστικῶς ἔχων καὶ ἐμμερίμνως, μὴ μόνον τοὺς ἔτι περιόντας τῇ πανευδαίμονι χώρᾳ τῆς Ἀττικῆς καὶ τρεφομένους Ἀθήναζε, ἁγνοὺς παραστῆσαι Θεῷ, ἀλλὰ καὶ τοὺς μέλλοντας εἰς τὸ εἶναι διὰ γενέσεως ἔρχεσθαι, ἐννόμους ἔχειν τὰς ἀπαρχὰς τῆς γεννήσεως, καὶ ἐνθέσμους τὰς πρώτας πρὸς γάμον συναλλαγάς, ὡς μὴ μόνον ἐν ταῖς βιωτικαῖς συναλλαγαῖς ἔχειν, ὡς ἐξῆν ἀνθρώποις, τὸ ἄμεμπτον, ἀλλὰ κἂν τοῖς γαμικοῖς συναλλάγμασι κεκτῆσθαι πρός τε τὸν θεῖον νόμον καὶ πρὸς Θεὸν τὸ ἀπρόσκοπον, τὸν ἐκ τοῦ ἑβδόμου ἐξ αἵματος βαθμοῦ συνιστάμενον γάμον ἀθέσμως, ζητῶν κωλυθῆναι συνοδικῶς, τῇ ἡμῶν ἀνήνεγκε μετριότητι, ὡς τινὲς τὰ παρὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἁγιωτάτου πατριάρχου ἐκείνου κυρίου Ἀλεξίου συνοδικῶς οἰκονομηθέντα ἐπὶ τοῖς ἐξ αἵματος ἑβδόμου βαθμοῦ γαμικὸν συνιστῶσι συνάλλαγμα, παραχαράττουσιν ἑκοντὶ, μὴ πρὸς τὸν ἐγκείμενον τούτοις νοῦν ἀποβλέποντες, ταῖς δὲ λέξεσι κακοσχολαίως ἐναπομένοντες· ἐκείνου γὰρ συνοδικῶς τὸν ἐξ ἑβδόμου γάμον βαθμοῦ, εἰ μὲν ἐρωτηθείη, κωλύοντος γίνεσθαι, εἰ δὲ πρὸ ἐρωτήσεως γένηται, μένειν μὲν ἀδιάσπαστον ἐπιτρέποντος, ἐπιτιμίοις δὲ τοὺς συναλλάξαντας ὑποβάλλοντος, καὶ τοῦτο πάντως οὕτω διοριζομένου γίνεσθαι, εἴ γε οἱ συναπτόμενοι ἀγνοοῦντες ὁποίου πρὸς ἀλλήλους εἶεν βαθμοῦ, τὸν τοιοῦτον γάμον συστήσαιεν, (πῶς γὰρ ἂν, εἰ μὴ οὕτω τοῦτο ἐκείνῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ νενόητο, περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος οἷον ὑπεναντία τινὰ κεκανόνιστο; πῶς δὲ τὸ ἐπιβούλως κρύφα πραττόμενον, μένειν ἀδιάσπαστον διετάξατο ὁ μηδὲ γίνεσθαι συγχωρῶν τοῦτο πεσὸν ὑπ' ἐρώτησιν;) τοῦτο γοῦν τινες εἰδότες, ὡς ἀνήνεκται τῇ ἡμῶν μετριότητι, καὶ ὡς ἑβδόμου βαθμοῦ τυγχάνουσιν ἐπιστάμενοι, καὶ ὡς, εἰ πέσῃ τὸ τοιοῦτον συνάλλαγμα ὑπ' ἐρώτησιν, πάντως οὐδ' ὅλως προβῆναι συγχω-

(1) Ψαλμ. ΟΔ', 4.

ρηθήσεται, κακουργοῦσιν ἐπίτηδες, φόβου θείου καὶ κανονικῆς ἐπίπροσθεν διατάξεως τὴν τῶν οἰκείων ἐκπλήρωσιν θελημάτων τιθέμενοι, ὡς ἢ τοῦ ἀμαράντου κάλλους ἡττώμενοι, ἢ πλούτῳ τῷ ῥέοντι ὑπαγόμενοι, ἢ καὶ γένους ὑπεροχῇ ὑφελκόμενοι. Ἡ τοίνυν μετριότης ἡμῶν, τοῦτο μὲν, τοῦ θείου νόμου ὑπερμαχοῦσα, τοῦτο δὲ, καὶ τῶν οὕτω τούτου κατατολμώντων πατρικῶς κηδομένη, (ἔρχεται γὰρ ἐπ' αὐτοὺς, ὡς υἱοὺς ἀπειθείας, θεόθεν ὀργὴ ἀνυπόστατος, ὥς πρὸ ὥρας ἔστιν οὗ καὶ ἄμφω τοὺς δεδρακότας τοιαῦτα τῷ τοῦ θανάτου ξίφει ἐκτέμνεσθαι, ἢ πάντως θάτερον τοῦ ἑτέρου ἀποδιΐστασθαι διὰ θανάτου· ὅτι μηδὲ γάμος ὁ τοιοῦτος γάμος, ἀλλὰ γάμου κατάλυσις· καὶ ἡ τοιαύτη συνάφεια, διάστασις μᾶλλον καὶ ὄλεθρος· καὶ ἡ τοιαύτη διὰ γάμου συναναστροφὴ, καταστροφὴ μᾶλλόν ἐστι καὶ ἀπώλεια· ἥ τε τοῦ κάλλους ἀπόλαυσις, τοῦ ἐνθάδε βίου ἀπόλυσις· ἥ τε τοῦ γένους ἀνύψωσις, καθαίρεσις μᾶλλον καὶ ὁδὸς εἰς ᾅδην ἀπάγουσα· καὶ ἡ τοῦ πλούτου πλήρωσις, τῶν ὁρωμένων μᾶλλον καθέστηκε στέρησις·) διὰ γοῦν ταῦτα ἡ μετριότης ἡμῶν, μετὰ τῆς ἱερᾶς ἀδελφότητος, τὴν γεγονυῖαν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Ἀλεξίου συνοδικὴν οἰκονομίαν, ἐπὶ τῷ ῥητῶς ὑπὸ τοῦ πολιτικοῦ νόμου μὴ κωλυθέντι ἐπὶ τοῦ ἐξ αἵματος ἑβδόμου βαθμοῦ γάμῳ, μήτε καθαρῶς ἐπιτραπέντι, κρατύνουσα καὶ στηρίζουσα, καὶ οἷον ἐφερμηνεύουσά τε καὶ σαφηνίζουσα, ἅμα δὲ καὶ τὸ τῶν πολλῶν κακοῦργόν τε καὶ περίεργον περικόπτουσα, καὶ οἷον ἐκ ῥίζης αὐτῆς ἀνασπῶσα, ἵνα μηκέτι παρανομίας ἐξανατείλῃ βλαστήματα, καὶ τέκνα μωμητὰ πληθυνθῇ, καὶ υἱοὶ τῶν θείων νόμων αὐξηθῶσιν ἀλλότριοι, τὸν ἐκ τοῦ τοιούτου γάμον βαθμοῦ οὐ μόνον ἐρωτώμενον προβαίνειν κωλύει, ἀλλὰ καὶ πρὸ ἐρωτήσεως γεγενημένον διασπᾶσθαι διακελεύεται, παντελῆ τοῦ τοιούτου γάμου ἀργίαν καταψηφιζομένη ἀπὸ τῆς σήμερον, τῶν φθασάντων γενέσθαι τοιούτων γάμων μένειν πάντως ὀφειλόντων ἀδιασπάστων. Τὸ γοῦν ἀπὸ τοῦδε οἱ τοιοῦτον γάμον συστῆσαι τολμήσοντες, οὐ μόνον τοῦ οἰκείου σκοποῦ οὐδαμῶς ἀπολαύσουσιν, ἀλλὰ καὶ μετὰ τῆς τοῦ τοιούτου συναλλάγματος διασπάσεως, καὶ ἀφορισμῷ καθυποβληθήσονται, ὡς συγγενικὰ συγχέοντες αἵματα, καὶ ὡς τοῦ παρόντος συνοδικοῦ ὁρισμοῦ

καταφρονηταί· οἵ τε τοῖς οὕτω συναλλάττουσι συναινέσοντες, αὐστηρίας κανονικῆς πειραθήσονται, καὶ οἱ ἱερολογῆσαι τολμήσοντες, καθαιρέσει ὑποβληθήσονται.

Ταῦτα ἀπὸ τῶν συνοδικῶν σχεδαρίων παρεκβληθέντα, τῇ σφραγίδι τε καὶ ὑπογραφῇ τοῦ τιμιωτάτου ἀρχιδιακόνου καὶ χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας συνήθως βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις, ἔτους ,ςχοδ'.

Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας καὶ ἀρχιδιάκονος Ἰωάννης ὁ Ἁγιοφλωρίτης ὑπέγραψε (1).

Β'. ΠΕΡΙ ΤΟΥ ΜΗ ΑΦΑΡΠΑΖΕΣΘΑΙ

Τοὺς κληρικοὺς τὰ ταῖς Ἐκκλησίαις, ἢ ἐπισκόποις τελευτῶσιν ἀνήκοντα.

ΜΗΝΙ Μαρτίῳ ι', ἡμέρᾳ β', προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, κυροῦ Λουκᾶ ἐν τοῖς δεξιοῖς Ἀλεξιακοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, τοῦ Ἡρακλείας, τοῦ Ἀμασείας, τοῦ Μελιτηνῆς, τοῦ Θεσσαλονίκης, τοῦ Νεοκαισαρείας, τοῦ Μύρων, τοῦ Μωκισσοῦ, τοῦ Κρήτης, τοῦ Τραϊανουπόλεως, τοῦ Ἱεραπόλεως, τοῦ Αἴνου, τοῦ Δρίστρας, τοῦ Ναζιανζοῦ, τοῦ Ἀβύδου, τοῦ Μιλήτου, τοῦ Σηλυβρίας, τοῦ Βιζύης, τοῦ Μαρωνείας, τοῦ Παρίου, τοῦ Κίου, τοῦ Ἄπρω, τοῦ Νίκης, τοῦ Γοτθίας, τοῦ Ματράχων, τοῦ Σουγδοφούλλων, καὶ τοῦ τῆς Ἡρακλέους· παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Ὁ ἱερώτατος ἀρχιεπίσκοπος τῆς μητροπόλεως Θεσσαλονίκης Κωνσταντῖνος περιηχήθη, ὅτι τὰ τῆς λαχούσης αὐτὸν μητροπόλεως διάφορα πράγματα, οὐχ ἧττον δὲ καὶ τὰ τῷ πρὸ αὐτοῦ μητροπολίτῃ ἀνήκοντα, ἀφήρπασάν τινες τῶν ὑπ' αὐτὸν κληρικῶν· καὶ ἤρετο συνοδικῶς προκαθημένης τῆς ἡμῶν μετριό-

(1) Παράβαλε μετὰ τῶν κατωτέρω ψηφισμάτων τοῦ Πατριάρχου Κωνσταντινουπόλεως Νεοφύτου, καὶ τοῦ πατριάρχου Ἱεροσολύμων Θεοφάνους, ἀναιρούντων τὴν παροῦσαν περὶ ἀπαγορεύσεως τοῦ γάμου ἑβδόμου βαθμοῦ διάταξιν.

τητος, τί ἄρα μέλλει διαπράξεσθαι ἐπὶ τοῖς οὕτω παραλόγως εἰς τὴν τοιαύτην πρᾶξιν ἐξενεχθεῖσι· καὶ ἤκουσεν, ὡς, ἐπεὶ ἀπὸ διαφόρων κανόνων καὶ νόμων, ὧν καὶ ὁ λόγος κατωτέρω μνησθήσεται, οἱ τοιαῦτα πράττοντες, εὐθύναις προσηκούσαις ὑπόκεινται, καὶ οἱ τῆς κατ' αὐτὸν Ἐκκλησίας κληρικοὶ, μετὰ ἐξέτασιν ἀκριβῆ, καὶ τῆς ἀληθείας διάγνωσιν, τοιαύταις πράξεσιν εὑρεθησόμενοι ἔνοχοι, κατὰ τὴν τῶν τοιούτων νόμων καὶ κανόνων περίληψιν εὐθυνθήσονται· οἱ δὲ κανόνες καὶ οἱ νόμοι, οἱ τοὺς τὰ τοιαῦτα πράττοντας εὐθύνοντες, ἔχουσιν οὕτως·

Κανὼν οβ'. τῶν ἁγίων Ἀποστόλων. Εἴ τις κληρικὸς, ἢ λαϊκὸς, ἀπὸ τῆς ἁγίας Ἐκκλησίας ἀφέληται κηρὸν, ἢ ἔλαιον, ἀφοριζέσθω· καὶ τὸ ἐπίπεμπτον προστιθέσθω μεθ' οὗ ἔλαβεν.

Τῆς ἐν Γάγγρᾳ συνόδου κανὼν ζ'. Εἴ τις τὰς καρποφορίας τὰς ἐκκλησιαστικὰς ἐθέλοι λαμβάνειν, ἢ διδόναι ἔξω τῆς Ἐκκλησίας, παρὰ γνώμην τοῦ ἐπισκόπου, ἢ τοῦ ἐγκεχειρισμένου τὰ τοιαῦτα, καὶ μὴ μετὰ γνώμης αὐτοῦ ἐθέλοι πράττειν, ἀνάθεμα ἔστω.

Τῆς ἐν Χαλκηδόνι συνόδου κανὼν κβ'. Μὴ ἐξεῖναι κληρικῷ, μετὰ θάνατον τοῦ ἰδίου ἐπισκόπου, διαρπάζειν τὰ διαφέροντα αὐτῷ πράγματα, καθὼς καὶ τοῖς πάλαι κανόσιν ἀπηγόρευται· ἢ τοὺς τοῦτο ποιοῦντας, κινδυνεύειν εἰς τοὺς ἰδίους βαθμούς.

Τῆς ἐν Κωνσταντινουπόλει ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συνόδου κανὼν λε'. Μὴ ἐξέστω τινὶ τῶν μητροπολιτῶν, τελευτῶντος ἐπισκόπου τελοῦντος ὑπὸ τὸν κατ' αὐτὸν θρόνον, τὰ αὐτοῦ πράγματα, ἢ τῆς κατ' αὐτὸν Ἐκκλησίας, ἀφαιρεῖσθαι ἢ σφετερίζεσθαι· ἀλλ' ὑπὸ παραφυλακὴν ἔστωσαν τοῦ κλήρου τῆς Ἐκκλησίας, ἧς ὁ τελευτήσας ἐτύγχανε πρόεδρος, μέχρι τῆς ἑτέρου ἐπισκόπου προβολῆς, ἐκτὸς εἰ μὴ κληρικοὶ ἐν τῇ Ἐκκλησίᾳ οὐχ ὑπελείφθησαν· τηνικαῦτα γὰρ ὁ μητροπολίτης ταῦτα φυλάξει ἀμείωτα, τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ πάντα ἀποδούς.

Βιβλίον ξ', τίτλος μέ, κεφάλαιον α', θεμάτιον β'. Ὁ δὲ πεκουλάτους κινεῖται κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν, ἢ μνημείων, ἢ δημοσίων χρημάτων, ἢ στρέψαντος εἰς ἰδίας χρείας.

Καὶ κεφ. ε', τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου· Τῷ δὲ πεκουλάτους ὑπόκειται καὶ ὁ ἱερὰ ἢ ἐκ μνημείου χρήματα λαμβάνων, ἢ τὸ δωρηθὲν τῷ Θεῷ.

ΜΙΧΑΗΛ ΤΟΥ ΑΓΧΙΑΛΟΥ (1).

ΠΕΡΙ ΓΑΜΟΥ ΔΥΟ ΑΔΕΛΦΩΝ ΜΕΤΑ ΑΝΕΨΙΑΣ

Τῆς γυναικὸς Ἰωάννου καὶ θυγατέρος αὐτοῦ ἐξ ἑτέρας γυναικὸς, ἤτοι Θεοδώρας.

Το σημείωμα τοῦ πατριάρχου Μιχαὴλ, τὴν θυγατέρα τοῦ Ἰωάννου τυχὸν, καὶ τὴν ἀνεψιὰν τῆς γυναικὸς αὐτοῦ, δυσὶν ἀδελφοῖς ἐπιτρέπει συζευχθῆναι· ἣν ἐξ ἑτέρας ἔσχεν ὁ Ἰωάννης γυναικὸς δηλονότι.

(1) Μιχαὴλ ὁ ἐξ Ἀγχιάλου, ὁ διὰ τὴν ἱκανὴν αὐτοῦ παιδείαν ἐπικληθεὶς ὕπατος τῶν φιλοσόφων, ἐκλεχθεὶς πατριάρχης Κωνσταντινουπόλεως περὶ τὸ ἔτος 1167, διώκησε τὴν Ἐκκλησίαν ἔτη ὀκτὼ καὶ δύο μῆνας, ἀπέθανε δὲ περὶ τὸ ἔτος 1177. Σώζονται αὐτοῦ διάφοροι συνοδικαὶ διατάξεις, ὧν τὰς πλείστας, ὑπὸ τοῦ Βαλσαμῶνος παρατιθεμένας, ἐδημοσιεύσαμεν ἤδη ἐν τοῖς τόμοις Α΄ καὶ Γ΄. Σώζεται δὲ καὶ ἀνέκδοτος διάλογος αὐτοῦ μετὰ τοῦ αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ, οὗ χωρία τινὰ εὕρηνται παρ' Ἀλλατίῳ de consensu, Βιβλ. 2, κεφ. 3. §. 2. καὶ κεφ. 8. §. 2 καὶ κεφ. 9. §. 3.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΞΙΦΙΛΙΝΟΥ (1).

ΠΕΡΙ ΕΝΟΡΙΑΚΩΝ ΔΙΚΑΙΩΝ.

Μηνι Φεβρουαρίῳ δ', ἡμέρᾳ ϛ', ἐπινεμήσεως ιε', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, κυρίου Γεωργίου, ἐν τῷ Θετταλῷ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἀμασείας, Στεφάνου, τοῦ Μελιτηνῆς, Ἰωάννου, τοῦ Τυάνων, Μιχαὴλ, τοῦ Γαγγρῶν, Θεοδώρου, τοῦ Φιλιππουπόλεως, Εὐφημιανοῦ, τοῦ Μαδύτων, Θεοφάνους, τοῦ Ἀβύδου, Θεοδώρου, τοῦ Ἄπρω, Ῥωμανοῦ, τοῦ Φιλαδελφείας καὶ πρωτοσυγγέλλου, Μανουὴλ, τοῦ Πυργίου, Κωνσταντίνου, τοῦ Κίου, Ἰωάννου, τοῦ Νίκης, Γεωργίου, τοῦ Λήμνου, Βασιλείου, τοῦ Ἀγχιάλου, Ἰωάννου, καὶ τοῦ Δέρκων, Γρηγορίου· παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Παραστὰς τὴν σήμερον συνοδικῶς προκαθημένῃ τῇ ἡμῶν μετριότητι ὁ θεοφιλὴς ἐπίσκοπος Λίμνης Μιχαὴλ, τοιαύτην ἐποιήσατο τὴν ἐρώτησιν· ὅτι μοναί τινες, φησὶ, καὶ εὐκτήριοι οἶκοι, ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἐξ ἀρχῆς ἀνηγέρθησαν· τούτοις κτήσεις ἀκίνητοι διαφέρουσι, διακείμεναι κατὰ τὴν τῆς ἐμῆς ἁγιωτάτης ἐπισκοπῆς ἐνορίαν· καὶ οἱ ἐν τούτοις προσκαθήμενοι ἱερεῖς οὔτε τὸ ἐμὸν ἀναφέρουσιν ὄνομα ἐν ταῖς ἱεραῖς ἁγιστείαις, καὶ ἐν ταῖς ἄλλαις τοῦ Θεοῦ ὑμνῳδίαις, οὔτε μὴν πρὸς ἐμὲ διδόασι τὸ συνήθως πᾶσι τοῖς ἀρχιερεῦσι παρεχόμενον ἐξ ἔθους κανονικόν· καὶ παρεκλήτευε δοθῆναι αὐτῷ παρ' ἡμῶν ἐπὶ τούτοις ἀπόκρισιν· καὶ ἤκουσεν ἀπό τε τῆς ἡμῶν μετριότητος, καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, ὡς αἱ ἀκίνητοι κτήσεις, κἂν ὑπὸ ἄλλων ἀρχιερέων δεσποτείαν τελῶσιν, ἀλλ' ὅμως οἱ ἐν αὐταῖς προσκαθήμενοι, ὑπὸ τοῦ κατὰ χώραν ἀρχιερέως ποιμαντικῶς διευθετοῦνται καὶ διεξάγονται· καὶ διὰ ταῦτα κανονικῆς δοκεῖ ἐξέ-

(1) Γεώργιος ὁ Ξιφιλῖνος ἐκλέγεται ἀπὸ μεγάλου σκευοφύλακος πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1193· πατριαρχεύσας δὲ ἔτη ἓξ καὶ μῆνας δέκα, ἐπὶ τῶν αὐτοκρατόρων Ἰσαακίου καὶ Ἀλεξίου Ἀγγέλων τῶν Κομνηνῶν, ἐξεδήμησε πρὸς Κύριον τὸ ἔτος 1198.

χεσθαι ἀκριβείας, τὸ τὴν ἀναφορὰν τοῦ ὀνόματος τοῦ κατὰ χώραν ἀρχιερέως τελεῖσθαι παρὰ τῶν ἐν τῇ ὑπ' αὐτὸν ἐνορίᾳ προσκαθημένων, καὶ παρ' αὐτοῦ ποιμαντικῶς διεξάγεσθαι· ἔτι δὲ καὶ τὴν καταβολὴν τοῦ διδομένου συνήθως κανονικοῦ τοῖς ἀρχιερεῦσι, πρὸς τὸν κατὰ χώραν ἐπίσκοπον δίδοσθαι· τοῦτο γὰρ τῷ κατὰ καιροὺς ἁγιωτάτῳ πατριάρχῃ Κωνσταντινουπόλεως, νέας Ῥώμης, ἀπονενέμηται, τὸ ἐν ταῖς ὁπουδήποτε διακειμέναις ἐνορίαις ἀναφορὰν τελεῖσθαι τοῦ τιμιωτάτου ὀνόματος, ἐν μοναῖς τε, καὶ ἱεροῖς εὐκτηρίοις οἴκοις, ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἐξ ἀρχῆς καὶ βάθρων αὐτῶν λαβοῦσι τὴν πῆξιν· οὐ μόνον δὲ, ἀλλὰ καὶ οἱ ἱεροὶ καὶ σεβάσμιοι οἶκοι, εἴτε δὴ καὶ σεμνεῖά τινα ἐξ ἀρχῆς λαβόντα τὴν τῆς οἰκοδομῆς ὑποβάθραν, ὁπουδήποτε ἐνορίας, ὑπὸ ἄλλον τελούσης ἀρχιερέα, εἰ μὲν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἐξ ἀρχῆς τὴν σύστασιν ἔλαβον, τὸ τοῦ κατὰ καιροὺς ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ὄνομα ἐν τοῖς τοιούτοις ἔσεῖται ἀναφερόμενον· εἰ δὲ ἡ σύμπηξις τῶν τοιούτων οὐχ οὕτω προέβη, πάντως ὁ κατὰ καιροὺς ἀρχιερεὺς ἐν τοῖς τοιούτοις ἐσεῖται ἀναφερόμενος, καὶ τὴν τοῦ κανονικοῦ ἀποφερόμενος δόσιν· ἀλλὰ καὶ οἱ παροικοῦντες ἐν προαστείοις, ὑπὸ ἐνορίαν τελοῦσιν ἀρχιερέως τινὸς, ἃ δεσποτικῶς διαφέρουσιν ἱεροῖς τισι σεμνείοις καὶ εὐκτηρίοις οἴκοις, εἰ μὴ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἀρχῆθεν ἔσχον τὴν σύστασιν. Ταῦτα ἐκ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων παρεκβληθέντα, καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος καὶ ὑπερτίμου, κυρίου Ἰωάννου τοῦ Καματηροῦ, βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις, ἔτους ,ϛψε'.

Ἡ ὑπογραφή.

Ἰωάννης χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας, καὶ ὑπέρτιμος, ὁ Καματηρός.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΜΑΤΗΡΟΥ (1).

ΣΥΝΟΔΙΚΟΝ ΨΗΦΙΣΜΑ,

Κωλύον τὸν αὐτὸν καὶ ἕνα, λαβεῖν εἰς γυναῖκα δισεξαδέλφας δύο· ᾧ καὶ μᾶλλον στοιχεῖν δεῖ, κἂν οἱ πολιτικοὶ δικασταὶ τοῦτο οὐ κωλύουσιν ἐν τῷ ἀκολουθοῦντι ἑξῆς ψηφίσματι (2).

Ἰωάννης ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, τῷ ἐν Κυρίῳ ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ, τῷ ἱερωτάτῳ μητροπολίτῃ Δυῤῥαχίου, καὶ ὑπερτίμῳ, καὶ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Δεαβόλεως.

ΕΝ Κυρίῳ ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, ἱερώτατε μητροπολῖτα Δυῤῥαχίου καὶ ὑπέρτιμε, καὶ σὺ θεοφιλέστατε ἐπίσκοπε Δεαβόλεως. Ὁ Καπανδρίτης Ἀλέξιος, ἐπὶ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου πατριάρχου παραστὰς τῷ ἱερῷ συνεδρίῳ τῆς καθ' ἡμᾶς ἁγίας συνόδου, κατὰ τὸν Φεβρουάριον μῆνα τῆς παρελθούσης πρώτης ἐπινεμήσεως, ἀφηγήσατο, ὡς νομίμῳ γάμῳ συνεζύγη τῇ ἀπὸ τοῦ θέματος Δυῤῥαχίου ὁρμωμένῃ Εὐδοκίᾳ, τῇ αὐταδέλφῃ τοῦ πανσεβάστου, σεβαστοῦ, κυροῦ Κωνσταντίνου τοῦ Βοϊωάννου, ἀποβαλούσῃ τὸν πρότερον ὁμευνέτην αὐτῆς, τὸν Δυῤῥαχίτην ἐκεῖνον ἄρχοντα, Βάρδαν τὸν Μακρόμματον· καὶ προέβησαν ἐπ' αὐτῇ καὶ γαμικὰ συνήθη συμβόλαια, καὶ ἐπὶ τούτοις ἱερὰ εὐχὴ τῆς τε μνηστείας καὶ τοῦ γάμου ἐπεδόθη αὐτῷ· μετὰ δὲ μῆνας ζ'. τῆς αὐτῶν τοιαύτης συμβιώσεως, ἐσχηματίσατο ὁ διαληφθεὶς σεβαστὸς ὁ Βοϊωάννης, προσκαλεῖσθαι αὐτόν τε τὸν Καπανδρίτην, καὶ τὴν αὐτοῦ μὲν κατὰ νόμους γεγονυῖαν σύζυγον, αὐταδέλφην δὲ οὖσαν ἐκείνου, ὡς εἴρηται, εἰς τὴν οἰκίαν αὐτοῦ, συνεστιαθη-

(1) Ἰωάννης ὁ Καματηρός, ἀνὴρ λόγιος καὶ εὐσεβής, διατελέσας διάκονος καὶ χαρτοφύλαξ τῆς Μεγάλης Ἐκκλησίας, ἐκλέγεται πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1199, καὶ ποιμάνας τὴν Ἐκκλησίαν ἕως τοῦ ἔτους 1205, παραιτεῖται τοῦ θρόνου ἐν Διδυμοτείχῳ διατελῶν, μετὰ τὴν ὑπὸ τῶν Λατίνων ἅλωσιν τῆς Κωνσταντινουπόλεως. — (2) Βλέπε τὸ ψήφισμα ἔμπροσθεν ἐν οἰκείῳ τόπῳ.

σομένους συγγενικῶς· προσφοιτησάντων δὲ τούτων τῇ κατοικίᾳ αὐτοῦ, τοῦτον μὲν σιδηροῖς δεσμοῖς κατασφαλισάμενος, ἔμφρουρον εἶχεν, ἀποδιελὼν τῆς τοιαύτης συζύγου αὐτοῦ, προσαφελόμενος καὶ ἃ ἐπεφέρετο οὗτος πράγματα· τὴν δὲ τούτου σύζυγον ἄκουσαν βιασάμενος, ἑτέρῳ ἡρμόσατο. Ταῦτα ἀφηγησάμενος, καὶ σημείωμα ἐνεφάνισε σοῦ τοῦ θεοφιλεστάτου ἐπισκόπου Δεαβόλεως, δηλοῦν ἐκ συμφώνου ὁμολογίας τῶν Κολωνειατῶν ἀρχόντων, τῶν καὶ κατ' ὄνομα ἐν τῷ τοιούτῳ δηλουμένων σημειώματι, ὡς ὁ τοιοῦτος προσγενὴς αὐτῶν ὁ Καπανδρίτης, θανάτῳ ἀποβαλὼν τὴν ἐκ πρώτου συνοικεσίου συναφθεῖσαν αὐτῷ γυναῖκα, συνεζύγη δευτέρῳ γάμῳ βίας ἁπάσης ἐκτὸς τῇ διαληφθείσῃ γυναικί· ἀλλὰ δὴ καὶ βασιλικὸν προσκυνητὸν πρόσταγμα, αὐτὸ τοῦτο διοριζόμενον, τὸ, εἴπερ ἡ ῥηθεῖσα Εὐδοκία, βίας ἁπάσης ἐκτὸς, μεθ' ἱερᾶς εὐχῆς συνεζύγη αὐτῷ, μηδένα τολμᾶν ὀχλήσεις ἐπάγειν τῷ δηλωθέντι Καπανδρίτῃ. Ἐπὶ τούτοις γοῦν πᾶσι καὶ σημείωμα τηνικαῦτα προέβη συνοδικὸν, δι' οὗ κατὰ τὴν Καπανδρίτου παράκλησιν ἀπεφάνθη καὶ ἐγνωματεύθη τὸ ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει ποιητέον· ᾧ δὴ συνοδικῷ σημειώματι καὶ τὰ παρὰ τοῦ Καπανδρίτου, ὡς εἴρηται, προκομισθέντα χαρτία, τό,τε βασιλικὸν προσκυνητὸν δηλονότι πρόσταγμα, καὶ τὸ σοῦ τοῦ θεοφιλεστάτου ἐπισκόπου Δεαβόλεως σημείωμα, ἐνεγράφησαν κατὰ ῥῆμα. Ἐπεὶ δὲ νῦν πάλιν ἀνηνέχθη τῇ ἡμετέρᾳ μετριότητι παρὰ τοῦ μέρους τῆς τοιαύτης γυναικὸς, τῆς αὐταδέλφης δηλονότι τοῦ πανσεβάστου Βοϊωάννου, ὡς τοῦ πρότερον συζυγέντος νομίμως ταύτῃ ἀνδρὸς, τοῦ πριμικηρίου ἐκείνου Βάρδα τοῦ Μακρομμάτου, τῷ χρεὼν λειτουργήσαντος, τὴν πρακτορικὴν δειλιάσασα δυναστείαν, ὁποία πολλάκις ἐν τοῖς τοιούτοις φιλεῖ γίνεσθαι, πρὸς καιρὸν εἰς τὸ θέμα Κολωνείας μετετοπίσθη πρὸς οἰκίαν τινὸς τῶν αὐτῇ προσγενῶν, ἐπιφερομένη καὶ ὅσα τέως ἴσχυσεν ἐπάγεσθαι κρείττω καὶ εὐμετακόμιστα τῶν ταύτης πραγμάτων· ὁ δὲ τοιοῦτος Καπανδρίτης, λαὸν ἔνοπλον οὐκ ὀλίγον συναγαγὼν, ληστρικῶς ἐπελθὼν, ἁρπαγὴν αὐτῆς ἐπλημμέλησεν, ἀφελόμενος καὶ ὅσα προσῆσαν αὐτῇ πράγματα, ἀπὸ τόπου εἰς τόπον μετάγων αὐτὴν, καὶ αἰχμάλωτον ἕλκων ὅπου ἠβούλετο, μὴ συγχωρουμένην ἰδεῖν μηδὲ τὰς αὐταδέλφας αὐτῆς, τοῦτο μαθοῦσας, καὶ εἰς ἀναζήτησιν ταύ-

της ἐλθούσας· καὶ οὕτω βιαίως καὶ παρανόμως συνεζύγη αὐτῇ μὴ συντιθεμένη, διά τε τὸ αὐτόθεν τοῦ πράγματος ἄτοπον, καὶ διὰ τὸ ἀκριβῶς εἰδέναι, ὡς δισεξαδέλφη ταύτης ἦν ἡ πρότερον σύζυγος τοῦ τοιούτου Καπανδρίτου, ἣν θανάτῳ αὐτὸς ἀπεβάλετο· διὸ καὶ καιροῦ δραξαμένη, τὴν μετ' αὐτοῦ συνοίκησιν ἐκφυγεῖν εἵλετο, ἵνα μὴ κρίμα ψυχικὸν ἐν συνειδήσει ἐπισπῷτο ἐκ τῆς μετ' αὐτοῦ συμβιώσεως, διὰ τὴν καθ' αἷμα ταύτης ἐγγύτητα πρὸς τὴν πρότερον σύζυγον τούτου, τὴν καὶ δευτέραν, ὥς φησιν, ἐξαδέλφην οὖσαν αὐτῆς· καὶ ἐρώτησιν ἔθετο ἐπὶ τούτοις διά τινος τῶν αὐτῆς πρὸς τὴν ἡμῶν μετριότητα προκαθημένην συνοδικῶς τοῦ ἐπὶ τῷ τοιουτοτρόπως προβάντι συνοικεσίῳ ποιητέου· ἤκουσεν ἀπό τε τῆς ἡμῶν μετριότητος, καὶ τῆς ἱερᾶς ἀδελφότητος, ὡς, εἰ οὕτως ἔχει τὰ τῆς ἀληθείας, αὐτόθεν ἔχει τὸ διεσπασμένον τὸ οὕτω προβὰν συνοικέσιον· καὶ ὁ μὲν βίαν πλημμελήσας, ἐκεῖνα πάντως ἄξιός ἐστι παθεῖν, ἅπερ οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι διακελεύονται, ἐπιγνοὺς καὶ τὰ ἀπὸ τῶν ἱερῶν κανόνων ἐπιτιμώμενα τοῖς ἐν συνειδήσει δυσὶ δισεξαδέλφαις συζευγνυμένοις, ὡς ἕκτου ἐξ αἵματος εὑρισκομένου βαθμοῦ· ἡ δὲ ἀποστᾶσα τούτου διὰ τὰς τοιαύτας αἰτίας, οὐδέν τι πρόκριμα ὑποστήσεται· ὅθεν καὶ παραδηλοῦμεν ὑμῖν, μετακαλέσασθαι καὶ ἀμφότερα τὰ μέρη, καὶ ἀκριβῆ κατὰ συστάδην θέσθαι ἐξέτασιν τῶν παρ' αὐτῶν λεγομένων, καὶ συνοδικῶς ἀφηγηθέντων· καὶ ἐν οἵῳ τούτων εὑρήσετε τὴν ἀλήθειαν ἐπιφαίνουσαν, ποιῆσαι κατὰ τὴν ἐπὶ τούτῳ ἐξενεχθεῖσαν συνοδικὴν ἀπόφασιν· ἔῤῥωσθε. Μηνὶ Φεβρουαρίῳ· ἐπινεμήσει δευτέρᾳ.

ΓΕΡΜΑΝΟΥ (1).

Α'. ΣΗΜΕΙΩΜΑ ΤΟΥ ΠΑΝΑΓΙΩΤΑΤΟΥ

Πατριάρχου κυρίου Γερμανοῦ, κατὰ τοῦ μητροπολίτου Ναυπάκτου κυρίου Ἰωάννου, περί τινων μοναστηρίων ἐπισκοπικῶν, καὶ περὶ παρθένου τῆς ἱερολογηθείσης πρὸ τῆς ἥβης.

Ο ΘΕΟΦΙΛΕΣΤΑΤΟΣ ἐπίσκοπος Ἄρτης Ἰωάννης, ἀρτιώσεως ἤδη τετυχηκὼς καὶ ἀναπληρώσεως, εἴτ' οὖν ἀποκαταστάσεως εἰς τὴν προτέραν ἐπιτιμίαν διὰ συνοδικοῦ σημειώματος, ἀφ' ἧς καὶ, ὡς ἀπέδειξεν, ἐκ διαβολῆς ὑπέστη ὑφέσεως, καὶ πρὸς ἀντίληψιν ἄρτι τῶν ἐπισκοπικῶν αὐτοῦ δικαίων διαναστὰς, ἐπὶ τοῦ μέσου παρίσταται συνοδικῶς καὶ νῦν προκαθημένῃ τῇ ἡμῶν μετριότητι. Καὶ πρῶτα μὲν τὸν μητροπολίτην ἐκεῖνον τῆς Ναυπάκτου Ἰωάννην καταιτιᾶται, ἅρπαγα χεῖρα τοῖς ἐπισκοπικοῖς αὐτοῦ μοναστηρίοις ἐπιβαλόντα, ἔστι δὲ οἷς καὶ οἰκεῖα πήξαντα σταυροπήγια, προφάσει τοῦ καὶ τὴν μονὴν τοῦ ἁγίου Δημητρίου ἐν τῇ ἐνορίᾳ κειμένην τῆς Ἄρτης, παρ' ἐγχωρίου ἐπισκόπου ἀνεγερθεῖσαν, ἐπὶ σταυροπηγίῳ ἐκτίσθαι (συνορᾷν ὅπως, οὐκ ἔχω) τοῦ τότε μητροπολίτου. Καὶ περὶ μὲν ἐκείνου ταυτὶ προὐβάλλετο εἰς αἰτίασιν· οὐ μὴν ἀπέκρυπτεν οὐδὲ τὸν μετάμελον, ὃν ἐκεῖνος εἰσήνεγκεν ἐπὶ διορθώσει τοῦ πλημμελήματος· ἐπιδεδώκει γὰρ τοῦτο κόπου, ἐξενεγκὼν τοῦ αὐτοῦ μητροπολίτου ὁμολογίαν κατὰ τὸν Ἀπρίλλιον μῆνα προβᾶσαν τῆς β'. ἐπινεμήσεως, ἥτις ἀναγνωσθεῖσα ἐπ' ἀκροάσει συνοδικῇ, ὁρισμῷ τῆς ἡμῶν μετριότητος, εἶχεν ἐπὶ λέξεων οὕτως·

Πανιερώτατε Ἄρτης, ἐν Κυρίῳ συναδελφὲ, πολλάκις ἐγένετό μοι δι' ὄχλου ἡ ἁγιωσύνη σου περὶ τῆς ἐν Ἄρτῃ μονῆς τοῦ Κατζούρη, ὡς συστάσης ἐπὶ σταυροπηγίῳ ἐμῷ, καὶ τῆς ἑτέρας μονῆς τοῦ τιμίου Προδρόμου, τῆς δομηθείσης παρὰ τοῦ πανευγενεστάτου Κομνηνοῦ κυρίου Κωνσταντίνου ἐν τῇ ἀρχοντείᾳ τοῦ

(1) Γερμανὸς ὁ Β'. ἐκλέγεται οἰκουμενικὸς πατριάρχης τὸ ἔτος 1222· διέμεινε δὲ τοιοῦτος μέχρι τοῦ θανάτου αὐτοῦ, συμβάντος κατὰ τὸ ἔτος 1240.

Σμοκόδου, χωρίου Βαλτίτζης, καὶ τοῖς λοιποῖς· καὶ ἐδόκουν μηδὲν προσπταίειν τοῖς κανόσιν ἐκ τούτου· συνεὶς δὲ κατὰ τὸν ἐνδεχόμενον λόγον, ὅτι σοὶ ἀνήκουσιν, ὡς ἐπισκόπῳ ἐγχωρίῳ, αἱ τοιαῦται μοναὶ, ἀπολύω ταύτας τῆς ἐμῆς χειρὸς ἀπεντεῦθεν· καὶ ἔξεστί σοι ἐπιλαβέσθαι αὐτῶν ἀπάρτι, καὶ τὰ ἐπισκοπικὰ δίκαια ἐν ταύταις διενεργεῖν, καὶ διεξάγειν ταύτας, καὶ διοικεῖν κατὰ τὴν κανονικὴν ὑποτύπωσιν. Ὅθεν καὶ ἡ μὲν ἐμὴ ἀναφορὰ σχολάσαι ἀπεντεῦθεν ὀφείλει ἀπὸ τῶν τοιούτων μονῶν· διαγνωσθῆναι δὲ ταύταις ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, τῆς σῆς ἱερότητος. Μηνὶ Ἀπριλλίῳ, ἐπινεμήσει β'. Ὑπογέγραπτο δὲ καὶ αὐτοχειρίᾳ τοῦ ῥηθέντος, καὶ συνοδικῇ ἐξακολουθήσει συνεπληροῦτο, δι' ὑποσημάνσεων τῶν ὑπ' αὐτὸν ἐπισκόπων, τοῦ Βονίτζης, Ἰωάννου, τοῦ Ἀετοῦ, Νικοδήμου, τοῦ Βελλᾶς, Μανουὴλ, τοῦ Δρυϊνουπόλεώς τε, Θωμᾶ, καὶ τοῦ Βοθρωτοῦ, Δημητρίου· ὧν ὁ καθέκαστος μετὰ καὶ προσθήκης ὑπέγραψε, τοῦ ἀρεστὴν ἡγήσασθαι τὴν τοιαύτην συνοδικὴν δικαιοδοσίαν, ὡς κανονικήν. Τῷ δὲ νῦν μητροπολίτῃ τῶν Ναυπακτίων μάλιστα ἐπεμέμφετο ἐξοχώτερον· Εἰσῆλθε γὰρ, φησὶ, καὶ ἱερούργησεν ἐπιδεικτικῶς ἐν τῇ ὑπ' ἐμὲ μονῇ τοῦ Κατζούρη, μετὰ τὴν ἐπίγνωσιν καὶ ταῦτα τῆς συνοδικῆς ἐπαρχιώτιδος πράξεως, τῆς ἀποκαθιστώσης μοι κατὰ κανόνας τὰ τῆς ἐνορίας μου μοναστήρια· καὶ τὴν μὲν ἐπισκοπικὴν ἀναφορὰν ἐκεῖθεν ἐσχόλασε· προεχειρίσατο δὲ καὶ ἡγούμενον, λέγων, ὡς ἡ πρᾶξις αὕτη ἐν τῷ τελευτᾷν τὸν μητροπολίτην ἐκεῖνον γέγονε, καὶ οὐκ ἔῤῥωται. Ἐξιδιώσατο δὲ τὴν μονὴν τοῦ τιμίου Προδρόμου, καὶ τὴν ἐν ᾗ ἐδικαιώθη καὶ ἀποκατέστη ἡ κατ' ἐμὲ Ἐκκλησία πράξει συνοδικῇ ἐπαρχιώτιδι τοῦ ἁγίου Δημητρίου μονὴν, δικαιολογούμενος δῆθεν ἀποκεκλεῖσθαί μοι τὴν ταύτης ἀνάκλησιν ἐκ τοῦ χρόνου, καὶ ἐσφράγισε καὶ ἐν ταύτῃ ἡγούμενον· ἐξέβαλε καὶ τὰ ἐκκλησιαστικὰ σταυροπήγια ἀπὸ τῶν μοναστηρίων μου, τοῦ τῆς Ἐγκλειστῆς, καὶ τῆς ἁγίας Ἀναστάσεως· ἐποίησεν οὖν οἰκεῖα σταυροπήγια· δύο τισὶ τῶν εὐκτηρίων οἴκων μέλλουσιν ἀνεγεῖραι προέτρεψε διὰ πιττακίων, καὶ ἐχειροτόνησεν ἱερεῖς τῶν χωρίων τῆς ἐνορίας μου, ἤγουν τῆς Νισίστης, τῆς Πρινίστης, τῆς Δοβρολίστης, καὶ τῆς Πλανικοβίστης, ἀνὰ δύο τὸν ἀριθμὸν, παρεκτὸς ὧν οὐκ ἔφθασε λαβεῖν εἴδησιν. Ἐχει-

ροτόνησαν δὲ ἀπὸ τῆς ἐνορίας μου καί τινες τῶν συνεπισκόπων μου· ἀλλὰ καὶ ὁ ἱερώτατος τῆς Λευκάδος ἀρχιεπίσκοπος εἰσῆλθε πολλάκις, καὶ ἱερούργησεν ἐν τῇ ἐνορίᾳ μου αὐτοβούλως. Δέομαι οὖν παραλαβεῖν ἐκ τῆς ὑμῶν ἁγιότητος τὸ ἐφ' ἑκάστῳ τῶν ἀπαριθμουμένων κεφαλαίων δοκοῦν τοῖς ἱεροῖς κανόσι, καὶ τῇ θεσμοθεσίᾳ τῆς Ἐκκλησίας. Καὶ δὴ ἀποφέρεται τοιάςδε τὰς ἀποκρίσεις ἀπὸ τῆς καθ' ἡμᾶς ἁγίας συνόδου· ἵνα, δηλαδὴ, κἂν ἴσως ἐπιτελεύτιος γέγονε τῷ τότε μητροπολίτῃ ἡ τῶν ἐπισκοπικῶν σταυροπηγίων τοῦ Ἄρτης τῶν ἐκείνῳ σφετερισθέντων ἀντιστροφὴ, καὶ αὐτῆς τῆς τοῦ ἁγίου Δημητρίου μονῆς, ἀλλ' ἐπειδὴ, ὡς καὶ αὐτὸς ὡμολόγησεν, εἰς τοὺς ἱεροὺς κανόνας παίων συνῆκε, καὶ τὰ τοῦ πταίσματος διωρθώσατο, τὸ κῦρος ἔχῃ τὸ γεγονὸς, καὶ ἐπισκοπικὰ τὰ τοιαῦτα μοναστήρια εἰς ἀεὶ διαμείνωσιν· ἀργούσης καὶ τῆς ἀπὸ χρόνου παραγραφῆς ἐπὶ τῇ κατὰ τὴν μονὴν τοῦ ἁγίου Δημητρίου καινοτομίᾳ, διὰ τὸ προνόμιον τῶν παρ' ἐνορίαν σταυροπηγίων μόνῃ τῇ πατριαρχικῇ ἐφεῖσθαι μεγαλειότητι, τῶν δὲ μητροπολιτῶν οὐδενί. Ὅτι δὲ καὶ ἱερούργησεν εἰς τὴν τοῦ Κατζούρη μονὴν μετὰ τῆς πράξεως τὴν ἐπίγνωσιν, εἰ μὲν ἐν τῷ σχολάζειν σε τὸν ἐπίσκοπον Ἄρτης, ὑπὸ τῶν ἄλλων ἐπαρχιωτῶν ἐπισκόπων διὰ σημειώματος εἰς τοῦτο προεβιβάσθη, ἀνεύθυνος ἔσται, διὰ τὸν ιδ'. ἀποστολικὸν κανόνα, τὸν λέγοντα· Ἐπίσκοπον μὴ ἐξεῖναι, καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν, ἑτέρᾳ ἐπιπηδᾷν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται, εἰ μή τις εὔλογος αἰτία εἴη τοῦτον βιαζομένη· ὡς, εἰ πλέον τι κέρδος δυναμένου αὐτοῦ τοῖς ἐκεῖσε λόγῳ εὐσεβείας ἐμβαλέσθαι, καὶ τοῦτο οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν ἐπισκόπων, καὶ παρακλήσει μεγίστῃ· εἰ δ' ἄλλως πως αὐτοκέλευστος εἰς τοῦτο καὶ παρωρμήθη, τέως μὲν ὁ ιε'. καὶ ὁ λ'. ἀποστολικὸς κανὼν παραιτείσθω διὰ συγγνώμην· παῤῥησιαζέσθω δὲ ὁ κβ'. τῆς ἐν Ἀντιοχείᾳ, ἐπίσκοπον μὴ ἐπιβαίνειν, ὁρίζων, ἀλλοτρίᾳ πόλει τῇ μὴ ὑποκειμένῃ αὐτῷ, μηδὲ χώρᾳ τῇ μὴ αὐτῷ διαφερούσῃ, ἐπὶ χειροτονίᾳ τινὸς, μηδὲ καθιστᾷν πρεσβύτερον, ἢ διάκονον, εἰς τόπους ἑτέρῳ ἐπισκόπῳ ὑποκειμένους, εἰ μὴ ἄρα μετὰ γνώμης τοῦ οἰκείου τῆς χώρας ἐπισκόπου. Εἰ δὲ τολμήσειέ τις

τοιοῦτόν τι, ἄκυρον εἶναι τὴν χειροθεσίαν, καὶ αὐτὸν ἐπιτιμίων ὑπὸ τῆς συνόδου τυγχάνειν· καὶ ἡ ἐπιτιμία δὲ συμμετρείσθω εἰς ἀλειτουργησίαν ἐνιαυσιαίαν κατ' ἐπιείκειαν· καὶ τοὺς ἡγουμένους δὲ, οὓς ὁ μητροπολίτης προεχειρίσατο εἰς τὰ σὰ μοναστήρια, ἐξέσται σοι παραστεῖλαι, καὶ ἀνθετέρους σφραγίσαι· εἰ μή πως ἀρεστοί σοι δοκῶσιν οἱ προεσφραγισμένοι διὰ πνευματικὴν ἱκανότητα. Σταυροπήγια δὲ, τὰ μὲν ἐκβληθέντα ἀπὸ τῶν μοναστηρίων σου, αὖθις ἐν αὐτοῖς ἀποκαταστήσονται· τὰ δὲ καινισθέντα παρ' ἐνορίαν, ὑπαλλαγήσονται· μελήσει δέ σοι καὶ περὶ τῶν ἐνορίως χειροτονηθέντων ἀπὸ τῆς ὑπὸ σὲ ἐνορίας, ὡς ἂν ἀκριβῶς δοκιμάσῃς αὐτοὺς, εἴπερ ἀνεπιλήπτου βίου τυγχάνουσι, καὶ τὰ ἱερὰ μεμύηνται γράμματα· καὶ τοὺς μὲν εὑρισκομένους τοιούτους ἐπιτιμῆσαι ἀλειτουργησίᾳ, ἐφ' ὅσον ἂν σοι καὶ δόξειε· τῶν δὲ μὴ οὕτως ἐχόντων, ἀργίαν τελείαν καταψηφίσασθαι· ἐπὶ δὲ τοῖς ἐπισκόποις, καὶ τῷ ἀρχιεπισκόπῳ Λευκάδος, ἡ αὐτὴ κρατήσειεν ὑποτύπωσις, ἥτις καὶ περὶ τοῦ ἱερωτάτου Ναυπάκτου ἀνωτέρω ἐξεφωνήθη.

Ἔτι δὲ ἐζήτησεν ὁ Ἄρτης ἐπίσκοπος, ὁρισθῆναι τὸ ποιητέον καὶ ἐπὶ τῷ ἱερολογηθέντι πρὸ τῆς ἥβης τελείαν ἱερολογίαν κορασίῳ ἐν τῇ κατ' αὐτὸν ἐνορίᾳ, καὶ παιδοφθορίαν παθόντι· καὶ μὴν ἀλλὰ καὶ ἐπὶ τῷ ἱερολογήσαντι ἱερεῖ· καὶ ἤκουσεν, ὡς, ἡ τὴν παρθενικὴν λυθεῖσα ζώνην ἐν ἀώρῳ τῇ ἡλικίᾳ, τοῦ φθορέως διαζυγήσεται, καὶ ὁ ἱερολογήσας αὐτοὺς ἐν γνώσει καθαιρεθήσεται. Ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων, καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας συνήθως βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις, ἔτους ,ςψμγ'. Ἡ ὑπογραφή.

Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, Κωνσταντῖνος ὁ Αὐληνός. Ἡ συνήθης μολυβδίνη βοῦλα· καὶ ὄπισθεν ἐν τῇ συμπήξει τῆς βούλης, τὸ, Μηνὶ Ἰουλίῳ, ἐπινεμήσεως η'.

Β'. ΣΙΓΙΛΛΙΟΝ ΤΟΥ ΠΑΝΑΓΙΩΤΑΤΟΥ ΚΑΙ Οἰκουμενικοῦ πατριάρχου κυρίου Γερμανοῦ, ἐπὶ τοῖς παραλαυρίοις τῶν πατριαρχικῶν μονῶν, τίνι ἂν διαφέρειν ὀφείλουσι, γεγονὸς κατὰ μῆνα Ἰούνιον τῆς έ. ἐπινεμήσεως, καὶ καταστρωθὲν τῷ σεκρέτῳ τοῦ ἱεροῦ χαρτοφυλακείου.

Τα περὶ τῶν πατριαρχικῶν σταυροπηγίων τῶν κατὰ διαφόρους ἐνορίας μητροπολιτῶν, ἀρχιεπισκόπων τε, καὶ ἐπισκόπων, τῆς ἐφ' ἡμᾶς διοικήσεως πεπηγότων, ὡρισμένα τε καὶ τετυπωμένα δι' ὑπομνημάτων συνοδικῶν τοῦ ἐν πατριάρχαις ἐκείνου ἁγιωτάτου κυρίου Γερμανοῦ(1), ὧν τὸ μὲν ἡ κζ'. τοῦ Νοεμβρίου μηνὸς, θάτερον δὲ ἡ η'. τοῦ Ἰανουαρίου, τῆς αὐτῆς ἐπινεμήσεως, οἶδε γεγενημένα, καλῶς καὶ θεοφιλῶς ἔχειν κατανοήσασα ἡ μετριότης ἡμῶν, ἀμετάθετον καὶ ἀπαράβατον διορίζεται συντηρεῖσθαι τὸ καθ' ἓν ἕκαστον τῶν ἐν τοῖς αὐτοῖς ὑπομνήμασι διειλημμένων κεφαλαίων, ἀλλαχόσε πανταχῆ, καὶ δὴ καὶ ἐπ' αὐτῆς τῆς ἐπαρχίας Ναυπάκτου· ὥστε τὴν ἀναφορὰν τοῦ πατριαρχικοῦ ὀνόματος ἐν ἐκείνοις μόνοις καὶ κρατεῖν καὶ ἐκπεφωνῆσθαι τρανώτερον, ἐν οἷς ἡ ἀνέγερσις διὰ σταυροπηγίων πατριαρχικῶν ἐγεγόνει, κἂν μοναστήρια ὦσι, κἂν Ἐκκλησίαι καθολικαὶ, κἂν εὐκτήριοι οἶκοι· κἂν τοῖς τοιούτοις μηδὲν εἶναι μεθεκτὸν τῷ κατὰ χώραν ἀρχιερεῖ, εἴτε εἰς ἱεροπραξίαν, εἴτε εἰς ἡγουμένου σφραγίδα, εἴτε εἰς ψυχικῶν σφαλμάτων ἀνάκρισιν, οὐδ' ἄλλο οὐδ' ὁτιοῦν, μέχρι καὶ τῆς τῶν κανονικῶν εἰσφορῶν ἀπαιτήσεως· καὶ γὰρ οἱ ἱερᾶσθαι λαχόντες ἐν τούτοις, πατριαρχικοὶ καὶ ἔσονται, καὶ ὀνομασθήσονται, καὶ τῷ τῶν πατριαρχικῶν δικαίων ἐξάρχῳ ὑποκείσονται, καὶ τὰ συνήθη κανονικὰ πρὸς αὐτὸν ἀποτίσουσιν· ὁ δ' αὐτὸς ἔξαρχος, καὶ τοὺς ἑξῆς ἱερᾶσθαι μέλλοντας διὰ τῶν κατὰ μέρος βαθμῶν εἰς τοῦτ' αὐτὰ προβιβάσει, μετὰ τῶν νενομισμένων μαρτυριῶν τοῦ τε βίου καὶ τῆς ἡλικίας αὐτῶν, καὶ πάσης ἑτέρας κανονικῆς παρατηρήσεως· ἔτι γε μὴν καὶ τῇ τῶν γαμικῶν συναλλαγμάτων ἐπιστατήσει προτροπῇ, καὶ ἀποτροπῇ· καὶ οἱ τῶν

(1) Ἴσως, Γεωργίου (τοῦ Ξιφιλίνου.) Βλ. σημείωμα αὐτοῦ σελ. 101 τοῦ παρόντος τόμου.

λογισμῶν τε ἀνάδοχοι πνευματικοὶ πατέρες, οἱ ἐν τοῖς πατριαρχικοῖς δικαίοις προσκαθήμενοι, παρ' αὐτοῦ καὶ δοκιμασθήσονται, καὶ τὸ ἐνδόσιμον λήψονται. Ἔνθα δὲ μὴ κατεβλήθη πατριαρχικὸν σταυροπήγιον, ὁ κατὰ χώραν ἀρχιερεὺς ἐκεῖσε ἐξουσιάσει· κἂν προάστειον ᾖ μοναστηρίου, κἂν παραλαύριον, κἂν οἶκος εὐκτήριος· καὶ αὐτοῦ ἔσται ἡ ἀναφορὰ, ἡ σφραγὶς, ἡ ἐξέτασις, ἡ πρόσοδος τῶν κανονικῶν, αἱ χειροτονίαι, ἡ ἔνδοσις καὶ ἡ κώλυσις τῶν συναλλαγμάτων, καὶ εἴ τι ἄλλο προνόμιον ἐπισκοπικόν· κἂν τί που ἴσως ὁ χρόνος διέκοψε καὶ ἀφείλετο προφάσει τῶν πρωτοτύπων, καὶ αὐτοῖς ὑποκείμενα, πατριαρχικὰ λογίζεσθαι κἀκεῖνα πεποίηκε τὰ μηδὲ τὴν ἀρχὴν ἐσχηκότα πατριαρχικὸν σταυροπήγιον· ἀλλ' ἡ μετριότης ἡμῶν τοῖς ἐγχωρίοις ἀρχιερεῦσι τῶν τοιούτων παραχωρεῖ· κἂν γὰρ ἐξόχως ἀντέχηται τῶν ὅσα τῇ πατριαρχικῇ προσήρμοσεν ἐξουσίᾳ, ἀλλ' οὐχὶ καὶ τῶν ἀλλοτρίων ἐρᾷ, ὥστε τὰ μηδὲν αὐτῇ προσήκοντα σφετερίζεσθαι. Ὑποτιθέαμεν δὲ τοῖς ἐγχωρίοις ἀρχιερεῦσι κἀκείνους, οἵτινες πρὸ τῆς ἀνεγέρσεως τῶν ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς προῳκοδομημένων, ἢ καὶ μετὰ τοῦτο οἰκοδομηθησομένων θείων σηκῶν, τὸν τόπον κατῴκησαν, ἢ, καὶ ὕστερον κατοικήσαντες, ἀπὸ τῶν ἰθαγενῶν καὶ ἐγχωρίων εὑρίσκονται ὄντες· ὥστε καὶ τοὺς τοιούτους τῷ κατὰ χώραν ὑποκεῖσθαι ἀρχιερεῖ εἰς πᾶσαν ἐπισκοπικὴν διεξαγωγήν. Περὶ μέν τοι τῶν ἐξ ἀλλοδαπῆς ἐληλυθότων καὶ ἐλευσομένων πρὸ τῆς πήξεως τοῦ σταυροπηγίου, καὶ μετὰ τοῦτο κἀκεῖσε τὴν οἴκησιν ποιουμένων, οὐδεὶς ἀντερεῖ τῷ τῶν πατριαρχικῶν δικαίων ἐξάρχῳ, ὡς δῆθεν οὐκ αὐτῷ προσηκόντων· ἀναμφίλογος γὰρ ἔσται καὶ αὐτῶν ἔξαρχος ὁ τοιοῦτος. Ἐπιγνωσθήτω τοίνυν ὁ παρὼν ὁρισμὸς τῆς ἡμῶν μετριότητος τῷ σεκρέτῳ τοῦ ἱεροῦ χαρτοφυλακίου, καὶ ἀντιγραφήτω τῷ ἀπὸ τοῦ μέρους τῆς ἐπισκοπῆς Ἄρτης αἰτησαμένῳ καὶ πορισαμένῳ αὐτὸν, ἐπὶ τῷ ἐμφανισθῆναι καὶ τῷ ἱερωτάτῳ μητροπολίτῃ Ναυπάκτου εἰς εἴδησιν. Εἶχε τὸ, Μηνὶ Ἰουνίῳ ἐπινεμήσεως, ε'. διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρός. Ἀπῃώρητο δὲ καὶ κάτωθεν μολυβδίνη βοῦλα, ἔχουσα ἐν μὲν τῷ ἑνὶ μέρει τὴν ὑπεραγίαν Θεοτόκον, παλάμαις φέρουσαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐν δὲ τῷ ἑτέρῳ,

γράμματα ταῦτα· Γερμανός, ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Γ'. ΕΤΕΡΟΝ ΤΟΥ ΑΥΤΟΥ.

Τα κατὰ συναρπαγὴν λαβόντα σύμπηξιν, οὐθ' ὁ καιρὸς περιτρέχει ἀπερικλόνητα, καὶ αὐτοὶ δὲ οἱ τῆς αὐτῶν συμπήξεως αἴτιοι, τὴν ἀνατροπὴν αὐτῶν τελεσιουργοῦσι προφθάνοντες· προβαίνει τι καὶ παρ' ἡμῖν τοιουτότροπον, καὶ ταχέως ἡ μετριότης ἡμῶν τὴν αὐτοῦ ποιεῖται διόρθωσιν. Ἐν τῇ χώρᾳ τῆς Παφλαγονίας, πατριαρχικαὶ μοναὶ σποράδην διάκεινται· ταῖς μοναῖς ὑπόκεινται καὶ προάστεια, χωρία τε ὁμοῦ καὶ ἀγρίδια· λαὸς τοῖς κτήμασι διάφορος κατοικεῖ. Περὶ τούτων, ἐπὶ τῆς καθ' ἡμᾶς συνόδου, γεγενημένης πρό τινος καιροῦ συζητήσεως, ὁπότερον ἄρα εἶναι δεῖ τὸν τῆς αὐτῶν διεξαγωγῆς ἀντιποιησόμενον, εἴτε τὸν κατὰ χώραν ἀρχιερέα, (ὅτι τῆς ἐνορίας τούτου μέρος τυγχάνουσιν,) εἴτε τὸν ἀπὸ τῆς πατριαρχικῆς ἐξουσίας ἀποστελλόμενον ἔξαρχον, ὅτι ταῖς μοναῖς, ἃς ἐτάχθη διέπειν, τυγχάνουσιν ὑποκείμενα· ἔλαθέ πως καὶ τῇ τοῦ πατριαρχικοῦ ἐξάρχου ἐπεκυρώθησαν διεξαγωγῇ· τῇ προσκυρώσει ταύτῃ καὶ πρᾶξις ἐπηκολούθησεν, ἐκφωνοῦσα καὶ ἀφορισμόν, διὰ τὴν τῶν διειλεγμένων ταύτῃ βεβαίωσιν. Τὴν σήμερον δὲ ὑπὸ ἀκριβεστέραν πεσούσης τῆς ὑποθέσεως βάσανον, εἶχε μὲν καὶ αὐτόθεν ἡ μετριότης ἡμῶν κατανοεῖν τὸ τοῦ πράγματος ἄτοπον, κἀντεῦθεν τῇ ἐπιδιορθώσει τούτου παραυτίκα ἐπένευεν, ἐπ' ἐκείνοις διαγινώσκουσα τὸν πατριαρχικὸν κεκτῆσθαι δίκαιον ἔξαρχον, ὅσα ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς τὴν βάσιν ἐσχήκασιν, εἴτε μοναστήριά εἰσιν, εἴτε εὐκτήρια. Εὕρηκε δὲ καὶ πρᾶξιν συνοδικὴν παλαιάν, ἐπὶ τῆς πατριαρχείας τοῦ μακαρίτου ἐκείνου κυρίου Γερμανοῦ γεγενημένην, τὴν αὐτὴν περὶ πολλοῦ ποιοῦσαν ὑπόθεσιν· καὶ διατατομένην, (εἰ δεῖ συντόμως εἰπεῖν,) μὴ ἔχειν ἐξουσίαν τοὺς τῶν ἑκασταχοῦ πατριαρχικῶν μονῶν ἐξαρχεύοντας, ὑποποιεῖσθαι καὶ τὰ ὑποβεβλημένα ταύταις χωρία, ἢ τὸν ἐν τούτοις λαόν, ἢ τὰ εὐκτήρια, ὅσα μὴ σταυροπηγίων πατριαρχικῶν ηὐμοιρήκασιν· ἀλλὰ μηδὲ τοὺς ἐκεῖθεν ἱε-

ρᾶσθαι μέλλοντας ἀναδέχεσθαι, καὶ ὡς ἰδίους πρὸς τὸ τῆς ἱερωσύνης ἀνάγειν ἀξίωμα· ἀλλὰ ἀπέχειν πάντη αὐτῶν, ὡς παρὰ τοῦ ἐπισκόπου τῆς χώρας διέποιντο· καὶ ἠκολούθησε τῇ πράξει· καὶ τὰ αὐτὰ καὶ αὕτη μετὰ τῆς συνεδριαζούσης αὐτῇ ἀδελφότητος πρὸς τὴν ὑπόθεσιν ἀπεφήνατο, μὴ δέον εἶναι εἰποῦσα, ἀπωθεῖσθαι τοῦ ἰδίου λαοῦ τὸν ἐπίσκοπον, προφάσει τοῦ πατριαρχικαῖς μοναῖς ὑποκεῖσθαι τὰ χωρία, ἢ τὰ προάστεια, ἔνθα προσκάθηνται· ἀλλὰ μηδὲ τῶν ἐν αὐτοῖς εὐκτηρίων, ἐὰν μὴ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς καὶ αὐτὰ ἐφηδράσθησαν· κἂν καὶ παραλαύρια τυχὸν τυγχάνωσι τῶν μονῶν, ἢ μετόχια. Ὅθεν καὶ τὴν εἰρημένην ἐκείνην πρᾶξιν ἀπεντεῦθεν συνοδικῶς ἀκυρώσασα, ἀπραξίαν τε παντελῆ τῶν ἐν αὐτῇ διειλημμένων κατεψηφίσατο, καὶ τῷ ἀφορισμῷ δὲ λύσιν ἐπήγαγεν, ὃν ἐκφωνοῦσα ἐτύγχανεν. Ἔσονται οὖν οἱ κατὰ τὴν Παφλαγονίαν οὗτοι ἀρχιερεῖς τὰ χωρία ταῦτα καὶ τὰ προάστεια ἀπεριкόπως διέποντες, ἐκεῖνα μέντοι γε ὅσα μὴ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς συνῳκίσθησαν· εὑρίσκονται μὲν καί τινά που τοιαῦτα· σὺν αὐτοῖς δὲ καὶ τὰ ὑποτεθειμένα τοῖς πατριαρχικοῖς μοναστηρίοις τούτοις εὐκτήρια· πλὴν εἰ μή τισι καὶ αὐτῶν πατριαρχικὰ ὑποβέβληνται σταυροπήγια· κἀκ τούτων γὰρ ὀφείλουσι τὰ τῆς ἑαυτῶν μεταίρειν ποιμάνσεως, καὶ τῷ πατριαρχικῷ ἐξάρχῳ τῆς εἰς τὰ τοιαῦτα παρόδου παραχωρεῖν. Διέπειν δὲ οὕτω ταῦτα δικαιωθέντες, οὔτε παρὰ τῶν τοῖς πατριαρχικοῖς μοναστηρίοις ἡγουμενευόντων εἰς τοῦτο ἐνοχληθήσονται, οὔτε παρὰ τῶν τῆς πατριαρχικῆς ἐξουσίας ὄντων μετοχίων· ὀφείλουσι γὰρ οἱ τοιοῦτοι τοῖς ὡρισμένοις ἐμμένειν, καὶ μηδόλως πειρᾶσθαί τινι τοῦ μέρους τῶν ἀρχιερέων παρενοχλεῖν, ἐπὶ τῇ διεξαγωγῇ καὶ ποιμάνσει τῶν εἰρημένων χωρίων, καὶ τῶν ἐν τούτοις προσκαθημένων· πρὸς δὲ καὶ τῶν εὐκτηρίων, μετοχίων τε, καὶ παραλαυρίων, ὅσα μὴ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς εἰλήφασι τὴν ἀνέγερσιν.

ΜΑΝΟΥΗΛ (1).

Α΄. ΛΥΣΕΙΣ ΕΡΩΤΗΣΕΩΝ ΤΙΝΩΝ.

Ο ἱερώτατος μητροπολίτης Δυῤῥαχίου Ῥωμανὸς, κατὰ Κύριον ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, τῇ ἡμῶν σήμερον συνεδριάζων μετριότητι προκαθημένῃ συνοδικῶς μετὰ τῶν ἱερωτάτων αὐτῆς ἀδελφῶν, τοῦ Καισαρείας Καππαδοκίας, Μητροφάνους· τοῦ Σάρδεων, Ἀνδρονίκου· τοῦ Φιλαδελφείας, Φωκᾶ· τοῦ Ποντοηρακλείας, Νικηφόρου· τοῦ Σμύρνης, Γεωργίου· τοῦ Μηθύμνης, Μιχαὴλ· χάρτην ἐπὶ τοῦ μέσου προέτεινεν εἰς ἀνάγνωσιν· καὶ ὁ χάρτης ἐρωτήσεις ἦν τοῦ θεοφιλεστάτου ἐπισκόπου Βελλᾶς, συνοδικῶν δεόμεναι λύσεων. Εἶχε δὲ οὕτω τὰ τῶν ἐρωτήσεων.

Τινὲς τῶν οἰκείων γυναικῶν ὑποχωρήσαντες διὰ μῖσος, ἢ ἄλλην ὁποιανδήτινα αἰτίαν, καὶ ἐν ἀλλοτρίᾳ διάγοντες, μένουσιν οὕτως αἱ γυναῖκες τῶν τοιούτων ἐπὶ πέντε ἢ καὶ πλείοσιν ἔτεσι, τῶν ἀνδρῶν αὐτῶν ἀνεπιστρόφων ὄντων, καὶ ἀδήλων ποῦ ἄρα διάγοιεν· εἰ δεῖ τοίνυν ἀνδράσιν ἑτέροις ταύτας συζεύγνυσθαι.

Τινὲς τῶν ἱερωμένων, ἐν τῇ μεγάλῃ Τεσσαρακοστῇ, προηγιασμένους θείους ἄρτους κρύψαντες ἐν ἀρτοφορίοις, εἶτα συνεργείᾳ δαίμονος ἐκ τοῦ σηκοῦ τοῦ θείου συληθέντων ὑπὸ μυῶν, καὶ κυνὸς παρανοίξαντος τὴν θύραν, ἢ καὶ ἐν τῷ ἱερουργεῖν τὸν ἱερέα καὶ ἐν τῇ τραπέζῃ τὰς εὐχὰς ὑπαναγινώσκειν, λαθὼν μῦς τις μετὰ τὴν προσκομιδὴν ἀφήρπασε τὸ ἱερουργούμενον θεῖον σῶμα· πῶς χρὴ εἰς τὰ τοιαῦτα ἐπιτιμηθῆναι τοὺς ἱερεῖς;

Ἱερεῖς τινες ἀφοριζόμενοι παρὰ τῶν οἰκείων ἀρχιερέων, τοῦ ἀφορισμοῦ καταφρονοῦσι, καὶ ἐπιτετιμημένοι ὄντες εἰσέρχονται καὶ ἱερουργοῦσι· πῶς δεῖ τούτους κολασθῆναι;

---

(1) Μανουὴλ ὁ Β΄, ὃν τινες συγχέουσι μετὰ Μανουὴλ τοῦ Χαριτοπούλου, ἢ φιλοσόφου, πατριαρχεύσαντος τὸ 1222, ἐκλέγεται οἰκουμενικὸς πατριάρχης τὸ ἔτος 1240 ἢ 1242 ἐπὶ τοῦ αὐτοκράτορος Ἰωάννου τοῦ Βατάτση. Ἐπατριάρχευσε δὲ ἔτη 14.

Λαϊκοὶ διγαμήσαντες καὶ παιδοποιήσαντες, ὑπερβάντες τὰ τεσσαράκοντα ἔτη, παρενοχλοῦσι καὶ εἰς τρίτον ἐλθεῖν συνοικέσιον, ἕνεκα τῆς ἀνατροφῆς τῶν προϋπαρχόντων παίδων αὐτοῖς, καὶ τοῦ μὴ χύδην ἁμαρτάνειν· εἰ ἀνέγκλητον αὐτοῖς τριγαμῆσαι;

Ἀντιμίνσια ἴσμεν γινόμενα, ἐπὰν ὁ ἀρχιερεὺς δι' ἑαυτοῦ ἐνεργήσῃ τὸν ἐγκαινισμὸν, καὶ ἐκ τοῦ πανίου τοῦ ὑποστρωθέντος καὶ περιειλήσαντος τὴν τράπεζαν, εἰς βραχέα τεμνομένου, καὶ γραφομένου, τοῖς ἱερεῦσι δίδοσθαι· καὶ ἄνευ τούτων μὴ δύνασθαι ἱερουργεῖν· ἔνθα οὖν ἐστι τούτων ἔνδεια, τί δεῖ πραχθῆναι, ἵνα μὴ μένωσιν οἱ ἱερεῖς ἄνευ ἱερουργιῶν;

Τινὲς ἱερεῖς λανθανόντως ἐποίησαν τῇ μεγάλῃ Τεσσαρακοστῇ εὐλογήσεις· ποταπὸς ἄρα ὁ γάμος οὗτος, καὶ ποίοις ἐπιτιμίοις ἁλίσκονται οἱ οὕτως ἱερολογήσαντες ἱερεῖς;

Πρὸς γοῦν ταύταις ταῖς ἐρωτήσεσιν, ἡ μετριότης ἡμῶν τοιαύτας τὰς λύσεις ἐπήνεγκεν.

Οἱ ἀπὸ τῶν οἰκείων ὑποχωρήσαντες γυναικῶν ἄνδρες δι' ὁποιανδήτινα αἰτίαν, καὶ ἐν ἀλλοτρίᾳ διάγοντες, ἀφορισμοῦ εἰσιν ἄξιοι, εἰ ἀνεπιστρόφως ἔχουσι, καὶ πρὸς τὰς οἰκείας γυναῖκας οὐ προαιροῦνται πάλιν νοστῆσαι· εἰ δὲ ἄδηλοι εἶεν, καὶ προέβη καὶ ἔρευνα τούτων ἐξ ἀποστολῆς τῶν γυναικῶν αὐτῶν, καὶ πενταετία παρῆλθεν ἐξ ὅτου ἀφανεῖς οἱ ἄνδρες τούτων ἐγένοντο, αἰχμάλωτοι τυχὸν γεγονότες, ἢ ἄλλῳ τινὶ τρόπῳ ἀφανισθέντες· τῶν τοιούτων αἱ γυναῖκες ἀκωλύτως κατὰ τὸν ἐκχωροῦντα νόμον ἑτέροις συναφθεῖεν ἀνδράσιν· αἱ δ' ἄλλαι, ὧν οἱ ἄνδρες ἔτι περίεισι, τοὺς οἰκείους ἄνδρας ζητείτωσαν.

Οἱ πταίσαντες ἱερεῖς, οἱ τοὺς προηγιασμένους ἄρτους πεποιηκότες τοὺς ὑπὸ κυνῶν τῶν παρανοιξάντων τὴν τοῦ ναοῦ πύλην ἀφανισθέντας, τῆς ἱερουργίας πρὸς καιρὸν τὸν παρὰ τὴν διάκρισιν κείμενον τοῦ αὐτοῦ ἀρχιερέως παυσάσθωσαν, ὡς μὴ τὴν ἱκανὴν πεποιηκότες ἀσφάλειαν· οἱ δ' ἄλλοι, οἱ τοὺς ἄρτους ὑπὸ μυῶν ἐν τῇ προσκομιδῇ ὀλέσαντες, ἀνεπιτίμητοι διαμεινάτωσαν, ἐπεὶ πλεῖστα τοιαῦτα πολλάκις γίνονται· οἳ καὶ ἑτέραν προσφορὰν ἐν τῇ ἁγίᾳ τραπέζῃ εἰσάξουσι, καὶ προσκομιδὴν ποιήσουσι, καὶ τὴν ἱερουργίαν τελειώσουσιν.

Οἱ ἀφωρισμένοι καὶ ἱερουργοῦντες, καθαιρέσεώς εἰσιν ἄξιοι· καὶ εἰς τὴν τοῦ ἐπισκόπου αὐτῶν τοῦτο κείσθω διάκρισιν.

Οἱ τρισὶ γάμοις συμπλακῆναι βουλόμενοι μετὰ τὴν τεσσαρακονταετίαν, ὡς πολυγαμίαν τοῖς Χριστιανοῖς οὐκ ἀνήκουσαν ζητοῦντες, ἄπρακτοι ἀποπεμφθήσονται· εἰ δὲ καὶ βίαν ἐπάγουσι, καὶ ἐπιτιμηθήσονται.

Τὰ ἀντιμίνσια οὐκ εἰς πάσας ἀνάγκη κεῖσθαι τὰς ἁγίας τραπέζας, ἀλλ' εἰς ἃς οὐ γνώριμόν ἐστιν εἴτε καθιερωμέναι εἰσὶν, εἴτ' οὔ· τὰ γὰρ ἀντιμίνσια καθιερωμένων ἁγίων τραπεζῶν τόπον ἐπέχουσι· καὶ ἔνθα εἰσὶ γνώριμοι καθιερωμέναι τράπεζαι, οὐ χρεία ἀντιμινσίων ἐκεῖ.

Οἱ πεποιηκότες τὰς γαμικὰς ἱερολογίας ἱερεῖς ἐν τῇ μεγάλῃ Τεσσαρακοστῇ, εἰ μὲν ἐξ ἀφελείας τοῦτο πεποιήκασι, μετρίων ἐπιτιμίων εἰσὶν ἄξιοι· εἰ δ' ἐκ σκαιοτροπίας καὶ κρύφα, μειζοτέρων ἐπιτιμίων, τῶν παρὰ τῇ διακρίσει κειμένων τοῦ ἀρχιερέως αὐτῶν. Τὰ δὲ παρ' αὐτῶν γινόμενα συνοικέσια, ὡς ἱερολογίαν δεξάμενα, τὸ στέργον ἕξουσι καὶ ἀπερικλόνητον. Εἶχε τὸ, Μηνὶ Ἰουλίῳ, ἐπινεμήσεως η', καὶ τὴν κηρίνην πρασίνην σφραγίδα.

Β'. ΠΕΡΙ ΜΕΤΑΘΕΣΕΩΣ ΕΠΙΣΚΟΠΩΝ.

ΜΗΝΙ ἰουλίῳ ι, ἡμέρᾳ α, ἐπινεμήσεως η', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου Μανουὴλ, ἐντὸς τῆς περιωνύμου καὶ πανυπερλάμπρου σεβασμίας βασιλικῆς μονῆς, τῆς ἐπ' ὀνόματι μὲν τιμωμένης τῆς ὑπεραμώμου Θεομήτορος τῆς Γοργεπηκόου, τῶν Σάνδρων δὲ ἐπικεκλημένης· συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας Καππαδοκίας, Μητροφάνους· τοῦ Σάρδεων καὶ ἐξάρχου πάσης Λυδίας, Ἀνδρονίκου· τοῦ Φιλαδελφείας, καὶ τὸν τόπον ἐπέχοντος τοῦ Συρακούσης, Φωκᾶ· τοῦ Ποντοηρακλείας, καὶ τὸν τόπον ἐπέχοντος τοῦ Κλαυδιουπόλεως, Νικηφόρου· τοῦ Σμύρνης, Γεωργίου· τοῦ Δυῤῥαχίου, Ῥωμανοῦ· καὶ τοῦ Μηθύμνης, Μιχαὴλ· παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

ὃ ἐν σώμασιν αἱ ψυχαί, τοῦτ' ἐν πράγμασιν οἱ καιροί· καὶ κινοῦσιν αὐτὰ, καὶ ἄλλως ἄλλοτε ταῦτα μετατιθέασιν, εὐπροσώποις αἰτίαις ὑπείκοντες. Εἰς τί δὲ ἡ καιρικὴ αὕτη μετάθεσις, καὶ ἡ τῶν πραγμάτων ἐναλλαγὴ καὶ μετάβασις; Ὁ λόγος, καιροῦ καλοῦντος, μετατιθέσθω ταῦτα, καὶ ἐναλλαττέσθω πρὸς τὸ σαφέστερον. Ὁ τῆς ὑπὸ τὴν τῆς Λαρίσσης μητρόπολιν ἁγιωτάτης ἐπισκοπῆς Ἐζεροῦ ἀρχιερατικῶς προϊστάμενος Ἰωάννης, μακράν τ' ἀνατλὰς ὁδοιπορίαν, ἔγκοπόν τε καὶ δύσιππον, καὶ πρέσβυς ἀφικόμενος πρὸς τὸν κοσμικὸν φωσφόρον, τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα, ἐξ ἀποστολῆς τοῦ πανευτυχεστάτου δεσπότου καὶ ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, καὶ ἀμέσως τούτῳ προσομιλήσας, καὶ πρὸς τὸ καθ' ἡμᾶς ἐκκλησιαστικὸν ἐπεχωρίασε στερέωμα· καὶ τοὺς φαιδρὸν ἴσα καὶ ἄστρασι λάμποντας ἱεράρχας, ἀδελφοὺς καὶ συλλειτουργοὺς τῆς ἡμῶν μετριότητος, τῇ ἡμῶν εὑρὼν συνεδριάζοντας μετριότητι, χάρτην ἐπ τοῦ μέσου προέτεινε, καὶ ἀπολογίαν ἐζήτει ἐγκάνονον· εἶχε δὲ οὕτω τὰ τοῦ προβλήματος.

Φῶς γνώσεως δοῦναί μοι ἐξαιτοῦμαι παρὰ τοῦ παναγιωτάτου δεσπότου μου καὶ κυρίου, τοῦ οἰκουμενικοῦ φωστῆρος, καὶ τῆς κατ' αὐτὸν θείας καὶ ἱερᾶς τῶν ἱεραρχῶν ὁμηγύρεως, ἐπὶ τῇ ἀναφορᾷ, ἣν πρὸς τὸ ὕψωμα τούτων ποιήσασθαι κατετόλμησα, τῷ θείῳ πεισθεὶς ῥήματι· Ἐπερώτησον, γάρ φησι, τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. Ἔξεστι τοῖς μητροπολίταις, γνώμῃ τῶν ὑπ' αὐτοὺς ἐπισκόπων, δι' αἰτίαν εὐπρόσωπον, ἣν ὁ καιρὸς ἀπαιτεῖ καὶ τὰ πράγματα, μεταθεῖναι ἐπίσκοπον ἀπὸ ἐπισκοπῆς εἰς ἐπισκοπὴν, ὑπὸ τὴν αὐτὴν μητρόπολιν τελούσας ἄμφω τὰς ἐπισκοπὰς, ἢ οὔ; ἐπιτετράφθαι γὰρ τὴν μετάθεσιν, καὶ πολλοὺς τῶν ἀρχιερέων κατὰ διαφόρους καιροὺς οὐκ εἰς ὁμοτίμους, ἀλλ' ἤδη καὶ εἰς ὑπερβεβηκότας θρόνους μετατεθῆναι, οἱ τῶν ἱερῶν πυκτίδων λέγουσιν ἐπιστήμονες· ἀλλ' ἡμεῖς ἐκ τῆς ὑμῶν μεγαλειότητος τὸ περὶ τούτου βέβαιον γνωρίσαι δεόμεθα. Ἔλεγε ταῦτα τὸ πρόβλημα· καὶ ὁ Ἐζεροῦ ἐζήτει ἐπ' αὐτῷ ἀπολογίαν ἔγγραφον. Ἡ γοῦν μετριότης ἡμῶν, μετὰ τῆς ἱερᾶς αὐτῆς ἀδελφότητος τὰ περὶ τούτου κοινολογησαμένη, τοιαῦτά τινα

συνοδικῶς ἀποφαίνεται· ὡς, εἴπερ ὁ τῆς συνόδου μητροπολίτης, συναινέσει τῶν ὑπ' αὐτὸν ἐπισκόπων, δοῦναί τινι θελήσει, κατὰ τὸν τῆς ἐπιδόσεως λόγον, καὶ ἑτέραν ἐπισκοπὴν, ὑπὸ τὴν ἐπαρχίαν αὐτοῦ καὶ ταύτην τελοῦσαν, ἀπροκριματίστως τοῦτο ποιήσει· ἐπεὶ καὶ παρ' ἡμῖν τοιαῦτα διὰ τὸν τῆς φιλαδελφίας ὁσημέραι τρόπον ἐνεργεῖται· καὶ ποιήσεται ὁ ἐπίσκοπος καὶ ἐν τῇ τοιαύτῃ ἐπισκοπῇ καὶ πάσῃ τῇ ταύτης ἐνορίᾳ τὴν διεξαγωγὴν τῶν ἱεραρχικῶν ἁπάντων δικαίων, ὅσα καὶ γνήσιος ἀρχιερεὺς αὐτῆς, πάρεξ τοῦ ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύεσθαι. Εἰ δ' αὖ γε μετὰ τῆς οἰκείας συνόδου ὁ μητροπολίτης, δι' αἰτίαν ἐπαινουμένην, καὶ ἀπολογίαν εὐπρόσωπον, (ὠφέλεια δ' αὕτη ψυχῶν, καὶ κυβέρνησις ἐκκλησιαστικῆς καταστάσεως,) εὐδοκήσει ἀποθέσθαι μὲν τὸν θρόνον καὶ τὸ τῆς ἐπισκοπῆς ὄνομα, τινὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων, μεταθεῖναι δὲ τοῦτον ἐν ἑτέρᾳ ἐπισκοπῇ ὑπ' αὐτὸν δὴ τὸν μητροπολίτην τελούσῃ, ἀνενδοιάστως τοῦτο καὶ ἀκωλύτως διαπράξεται, ὡς τῆς τῶν ἀνθρώπων σωτηρίας, καὶ τῆς ἐκκλησιαστικῆς εὐκοσμίας ποθητῆς οὔσης καὶ παρὰ τῇ ἡμῶν μετριότητι, καὶ τῇ ἱερᾷ αὐτῆς ἀδελφότητι· ὅθεν καὶ δεκτὴ λογισθήσεται ἡ μετάθεσις, διὰ τὴν εἰρημένην αἰτίαν, καὶ ἕξει τὸ στέργον καὶ ἐνεργὸν, ὡς μηδὲν τὸ προσιστάμενον κεκτημένη· ἐπείπερ οἶδεν ἡ ἐγκάνονος παρατήρησις κατὰ διαφόρους καιροὺς μεταθέσεις γενομένας ἀρχιερέων, ἐπισκόπων, καὶ μητροπολιτῶν, οὐκ εἰς ἰσοστασίους θρόνους, ἀλλά γε δὴ καὶ εἰς ὑψηλοτέρους καὶ ὑπερέχοντας, διὰ καταρτισμὸν τῶν λογικῶν θρεμμάτων τῆς Ἐκκλησίας Χριστοῦ, καὶ ἐκκλησιαστικῶν πραγμάτων κυβέρνησιν. Ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων, καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μανουὴλ βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις, ἔτους ,ςψνη'. Εἶχε τὸ, Μηνὶ Ἰουλίῳ, ἐπινεμήσεως η', διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρὸς, καὶ τὴν συνήθη μολυβδίνην βοῦλαν.

Γ'. ΠΕΡΙ ΚΤΗΤΟΡΙΚΟΥ ΔΙΚΑΙΟΥ.

ΑΝΗΝΕΧΘΗ τῇ ἡμῶν μετριότητι παρὰ τοῦ ὑπὸ τὴν ἐπαρχίαν τῆς μητροπόλεως Λαρίσσης θεοφιλεστάτου ἐπισκόπου Δομοκοῦ (1) Δημητρίου, ὡς οἱ κτητορικὸν δίκαιον ἀνακαλούμενοι ἐν τῷ ὑπὸ τὴν ἐπισκοπὴν αὐτοῦ τελοῦντι ἀνέκαθεν μοναστηρίῳ τοῦ ἐν ἁγίοις μεγαλομάρτυρος Δημητρίου, τῷ Ποκοβίκῳ ἐγχωρίως ἐπονομαζομένῳ, ὀρεγόμενοι μὲν κατεξουσιάζειν τέλεον τῆς τοιαύτης μονῆς, καὶ τοῖς ἀφιερωμένοις αὐτῇ πράγμασιν ὡς οἰκείοις χρῆσθαι, τῆς δὲ παραλόγου ταύτης ὁρμῆς παρὰ τοῦ ῥηθέντος ἐπισκόπου ἀνακοπτόμενοι, καὶ μὴ ἐγχωρούμενοι τὸ τοιοῦτον ἄτοπον διαπράττεσθαι, εἰς ἄμυναν τούτου δῆθεν διεγειρόμενοι, πειρῶνται ἕτερον ἀνεγεῖραι ναὸν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ, καὶ ἀποσπάσαι ἀπὸ τοῦ ἐπισκοπικοῦ μοναστηρίου τὰ παρὰ τῶν προγόνων αὐτῶν, ἤ τινων προσγενῶν αὐτῶν φιλοχρίστων, προσκυρωθέντα αὐτῇ κτήματα, ἀφιερῶσαι δ' αὐτὰ τῷ παρ' αὐτῶν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνεγερθησομένῳ ναῷ. Ἡ γοῦν μετριότης ἡμῶν, τὸ τοιοῦτον αὐτῶν παράλογον διανόημα πρόῤῥιζον ἀποτεμεῖν βουλομένη, ὡς τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένον παντάπασι, διορίζεται διὰ τοῦ παρόντος αὐτῆς γράμματος, ἀναπόσπαστα μέχρι παντὸς μένειν παρὰ τῇ ἐπισκοπικῇ μονῇ τοῦ ἁγίου Δημητρίου τὰ προσόντα αὐτῇ ὁποιαδήτινα κτήματά τε καὶ πράγματα· καὶ παρὰ τοῦ ἐπισκόπου Δομοκοῦ(2) διεξάγεσθαι ταύτην, καὶ πνευματικῶς διϊθύνεσθαι· οὔτε γὰρ τοῖς δομήτορσιν, οὔθ' ἑτέρῳ τινὶ ἔξεστιν ἀπὸ ἐπισκοπικῆς μονῆς ἀποσπᾷν κτήματα, καὶ προσκυροῦν ταῦτα πατριαρχικῇ μονῇ, ἢ εὐκτηρίῳ ναῷ. Εἰ δέ τις βούλεται ἀνεγεῖραι μονὴν, ἢ εὐκτήριον οἶκον ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ, εἰς μὲν τούτου ἀνέγερσιν οὐ κωλυθήσεται παρά τινος· φροντισάτω δὲ πρότερον προσκυρῶσαι αὐτῷ κτήματα ἀπὸ τῶν οἰκείων· τὰ γὰρ τῇ ἐπισκοπικῇ μονῇ προσόντα κτήματα, ἀναπόσπαστα παρ' αὐτῇ, ὡς εἴρηται, ἐς τὸ διηνεκὲς ἔσονται. Καὶ ταῦτα μὲν περὶ τούτου.

(1) (2) Δομινίκου Δ. Ἀλλ' ἐπισκοπὴν Δομινίκου ὑπὸ τὴν Λαρίσσης τίς ἤκουσε;

Ἐπεὶ δὲ καὶ περὶ ἑτέρας μονῆς ἀρχῆθεν διαφερούσης τῇ τοῦ Δομοκοῦ (1) ἐπισκοπῇ, εἰς Κρομποὺς μὲν οὔσης, ἐπ' ὀνόματι δὲ τῶν ἁγίων μεγάλων μαρτύρων Θεοδώρων τιμωμένης, ἀνέφερε τῇ ἡμῶν μετριότητι ὁ αὐτὸς ἐπίσκοπος, ὡς φθάσειε καὶ ταύτην ὁ δεσπότης ἐκεῖνος κύριος Μανουὴλ ὑποθεῖναι εἰς μετόχιον τῇ ἐν τῷ θέματι τῶν Σερβίων πατριαρχικῇ μονῇ τῶν ἁγίων Θεοδώρων· οἱ δὲ μοναχοὶ τῆς τοιαύτης πατριαρχικῆς μονῆς, τοῦ ἐπισκόπου κατεξανιστάμενοι, καὶ τὴν αὐτοῦ ἀπαναινόμενοι ποίμανσιν, τὴν μὲν ἀναφορὰν αὐτοῦ ἀπὸ τοῦ ῥηθέντος ἐπισκοπικοῦ μοναστηρίου, τοῦ εἰς μετόχιον, ὡς εἴρηται, ἐκδοθέντος αὐτοῖς, τέλεον ἐξώθησαν, τὴν πατριαρχικὴν δὲ ἀντεισήγαγον· καὶ τὸ τοιοῦτον, ὡς ἀκανόνιστον πάντη, ἀπείργουσα ἡ μετριότης ἡμῶν, διορίζεται, ὡς, ἐὰν (ὡς ὁ ἐπίσκοπος ἀνήνεγκε) πρὸ τοῦ εἰς μετόχιον ὑποτεθῆναι τῇ πατριαρχικῇ μονῇ, τὸ εἰς Κρομποὺς μοναστήριον ἐπισκοπικὸν ἦν, καὶ παρὰ τοῦ κατὰ καιροὺς ἐπισκόπου Δομοκοῦ (2) διεξήγετο, ἵνα ἔχῃ καὶ αὖθις ὁ ἐπίσκοπος τὴν οἰκείαν ἀναφορὰν ἐν αὐτῷ, ὡς γνήσιος ἀρχιερεύς· ὁ γὰρ ἐκδεδωκὼς τοῦτο τοῖς μοναχοῖς εἰς μετόχιον, τὴν χρηματικὴν μόνην δεσποτείαν ἐκδοῦναι ἠδύνατο, οὐ μὴν δὲ καὶ τὴν πνευματικὴν τοῦ ἐπισκόπου ἀναφοράν, καὶ τὴν τῶν ψυχικῶν σφαλμάτων ἀνάκρισιν. Ἔσεῖται γοῦν ἡ ῥηθεῖσα τῶν ἁγίων Θεοδώρων μονή, ἡ εἰς Κρομποὺς διακειμένη, ὑπὸ τὴν ἐπισκοπικὴν ἐξουσίαν καὶ διοίκησιν· εἰ μήπως δυνηθῶσιν οἱ τῆς πατριαρχικῆς μονῆς μοναχοὶ δεῖξαι, ὡς καὶ τὸ τοιοῦτον μοναστήριον ἀνηγέρθη ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ. Εἶχε τό, Μηνὶ Ἰουλίῳ, ἐπινεμήσεως η', διὰ τῆς πατριαρχικῆς θείας χειρός, καὶ τὴν κηρίνην πρασίνην σφραγίδα.

---

(1) (2) Δομινίκου Λ.

ΑΘΑΝΑΣΙΟΥ (1).

ΝΕΑΡΑ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΥΡΙΟΥ ΑΘΑΝΑΣΙΟΥ,

Καὶ τῶν ἐν αὐτῇ γεγραμμένων ἀρχιερέων τῆς ἱερᾶς συνόδου αὐτῆς (2).

Εἰ καί τινι τῶν δικαιωθέντων ἀπὸ Χριστοῦ ἰθύνειν τὰ σκῆπτρα τῆς βασιλείας ἧς ἔλαβε τῶν ἐθνῶν πρὸς τοῦ Θεοῦ καὶ Πατρὸς κληρονομίαν ποτὲ μόνην, εἴπερ τι (3) ἄλλο τῶν ὅσα ταύτην κατακοσμεῖ, ἀσυγκρίτως ὑπερκεῖσθαι πάντων, ὀρθῶς καὶ φρονεῖν, καὶ κρίνειν, καὶ ἐγκολποῦσθαι, καὶ ἐκδικεῖν, καὶ αὔξειν (4) εἰς δύναμιν μετὰ Θεὸν (5) ἐξεγένετο τὴν εὐσέβειαν, ἐξόχως οἶμαι τοῦτο καταπλουτῆσαι (6), καὶ ταύτην μόνην ἡγεῖσθαι ἐντρύφημα (7), καὶ γαυρίαμα, καὶ δόξαν, καὶ βασιλείαν (8) τὴν

(1) Ἀθανάσιος ὁ πρῶτος, ἀνὴρ λόγιος καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας ἄκρος ζηλωτής, ἀναβαίνει εἰς τὸν οἰκουμενικὸν θρόνον τὸ ἔτος 1289, καὶ διοικήσας τὴν Ἐκκλησίαν ἔτη τέσσαρα, παραιτεῖται τοῦ θρόνου· διαδέχεται δὲ αὐτὸν Ἰωάννης ὁ ἐκ Σωζουπόλεως, οὗ παραιτηθέντος μετὰ ὀκταετίαν, προΐστη αὖθις τῆς Ἐκκλησίας ὁ Ἀθανάσιος ἀπὸ τοῦ ἔτους 1302 ἕως τοῦ ἔτους 1311. Σώζονται δὲ ἀνέκδοτα διάφορα αὐτοῦ συγγράμματα, ἐπιστολαί, αἱ δύο παραιτήσεις, καὶ ἡ παρὰ Λἰμβαχίου τὸ πρῶτον, νῦν δὲ τὸ δεύτερον ἐκδιδομένη νεαρά.

(2) Ἐπιγραφὴ τῆς νεαρᾶς, ὡς σώζεται ἐν χειρογράφῳ νομικῷ ἐκ τῆς βιβλιοθήκης τοῦ ἐν μακαρίᾳ τῇ λήξει μητροπολίτου Ἀργολίδος (πρώην Αἰγίνης καὶ Ὕδρας) Γερασίμου. (Τὰς ἐκ τοῦ Χειρ. τούτου γραφὰς σημειοῦμεν οὕτω. Χειρ. Γ.)

Ἡ ἐπιγραφὴ αὕτη εὕρηται ἐν τῷ ὑπ' ἀρ. 3, νομικῷ Χειρ. κώδικι τῆς ἐν Βιέννῃ βιβλιοθήκης οὕτω· Νεαρὰ ἐκτεθεῖσα παρὰ τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Ἀθανασίου, κατὰ μῆνα Ὀκτώβριον τῆς γ'. Ἰνδικτιῶνος τοῦ ͵ϛωιγ' ἔτους, ἔχουσα οὕτω. — Ἐν δὲ τῷ ὑπ' ἀρ. 1356 Χειρογράφῳ κώδικι τῆς ἐν Παρισίοις Αὐτοκρατορικῆς βιβλιοθήκης φύλλ. 270 οὕτω· Νεαρὰ ζήτησις τοῦ πατριάρχου κυροῦ Ἀθανασίου, καὶ τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου, πρὸς τὸν εὐσεβέστατον βασιλέα κυρὸν Ἀνδρόνικον τὸν Παλαιολόγον, περί τινων κεφαλαίων νομίμων, τύπον ἔχουσα νεαρᾶς, ἥτις καὶ ἐστέρχθη τότε παρὰ τοῦ αὐτοῦ εὐσεβεστάτου βασιλέως. — Τέλος ἐν τῇ Λἰμβαχείῳ ἐκδόσει τῆς Ἑξαβίβλου τοῦ Ἀρμενοπούλου οὕτως· Ἀθανασίου τοῦ χρηματίσαντος Κωνσταντινουπόλεως περίληψις τῆς Νεαρᾶς. — (3) Εἴπερ τε Λἰμβ. — (4) καὶ εἴξειν Λἰμβ. — (5) μετὰ Θεοῦ Χειρ. Γ. — (6) καταπλουτίσαι Χειρ. Γ. — (7) κλέος καὶ ἐντρύφημα 1351 Α. (χειρόγραφον τῆς ἐν Παρισίοις αὐτοκρατορικῆς βιβλιοθήκης). — (8) γαυρίαμα καὶ δόξης ἀδιαδόχου καὶ βασιλείου φρενὸς ἐμπόρευμα μεγαλοφυές. 1351 Α.

ἐκ Θεοῦ βασιλείαν σου· καὶ γένοιτο ταύτῃ πρὸς τοῦ παμβασιλέως ἡμῶν καὶ Θεοῦ τῶν ὅσοι ταύτης ἠξίωνται ὑπεραρθῆναι μειζόνως, δι' ἧς αὐτῇ μὲν οἰκείωσις πρὸς Θεὸν, τῇ Ἐκκλησίᾳ δὲ δόξα (1), καὶ παντὸς ἀγαθοῦ τῷ ὑπηκόῳ ἐπίδοσις, ὡς λελογίσμεθα (2) καὶ ἡμεῖς, καὶ εὐχόμεθα, καὶ ἐλπίζομεν· οἷς (3) καὶ θαῤῥοῦσα ἡ σήμερον ὧδε εὑρισκομένη πληθὺς σὺν ἡμῖν τῶν ἱερωτάτων ἀρχιερέων (4), ὁ Ἡρακλείας, φημὶ, ὁ Ἀγκύρας, ὁ Σάρδεων, ὁ Χαλκηδόνος, ὁ Πισσιδίας, ὁ Ἀπαμείας, ὁ Κρήτης, ὁ Διδυμοτείχου, ὁ Φιλιππουπόλεως, ὁ Χερσῶνος, ὁ Προικοννήσου, ὁ Κίου, ὁ Βεῤῥοίας, ὁ Ἀχεράους, ὁ Περγάμου, ὁ Βιζύης, ὁ Μεσήνης, ὁ Δέρκων, ὁ Καρπάθου, οἱ ὑποψήφιοι Δυῤῥαχίου καὶ Λωπαδίου (5), ταύτην αὐτὴν ποιούμεθα τὴν ἀναφορὰν (6), τῇ μὲν πολιτείᾳ ἀδιστάκτως ἐπωφελῆ, τῷ δὲ ζήλῳ τῆς ἀγαθῆς σου καὶ βασιλικωτάτης ψυχῆς περὶ τὰ καλὰ (7) πρεπωδεστάτην καὶ συνετὴν, καὶ εὐνομίαν τῷ ὑπηκόῳ (8), καὶ δὴ καὶ αὐτοῖς τοῖς ἀποιχομένοις ἀπονέμησιν πρόσφορον, ἐξ ὧν ἀποκείσεται πλουτισμὸς θεϊκῆς μισθαποδοσίας καὶ οὕτως ὑπερφεροῦς (9) τῇ ἐκ Θεοῦ βασιλείᾳ σου, καὶ εἰς μνημόσυνον ταύτης ὑπάρξει αἰώνιον (10). Ἔχει δὲ οὕτως.

Α'. Τοὺς μὴ ἐπὶ παιδὶ τελευτῶντας (11) ἄνδρας, ἢ γύναια (12), μὴ ἁρπαγὴν ὑπομένειν τῶν ὑπαρχόντων τὸ ἐναπολειφθὲν παντελῶς μέρος ἀβίωτον ὄντως (13), καὶ διπλῆν συμφορὰν, καθὰ καὶ ἀβιωτίκιον ἁρμοζόντως ἐκάλεσαν (14),

(1) δι' ἧς ἐγγύτης σοι πρὸς Θεὸν, καὶ οἰκείωσις, καὶ δόξα τῇ Ἐκκλησίᾳ 1351. A. — (2) ὡς ἡμεῖς λογιζόμεθα 1351· A. — (3) ἧς Αἰμϐ. — (4) τὸ 1351. A. προστίθησι· μηδὲν ἄλλο πνεόντων καὶ δι' εὐχῆς τιθεμένων, ἢ τὸ ἐπιβιῶναι πᾶσαν τὴν ποίμνην Χριστοῦ εἰρηναίως καὶ θεαρέστως ἰθυνομένην πρὸς ἅπαν λυσιτελοῦν καὶ σωτήριον· — (5) Λουπαδίου Χειρ. Γ. — (6) ἀντὶ, ταύτην — ἀναφορὰν, τὸ 1351. A. φέρει, τὰ τῇδε κρατῆσαι εἰς νεαρὰν ἀναφορὰν πεποιήμεθα. — (7) ἀντὶ, τὰ καλὰ, τὸ 1351. A. φέρει, τὰ βέλτιστα. — (8) ἀντὶ, εὐνομίαν τοῦ ὑπηκόου, τὸ 1351. A. γράφει, καὶ πρὸς τὸ εὐνομεῖν τὸ ὑπήκοον, καὶ δήπουθεν, — (9) ἀντὶ, μισθαποδοσίας — ὑπερφεροῦς, τὸ 1351. A. γράφει, μισθαποδοσίας ἐκεῖθεν πρεπωδεστάτης. — (10) ἐπαινετὸν καὶ αἰώνιον 1351. A. —(11) τελευτῆσαι φθάσαντας 1351. A. — (12) ἄνδρας τε καὶ γυναῖκας, 1351. A. — (13) οὕτως, ἀντὶ, ὄντως, Χειρ. Γ. — (14) ἀντὶ, παντελῶς — ἐκάλεσαν, τὸ 1351. A. γράφει, παντελῆ τὸ μέρος ἔχειν τῶν ὑπαρχόντων τὸ εὑρισκόμενον ζῆν συμφορὰν ἀπάνθρωπον καὶ διπλῆν καὶ πάντη ἀβίωτον, ὡς ἔστι καὶ ἁρμοζόντως κοινοπλεκτούμενον.

οὐ (1) παρὰ τῶν τὰ δημόσια διενεργούντων, οὐ (2) παρὰ (4), τῶν εἰς παροικίαν ἐχόντων αὐτοὺς, ἢ καὶ Ἐκκλησιῶν (3), ἢ καὶ μονῶν, ἀλλ' ἔχειν ἡ δεσποτεία τοῦ βίου τὸ τρίτον τὸ τρίτον ὁ ἀπελθὼν, καὶ τὸ τρίτον ὁ ζῶν (5)· εἰ δὲ οὕτως (6) ἀπέλθῃ, ἐπὶ (7) πατρὶ, ἢ μητρὶ, ἢ ἀδελφῷ, ἀνήκειν αὐτοῖς ταῦτα. (8) Εἰ δὲ μὴ ἕξει τινὰ τῶν ῥηθέντων, ὑπάγειν τότε τῇ δεσποτείᾳ τὸ ἥμισυ, καὶ μνημοσύνοις χάριν (9) ἐκείνου τὸ ἥμισυ.

Ἕτερον.

Β'. Καὶ ἵνα πάσαις ταῖς πόλεσι (10) κηρυχθῇ, ἀτιμωρήτους (11) μὴ ἐᾷν τοὺς ἁλόντας πορνείᾳ, μοιχείᾳ, αἱμομιξίᾳ, ἀῤῥενομανίᾳ, γοητείᾳ, ἢ ἄλλῳ τινὶ τῶν ὅσα εἰς χόλον Θεοῦ, καὶ βλάβην ψυχῶν ἀναίδην προβαίνοντα, ἀλλ' ἐκδικεῖσθαι νομίμως καὶ φιλανθρώπως· ἐπεὶ καὶ τῷ μακαρίῳ Παύλῳ ἠξίωται Θεοῦ διάκονος διὰ ταῦτα ὁ ἄρχων ὀνομασθῆναι, ὡς μήτε εἰκῆ φορεῖν τὴν μάχαιραν, τό,τε ἔκδικον εἰς δικαίαν ὀργὴν τοῖς τολμῶσι παρανομεῖν καὶ τὰ χείριστα διαπράττεσθαι.

Ἕτερον.

Γ'. Καὶ ἵνα προκηρυχθῇ (12), γυναῖκα μὴ ἐπιῤῥίπτειν καὶ μᾶλλον παρθένον τῷ βουλομένῳ αὐτὴν (13), ἀλλ' εἰ μὲν πάθοι

---

(1) (2) μὴ, ἀντὶ, οὐ, 1351. Α. — (3) ἐχουσῶν Ἐκκλησιῶν, 1351. Α. — (4) ἀντὶ, ἔχειν — τὸ τρίτον, τὸ 1351. Α. γράφει, τὸ τρίτον τὸν βίον ἐκείνου τῇ δεσποτείᾳ. — (5) ἀντὶ, τὸ τρίτον ὁ ἀπελθὼν — ὁ ζῶν, τὸ 1351. Α. γράφει, τῷ ἀπελθόντι καὶ τῷ ζῶντι τὸ τρίτον. — (6) ἀντὶ οὕτως, τὸ 1351. Α. καὶ οὗτος. — (7) ἄνευ τῆς ἐπὶ, Ἀἴμβ. — (8) Χειρ. Γ. — αὐτῷ Ἀἴμβ. ἀντὶ, ἀνήκειν αὐτῷ, τὸ 1351. Α. γράφει, ἐστὶ τὸ ἀπὸ νόμου κληρονομεῖν. — (9) ἀντὶ, εἰ δὲ μὴ ἕξει — χάριν, τὸ 1351. Α. γράφει, εἰδέ γε μηδεὶς τῶν ῥηθέντων προσῇ τῷ ἀποιχομένῳ, τῷ δημοσίῳ τό,τε ἥμισυ καὶ μνημοσύνοις. — (10) τὸ 1351. Α. προστίθησιν, ἡμετέραις. — (11) ἀτιμώρητον Ἀἴμβ. ἐν δὲ 1351. Α. ἀπὸ τοῦ, ἀτιμώρητον, οὕτως ἀναγινώσκεται τὸ χωρίον· μηδένα κατατολμᾷν ἀναίδην εἰς χόλον ψυχῶν διαπράττεσθαι, πορνείαν, φημὶ, καὶ μοιχείαν, ἀῤῥενομανίαν, αἱμομιξίαν, ἢ ἀδικίαν, ἢ γοητείαν, καὶ ὅσα τοιαῦτα τελεῖν, ἀλλ' ἐκδικεῖσθαι νομίμως καὶ μὴ καταφρονήσει, μὴ λήμματι, μὴ προσώπῳ τὸν κρίνειν λαχόντα τὰ τοιαῦτα ἐᾷν, ἀφιλανθρώπου μενούσης τοῦτον δίκης ἐκεῖ, ὅτι μὴ διὰ φόβου τῆς ἀπωλείας ἀνθρώπους ἀνέσπασεν, οὐδὲ Θεοῦ ἐφάνη διάκονος ἔκδικος εἰς δικαίαν ὀργὴν τοῖς πράττουσι κακὰ, φορεῖν τῇ ἀνενεργησίᾳ εἰκῆ κακῶς προκρίνας τὴν μάχαιραν, ἢ Θεοῦ χρηματίσαι διάκονος. — (12) ἀντὶ, προκηρυχθῇ, τὸ 1351. Α. γράφει, καὶ στερχθῇ. — (13) ἀντὶ, αὐτὴν τὸ 1351. Α. γράφει, ἐπ' αὐτῆς τὴν τιμήν.

βίαν (1) ἐν ἐρημίᾳ, ὡς τοῖς νόμοις δοκεῖ, ἐκδικεῖσθαι αὐτήν(2)· εἰ δὲ τὴν ταύτης τιμὴν ἀβιάστως ἐκδῷ (3), κουρᾷ καὶ πομπῇ σωφρονίζεσθαι, ὅτι μὴ τὴν νικῶσαν τῇ σωφροσύνῃ ἀπεχαρίσατο (4)· τῷ δέ γε φθορεῖ (5) μὴ τὸ ἀζήμιον ᾖ, ἀλλὰ μᾶλλον δικαίως (6) ἀποπληροῦν τῷ δημοσίῳ τὸ ἔννομον· εἰ δὲ μὴ ἔχῃ, καὶ πάλιν τὸ ἔννομον.

Ἕτερον.

Δ'. Καὶ νόμος ἀκυρωθῇ (7) ὁ διοριζόμενος, τῇ ἀπελθούσῃ ἐπὶ παιδὶ, γυναικὶ, ἢ ἀνδρὶ, εἶτα καὶ τοῦ παιδὸς ἀπελθόντος, κληροῦσθαι τῷ ζῶντι (8) τὰ τοῦ παιδὸς πάντα πατρῷα, εἰ τύχοι, ἢ μητρικὰ, καὶ (9) τοῖς ταλαιπώροις γονεῦσι τοῦ τεθνεῶτος πρὸς τῇ ἀποβολῇ τοῦ φιλτάτου καὶ περιουσίαν οὐκ ὀρθῇ διακρίσει στερίσκεσθαι (10), ἀλλὰ τηρεῖσθαι τὸ τρίτον (11) αὐτῆς (12) τῆς προικὸς εἰς μνημόσυνα τοῦ ἀποιχομένου (13), καὶ τοῖς γονεῦσι τὸ τρίτον, καὶ τῷ μνηστῆρι τὸ τρίτον, ἢ τῇ μνηστῇ (14).

Ἕτερον.

Ε'. Ἵνα καὶ ὁ φόνου ἁλοὺς τιμωρῆται ἐννόμως (15) εἰς ἑαυ-

---

(1) ἀντὶ, εἰ μὲν πάθοι βίαν, τὸ 1351. Α. γρ. εἰ βιάσεταί τις. — (2) ἀντὶ, ὡς — αὐτὴν, τὸ 1351. Α. γράφει, αὐτὴν ἐκδικεῖν, καθὰ τοῖς νόμοις δοκεῖ. — (3) ἀβίαστον ἐκδῷ Λἰμβ. — τὸ δὲ 1351. Α. γρ. εἰ δὲ ἐνδῷ ἑαυτὴν ἀβιάστως. — (4) τὰ ἀπὸ τοῦ, ὅτι μὴ, οὐ κεῖνται ἐν τῷ 1351. Α. — (5) ἀντὶ, τῷ δέ γε, τὸ 1351. Α. γρ. καὶ μηδὲ τῷ. — (6) ἀντὶ, μὴ τὸ ἀζήμιον — δικαίως, τὸ 1351. Α. γρ. τὸ, ἀζήμιον ἀλλὰ καὶ μάλα. — (7) καὶ ἵνα ἀκυρωθῇ Λἰμβ. — (8) ἀντὶ, ὁ διοριζόμενος — τῷ ζῶντι, τὸ 1351. Α. γρ. ὁ ἐπὶ παιδὶ ἀπελθούσῃ διοριζόμενος γυναικὶ ἢ ἀνδρὶ τοῦ παιδὸς ἀπελθόντος κληρονομεῖσθαι ὑπὸ τοῦ ζῶντος. — (9) Χειρ. Γ. — ὁ καὶ, οὐ κεῖται παρὰ Λἰμβ. — (10) ἀντὶ, οὐκ ὀρθῇ — στερίσκεσθαι, τὸ 1351. Α. γρ. στερίσκεσθαι ἀδικώτατα. — (11) τὸ τρίτον μὲν, 1351. Α. — (12) τὸ, αὐτῆς, οὐ κεῖται ἐν 1351. Α. — (13) τοῦ ἀποιχομένου, οὐ κεῖται ἐν 1351. Α. — (14) ἐν 1351. Α. ἀναγινώσκεται ἐνταῦθα τὸ ἑξῆς σχόλιον. Διὰ τοῦ παρόντος κεφαλαίου ἀθετεῖται ὁ νόμος ὁ λέγων, ὡς, ἐὰν ἀποθάνῃ ὁ πατὴρ, καὶ καταλείψῃ παιδίον, εἶτα τελευτήσῃ καὶ αὐτὸ, εἶναι κληρονόμον τὴν γυναῖκα πάντων τῶν τοῦ ἀνδρὸς πραγμάτων, ἢ τυχὸν τὸν ἄνδρα εἶναι κληρονόμον τῆς προικὸς, προαπελθούσης κατὰ τὸν ὅμοιον τρόπον τῆς γυναικὸς, εἶτα καὶ τοῦ παιδός. Νομοθετεῖται δὲ, ὡς, εἴπερ ποτὲ τὸ τοιοῦτον τύχοι γενέσθαι, ἵνα μερίζηται ἡ προὶξ ἐπὶ τρισὶ μέρεσι, καὶ ἡ μὲν μία μερὶς διδῶται εἰς μνημόσυνα τοῦ τελευτήσαντος, ἡ δ' ἑτέρα, τοῖς τούτου γονεῦσιν, ἡ δὲ τρίτη τῷ καταλειφθέντι μέρει ἢ τοῦ ἀνδρὸς, ἢ τῆς γυναικός. — (15) δικαίως Χειρ. Γ.

τὸν, ἀλλὰ μὴ δημεύηται παντελῶς (1), μεριζομένης κατὰ ψυχὴν καὶ τῆς περιουσίας αὐτοῦ, παρ' ἧς καὶ τῷ φονευθέντι μερίδα τηρεῖν, καὶ προσκληροῦν τοῦ φονέως τῷ δημοσίῳ· ποῦ γὰρ δίκαιον μὴ λαμβάνειν τὸν φονευθέντα μηδέν;

Ἕτερον.

ϛʹ. Πρὸς τούτοις, εἰ (2) καὶ δοκεῖ, μοναχοὶ καὶ μονάστριαι μὴ διάγειν ἀτάκτως ἐν πόλεσι, καθὰ καὶ κανόσι καὶ νόμοις περὶ τούτων τεθέσπισται (3)· εἰ δ' οὖν (4) κἂν τοὺς εἰς πάθη κειμένους, εἰ μὴ βούλονται ἀποσπασθῆναι (5), καὶ γενέσθαι τῆς μετανοίας (6), καὶ ἄκοντας ἀποκλείεσθαι πρὸς τὸ ἐστενωμένῃ ζωῇ διαζῆν, εὑρισκόμενον τοῦτο πραχθὲν καὶ παρὰ τῶν θεοφορου-

---

(1) τὰ ἀπὸ τοῦ, παντελῶς μεριζομένης, ἕως τοῦ τέλους τοῦ παρόντος κεφ. οὕτως ἀναγινώσκεται ἐν τῷ 1351. Α. παντελῶς τῶν τέκνων μὴ συνειδότων, μεριζομένης αὐτοῦ τῆς οὐσίας κατὰ ψυχὴν, ἐξ ἧς καὶ διδόσθω καὶ τῷ παθόντι τὸν φόνον μία μερὶς, μόνην δὲ τοῦ φονέως προσκληροῦσθαι τῷ δημοσίῳ· ποῖον γὰρ δίκαιον, μηδὲν λαμβάνειν τὸν φονευθέντα, καὶ μάλιστα εἰ ἐπὶ πενίᾳ, καὶ γυναικὶ, καὶ παισίν; — (2) ἤ, εἰ, οὐ κεῖται ἐν 1351. Α. — (3) ἀντὶ, καθὰ — τεθέσπισται, τὸ 1351. Α. γράφει, ἀλλ' ὡς τοῖς νόμοις καὶ τοῖς κανόσι περὶ τούτων ἐξεφωνήθη. — (4) Χειρ. Γ. — εἰ δ' οὐ Αἰμβ. — ἀλλ' ἐν ὑποσημ. φρονεῖ προτιμητέον τὸ, οὖν, ἀντὶ τοῦ, οὐ. — (5) Χειρ. Γ. — ὑποσπασθῆναι Αἰμβ. — (6) Χειρ. Γ. — τὴν μετάνοιαν, Αἰμβ. ἐν δὲ τῷ 1351. Α. τὰ ἀπὸ τοῦ, τὴν μετάνοιαν, ἕως τέλους τοῦ κεφ. τούτου, ἀναγινώσκεται οὕτω· βλέψουσιν εἰς μετάνοιαν, ἀποκλείεσθαι ἄκοντας, τρεφομένους ἄρτῳ μόνῳ καὶ ὕδατι. — Εἴπερ καὶ μέλει ἡμῖν τοῦ μὴ βλέπειν Θεὸν, καὶ συντηρεῖν τὰ ἡμέτερα τὰς ἐργασίμους τῶν ἡμερῶν, καὶ μᾶλλον τὴν ἁγίαν Κυριακὴν ἐν ἀργίᾳ διατελεῖν τοὺς πιστοὺς, σχολάζοντας θείοις ναοῖς, ἀλλὰ μὴ κώμαις καὶ μέθαις, καπηλεῖα καὶ βαλανεῖα μὴ ἀνοιγνύντας ἀπ' ἐννάτης αὐτῆς τοῦ σαββάτου, μέχρις ἐννάτης Κυριακῆς, ἀλλὰ μηδ' ἐν ἄλλῃ νυκτὶ μετὰ δύσιν ἡλίου ἐν καπηλείοις, οὐ λέγω μὴ ἐξωνεῖσθαι, ἀλλὰ μὴ εὑρίσκεσθαι τοὺς συμπίνοντας· ἀρκεῖ γὰρ ἡ τῆς ἡμέρας αὕτη κακία τοῦ πότου τοῖς οἰνοπώλαις. Εἰ δὲ καὶ γύναια φαῦλα τούτων τις φωραθῇ ἐπ' ὀλίσθῳ ἔχειν ψυχῶν, τοῦ κανόνος μὴ φρίττων τὸ ἐπιτίμιον, ὑποκείσθω δημεύσει. Ἀδεῶς γὰρ ἔργα σκότους τελεῖν τοὺς δοκοῦντας πιστοὺς, ἢ κλεπτῶν καὶ πορνῶν προφανῶς ἐργαστήρια, πῶς τὴν ἄνωθεν μῆνιν καὶ τοῖς δρῶσι καὶ σιωπῶσι μὴ ἐπισπάσονται, ὅπου γε τὸ καὶ μόνον οἶνον ὕδατι μίσγειν, ἐξελέγχειν ἴσμεν Θεὸν ἐν ὀργῇ; — Τὰ τιθέμενα πρόστιμα συμβολαίοις καὶ συμφωνίαις παραβαινόμενα ἐκδικείσθωσαν, ἵνα μὴ ὦμεν ὑπόδικοι ψευδοῦς ἐγγράφου, καὶ ἵνα καὶ τὰ συμπεφωνημένα κρατύνωνται ἀδιάλυτα. — Τὰς ταχθείσας ἱλαστηρίους ἡμέρας τῶν ἱερῶν νηστειῶν πάσας φυλάττεσθαι, καὶ μάλιστα τὴν τοῦ Πάσχα, χρεὼν, καὶ ξηροφαγεῖν, καὶ γονυκλιτεῖν, ἐπιπλέον καὶ ἐλεημοσύναις προσκεῖσθαι, κατ' ἐξαίρετον δὲ τὴν τῶν ἁγίων καὶ σωτηριωδῶν παθῶν ἑβδομάδα ἐν κατανύξει καὶ συντριβῇ διάγειν πάντα ὀρθόδοξον, ὡς μὴ καπηλείων μόνον καὶ βαλανείων ἀπέ-

μένων Πατέρων τισίν. Ὡς γὰρ διὰ τὴν εὐταξίαν τῶν πόλεων, καὶ οἴδαμεν, καὶ πιστεύομεν παντὸς ἀγαθοῦ χορηγίαν ἀπὸ Θεοῦ, οὕτω καὶ οἴδαμεν, καὶ πιστεύομεν πάλιν διὰ ἀταξίαν τὰ ἀντικείμενα. Ὃ καὶ ἀναγνωσθὲν, καὶ δέον κριθὲν τοῖς ἀρχιερεῦσι, καὶ γραφῇ ἐρυθρᾷ σημανθὲν παρὰ τῆς ἐκ (1) Θεοῦ βασιλείας σου, ὑποχρέους ἡμᾶς (2) καὶ πάντας τοὺς πιστοὺς Χριστιανοὺς κἀν τούτῳ κατέστησε διηνεκῶς καὶ ἀγρύπνως αὐτῆς ὑπερεύχεσθαι, τοῦ εὔθυμον (3) καὶ μακραίωνα καὶ νικηφόρον ζωὴν πρὸς τοῦ παμβασιλέως ἡμῶν καὶ Θεοῦ (4) ταύτην πλουτίζεσθαι κατά τε τῶν ὁρωμένων καὶ ἀοράτων ἐχθρῶν, καὶ πρὸς τῷ κράτει τῷ ἐπιγείῳ καὶ τὴν βασιλείαν τῶν οὐρανῶν (5).

χεσθαι, ἀλλὰ πάσης σωματικῆς ἀνέσεως. — Τοὺς συνιστάναι θέλοντας συνοικέσια, μὴ τῆς βουλῆς ἄνευ τοῦ ἱερέως, παρ' ᾧ καὶ ἐκκλησιάζονται· ὁ γὰρ μὴ οὕτω ποιῶν ὀφείλει τῷ δημοσίῳ ὅσον εὑρίσκεται καὶ ἡ προίξ· ὡς γὰρ διὰ τὴν τῶν πόλεων εὐταξίαν ἴσμεν παντὸς ἀγαθοῦ χορηγίαν ἀπὸ τοῦ Θεοῦ καὶ πίστεως, οὕτως διὰ τὴν ἀταξίαν τὰ ἀντικείμενα· ὅθεν δεῖ τὴν ἐν γάμῳ ζωὴν τοὺς πιστοὺς καὶ αὐτῆς προτιμᾷν τῆς ζωῆς. Τοῦτο φίλον εἰδότες Θεῷ καὶ οἱ ὀρθόδοξοι βασιλεῖς, ἐπισημήνασθαι τὰ τοιαῦτα καὶ γράμμασιν ἐρυθροῖς οὐ κατοκνῆσαι (ἴσ. κατοκνοῦσιν,) ὡς τὰ τῇδε καὶ νῦν ἡ ἐκ Θεοῦ βασιλεία σου, ὑποχρέους κἀν τούτῳ ποιοῦσα ἡμᾶς ἐπιπλέον καὶ ἀγάπης ἀφύκτοις δεσμοῦσα δεσμοῖς τοῦ αὐτῆς ὑπερεύχεσθαι, εὔθυμον πρὸς Θεοῦ δωρηθῆναι ὑγείαν αὐτῇ, μακραίωνά τε καὶ νικηφόρον ζωὴν κατά τε τῶν νοουμένων καὶ ὁρωμένων ἐχθρῶν, πρὸς δέ γε πίονι γήρᾳ σὺν τῷ κράτει τῷ ἐπιγείῳ καὶ τὴν βασιλείαν τῶν οὐρανῶν. Εἶχε καὶ ὑπογραφὴν πατριαρχικήν. Αἱμβ. ἐν ὑποσημ. — (1) Χειρ. Γ. — παρὰ τῆς τοῦ Θεοῦ, Αἱμβ — (2) Χειρ. Γ. — ἡμῶν Αἱμβ. — (3) Χειρ. Γ. — ἔνθυμον, Αἱμβ. — (4) Χειρ. Γ. — ἐκ Θεοῦ, Αἱμβ. — (5) ἐν περισελίδῳ τοῦ 1351. Α. προστέθειται ἄλλῃ χειρί· Ἀλεξίου β', καὶ μετὰ ταῦτα τὰ ἑξῆς· Ἐτελειώθη μηνὶ Μαΐῳ, Ἰνδ. δ', ἔτους ,ϛωιδ'. Ἐν δὲ τῷ Χειρ. Βιέννης 3 τὰ ἑξῆς· Εἶχε καὶ τὸ, μηνὶ Ὀκτωβρίῳ Ἰνδ. γ'. διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρός.

ΦΙΛΟΘΕΟΥ (1).

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΚΥΡΙΟΥ ΦΙΛΟΘΕΟΥ,

Ἀνατροπὴ τῶν ἀναγεγραμμένων παρὰ τῷ Ἁρμενοπούλῳ ἀναθεματισμῶν.

Ἐπι τῆς βασιλείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, τόμος ἐξεφωνήθη, συμπράξαντος καὶ τοῦ τότε πατριάρχου Ἀλεξίου, καὶ τῆς συνόδου, ἀναθεματίζων τοὺς ἐπιχειροῦντας ἀποστασίαν ἢ τυραννίδα κατὰ βασιλέων ποιῆσαι, ὡς ἐντεῦθεν τοὺς ὑπηκόους τῶν οἰκείων δεσποτῶν παρασκευάζοντας ἐπανίςασθαι· ἔχει δὲ οὕτως· Τοῖς μέλλουσιν ἐπιβουλαῖς ἢ μούλτοις ἀπό γε τοῦ νῦν ἐπιχειρεῖν, ἀνάθεμα. Τοῖς συμπράττουσιν αὐτοῖς, καὶ τοῖς συγκοινωνοῦσιν ἐν τῇ ἀποστασίᾳ, ἀνάθεμα. Τοῖς συμβουλεύουσι, καὶ τοῖς παρορμῶσιν εἰς τὰ τοιαῦτα, ἀνάθεμα. Τοῖς συνεκστρατεύουσι τούτοις, ἀνάθεμα. Τοῖς δεχομένοις αὐτοὺς εἰς μετάνοιαν μὴ μεταμελομένους ἀπὸ τῆς ἀποστασίας καὶ καταλιμπάνοντας αὐτήν, ἀνάθεμα.

Ὅμοιος ἐπὶ τῆς βασιλείας Μανουὴλ τοῦ Κομνηνοῦ, ὃς μετὰ τῶν ἐν τέλει καὶ τοῦ τηνικαῦτα πατριάρχου καὶ τῆς ὑπ' αὐτὸν συνόδου ἐγένετο, ἀναθεματίζων τοὺς ἐπιβουλὴν ἢ ἐπανάστασιν κατὰ τοῦ υἱοῦ αὐτοῦ Ἀλεξίου βουληθέντας ἐπιχειρῆσαι, καὶ τοὺς αὐτοῖς συναιρομένους.

(1) Φιλόθεος ὁ ἀπὸ Ἡρακλείας ἐκλέγεται πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1362· παραιτηθέντα δὲ κατὰ τὸ ἔτος 1305 διαδέχεται αὐτὸν Κάλλιστος ὁ Α΄. τὸ δεύτερον. Μετὰ τὸν θάνατον δ' αὐτοῦ ἀναβαίνει πάλιν εἰς τὸν οἰκουμενικὸν θρόνον ὁ αὐτὸς Φιλόθεος, ὅστις διοικήσας τὴν Ἐκκλησίαν ἔτη ἕξ, παραιτεῖται κατὰ τὸ ἔτος 1375. Σώζονται πλεῖσται αὐτοῦ πραγματεῖαι ἀνέκδοτοι, μαρτυροῦσαι περὶ τῆς βαθείας τοῦ ἀνδρὸς παιδείας. Τὴν ἐνταῦθα ἐκδιδομένην ἀνατροπὴν τῶν ἀναθεματισμῶν ἐξέδοτο πρῶτος ὁ Λεῦγκλαΐος, εἶτα δὲ ὁ Ἀϊμβάχιος, ὡς ἐπίμετρον τῆς Ἑξαβίβλου τοῦ Ἁρμενοπούλου, ἔνθα προτάσσεται καὶ τὸ παρὰ Λευγκλαυΐῳ μὴ εὑρισκόμενον ἱστορικὸν τῶν τριῶν ἀναθεματισμῶν προοίμιον. Τὸ δὲ κατωτέρω Σιγίλλιον περὶ τοῦ ἐπισκόπου Ἱερισσοῦ, ἐξέδοτο πρὸ ἡμῶν ὁ Κ. Φ. Μικλοσίχιος ἐν τῇ Σλαβικῇ αὐτοῦ βιβλιοθήκῃ, ἐν Βιέννῃ.

Ἕτερον παραπλήσιον ὁ βασιλεὺς Μιχαὴλ ὁ Παλαιολόγος πρόβαίνειν παρεσκεύασεν ἐπὶ τῷ υἱῷ αὐτοῦ Ἀνδρονίκῳ, τῷ εὐσεβεῖ βασιλεῖ· ἔνθα δὴ παρῆσαν, ὡς εἰκὸς, οἱ ἐν τέλει καὶ ὁ πατριάρχης Ἰωσὴφ, ὅστις ὑπὲρ τῆς ἀληθοῦς εὐσεβείας τὸν τῆς ὁμολογίας ἀνεδήσατο στέφανον, ἔτι δὲ καὶ ἡ ὑπ' αὐτὸν ἱερὰ σύνοδος, οἳ καὶ ἀναθέματι ὑπέβαλον καὶ ἀραῖς φρικωδεστάταις τοὺς ἐπιβουλὴν ἢ ἐπανάστασιν μέλλοντας σκαιωρήσειν εἰς τὸ ἐξῶσαι τῆς βασιλείας τὸν τῆς εὐσεβείας στύλον, τὸν βασιλέα θεῖον Ἀνδρόνικον.

—

Ο ΠΕΡΙ τὰ τοιαῦτα σοφὸς, σεβαστὲ νομοφύλαξ καὶ καθολικὲ κριτὰ Ἀρμενόπουλε, πῶς οὐ κἀκεῖνο τοῖς γεγραμμένοις προσέθηκας, ὅτι διὰ τοὺς χρυσοὺς καὶ ἁγίους νόμους τοῦ μεγάλου τῆς Ἐκκλησίας φωστῆρος Ἰωάννου, τοῦ τὴν γλῶτταν χρυσοῦ, περὶ τοῦ μὴ δεῖν Χριστιανοὺς ἀναθεματίζεσθαι, ἕως ἂν δηλονότι τῆς ὀρθῆς ἔχωνται περὶ Θεοῦ δόξης, ἠπράκτησαν οἱ τόμοι, οἱ τοὺς ἀποστατοῦντας καὶ ἐπανισταμένους τοῖς βασιλεῦσιν ἀναθεματίζοντες; Τοῦτο γάρ φησιν ὁ σοφὸς νομοφύλαξ καὶ τῶν ὁμοίων σοι σπουδαστὴς Βαλσαμὼν, ὁ ἐν νόμοις τε καὶ κανόσι μάλιστα πολυμαθέστατος καὶ σοφώτατος, ὁ καὶ πατριάρχης Ἀντιοχείας τῆς μεγάλης ἀναδειχθεὶς ὕστερον, ὅπερ οὐδέ σε διαλανθάνειν εἴποιμι ἂν ἔγωγέ ποτε, σοφόν τε ὄντα καὶ σπουδαῖον τὰ τοιαῦτα, εἴπερ τινά· ἢ γοῦν κἀκεῖνα προσγράψαι σε τοῖς ῥηθεῖσιν ἐκείνοις περὶ τῶν τόμων ἐχρῆν, ἢ μηδὲ ταῦτα τοῖς καλλίστοις σου καὶ σπουδαίοις ἐντάξαι συγγράμμασιν. Ἀλλ' ἐγὼ τὸ ἐλλεῖπον τῷ τοῦ φίλου συγγράμματι προσαναπληρῶ ἤδη· καὶ οἶμαι, ὡς οὐ φορτικὸς, ἀλλ' οὐδὲ περιττός τις δόξω, τἀναγκαῖα καὶ δίκαια κατὰ πᾶσαν ἀνάγκην ποιῶν.

Ὁ τοίνυν προῤῥηθεὶς πατριάρχης Ἀντιοχείας, ὁ σοφὸς Βαλσαμὼν, τοὺς ἱεροὺς ἐξηγούμενος κανόνας, τάδε φησὶν ἐν τῷ προοιμίῳ τῆς ἐξηγήσεως τῶν κανόνων τῆς ἐν Γάγγρᾳ συνόδου.

Ἡ μὲν παροῦσα σύνοδος, προφάσει τῶν γενομένων παρὰ τοῦ Εὐσταθίου κακῶν, ὑπεναντίως τοῖς δογματισθεῖσιν ὀρθῶς παρὰ τῆς καθολικῆς Ἐκκλησίας, ἀναθεματίζεσθαι τοὺς ὁμόφρονας ἐκείνῳ διορίζεται.

Καὶ μετά τινα.

Ὁ δὲ χρυσοῦς τὴν γλῶτταν καὶ τῆς οἰκουμένης διδάσκαλος, παρακελευόμενος μὴ ἀναθεματίζεσθαι ἄνθρωπον πιστὸν, φησὶ ταῦτα ῥητῶς· » Τί οὖν ἐστι τοῦτο, ὃ λέγεις, τὸ ἀνάθεμα, ἀλλ' » ὅτι ἀνατιθέσθω οὗτος τῷ διαβόλῳ, καὶ μηκέτι σωτηρίας χώ- » ραν ἐχέτω, γενέσθω ἀλλότριος τοῦ Χριστοῦ; Καὶ τίς εἶ σύ; » Ταῦτα τῆς ἐξουσίας καὶ τῆς μεγάλης δυνάμεως. Τότε γὰρ » καθήσει ὁ βασιλεὺς, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ » δὲ ἐρίφια ἐξ εὐωνύμων. Τί οὖν τῆς τοσαύτης ἐπελάβου ἀξίας; Καὶ μετ' ὀλίγα φησὶν ὁ αὐτὸς Χρυσόστομος· » Τοιγαροῦν ὁ » Ἀπόστολος ἐν δυσὶ μόνοις τόποις ἐξ ἀνάγκης τὴν φωνὴν ταύ- » την φαίνεται εἰπών· οὐχ ὁριστικῷ δὲ τρόπῳ ταύτην προή- » γαγεν, ἐν μὲν τῇ πρὸς Κορινθίους εἰπών· Εἴ τις οὐ φιλεῖ τὸν » Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν, ἤτω ἀνάθεμα(1)· καὶ, Εἴ τις ὑμᾶς » εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω (2). Τί οὖν; ἃ » μηδεὶς τῶν εἰληφότων ἐξουσίαν πεποίηκεν, εἰ μὴ μόνος ὃς » ἔλαβε, σὺ τολμᾷς ταῦτα ποιεῖν ἐναντίως τῷ δεσποτικῷ » παραγγέλματι, καὶ προλαμβάνεις τὴν κρίσιν τοῦ βασιλέως; » Τὸ ἀνάθεμα τοῦτο τοῦ Χριστοῦ ἀποκόπτει. Δίδαξον ἐν πρᾳό- » τητι, καὶ τὰ ἑξῆς ».

Καὶ ταῦτα μὲν τὰ τοῦ Χρυσοστόμου Πατρός. Ὁ δὲ Βαλσαμὼν ἐπιφέρει· Διὰ τοῦτο, ὡς ἔοικεν, ἀπρακτεῖ καὶ ὁ γεγονὼς συνοδικὸς τόμος ἐπὶ τῆς βασιλείας τοῦ Πορφυρογεννήτου κυροῦ Κωνσταντίνου, καὶ τοῦ πατριάρχου κυροῦ Ἀλεξίου, χάριν τοῦ ἀναθεματίζεσθαι τοὺς ἀποστάτας, καὶ μουλταρίους, καὶ κατὰ τῶν βασιλέων ὅπλα ἐγείροντας, καὶ τυραννίδα μελετῶντας. Εἰ δὲ τὰ παρὰ τοῦ μεγάλου Πατρὸς καὶ διδασκάλου ἡμῶν τοῦ Χρυσοστόμου γραφέντα ὑπερτερεῖν ὀφείλουσι καὶ τῶν διορισθέντων παρὰ τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τῆς ἐν Γάγγρᾳ, ἐροῦσι πάντως οἱ τὰ τοιαῦτα διευθετεῖν ἐξουσίαν ἔχοντες.

Καὶ ταῦτα μὲν ὁ πατριάρχης Βαλσαμὼν(3). Δείκνυσι γοῦν ἐκ τῶν εἰρημένων, προηγουμένως μὲν ἐξ ἐκείνου, μᾶλλον δὲ καὶ πρὸ τῶν ἑαυτοῦ ἡμερῶν ἄπρακτον τὸν προῤῥηθέντα ἐπὶ τοῦ Πορφυ-

(1) α'. Κορ. ΙϚ', 22. — (2) Γαλ. Α', 9. — (3) Ζήτει τὸ χωρίον τοῦτο τῆς ἑρμηνείας τοῦ Βαλσαμῶνος Τόμ. 3 τοῦ παρόντος Συντάγματος σελ. 97—98.

ρογεννήτου, καὶ τοῦ πατριάρχου κυροῦ Ἀλεξίου τόμον· ἠπράκτησε γάρ, φησιν. Ἐκείνου δὲ, καθάπερ τινὸς ἐρείσματος, ἢ θεμελίου, ὑποσπασθέντος, καὶ οἱ μετ' ἐκεῖνον γεγονότες δύο, ὅ,τε ἐπὶ τοῦ Κομνηνοῦ, φημὶ, κυροῦ Μανουὴλ, καὶ ὁ ἐπὶ τοῦ Παλαιολόγου, συγκαταπίπτουσιν ἐξ ἀνάγκης. Ἔπειτα, σὺν τούτῳ δείκνυσιν, ὅτι οὐδὲ οἱ ἀναθεματισμοὶ τῶν συνόδων ἐκείνων ἔχουσι τὸ ἀσφαλὲς, εἰ καὶ ἐπὶ μεγάλοις καὶ ἀναγκαίοις τισὶν ἐγένοντο πράγμασιν, εἴπερ τῷ κοινῷ Πατρὶ Χρυσοςόμῳ, καὶ τοῖς ἄλλοις ἁγίοις διδασκάλοις πείθεσθαι δεῖ, τὰ αὐτὰ καὶ φρονοῦσιν ἐκείνῳ, καὶ διδάσκουσι, καὶ τῇ τοῦ Χριστοῦ μεγίστῃ φιλανθρωπίᾳ μᾶλλον συνηγοροῦσιν. Ἀλλὰ περὶ μὲν τῶν τοιούτων, οἱ μὲν ταῦτα, οἱ δ' ἀλλοῖα τυχὸν ἐροῦσι, ταῖς συνόδοις ἐκείναις συνιστάμενοι. Ἐγὼ δ' ἐκείνων ἀφέμενος, (οὐδὲ γὰρ ἐρίζειν ἐπὶ τοῦ παρόντος βούλομαι) ἐκεῖνό φημι, ὅτι τέως λαμπρῶς καὶ ἀναμφιβόλως ἀπεδείχθη ἐκ περιουσίας, ὅτι ὁ πρῶτος ἐκεῖνος τόμος, ὡς μὴ συνᾴδων τῷ σκοπῷ τῆς Ἐκκλησίας, καὶ μάλιστα τῷ κοινῷ διδασκάλῳ, τῷ Χρυσοστόμῳ, φημὶ, ἀργὸς καὶ ἄπρακτος μεμένηκε, κατὰ τὸν σοφὸν Βαλσαμών· ὅπερ καὶ ἡμῖν ὁ σκοπὸς ἦν δεῖξαι· ἐκείνου δ' ἀπρακτοῦντος, καὶ οἱ μετ' ἐκεῖνον ἐξ ἀνάγκης ὡσαύτως τὸ ἀνενέργητον καὶ ἄπρακτον ἔχουσι, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν.

Β'. ΣΙΓΙΛΛΙΟΝ ΤΩι ΙΕΡΙΣΣΟΥ

διὰ (1) τῶν ἐν τῷ Ἁγίῳ Ὄρει δικαίων αὐτοῦ.

Φιλόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Μηνὶ Ἀπριλλίῳ τρίτῃ, Ἰνδικτιῶνος ἕκτης, προκαθημένης τῆς ἡμῶν μετριότητος ἐν τοῖς κελλίοις αὐτῆς τοῖς ἐν τοῖς δεξιοῖς κατηχουμενείοις τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, συνεδριαζόντων αὐτῇ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας, τοῦ Κυζίκου διὰ γνώμης πρὸς τὴν ἡμῶν μετριότητα, τοῦ Χαλκηδόνος, τοῦ Βιζύης, καὶ τοῦ Βρύσεως, διεκομίσθησαν ἀναφοραὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους ἔγγραφοι διαλαμβάνουσαι, ὅπως εὑρίσκει πειρασμοὺς καὶ ὀχλήσεις παρὰ τοῦ ὁσιωτάτου Πρώτου τῶν ἐν τῷ Ἁγίῳ Ὄρει σεβασμίων μονῶν, βουλομένου κρατεῖν τινα τῶν ἀρχιερατικῶν αὐτοῦ δικαίων· βούλεται γάρ, φησίν, εἰς τὸ Ἅγιον Ὄρος εἰσάγειν τοὺς παρὰ τῶν Σέρβων χειροτονουμένους, ἀφήρπασέ τε τὸ ἐν ταῖς Καρέαις αὐτοῦ κάθισμα, καὶ οὔτε πνευματικὴν ῥάβδον ἀφίησιν αὐτὸν κρατεῖν ἐν αὐταῖς, οὔτε ἱερουργεῖν, οὔτε πρότερον μνημονεύεσθαι τὸν ἐπίσκοπον, εἶτα τὸν Πρῶτον, ἀλλὰ τοὐναντίον μᾶλλον· ἀλλὰ μηδὲ εἰσέρχεσθαι ὅλως εἰς τὸ Ἅγιον Ὄρος ἄνευ τῆς ἐκείνου προτροπῆς καὶ ἐνδόσεως, μηδὲ χειροτονίας ποιεῖν. Ταῦτα πάντα ἐγγράφως ἀνενεγκὼν ὁ θεοφιλέστατος ἐπίσκοπος Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους, ἐδεήθη τῆς ἡμῶν μετριότητος εὑρεῖν παρ' αὐτῆς βοήθειαν, ὥστε διορθωθῆναι ταῦτα, καὶ ἔχειν αὐτὸν τὰ δίκαια αὐτοῦ. Ἡ γοῦν μετριότης ἡμῶν διασκεψαμένη τὰ περὶ τούτων τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, διέγνω καὶ ἀπεφήνατο, ὡς ἂν κατὰ τὴν διαταγὴν τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Χαλκηδόνι συνόδου, διαγορευούσης οὑτωσὶ κατὰ ῥῆμα ἐν ὀγδόῳ αὐτῆς κανόνι, «Οἱ κληρικοὶ τῶν πτωχείων, καὶ μοναστηρίων, ὑπὸ τὴν ἐξου-

(1) Ἴσ. περί.

»σίαν τῶν ἐν ἑκάστῃ πόλει ἐπισκόπων κατὰ τὴν τῶν ἁγίων »Πατέρων παράδοσιν διαμενέτωσαν, καὶ μὴ κατὰ αὐθάδειαν »ἀφηνιάτωσαν τοῦ ἐπισκόπου· οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν »τοιαύτην διατύπωσιν, εἰ μὲν εἶεν κληρικοί, τοῖς τῶν κανόνων »ὑποκείσθωσαν ἐπιτιμίοις, εἰ δὲ μονάζοντες, ἢ λαϊκοί, ἔστωσαν »ἀκοινώνητοι·» ἔχῃ καὶ ὁ δηλωθεὶς θεοφιλέστατος ἐπίσκοπος ἐν τῷ Ἁγίῳ Ὄρει παντὶ πάντα τὰ ἀρχιερατικὰ αὐτοῦ δίκαια, ὅσαπερ ἔχουσιν οἱ ἀρχιερεῖς πάντες ἐν ταῖς αὐτῶν Ἐκκλησίαις, καὶ διενεργῇ ταῦτα ἀκωλύτως, μὴ εὑρίσκων παρά τινος ἐμποδισμὸν τῶν ἐν τῷ Ἁγίῳ Ὄρει, μήτε ἀνάκρισιν, ἀλλὰ πράττῃ ταῦτα πάντα ὡς γνήσιος ἀρχιερεὺς τοῦ Ἁγίου Ὄρους κατὰ τὴν τῶν ἱερῶν κανόνων διατύπωσιν, καὶ καθὼς οἶδεν ἡ μετριότης ἡμῶν οὕτως ἐκεῖ τὰ τοιαῦτα γινόμενα, ἐπὶ πολὺν χρόνον ἐκεῖ διατρίψασα καὶ καλῶς γινώσκουσα ταῦτα· ἔνθεντοι καὶ συνοδικῶς παρακελεύεται, ἀκωλύτως εἰσέρχεσθαι τοῦτον εἰς τὸ Ἅγιον Ὄρος, ὁπότε βούλεται, ὡς ἰδίαν ἐπισκοπήν, καὶ ἱερουργεῖν ἐν αὐτῷ, ὅπου καὶ ὅτε βούλεται, κρατεῖν τε τὴν ποιμαντικὴν ῥάβδον, ὥσπερ ἐν παντὶ τούτῳ, οὕτω καὶ ἐν ταῖς Καρέαις, καὶ μνημονεύεσθαι πρῶτον αὐτόν, ἔπειτα τὸν Πρῶτον, ἔχειν τε καὶ τὸ ἐν ταῖς Καρέαις αὐτοῦ κάθισμα, εἴπερ εἶχε τοῦτο ἀνέκαθεν πᾶς ἀρχιερεὺς τοῦ Ἁγίου Ὄρους. Τὰς μέντοι χειροτονίας γίνεσθαι, καθώς ἐστι σύνηθες· ἐκλέγεσθαι μὲν τοὺς χειροτονουμένους ἐν ταῖς μεγάλαις μοναῖς παρά τε τῶν καθηγουμένων αὐτῶν, καὶ τῶν λοιπῶν ἱερέων, καὶ δοκιμάζεσθαι παρ' αὐτῶν, καὶ μαρτυρεῖσθαι, καὶ οὕτω χειροτονεῖσθαι παρὰ τοῦ ἐπισκόπου· τοὺς δὲ ἐν τοῖς ἔξω καθίσμασι καὶ τοῖς κελλίοις χειροτονεῖσθαι καὶ αὐτοὺς παρ' αὐτοῦ μετὰ καὶ εἰδήσεως τοῦ Πρώτου, καὶ ἁπλῶς πᾶσαν ἀρχιερατικὴν πρᾶξιν καὶ αὐτὸν διενεργεῖν ἀκωλύτως ἐν τῷ Ἁγίῳ Ὄρει παντί, καὶ μὴ ἀνακρίνεσθαι μήτε παρὰ τοῦ Πρώτου, μήτε παρ' ἄλλου τινός.

Περὶ μέντοι τῶν χειροτονουμένων παρὰ τῶν Σέρβων, παρακελεύεται ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος σιγιλλιώδους γράμματος, μὴ δέχεσθαι αὐτούς τινὰ τῶν Ἁγιορειτῶν κατὰ τὸ παρόν, ἕως ἂν οἱ παρ' ἡμῶν πρέσβεις ἀποσταλέντες ἐκεῖ ὑποστρέψωσιν, ἵνα γνῶμεν, εἴπερ ἡνώθησαν καὶ ὑπείκουσι τῇ

καθ' ἡμᾶς ἁγιωτάτη τοῦ Θεοῦ μεγάλη Ἐκκλησίᾳ, καὶ τότε γένηται τὸ δέον· ὀφείλουσιν οὖν ταῦτα πάντα γίνεσθαι κατὰ τὴν παροῦσαν παρακέλευσιν τῆς ἡμῶν μετριότητος. Ὥστε δὲ μηδένα εὑρίσκειν αὐτὸν ἐμποδισμὸν, ἢ ἀνάκρισιν, ἀλλὰ πάντα ποιεῖν ἀκωλύτως, καὶ βάρος ἐπιτιμίου ἀφορισμοῦ ἐκφωνεῖ αὕτη κατὰ τοῦ βουληθησομένου διενοχλῆσαι αὐτῷ τὸ σύνολον ἐπί τινι τῶν ἀνηκόντων αὐτῷ δικαίων. Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος κατὰ μῆνα Ἀπρίλλιον τῆς ἐνισταμένης ἕκτης Ἰνδικτιῶνος τοῦ ͵ϛωϛϛ'. ἔτους.

Ἡ μετριότης ἡμῶν, καθὼς εἴρηται, πολὺν χρόνον ἐν τῷ Ἁγίῳ Ὄρει διατρίψασα, καθὼς καὶ οἱ περιόντες ἔτι τῶν Ἁγιορειτῶν γινώσκουσιν, οἶδεν ἀκριβῶς τὴν ἐκεῖ τάξιν, καὶ ὅτι τότε τινὲς τῶν δυνατῶν ἐπεχείρησαν καταλῦσαι τὰ τοῦ ἐπισκόπου δίκαια, καὶ οὐκ ἴσχυσαν οὐδ' ὅλως· διὰ τοῦτο καὶ οὐδὲ νῦν ἐστι δυνατὸν τοῦτο γενέσθαι, ἀλλ' εἰς τὸ διηνεκὲς ἡ τοιαύτη πρᾶξις ἀπαρασάλευτος τηρηθήσεται. Περὶ δὲ τῆς τῶν Σέρβων χειροτονίας, οὐ νῦν ἡμεῖς λέγομεν μὴ δεχθῆναι ταύτην παρὰ τῶν Ἁγιορειτῶν, ἀλλ' ἀφ' οὗ ἐχωρίσθησαν τῆς ἡμῶν κοινωνίας, καὶ ἐκράτησαν τὰς Ἐκκλησίας τὰς ἀνηκούσας ἡμῖν, καὶ ὑπὸ τὴν καθ' ἡμᾶς μεγάλην καὶ καθολικὴν Ἐκκλησίαν τελούσας, ἐξ ἐκείνου οὐ δέχονται τούτους οὔτε ἐνταῦθα οὔτε ἀλλαχοῦ· ἐπεὶ δὲ ἐζήτησαν νῦν ἑνωθῆναι, καὶ ἀπεστείλαμεν καὶ πρέσβεις διὰ τὴν ἕνωσιν, διὰ τοῦτο εἴρηκεν ἡ μετριότης ἡμῶν, μήπω δέχεσθαί τινα τούτους, ἕως ἂν ὑποστρεψάντων τῶν πρέσβεων γνωρίσωμεν, τί μέλλει γενήσεσθαι, καθὼς γίνεται καὶ ἐνταῦθα παρὰ τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ, καὶ παρὰ πᾶσι τοῖς ἄλλοις τοῖς ὑπ' αὐτὴν τελοῦσι. Τοῦτο γοῦν γινέσθω καὶ παρὰ τῶν κατοικούντων ἐν τῷ Ἁγίῳ Ὄρει.

Εἶχε δὲ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ, Φιλόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

*ΗΣΑΙΟΥ (1).

ΠΕΡΙ ΧΡΗΜΑΤΙΚΩΝ ΣΥΝΕΙΣΦΟΡΩΝ

Τῶν μητροπόλεων ὑπὲρ τῆς Μεγάλης Ἐκκλησίας.

ΩΣΠΕΡ ἄρα πατράσιν ὀφειλή τίς ἐστιν ἀπαραίτητος τοὺς ἐξ αὐτῶν γεγονότας στέργειν ὅτι μάλιστα, καὶ συναίρεσθαι τούτοις πάντα τρόπον, καὶ βοηθεῖν, ὁπόταν τινὸς αὐτοὺς ἐν χρείᾳ καταστάντας ἴδωσι, τοῖς φυσικοῖς δεσμοῖς τυραννούμενοι, οὕτω δὴ καὶ τοὺς ἐκγόνους περὶ τοὺς γεγεννηκότας τὴν ἴσην γνώμην τηρεῖν δίκαιον, κήδεσθαι δηλονότι, καὶ προμηθῶς διακεῖσθαι, καὶ σπουδάζειν ὑπὲρ αὐτῶν, ὀφειλόμενον ὂν τούτοις ἐξ ἀντιστρόφου χάριτας ἐκτιννύναι τῆς ἐς τὸν βίον ἕνεκα προόδου καὶ παροχῆς, πράγματος ἀξιολογωτάτου καὶ μηδενὶ τῶν ἁπάντων εἰς σύγκρισιν ἥκοντος, οὐ μὴν, ἀλλ' εἰ πρὸς τῷ μεγίστῳ τούτῳ καλῷ τῇ εἰς τόδε τὸ φῶς προόδῳ, καὶ πατρικῆς ἑτέρας κηδεμονίας ἐπιτυχεῖς ὤφθησαν, καὶ ἀρκούντως ἀπώναντο τῆς ἐκ τούτων ὠφελείας, καὶ χάριτος, καὶ τιμῆς, πῶς οὐ τῶν εἰκότων τε καὶ δικαιοτάτων τούσδε προθυμεῖσθαι πάσῃ δυνάμει τοὺς γονέας ἀμοίβεσθαι, καὶ ταῖς ἀπορίαις ἀμύνειν, καὶ χρησίμους ἐς ἀεὶ δείκνυσθαι; Εἰ δ' ἐπὶ τοῖς κατὰ σάρκα πατράσι νόμον τοῦτον δίκαιον κεῖσθαι κατὰ παντὸς τοῦ χρόνου πᾶς τις ἂν εἴποι, πῶς οὐκ ἂν ἐπὶ πνευματικῶν, καὶ τῶν εἰς τὴν εὐσέβειαν ἀρχηγῶν τε καὶ ὁδηγῶν, καὶ τῆς ὅλης, ὡς ἔπος εἰπεῖν, ἐπὶ τὸ κρεῖττον καὶ εὔσχημον καταστάσεως ἐπιμελουμένων,

---

(1) Ἠσαΐας ὁ μοναχὸς ἐξελέχθη πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1323· διοικήσας δὲ τὴν Ἐκκλησίαν ἐπὶ τῶν βασιλέων Ἀνδρονίκου τοῦ γέροντος, καὶ Ἀνδρονίκου τοῦ νεωτέρου, ὀκτὼ ἔτη, ἐτελεύτησε τὸ ἔτος 1331. — Τὸ ἀνωτέρω σημείωμα αὐτοῦ ἐρανιζόμεθα ἐκ τῆς τοῦ Ἰωσὴφ Μυλλέρου διατριβῆς, τῆς καταχωρισθείσης ἐν τοῖς πρακτικοῖς τοῦ φιλοσοφικοῦ τε καὶ ἱστορικοῦ τμήματος τῆς ἐν Βιέννῃ Ἀκαδημίας τῶν ἐπιστημῶν κατὰ τὸν Ἰούλιον τοῦ 1851 ἔτους. Ἡ διατριβὴ αὕτη, ἐκδοθεῖσα ἐν Βιέννῃ καὶ ἐν ἰδιαιτέρῳ φυλλαδίῳ, ἐπιγράφεται Urkundliche Beitræge zur Geschichte des sinkenden Romæerreiches. Τὸ σημείωμα τοῦτο, περιελθὸν ἡμῖν μετὰ τὴν τύπωσιν τῶν πράξεων τοῦ Φιλοθέου, δημοσιεύομεν μετ' αὐτάς, καίτοι προγενέστερον πατριαρχεύσαντος τοῦ Ἠσαΐου.

προσήκουσα εἴη ἥδε ἡ ὀφειλή; καὶ γὰρ τῶν ἀλογωτάτων δοκεῖ, εἴ τις παρὰ τοῦ τὰ πλεῖστα καὶ μέγιστα τῶν τιμιωτάτων λαβὼν, ἔπειτα οὐχὶ μικρόν τι μέρος ἀπομερίσασθαι προθυμοῖτο τῷ πάντα παρασχομένῳ.

Τῷ λόγῳ τῷδε σκοπὸς, ὅτι δὴ ἡ ἁγιωτάτη μεγάλη τοῦ Θεοῦ Ἐκκλησία ἦν μὲν πρόσθεν εὐθηνοῦσα, καὶ πραγμάτων ἱκανῶς εὐποροῦσα, ὥστε καὶ ἑτέροις ἐπαρκεῖν ἔχειν ἐνδεῶς ἔχουσιν· ἐπεὶ δὲ ἡ τῶν πραγμάτων σύγχυσις καὶ ἀνωμαλία, καὶ ἡ τοῦ πάντα φέροντος χρόνου ἀλλοίωσις καὶ μεταβολὴ, καὶ τὰς προσόδους αὐτῆς ἐν στενῷ καταντῆσαι πεποίηκεν, οὐχ ὅπως ἑτέροις, ἀλλ᾽ οὐδ᾽ ἑαυτῇ, οὐδέ γε τοῖς τῷ κλήρῳ ταύτης κατειλεγμένοις δύναται βοηθεῖν· ταύτῃ τοι καὶ οὐ δίκαιον ἐκρίναμεν οἱ τὸν τῆς ἱερᾶς συνόδου σύλλογον συμπληροῦντες, οὕτω ταύτην ἔχουσαν παριδεῖν· ἀλλὰ κοινῇ πάντες διασκεψάμενοι, δεῖν ἔγνωμεν καὶ ἐψηφισάμεθα, ὡς υἱοὶ γνήσιοι ὑπὲρ ταύτης διαναστῆναι, καὶ συνεισενεγκεῖν τὸν δυνατὸν τρόπον αὐτῇ, ἅτε δὴ μητρὶ τῶν Ἐκκλησιῶν, τὰς τῶν μητροπόλεων καὶ τῶν ἀρχιεπισκοπῶν εὐπορούσας, καὶ δυναμένας, ἐκ τῶν ἐνόντων ἑκάστῃ, καὶ τῆς ὀφειλομένης καὶ προσηκούσης προμηθείας αὐτὴν ἀξιῶσαι· ἐπεὶ ταύτης καλῶς διακειμένης, καὶ μετ᾽ εὐπόρου τοῦ σχήματος, ἀνάγκη καὶ ταύτας τῆς ἐντεῦθεν εὐκλείας καὶ δόξης συναπολαύειν αὐτῇ, ὥσπερ δὴ τοὐναντίον ἐχούσης, συναδοξεῖν καὶ συμπάσχειν, ὅτι μὴ τῶν εἰς χρείαν ἡκόντων εὐπόρως ἔχει· μέντοι καὶ κοινῇ ψήφῳ τάττομεν, ἔχειν τὴν αὐτὴν ἁγιωτάτην μεγάλην τοῦ Θεοῦ Ἐκκλησίαν ἑκάστου ἔτους ἀπαραλείπτως ἀπὸ μὲν τῆς ἁγιωτάτης μητροπόλεως *Ἡρακλείας* καὶ τῶν ἐπισκοπῶν αὐτῆς ὑπέρπυρα διακόσια· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Κυζίκου*, ὑπέρπυρα διακόσια· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Θεσσαλονίκης*, ὑπέρπυρα διακόσια· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Ἀδριανουπόλεως*, ὑπέρπυρα ἑκατόν· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Βεῤῥοίας*, ὑπέρπυρα ἑκατόν· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Μονεμβασίας*, ὑπέρπυρα ὀκτακόσια· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Φιλιππουπόλεως*, ὑπέρπυρα ἑκατὸν πεντήκοντα· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως

Τραϊανουπόλεως καὶ τῶν ἐπισκοπῶν αὐτῆς, ὑπέρπυρα ἑβδομήκοντα· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Σερρῶν*, ὑπέρπυρα ἑκατὸν πεντήκοντα· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Φιλίππων*, ὑπέρπυρα ἑκατόν· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Μιτυλήνης*, ὑπέρπυρα ἑκατόν· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Διδυμοτείχου*, ὑπέρπυρα ἑκατόν· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Παλαιῶν Πατρῶν*, ὑπέρπυρα τεσσαράκοντα· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Λακεδαιμονίας*, ὑπέρπυρα ἑξήκοντα· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Μελενίκου*, ὑπέρπυρα τριακονταέξ· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Αἴνου*, ὑπέρπυρα ἑκατόν· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Μαδύτων*, ὑπέρπυρα τριακονταέξ· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Μηθύμνης*, ὑπέρπυρα πεντήκοντα· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Βρύσεως*, ὑπέρπυρα πεντήκοντα· ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως *Ῥωσίου*, ὑπέρπυρα τριακονταέξ· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Βιζύης*, ὑπέρπυρα ἑκατόν· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Μαρωνείας*, ὑπέρπυρα τριακονταέξ· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Προικοννήσου*, ὑπέρπυρα ἑβδομήκοντα δύο· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Γαρέλλης*, ὑπέρπυρα εἰκοσιτέσσαρα· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Ἀρκαδιουπόλεως*, ὑπέρπυρα εἰκοσιτέσσαρα· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Λήμνου*, ὑπέρπυρα πεντήκοντα· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Λοπαδίου*, ὑπέρπυρα εἰκοσιτέσσαρα· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Κυψέλων*, ὑπέρπυρα δεκαέξ· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Ξανθείας*, ὑπέρπυρα τριακονταέξ· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Μηδείας*, ὑπέρπυρα πεντήκοντα· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Δράμας*, ὑπέρπυρα εἰκοσιτέσσαρα· ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς *Γάνου*, ὑπέρπυρα πεντήκοντα.

Ὅθεν δὴ ἀπαραποίητα καὶ ἀμετάτρεπτα τὰ καλῶς ἡμῖν περὶ τούτου δεδογμένα ἔσται κρατούμενα, καὶ στεργόμενα, καὶ τὸ κῦρος ἔχοντα, καὶ τὸ βέβαιον. Εἰ μέντοι προνοίᾳ Θεοῦ, καὶ νεύσει, καὶ εὐδοκίᾳ, εἰς ἑαυτὰ πάλιν ἐπανέλθοι τὰ πράγματα, καὶ εὐπορία τῇ ἁγιωτάτῃ μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ γένοιτο, τὰς

τῶν προσόδων ἐκείνων ἀρχάς τε καὶ αἰτίας ἀπολαβούσῃ, αὕτη μὲν ἀρκεσθήσεται τοῖς ἰδίοις, μηδεμιᾶς ἑτέρωθεν βοηθείας προσδεομένη· αἱ δέ γε μητροπόλεις αὗται, καὶ ἀρχιεπισκοπαὶ, καθ' ἑαυτὰς ἔσονται ὡς τὸ πρὶν, καὶ οὐκ ἀνάγκην ἕξουσιν αὐτῇ συνεισφέρειν· ἀσφαλείας γὰρ καὶ βεβαιώσεως ἕνεκεν, καὶ τοῦ μηδενὶ ἡμῶν ἐξεῖναι ἕτερόν τι παρὰ ταῦτα βουλεύσασθαι, καὶ ἡ παροῦσα ἔγγραφος συνοδικὴ πρᾶξις γεγονυῖα παρ' ἡμῶν ἐξεδόθη ταῖς οἰκείαις ὑπογραφαῖς πιστωθεῖσα τε καὶ κατασφαλισθεῖσα, κατὰ μῆνα Σεπτέμβριον τῆς ἐνισταμένης ὀγδόης ἐπινεμήσεως τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ τρίτου ἔτους.

ΑΔΗΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ (1).

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ

Τὸ εἰς τὸν Ταρχανειώτην πατριαρχικόν.

Ἱερώτατε μητροπολῖτα Φιλαδελφείας, ὑπέρτιμε, ἀγαπητὲ κατὰ Κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος, καὶ συλλειτουργέ, χάρις εἴη καὶ εἰρήνη παρὰ Θεοῦ τῇ σῇ ἱερότητι. Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κυρῷ Ἰωάννῃ ὁ Ταρχανειώτης, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, ἀνήνεγκεν, ὡς ὁ πρὸς μητρὸς πάππος αὐτοῦ μέγας στρατοπεδάρχης, ὁ Τάγαρις ἐκεῖνος, ἠγάγετο κατὰ νόμους γυναῖκα εἰς πρῶτον συνοικέσιον τὴν πρὸς μητρὸς μάμμην αὐτοῦ Δούκαιναν τὴν Μονομαχῖναν ἐκείνην· ἔπειτα εἰς δεύτερον ἐπένευσε συνοικέσιον, ἀγαγόμενος τὴν κυρὰν Θεοδώραν Παλαιολογίναν τὴν Ἀσανίναν ἐκείνην, τὴν μητρυιὰν δηλαδὴ τῆς τοῦδε τοῦ Ταρχανειώτου μητρός· ἥτις δὴ Ἀσανίνα καὶ

(1) Τὸ παρὸν ψήφισμα περὶ τοῦ ἐκ τοῦ ἁγίου βαπτίσματος κωλύματος τοῦ γάμου εὕρηται ἐν τῷ νομικῷ χειρογράφῳ κώδικι τοῦ ἐν μακαρίᾳ τῇ λήξει μητροπολίτου Ἀργολίδος Γερασίμου, ὅπου μαρτυρεῖται ἀντιγραφὲν ἐκ παλαιοῦ χειρογράφου κώδικος τῆς μητροπόλεως Ἡρακλείας. Εἰ καὶ ἄγνωστος δὲ ἀκριβῶς ἡ ἐποχὴ τῆς ἐκδόσεως αὐτοῦ, ὡς καὶ τὸ ὄνομα τοῦ ἐκδόντος αὐτὸ πατριάρχου, ἀλλ' ἔστιν ἀμφότερα εἰκάσαι ἐκ τῆς ἐν αὐτῷ φαινομένης ἑνδεκάτης Ἰνδικτιῶνος, ἐκ τῶν ὀνομάτων τοῦ τε βασιλεύοντος τότε Ἰωάννου, καὶ τοῦ Ταγάρεως, μεγάλου στρατοπεδάρχου, καὶ τέλος ἐκ τοῦ ἀπευθύνεσθαι αὐτὸ πρὸς τὸν μητροπολίτην Φιλαδελφείας, ἐνεργοῦντα τὰ τῆς ἰδίας αὐτοῦ δικαιοδοσίας ἐντὸς τῆς μητροπόλεως αὐτοῦ. Ἁλούσης γὰρ ὑπὸ τῶν Ἀγαρηνῶν τῆς Φιλαδελφείας τὸ ἔτος 1391 Μ. Χ. (Χαλκοκονδ. Βιβλ. Β'.), τοῦ δὲ Ταγάρεως μεγάλου στρατοπεδάρχου ὄντος ἐπὶ Ἀνδρονίκου τοῦ πρεσβυτέρου, μετασχόντος δὲ καὶ τῆς κατὰ τὸ Πελέκανον μάχης ἐπὶ Ἀνδρονίκου τοῦ νέου ἐν ἔτει σωτηρίῳ 1329, (Κανтακουζ. Βιβλ. Α'. κεφ. ΙΗ. καὶ Βιβλ. Β'. κεφ. ϛ'.) τὸ ψήφισμα τοῦτο φαίνεται ἐκδεδομένον ἐπὶ Ἰωάννου τοῦ Παλαιολόγου τοῦ Α', βασιλεύσαντος ἀπὸ τοῦ ἔτους 1341 μέχρι τοῦ 1391. Ἀλλ' ἐντὸς ταύτης τῆς περιόδου ἡ ἑνδεκάτη Ἰνδικτίων ἀναφαίνεται τετράκις, τῷ 1343, τῷ 1358, τῷ 1373, καὶ τῷ 1388 ἔτει. Ἐπεὶ δὲ ὁ κατὰ τὸ ἔτος 1329, ὡς εἴρηται, ζῶν Τάγαρις ἦν πάππος τοῦ Ταρχανειώτου, πρεσβεύκότος ἤδη καὶ τούτου, ἐποχὴν τῆς ἐκδόσεως τοῦ ψηφίσματος εἰκάζομεν μᾶλλον τινὰ τῶν τριῶν τελευταίων. Καὶ ἐν μὲν τῷ ἔτει 1358 ἐπατριάρχευεν ἐν Κωνσταντινουπόλει Κάλλιστος ὁ Α', ἐν ἔτει δὲ 1373 ὁ Φιλόθεος, ἐν ἔτει 1388 ὁ Νεῖλος, καὶ τούτου ἀποβιώσαντος, Ἀντώνιος ὁ Δ'.

ἔφθασεν ἀναδεξαμένη ἀπὸ τῆς ἱερᾶς κολυμβήθρας τοῦ θείου βαπτίσματος τὴν Λασκαρίναν, καὶ ἔλαβεν εἰς γυναῖκα αὐτὴν δὴ τὴν Λασκαρίναν ὁ τοιοῦτος Ταρχανειώτης, συνοικήσας αὐτῇ ἐφ' ὅσοις δὴ καὶ ἔστι συνοικῶν χρόνοις, παιδοποιησάμενος ἐξ αὐτῆς, καὶ ἑνὸς παιδίου θήλεος ἤδη περιόντος τῷ βίῳ. Ἀρτίως οὖν πειρωμένης τῆς ἱερότητός σου, ὡς παράνομον δῆθεν, διαζεῦξαι τὸ ῥηθὲν συνοικέσιον, συνοδικοῦ ψηφίσματος ὁ Ταρχανειώτης ἐδεήθη τυχεῖν ἐπὶ τούτῳ. Ἡ γοῦν μετριότης ἡμῶν, συνδιασκεψαμένη τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, δεῖν ἔγνω παραδηλῶσαι τῇ ἱερότητί σου, ὡς τρεῖς τάξεις εἰσὶ κατὰ νόμους τῶν κεκωλυμένων πρὸς γάμου κοινωνίαν· μία μὲν καὶ πρώτη, ἡ ἐκ τοῦ σωτηριώδους καὶ ἁγίου βαπτίσματος· δευτέρα δὲ ἡ τῆς ἐξ αἵματος κατὰ σάρκα συγγενείας· καὶ τρίτη ἡ ἐξ ἐπιγαμίας, ἤτοι ἀπὸ λοξότητος, ἡ λεγομένη διπλοσυμπενθερία. Καὶ ἐπὶ μὲν τῆς τοῦ ἁγίου βαπτίσματος, μόνος ὁ ἀνάδοχος κωλύεται ἐκ τῆς βαπτισθείσης θυγατρὸς αὐτοῦ, καὶ τῆς μητρὸς αὐτῆς, καὶ ὁ υἱὸς τοῦ ἀναδόχου· τὰ δὲ ἄλλα πρόσωπα αὐτῶν οὐ κωλύονται, οὔτε ἀδελφὸς, οὔτε ἐξάδελφος, οὔτε ἄλλος τις τούτων. Οἶδε δὲ ἡ ἱερότης σου, ὅτι ἔστι καὶ πρᾶξις τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Ἀρσενίου τοῦ ἀοιδίμου, ἐντὸς τῆς θεοσώστου πόλεως Νικαίας γενομένη τηνικαῦτα συνοδικῶς, ῥητῶς ἐπὶ λέξεως διαλαμβάνουσα, ὡς προέτρεψεν οὗτος συνοδικῶς τὸ συνάλλαγμα τὸ ἐπὶ τῷ υἱῷ τοῦ προκαθημένου ἐκείνου τοῦ Σαπωνοπούλου Ἀλεξίῳ, καὶ τῇ θυγατρὶ τοῦ Μοσχάμπαρος Μαρίᾳ· ἦν δὲ ὁ προκαθήμενος ἐκεῖνος ἀναδεχόμενος ἀπὸ τοῦ ἁγίου βαπτίσματος τοὺς τοῦ Μοσχάμπαρος παῖδας· ἣν δὲ ἔλαβεν εἰς γυναῖκα ὁ ἐκείνου υἱὸς, οὐκ ἦν ἀναδεξάμενος ἀπὸ τοῦ ἁγίου βαπτίσματος ὁ Σαπωνόπουλος, ἀλλὰ τὰ ἀδέλφια αὐτῆς. Τοιουτοτρόπως οὖν τοῦ πράγματος ἔχοντος, ζήτησις ἦν ἂν ἴσως, εἴπερ ἡ τοῦ Ταρχανειώτου μήτηρ, ἢ ἡ μάμμη, τὴν υἱοθεσίαν ταύτην πνευματικῶς ἐποιοῦντο ἐπὶ τῇ Λασκαρίνῃ· τῆς δέ γε Ἀσανίνης μητρυιᾶς οὔσης, καὶ ἐξ ἑτέρου αἵματος παντελῶς αὐτῶν, ἔχει διακρῖναι καὶ ἡ ἱερότης σου, ὡς οὐδέν ἐστιν ἐντεῦθεν ἐπὶ τῷ συνοικεσίῳ τῷδε ἐμπόδισμα, κατὰ τὴν τοῦ Ταρχανειώτου δηλονότι ἀναφοράν. Διὰ ταῦτα καὶ παραδηλοῦμεν συνοδικῶς τῇ ἱερότητί σου, ὡς ἂν ἐάσῃς

αὐτὸν ἀνενοχλήτως συνοικεῖν τῇ συναφθείσῃ αὐτῷ γυναικί, κατὰ τὴν περίληψιν τῆς ἀνωτέρω κατὰ μέρος ἐκτεθείσης διαταγῆς, καὶ γενέσθω ὡς παραδηλοῦμεν τῇ ἱερότητί σου διὰ τοῦ παρόντος γράμματος. Ἔῤῥωσο κατὰ Κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος, καὶ συλλειτουργέ. Εἶχε τὸ, μηνὶ Μαΐῳ, Ἰνδ. ιά.

ΝΕΙΛΟΥ (1).

ΠΕΡΙ ΤΟΥ ΑΝΤΙΜΙΝΣΙΟΥ, ΟΠΕΡ ΕΠΟΙΗΣΕΝ

Ὁ κὺρ Νεῖλος ὁ πατριάρχης Κωνσταντινουπόλεως, ὁ ἐκ τοῦ Χαρσιανίτου ὁ Κεραμεύς.

Νεῖλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

ΠΟΛΛΑΣ ἡμῖν ἔδωκεν ὁδοὺς ὁ φιλάνθρωπος δεσπότης ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς ἐπὶ τῆς γῆς ὤν· πρώτη δὲ πασῶν καὶ μεγίστη ἡ τοῦ τιμίου αἵματος καὶ σώματος αὐτοῦ ἱερουργία· οὐ μόνον γὰρ τὸ θεῖον μυστήριον τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας τελεῖται ἡμῖν ἀναμνήσεως χάριν (2), ἀλλὰ καὶ οἱ κατὰ Θεὸν ζῶντες καὶ ἀξίως αὐτῶν μετέχοντες, ὅλοι τὸν Θεὸν ἐνδύονται, καὶ ἡνωμένοι εἰσὶν αὐτῷ, κατὰ τὴν αὐτοῦ τοῦ Δεσπότου ἡμῶν θείαν φωνὴν, τὴν, Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Ταύτην οὖν τὴν θείαν παράδοσιν, οἱ τοῦ Θεοῦ Λόγου ὑπηρέται καὶ κήρυκες, οἱ ἅγιοι αὐτοῦ μαθηταὶ καὶ Ἀπόστολοι, καὶ μετ' αὐτοὺς οἱ ὅσιοι καὶ θεοφόροι Πατέρες ἡμῶν καὶ διδάσκαλοι τῆς οἰκουμένης, οὐχ ἁπλῶς οὕτως ἐνεργεῖσθαι παρ' ἡμῶν καὶ τελεῖσθαι προσέταξαν, ἀλλ' ἐν ἁγίῳ τινὶ τόπῳ, ἐντὸς μὲν ἢ πολλάκις καὶ ἔξω τοῦ κόσμου, ἰδίως δὲ τῷ Θεῷ ἀφιερωμένῳ· ἵνα σχολάζοντες ἐν αὐτῷ ὁ τοῦ Θεοῦ λαὸς, πρῶτον μὲν ἀκούωσι τῶν ἱερῶν ὕμνων, ἔπειτα δὲ παρακαλῶσι τὸν Θεὸν ὑπὲρ τῶν ἰδίων ψυχῶν, καὶ εὐχαριστῶσιν αὐτὸν ὑπὲρ ὧν αὐτοῖς ἔδωκε, καὶ οὕτως ἀκατακρίτως τῶν θείων καὶ ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων κοινωνοῦντες ἐξέρχωνται ὅλοι καθαροὶ καὶ ἅγιοι· τούτου χάριν καὶ θυσιαστήρια ἔπηξαν οἱ ἅγιοι Πατέρες ἡμῶν διὰ τὴν κοινὴν

(1) Ὁ Νεῖλος, ἀνὴρ τοσαύτῃ ἀρετῇ καὶ σοφίᾳ διαπρέπων, ὡς καὶ Ἰωάννῃ τῷ Χρυσοστόμῳ ὑπὸ Γεωργίου τοῦ Σχολαρίου αὐτὸν παραβάλλεσθαι, ἐκλεχθεὶς πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1378, ἐποίμανε τὴν Ἐκκλησίαν ἔτη δέκα, στεῤῥῶς ὑπὲρ αὐτῆς καὶ τῶν ὀρθοδόξων δογμάτων καὶ λόγοις, καὶ πράγμασι, καὶ διδασκαλίαις, καὶ συγγράμμασιν ἀγωνισάμενος· ἐτελεύτησε δὲ τὸ ἔτος 1388.

(2) ἐν δὲ Χειρ. Γ. τελεῖται ἡμῖν ἀνάμνησις ἔρχεται.

ὠφέλειαν τοῦ λαοῦ, ὡς ἂν ἀποῤῥίπτοντες τὰς βιωτικὰς φροντίδας οἱ ἄνθρωποι, εἰσέρχωνται καὶ ὁμιλῶσι τῷ Θεῷ. Ἐπεὶ δὲ στρατηγοὶ πολλάκις, ἢ βασιλεῖς αὐτοὶ, ἀπέρχονται εἰς ταξείδια, καὶ εἰς τόπους ἀλλοφύλων, ἔνθα οὐκ ἔστι θεῖος ναός· ἀλλὰ καὶ εὐλαβεῖς τινες ἱερωμένοι ἐξέρχονται τῶν ἰδίων πόλεων, ἢ τοῦ μοναστηρίου, καὶ ἀπέρχονται δι' ἔρωτα ἡσυχίας τε καὶ ἀναχωρήσεως εἰς ἔρημον τόπον· καὶ ἀσεβεῖς δὲ πολλάκις, εἰς χώρας Χριστιανῶν ἐρχόμενοι, τὰ αὐτῶν κατασκάπτουσι θυσιαστήρια, καὶ οὐ δύνανται ἕτερα ἀνεγείρειν· ἢ πολλάκις καὶ φοβοῦνται, μή ποτε πάλιν οἱ ἀσεβεῖς ἐλθόντες, ἐὰν κτίσωσιν ἕτερα, καταχαλάσωσι, διὰ ταύτας τὰς αἰτίας ἐπεὶ ἔχουσιν ἀνάγκην οὗτοι ἁγιάζεσθαι καὶ κοινωνεῖν, εὕρομεν ἐκδεδομένον παρὰ τῶν ἁγίων Πατέρων τῶν θείων καὶ ἱερῶν συνόδων, ὅτι δέδοται αὐτοῖς, ἢ διὰ σανίδος, ἢ διὰ πανίου ἱερὰ τράπεζα καθιερωμένη, καὶ τιθέασιν αὐτὴν οἱ λαβόντες ἐν ἰδίῳ τινὶ τόπῳ ἐκκεκομμένῳ καὶ περιωρισμένῳ ἢ διὰ τοίχου ἐντὸς οἰκίας, ἢ διὰ πανίου, καὶ ἱερουργοῦσιν ἐν αὐτῷ· καὶ ἔχει ἄδειαν καὶ ἐξουσίαν καὶ πατριάρχης τοῦτο ποιῆσαι, καὶ μητροπολίτης ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ, καὶ ἐπίσκοπος· ἔχει δὲ τὸ τοιοῦτον, ἡ ἱερὰ τράπεζα δηλονότι ἐκείνη, καὶ πρόθεσιν ἀπὸ τοῦ ἀριστεροῦ μέρους, ὀλίγον τι μικρότερον τῆς ἱερᾶς τραπέζης. Πάντες οὖν οἱ Χριστιανοὶ ὀφείλουσι τοῦτο στέργειν, καὶ τηρεῖν, καὶ βλέπειν ὡς ἅγιον, καὶ σέβεσθαι, καὶ προσκυνεῖν αὐτὸ, καθὼς καὶ ἐν τοῖς ἱεροῖς ναοῖς τοῦτο ποιοῦσι· καὶ μηδεμίαν ἄδειαν ἔχειν τινὰ τῶν ἁπάντων εἰπεῖν τι ἢ πρᾶξαι πρὸς περιφρόνησιν αὐτοῦ· ὁμοίως γάρ ἐστι καὶ αὐτὸ παραδεδομένον παρὰ τῶν ἱερῶν συνόδων, καθὼς παρεδόθησαν καὶ οἱ θεῖοι ναοὶ, ἐν οἷς αἱ ἱεραὶ τράπεζαι· καὶ ὥςπερ ὁ εἰπών τι περὶ τοῦ θείου ναοῦ κολασθήσεται παρὰ τοῦ Θεοῦ, ὡς τῷ θείῳ θελήματι ἐναντιούμενος, οὕτω καὶ ὁ εἰπὼν περὶ τῆς καθιερωμένης ταύτης τραπέζης, ἢ ὁ μὴ δεχόμενος αὐτὴν ὡς ἁγίαν, μηδὲ προσερχόμενος καὶ ἁγιαζόμενος παρ' αὐτῆς, ἀλλὰ κατηγορῶν αὐτῆς τῆς πράξεως, καὶ ἀποσειόμενος καὶ ἀποπέμπων αὐτὴν, λόγον δώσει τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως. Τούτου χάριν, εἰς πίστωσιν ἀσφαλῆ καὶ πληροφορίαν, ἡ μετριότης ἡμῶν τὴν παροῦσαν αὐτῆς γραφὴν ἐνέθηκεν, ἵνα γνῶσι πάντες ὅση καὶ τοῦ ἁγίου πράγματος τούτου ἡ δύναμις.

ΣΥΜΕΩΝ (1).

ΑΚΟΛΟΥΘΙΑ

Τυπωθεῖσα ὑπ' αὐτῆς τῆς ἁγίας καὶ μεγάλης συνόδου, εἰς τοὺς ἐκ τῶν λατινικῶν αἱρέσεων ἐπιστρέφοντας τῇ ὀρθοδόξῳ τε καὶ καθολικῇ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως, ἀλλὰ δὴ καὶ τοῖς τρισὶν ἁγιωτάτοις πατριάρχαις τῆς Ἀνατολῆς, Ἀλεξανδρείας δηλονότι, Ἀντιοχείας, καὶ Ἱεροσολύμων.

Ετυπωθη δ' αὔτη ἐν ἔτει ,ςϠϞϚ', ἐν Κωνσταντινουπόλει, ἐπὶ τῆς πατριαρχείας τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Συμεών. Ἰστέον δὲ, ὅτι ἡ σύνοδος αὔτη, οἰκουμενικὴ οὖσα, πρώτη σὺν Θεῷ τὴν ἐν Φλωρεντίᾳ ἐκείνην παρανομωτάτην κατέβαλε καὶ ἀνέτρεψε σύνοδον, ὡς κακῶς καὶ ἀθέσμως προβᾶσαν, καὶ μὴ ἀκολουθήσασαν ταῖς πρὸ αὐτῆς ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις, διὸ καὶ τὸν ὅρον τῆς καθ' ἡμᾶς ὀρθοδόξου καὶ ἁγίας ταύτης συνόδου, τῆς ἐν Κωνσταντινουπόλει δηλαδὴ, κατετάξαμεν τοῦτον ἐν τῷ παρόντι ἱερῷ κώδικι τῆς ἁγίας τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, ἐπὶ τῶν ἡμερῶν ἡμῶν ταύτης συστάσης. Καὶ ταῦτα μὲν ὧδέ πως εἰρήσθω.

Ὁ δὲ ἀρχιερεὺς, ἢ καὶ ὁ ἱερεὺς, προτροπῇ αὐτοῦ, βαλὼν ἐπιτραχήλιον, ποιεῖ εὐλογητὸν ἔμπροσθεν τῶν ἁγίων θυρῶν τοῦ βήματος. Καὶ εὐθὺς ἀρχόμεθα τὸ, Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. Βασιλεῦ οὐράνιε. Τὸ τρισάγιον. Παναγία τριάς. Πάτερ ἡμῶν. Τὸ, Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν. Τὸν Ν'. Καὶ μετὰ τὸ εἰπεῖν ταῦτα, παρίστησι τὸν ἐκ Λατίνων ἐπιστρέφοντα τῇ ὀρθοδόξῳ

(1) Συμεὼν ὁ Τραπεζοῦντος, καὶ Τραπεζούντιος, ἐκλέγεται πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1470, ἀλλ' ἀποβληθεὶς τοῦ θρόνου κατὰ τὸ ἔτος 1472 χάριν τοῦ διαδεξαμένου αὐτὸν Διονυσίου τοῦ Α., ἀνακαλεῖται αὖθις εἰς αὐτὸν τὸ ἔτος 1478 μέχρι τοῦ ἔτους 1481. — Τὴν ἑξῆς ἀκολουθίαν περὶ χρίσεως τῶν εἰς τὴν Ἀνατολικὴν Ἐκκλησίαν προσερχομένων Λατίνων, ἐλάβομεν ἐκ τοῦ Τόμου Ἀγάπης τοῦ πατριάρχου Ἱεροσολύμων Δοσιθέου, ἐκδοθέντος ἐν Ἰασίῳ τῆς Μολδαυΐας τῷ 1698 ἔτει.

πίστει κατέμπροσθεν τῶν ἁγίων θυρῶν τοῦ βήματος, καὶ ἐπερωτᾷ αὐτὸν ἀσκεπῆ ὄντα, λέγων πρὸς αὐτὸν οὕτως·

Ἐρώτησις.

Βούλει, ἄνθρωπε, γενέσθαι ὀρθόδοξος, καὶ ἀποτάσσῃ πᾶσι τοῖς αἰσχίστοις καὶ ἀλλοτρίοις δόγμασι τῶν Λατίνων, δηλονότι περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ὅτι κακῶς φρονοῦσι καὶ δοξάζουσι τὸ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι· ἀλλὰ δὴ τῶν τε ἱερουργουμένων παρ᾽ αὐτοῖς ἀζύμων, καὶ τῶν λοιπῶν ἐθῶν τῆς Ἐκκλησίας ἐκείνων, ὅσα οὐ συμφωνεῖ τῇ καθολικῇ καὶ ὀρθοδόξῳ τῆς Ἀνατολικῆς Ἐκκλησίας;

Ὁ Λατῖνος.

Ναί, δέσποτα ἅγιε, ἐξ ὅλης μου τοῦτο ποιῶ τῆς ψυχῆς.

Ἐρώτησις.

Ἀσπάζῃ τὸ ἅγιον τῆς πίστεως ἡμῶν σύμβολον, καὶ φυλάττεις αὐτὸ ἀπαραποίητον, καὶ ἄνευ τινὸς προσθήκης λέξεως τυχὸν ἐν τούτῳ, ἢ ἀφαιρέσεως, καθὼς ἐτυπώθη ὑπὸ τῶν ἁγίων καὶ οἰκουμενικῶν μεγάλων συνόδων, τῆς τε ἐν Νικαίᾳ τῆς Βιθυνίας συστάσης τὸ πρῶτον, καὶ τῆς ἐν Κωνσταντινουπόλει συστάσης δευτέρας καὶ οἰκουμενικῆς συνόδου, καὶ ὑπὸ πασῶν τῶν οἰκουμενικῶν συνόδων καθεξῆς βεβαιωθὲν τοῦτο καὶ κυρωθέν;

Ἀπόκρισις.

Ναί, δέσποτα ἅγιε, τοῦτο στέργω ἐξ ὅλης μου τῆς ψυχῆς, καὶ φυλάττω αὐτὸ ἀπαραποίητον.

Ἐρώτησις.

Καθυποβάλλεις τῷ ἀναθέματι, ὡς καὶ οἱ ἅγιοι καὶ θεῖοι Πατέρες ἡμῶν τοῦτ᾽ ἐποίησαν, δηλονότι, τοὺς τολμῶντας μετὰ προσθήκης τοῦτο λέγειν τινός, καὶ ἐκ τοῦ Υἱοῦ ὥσπερ καὶ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι φλυαροῦντας τὸ Πνεῦμα τὸ ἅγιον;

Ἀπόκρισις.

Ἐξ ὅλης ὁμολογῶ τῆς ψυχῆς τοῦτο ἀπαραποίητον, καὶ τοὺς μὴ οὕτω στέργοντας αὐτὸ καθυποβάλλω τῷ ἀναθέματι.

Ἐρώτησις.

Ἀποβάλλῃ καὶ εἰς οὐδὲν λογίζῃ τὴν ἐν Φλωρεντίᾳ τῆς Ἰταλίας προσυστᾶσαν σύνοδον, καὶ ὅσα ἔστερξεν ἐκείνη κακῶς ἐναντία τῆς καθολικῆς Ἐκκλησίας καὶ νόθα ;

Ἀπόκρισις.

Ἀποβάλλομαι ταύτην τὴν σύνοδον, δέσποτά μου, καὶ ὡς μηδὲ τὸ κατ' ἀρχὰς συστᾶσαν ἢ γεγονυῖαν ταύτην λογίζομαι εἶναι.

Ἐρώτησις.

Ἀποστρέφῃ τελείως καὶ τὰς συνάξεις τῶν Λατίνων ἐν ταῖς αὐτῶν Ἐκκλησίαις, ἢ καὶ αὐτῶν τῶν λατινοφρόνων, καὶ τοὺς τὰ ἄζυμα ἰουδαϊκῶς, ἢ ἀπολλιναριστικῶς ταῦτα ἱερουργοῦντας, ὡς αἱρετικούς ;

Ἀπόκρισις.

Ναὶ, δέσποτα, καὶ τοῦτο ποιῶ ἐξ ὅλης μου τῆς ψυχῆς.

Ἐρώτησις.

Ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς χάριτι θείᾳ ἐξασφαλίζῃ ἕως τέλους ζωῆς σου διαμένειν ἐν τῇ ὀρθοδόξῳ ταύτῃ πίστει τῆς καθ' ἡμᾶς ἁγίας Ἐκκλησίας ἀκλόνητος καὶ ἀσάλευτος, κἂν εἴ τί σοι γένηται ;

Ἀπόκρισις.

Ναὶ, τίμιε δέσποτα, τοῦ Θεοῦ συνεργοῦντός μοι, τοῦτο ὑπόσχομαι.

Καὶ ὁ ἀρχιερεὺς, ἢ ὁ ἱερεύς.

Καὶ λοιπὸν ὁμολόγησον ἤδη τὸ ἅγιον τῆς πίστεως ἡμῶν σύμβολον ἄνευ τινὸς προσθήκης.

Καὶ λέγει ὁμολογῶν μεγάλῃ τῇ φωνῇ τὸ, Πιστεύω εἰς ἕνα Θεὸν, καὶ λέγει τοῦτο ἕως τέλους. Καὶ μετὰ τὸ εἰπεῖν καὶ ἀπαρτίσαι αὐτὸ τὸ σύμβολον ἅπαν, εὐθὺς χρίεται ὑπὸ τοῦ ἱερέως ὁ τοιοῦτος τῷ ἁγίῳ καὶ μεγάλῳ τῆς Ἐκκλησίας μύρῳ, ἔν τε τῷ μετώπῳ αὐτοῦ ἐγχαράττοντος σταυρὸν τοῦ ἱερέως, ὁμοίως καὶ εἰς τὰ ὦτα, καὶ τῷ πώγωνι αὐτοῦ, καὶ ταῖς χερσὶν, ἀλλὰ δὲ καὶ τῷ στήθει, καὶ τοῖς γόνασι, λέγοντος καὶ ἐπιφωνοῦντος τοῦ ἀρχιερέως ἐν μιᾷ ἑκάστῃ αἰσθήσει, ἐν τῷ

χρίειν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου, ἀμήν. Καὶ μετὰ τὸ ἀπομυρῶσαι τοῦτον, εὔχεται ὁ ἱερεὺς ἄνω τῆς κεφαλῆς τοῦ χρισθέντος τῷ μύρῳ τὴν εὐχὴν ταύτην.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς, καὶ τοῖς ἐν γῇ δι' ἄφατον ἔλεος ἐπιδημήσας, καὶ διδάξας τοὺς ἀνθρώπους ὁμολογεῖν τὴν ἀληθινὴν καὶ ἄμεμπτον ὁμολογίαν, τὴν τῆς ὁμοουσίου καὶ συναϊδίου Τριάδος ἐπίγνωσιν, καὶ τὸ προσκυνητὸν καὶ παντοδύναμον Πνεῦμα, διὰ τοῦ ἀψευδοῦς σου στόματος ὑποφήνας ἐκπορεύεσθαι τοῦτο καὶ ὑφίστασθαι ἐκ τοῦ ἀνάρχου σου Πατρὸς καὶ Θεοῦ, αὐτός, Δέσποτα, τὸν δοῦλόν σου (δεῖνα), τὸν ἐπιστρέφοντα ἐκ τῆς λατινικῆς αἱρέσεως πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου σου καὶ τοῦ ἀψευδοῦς σου στόματος, καὶ τὴν τῶν ἁγίων σου Ἀποστόλων καὶ διδασκάλων τῆς εὐσεβείας ἀκραιφνῆ θεολογίαν, ὁμολογίαν τε αὐτῶν καὶ παράδοσιν, πρόσδεξαι, ὡς ἐλεήμων καὶ συμπαθής, συνάπτων αὐτὸν καὶ ἑνῶν τοῖς ἀληθέσι δόγμασι τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, καταξιῶν τε αὐτὸν τῆς ἀτελευτήτου καὶ ἀϊδίου τῶν οὐρανῶν βασιλείας τῇ ἐπιγνώσει καὶ ἀνακηρύξει τῶν τῆς εὐσεβείας δογμάτων. Πάριδε οὖν, ὡς συμπαθὴς καὶ ἐλεήμων, τὰ ἐν γνώσει τε καὶ ἀγνοίᾳ ἐν τῷ βίῳ πλημμεληθέντα αὐτῷ· στερέωσον αὐτὸν διαμένειν ἐν τῇ ὀρθοδόξῳ πίστει, καὶ ὁμολογίᾳ σου· πλάτυνον δὲ αὐτοῦ τὸ στόμα ἐρεύγεσθαι κατὰ τῶν τοῦ ᾅδου πυλῶν αἱρέσεων, καὶ τῶν λοιπῶν ἀσεβειῶν· διάνοιξον αὐτοῦ τοὺς νοεροὺς ὀφθαλμοὺς κατανοεῖν σου τὰ θαυμάσια· δίδαξον αὐτόν, ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου· μὴ μνησθῇς τῶν ἀνομιῶν αὐτοῦ· κάθαρον αὐτοῦ τὴν ψυχὴν αἱρετικῆς ἀχλύος, καὶ πάσης ἄλλης δυσσεβείας· καὶ σύναξον αὐτὸν δι' ἡμῶν προστρέχοντα τῇ ὀρθοδόξῳ σου ποίμνῃ· ὅτι πρέπει σοι πᾶσα δόξα, κτλ.

Μετὰ ταῦτα λέγει τὸν ψαλμόν· Ὑψώσω σε ὁ Θεός μου ὁ βασιλεύς μου.

Εἶτα, Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Εἶτα ἐκτενής, καὶ ἀπόλυσις.

Λίβελλος, ὃν περ διδοῦσιν ἐγγράφως ἀπαιτούμενοι οἱ ἐκ Λατίνων ἐπιστρέφοντες.

Ἐπειδὴ ἀπαιτήθημεν παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, ἢ ἀρχιερέως (τοῦ δεῖνος), δοῦναι ὁμολογίαν καθαρὰν ἐν τῷ ἱερῷ κώδικι τῆς (ὁδεῖνος) Ἐκκλησίας, ἥν τινα κρατεῖ ἡ καθολικὴ τῶν Γραικῶν Ἐκκλησία, ἤδη κατὰ τὸν θεῖον καὶ προσκυνητὸν ὁρισμὸν αὐτοῦ, τὸν παρόντα ἡμῶν ἔγγραφον λίβελλον ἀποδίδομεν, δι' οὗ καθομολογοῦμεν καὶ στέργομεν ἅπαντα τὰ παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων ἀποφανθέντα καὶ στερχθέντα, τῶν τε ἀποστολικῶν, καὶ τῶν ἁγίων ἑπτὰ οἰκουμενικῶν συνόδων, ἀλλὰ δὴ καὶ τῶν μερικῶν, ὡς ἡ ἁγία τῶν Γραικῶν Ἐκκλησία καθομολογεῖ, ἀποβαλλόμενος πάντα τὰ τῶν Λατίνων ἄτοπα ἔθιμα, καὶ πᾶσαν ἄλλην βέβηλον κενοφωνίαν· ὧν χάριν καὶ ἡ παροῦσα ἡμῶν ἔγγραφος ὁμολογία ἐπεδόθη τῇ καθολικῇ καὶ ἀποστολικῇ μεγάλῃ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως, ἐν μηνὶ (ὁδεῖνι), Ἰνδικτιῶνος (ὁδεῖνος), ἔτος (ὁδεῖνα) (1).

---

(1) Ἀλλ' ἐπὶ τοῦ οἰκουμενικοῦ πατριάρχου Κυρίλλου, ἐν ἔτει αφνς', ἐξεδόθη ὑπὸ τῆς Ἁγίας καὶ Μεγάλης Συνόδου ὅρος, καθ' ὃν βαπτίζονται οἱ εἰς τὴν Ὀρθόδοξον Ἐκκλησίαν ἐπιστρέφοντες Λατῖνοι. Τὸν ὅρον τοῦτον εὑρήσεις ἐν Παραρτήματι, ἐν τῷ τέλει τοῦ παρόντος τόμου.

ΑΔΗΛΩΝ ΠΑΤΡΙΑΡΧΩΝ (1).

Α'. ΠΕΡΙ ΤΩΝ ΕΚΤΙΘΕΜΕΝΩΝ ΤΑ ΟΙΚΕΙΑ ΒΡΕΦΗ.

Περὶ τοῦ κολάζεσθαι, εἴτε καὶ μὴ, τὰς ἐκτιθεμένας τὰ οἰκεῖα βρέφη εἰς τὰς εἰσόδους τῶν θείων ναῶν, λόγος ἐγένετο διαφόρως ἐπὶ συνελεύσει συνοδικῇ· καὶ ἤρεσεν, ὡς φονευτρίας ταύτας κολάζεσθαι, κἂν παρά τινων τὰ βρέφη ζωογονηθῶσι.

Β'. ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΒΙΑΝ ΑΠΟΚΑΡΕΙΣΩΝ γυναικῶν.

Τὴν Κομνηνὴν κυρὰν Θεοδώραν, τὴν χρηματίσασαν σύζυγον, τοῦ Λαπαρδᾶ ἐκείνου κυρίου Ἀνδρονίκου, ἀποκαρεῖσαν κατὰ βίαν τοῦ τυράννου, ἡ ἐν Κωνσταντινουπόλει σύνοδος οὐ παρεχώρησε μετασχηματισθῆναι, καὶ συζυγῆναι τῷ Κράλῃ Οὐγγρίας, ἐκθύμως τοῦτο ζητήσαντι, διὰ τὸ μετὰ θάνατον τοῦ ἀνδρὸς αὐτῆς στοιχῆσαι τῇ ἀποκάρσει, κἂν κατὰ βίαν ἐγένετο, καὶ ἐν κοινοβιακῇ διάγειν μονῇ. Ἑτέρας δὲ γυναῖκας εὐγενεῖς, οὕτως ἀποκαρείσας, ἐδικαίωσεν ἡ αὐτὴ σύνοδος μετὰ θάνατον τοῦ τυράννου μετασχηματισθῆναι, ἢ ὡς ἔτι περιόντων τῶν ἀνδρῶν αὐτῶν, ἢ διὰ τὸ μὴ καταδέξασθαι ὅλως τὴν ἀπόκαρσιν μετὰ θάνατον τοῦ τυράννου.

---

(1) Τὰς παρούσας περιλήψεις δύο συνοδικῶν σημειωμάτων ἠρανίσθημεν ἐκ τοῦ Γραικο-Ρωμ. Νομίμου τοῦ Λεϋγκλαυΐου, ὧν τὸ πρῶτον περιέχεται ἐν σχολίῳ τῆς Ἐπιτομῆς τῶν Κανόνων τοῦ Ἀρμενοπούλου σελ. 68. — Βλέπε καὶ Καν. Νηστευτοῦ, Τόμ. Δ'. σελ. 443· — τὸ ἕτερον ἀνάγεται εἰς τὰς ἀρχὰς τῆς βασιλείας Ἰσαακίου τοῦ Ἀγγέλου, βασιλεύσαντος τὸ ἔτος 1185, καὶ ἐκθρονισθέντος τὸ 1195, κατὰ λάθος δὲ οὐκ ἐτέθη ἐν τῇ οἰκείᾳ χρονολογικῇ τάξει.

ΙΕΡΕΜΙΟΥ(1).

ΠΡΑΞΙΣ ΣΥΝΟΔΙΚΗ

Τῆς Ἁγίας καὶ Μεγάλης Συνόδου, ἐν Κωνσταντινουπόλει, ἐν ἔτει ,ζϟς', περὶ τοῦ πατριάρχου Μοσχοβίας κτλ.

ΤΗΣ ἁγίας καὶ ἱερᾶς μεγάλης συνόδου, ἐν ὀνόματι τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ συναχθείσης ἐν τῷ ναῷ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς Παμμακαρίστου, τῆς καὶ Παραμυθίας ἐπωνομασμένης, ἐν Κωνσταντινουπόλει, ἐν ἡμέραις τοῦ εὐσεβεστάτου καὶ θεοστέπτου βασιλέως Μοσχόβου καὶ αὐτοκράτορος πάσης Ῥωσίας Θεοδώρου Ἰωάννου, προκαθεζομένων τῶν ἁγιωτάτων ὀρθοδόξων πατριαρχῶν, τοῦ τε παναγιωτάτου Ἱερεμίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικοῦ πατριάρχου, τοῦ τε μακαριωτάτου Μελετίου, πάπα, καὶ πατριάρχου τῆς μεγάλης πόλεως Ἀλεξανδρείας, καὶ κριτοῦ τῆς οἰκουμένης, καὶ τὸν τόπον ἐπέχοντος τοῦ μακαριωτάτου Ἰωακεὶμ Θεουπόλεως τῆς μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, καὶ τοῦ μακαριωτάτου Σωφρονίου πατριάρχου τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, καὶ πάσης Παλαιστίνης, ἐνδημοῦντος τοῦ λαμπροτάτου Γρηγορίου Ἀθανασίου, πρέσβεως τοῦ προῤῥηθέντος θεοσεβεστάτου βασιλέως· συνεδρευόντων καὶ τῶν πανιερωτάτων ἀρχιερέων ἐκ πάσης ἐπαρχίας τῆς Ἀνατολικῆς Ἐκκλησίας τῶν Ὀρθοδόξων· Μελέτιος ὁ μακαριώτατος Ἀλεξανδρείας εἶπεν· Οἴδατε, ἀδελφοί, ὅτι χαρακτηριστικὸν τῆς πρὸς τὸν Σωτῆρα καὶ Θεὸν ἡμῶν ἀγάπης ἡ ποιμαντικὴ

(1) Ἱερεμίας ὁ Β'., Λαρίσσης μητροπολίτης, ὁ καὶ Τρανὸς τὸ ἐπώνυμον, σοφίᾳ Ἑλληνικῇ τε καὶ Ἐκκλησιαστικῇ διαπρέπων, καὶ παντοίᾳ ἀρετῇ κεκοσμημένος, ἐκλεχθεὶς πατριάρχης Κωνσταντινουπόλεως ἐν ἔτει 1572, ποιμαίνει θεαρέστως τὴν Ἐκκλησίαν μέχρι τοῦ ἔτους 1579. Ὁ αὐτὸς πατριαρχεύει τὸ δ'. ἀπὸ τοῦ ἔτους 1580 ἕως τοῦ 1584, καὶ τὸ γ'. ἀπὸ τοῦ ἔτους 1586 μέχρι τοῦ 1594. Ἐπὶ τῆς τρίτης αὐτοῦ πατριαρχείας μεταβὰς εἰς Ῥωσσίαν μετ' ἄλλων τριῶν ἀρχιερέων ἐχειροτόνησε πατριάρχην τῆς ἐν Ῥωσσίᾳ Ὀρθοδόξου Ἐκκλησίας τὸν μητροπολίτην Ῥοστοβίου Ἰώβ. Ἐπ' αὐτοῦ ἐγένετο ἡ ἀνωτέρω συνοδικὴ πρᾶξις περὶ τοῦ πατριάρχου Μοσχοβίας, προεκδοθεῖσα ἐν Τόμῳ Ἀγάπης τοῦ πατριάρχου Ἱεροσολύμων Δοσιθέου, σελ. 541.

ἐστιν ἐπιμέλεια· Πέτρε, γάρ φησι, φιλεῖς με; ποίμαινε τὰ πρόβατά μου (1)· δι' ἣν αἰτίαν καὶ ἡμεῖς πολλοὺς πολλάκις ἀγῶνάς τε καὶ πόνους καὶ κινδύνους ὑπεμείναμέν τε καὶ ὑπομένομεν, ὡς οἴδατε. Καὶ νῦν δὲ, ἐπειδὴ πρὸς ἡμᾶς γράμματα ἀπεστάλη παρὰ τοῦ παναγιωτάτου οἰκουμενικοῦ, τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν, καὶ τῶν λοιπῶν ἀρχιερέων, ἀξιοῦντα παραγενέσθαι ἡμᾶς εἰς Κωνσταντινούπολιν, τῆς Ἐκκλησίας τῶν ἀναγκῶν χάριν, ἐγὼ δὲ καὶ τοῖς γράμμασι τοῖς ἀπὸ Μοσχοβίας τῆς ὀρθοδοξοτάτης παρὰ τοῦ εὐσεβεστάτου Θεοδώρου ἐντυχὼν, καὶ ἑκατέρων τῶν πραγμάτων ὑπερφροντίζων, τῆς τε ἀνάγκης τῆς Ἐκκλησίας καὶ τῆς βασιλικῆς ἀξιώσεως, παρακαλῶ τὴν ὑμετέραν εὐλάβειαν, ἀκριβῶς τὰ λεγόμενα παρ' ἡμῶν σκεψαμένην, συμψηφίσασθαι ἡμῖν περὶ τῶν λεχθησομένων, ὅπερ ἂν δίκαιον εἶναι φανῇ. Πρῶτον τοιγαροῦν, ἐπειδὴ Θεοῦ χάριτι ἡ Ἐκκλησία τοῦ Χριστοῦ κατηρτισμένη ὑπάρχουσα καὶ κατὰ τὰ τῆς εὐσεβείας δόγματα, τελείαν εἴληφε κατάστασιν ἐν τοῖς ὁρισθεῖσι καὶ τρανωθεῖσιν ἀπ' αὐτοῦ τοῦ Σωτῆρος διὰ τῶν Ἀποστόλων καὶ Πατέρων ἁγίων διαπρεψάντων ἐνταῦθα, ἔν τε τῇ ἁγίᾳ συνόδῳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ, καὶ ταῖς καθεξῆς οἰκουμενικαῖς ἓξ συνόδοις, μέχρι τῆς Ζ'. τῆς τὸ δεύτερον ἐν Νικαίᾳ συναθροισθείσης, ὡσαύτως καὶ ταῖς μεταξὺ τῶν ἑπτὰ οἰκουμενικῶν κατὰ διαφόρους καιροὺς συναχθείσαις τοπικαῖς τῶν Ὀρθοδόξων συνόδοις· ἐπειδὴ τοίνυν τὸ τέλειον εἴληφεν ἡ τῶν Ὀρθοδόξων Ἐκκλησία, οὐ μόνον κατὰ τὰ τῆς θεογνωσίας καὶ εὐσεβείας δόγματα, ἀλλὰ καὶ κατὰ τὴν ἱερὰν τῶν ἐκκλησιαστικῶν πραγμάτων κατάστασιν, δίκαιόν ἐστι καὶ ἡμᾶς πάντα νεωτερισμὸν τῶν τῆς Ἐκκλησίας περιβόλων περιορίζειν, εἰδότας ὑπαιτίους γεγονέναι ἀεὶ τοὺς νεωτερισμοὺς τῆς τῶν Ἐκκλησιῶν συγχύσεώς τε καὶ διαστάσεως, ἀλλὰ τοῖς ὅροις ἕπεσθαι τῶν ἁγίων Πατέρων, τὰ παρ' αὐτῶν δογματισθέντα ἀπαράτρεπτα, δίχα προσθήκης ἡστινοσοῦν, καὶ χωρὶς ἀφαιρέσεως ἐνστερνιζομένους κατὰ τὸν ά. τῆς οἰκουμενικῆς Ζ'. συνόδου κανόνα, οὕτως ἔχοντα· Τοῖς τὴν ἱερατικὴν λαχοῦσιν ἀξίαν, μαρτύριά τε

(1) Ἰω. ΚΑ', 16.

καὶ κατορθώματα, αἱ τῶν κανονικῶν διατάξεών εἰσιν ὑποτυπώσεις· ἃς ἀσμένως δεχόμενοι, μετὰ τοῦ θεοφάντορος Δαυὶδ ᾄδομεν πρὸς τὸν Δεσπότην Θεὸν, λέγοντες· Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ(1)· καὶ, Ἐνετείλω δικαιοσύνην, τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με καὶ ζήσομαι (2). Καὶ, Εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὴ ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ Θεοῦ(3), καὶ ζῆν ἐν αὐτοῖς, δηλονότι ἀκράδαντα καὶ ἀσάλευτα διαμένοντα, ὅτι καὶ ὁ θεόπτης Μωϋσῆς οὕτω φησίν· Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν(4). Καὶ ὁ θεῖος Ἀπόστολος Πέτρος ἐν αὐτοῖς ἐγκαυχώμενος βοᾷ· Εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι(5). Καὶ ὁ Παῦλός φησι· Κἂν ἡμεῖς, ἢ Ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω(6). Τούτων οὖν οὕτως ὄντων, καὶ διαμαρτυρουμένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕροι σκῦλα πολλὰ, ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευτον κρατύνομεν, τῶν ἐκτεθέντων ὑπὸ τῶν ἁγίων σαλπίγγων τοῦ Πνεύματος, τῶν πανευφήμων Ἀποστόλων, τῶν τε ἐξ ἁγίων οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶν συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων διαταγμάτων, καὶ τῶν ἁγίων Πατέρων ἡμῶν· ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ Πνεύματος αὐγασθέντες ὥρισαν τὰ συμφέροντα. Καὶ οὓς μὲν τῷ ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ τῇ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν· Ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν (7), ὁ ἀναβεβηκὼς εἰς τρίτον οὐρανὸν, καὶ ἀκούσας ἄῤῥητα ῥήματα, Παῦλος ὁ θεῖος Ἀπόστολος διαῤῥήδην βοᾷ· ἀνακηρύττοντες καὶ τὸ ἅγιον σύμβολον τῶν Ὀρθοδόξων Πατέρων, καθὼς διὰ τοσούτων καὶ τηλικούτων συνόδων διεφυλάχθη, ἔχει δὲ οὕτω· Πιστεύω εἰς ἕνα Θεὸν, κτλ. Τούτων οὕτω ῥηθέντων παρὰ τοῦ μακαριωτάτου Ἀλεξανδρείας, Ἱερεμίας ὁ παναγιώτατος πατριάρχης ὁ οἰκουμενικὸς εἶπε· Ταῦτα μὲν ἅπαντες καὶ ὡμολογήσαμεν, εὐθὺς τοῦ βαθμοῦ τῆς ἀρχιερωσύνης, μάλιστα

(1) Ψαλμ. ΡΙΗ', 14. — (2) Ψαλμ. ΡΙΗ, 138, 144. — (3) Ψαλμ. ΡΙΗ', 89. (4) Δευτ. ΙΒ', 32. — (5) ά. Πέτρ. Α'. 12. — (6) Γαλ. Α', 8. — (7) Ἑβρ. ΙΓ', 5.

δὲ καὶ αὐτοῦ τοῦ θείου δαπτίσματος ἀξιωθέντες, καὶ ὁμολογοῦμεν, καὶ παρὰ πάντων ταῦτα φυλάττεσθαι διακελευόμεθα, τοῖς Πατράσιν ἡμῶν κατὰ πάντα ἑπόμενοι, καὶ, οὓς ἀσπάζονται ἐκεῖνοι, ἀσπαζόμεθα καὶ ἡμεῖς, οὓς δὲ ἀποδοκιμάζουσι, καὶ ἡμεῖς ἀποδοκιμάζομεν, καθὼς καὶ ὁ ά. κανὼν τῆς ἁγίας οἰκουμενικῆς συνόδου, τῆς ἐν Χαλκηδόνι, προεσήμανε, καὶ ὁ ά. τῆς Ζ'. ἐτράνωσε. Μελέτιος ὁ μακαριώτατος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ ἡ τῶν πατριαρχικῶν θρόνων κατάστασις ἦν μὲν καὶ παλαιᾷ τινι συνηθείᾳ τῆς Καθολικῆς Ἐκκλησίας προχαραχθεῖσα, τρανώτερον δ' ἐτυπώθη κατὰ τὴν ἁγίαν οἰκουμενικὴν Α'. σύνοδον, ὡς ὁ ταύτης ϛ'. δείκνυσι κανὼν, ἔχει δὲ οὕτω· Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει, ὥστε τὸν ἐν Ἀλεξανδρείᾳ ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν· ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχειαν, καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις, τὰ πρεσβεῖα σώζεσθαι ταῖς Ἐκκλησίαις· καθόλου δὲ πρόδηλον ἐκεῖνο· ὅτι, εἴ τις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τὸν τοιοῦτον ἡ μεγάλη σύνοδος ὥρισε μὴ δεῖν εἶναι ἐπίσκοπον· ἐὰν μέντοι τῇ κοινῇ πάντων ψήφῳ, εὐλόγῳ οὔσῃ, καὶ κατὰ κανόνα ἐκκλησιαστικὸν, δύο, ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσι, κρατείτω ἡ τῶν πλειόνων ψῆφος· καὶ ὁ ζ'., ἐν ᾧ τὸν Αἰλίας ἐτίμησε θρόνον, τῇ τοῦ Σωτῆρος ἡμῶν διὰ σαρκὸς οἰκονομίᾳ κατ' ἐκείνην τὴν χώραν γεγενημένῃ νέμοντες προσῆκον σέβας, εἰ καὶ ἔσχατα τῶν ἄλλων πατριαρχικῶν θρόνων, ἵνα μὴ φαντασίαν τινὰ παράσχοιεν (τῶν ἄλλων προτιμήσαντες) τὴν τοῦ Χριστοῦ δασιλείαν δοξάζειν ἐπίγειον· δεῖ δέ με τοῖς εὐσεδεστάτοις γράμμασι τοῦ θεοστέπτου δασιλέως ἀποκριθῆναι· παρακαλῶ καὶ τὴν ὑμετέραν εὐλάδειαν, εἰ δίκαια δόξω λέγειν, καὶ τῶν Πατρικῶν ὅρων ἐχόμενα, δοκιμάσαι καὶ συμψηφίσαι συνοδικῶς. Κρίνω τοίνυν δίκαιον εἶναι τὴν Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι κοσμηθεῖσαν δασιλείᾳ πόλιν ὀρθοδοξοτάτην Μοσχοδίας, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς μεγαλύνεσθαι πράγμασι κατὰ τὸν κή. κανόνα τῆς Δ'. Οἰκουμενικῆς συνόδου τῶν ΧΛ'. ἁγίων Πατέρων τῶν ἐν Χαλκηδόνι, λέγοντα οὕτω· Πανταχοῦ τοῖς τῶν ἁγίων Πατέρων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ἑκα-

τὸν πεντήκοντα θεοφιλεστάτων ἐπισκόπων, τῶν συναχθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου, τοῦ γενομένου βασιλέως, ἐν τῇ βασιλίδι Κωνσταντίνου πόλει Νέᾳ Ῥώμῃ, γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁριζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης Ἐκκλησίας τῆς αὐτῆς Κωνσταντινουπόλεως Νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ Πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα. Καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς Νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες, τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν. Καὶ ὥστε τοὺς τῆς Ποντικῆς, καὶ τῆς Ἀσιανῆς, καὶ τῆς Θρακικῆς διοικήσεως μητροπολίτας μόνους, ἔτι δὲ καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἐπισκόπους τῶν προειρημένων διοικήσεων χειροτονεῖσθαι ὑπὸ τοῦ προειρημένου ἁγιωτάτου θρόνου τῆς κατὰ τὴν Κωνσταντινούπολιν ἁγιωτάτης Ἐκκλησίας· δηλαδὴ ἑκάστου μητροπολίτου τῶν προειρημένων διοικήσεων μετὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, καθὼς τοῖς θείοις κανόσι διηγόρευται· χειροτονεῖσθαι δὲ, καθὼς εἴρηται, τοὺς μητροπολίτας τῶν προειρημένων διοικήσεων παρὰ τοῦ Κωνσταντινουπόλεως ἀρχιεπισκόπου, ψηφισμάτων συμφώνων κατὰ τὸ ἔθος γινομένων, καὶ ἐπ' αὐτὸν ἀναφερομένων· καὶ κατὰ τὸν γ'. κανόνα τῆς ἐν Κωνσταντινουπόλει δευτέρας οἰκουμενικῆς συνόδου, ἔχοντα οὕτω· « Τὸν μέν τοι Κωνσταντινουπόλεως ἐπίσκοπον ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην. » Ἀλλ' οὐδὲ ἡ ἁγία καὶ μεγάλη σύνοδος τῶν ΤΙΗ'. θεοφόρων Πατέρων φαίνεται δι' ἄλλον τινὰ λόγον διανείμασα τάξεις τε καὶ ἐπαρχίας τοῖς πατριαρχικοῖς θρόνοις, οὓς ἐτυπώσατο, εἰμὴ πρὸς τὰ τῶν βασιλειῶν ἀξιώματα, Ἀλεξάνδρειαν προκαθιδρύσασα Αἰγύπτου, Λιβύης, καὶ τῶν λοιπῶν, Ἀντιόχειαν δὲ, Ἀσσυρίων καὶ πάσης Ἀνατολῆς· ὡς δὲ Εὐρώπης τὴν Ῥώμην, οὕτως Ἀσίας Κωνσταντινούπολιν, ἢ καὶ

μετέπειτα τῶν ἴσων πρεσβείων ἠξιώθη τῆς πρεσβυτέρας διὰ τὸ μετατεθῆναι ἐκεῖθεν ἐνθάδε τὸ βασίλειον, ὥσπερ διορίζεται ὁ λϛ'. τῆς ἐν τῷ Τρούλλῳ ἁγίας συνόδου κανὼν, ἔχων οὕτως· Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων, τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν ἑξακοσίων τριάκοντα, τῶν ἐν Χαλκηδόνι συναθροισθέντων, νομοθετηθέντα, ὁρίζομεν, ὥστε τὸν Κωνσταντινουπόλεως θρόνον, τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρόνου, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς, ὡς ἐκεῖνον, μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ Ἀντιοχείας, καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως.» Δίκαιον οὖν κρίνω, καὶ τὴν ἁγίαν ταύτην καὶ μεγάλην σύνοδον κρίνειν, ἀξιῶ τὸν θρόνον τῆς εὐσεβεστάτης καὶ ὀρθοδόξου πόλεως Μοσχόβου εἶναί τε καὶ λέγεσθαι Πατριαρχεῖον διὰ τὸ βασιλείας ἀξιωθῆναι παρὰ Θεοῦ τὴν χώραν ταύτην, πᾶσάν τε Ῥωσίαν καὶ τὰ ὑπερβόρεια μέρη ὑποτάττεσθαι τῷ πατριαρχικῷ θρόνῳ Μοσχόβου καὶ πάσης Ῥωσίας, καὶ τῶν ὑπερβορείων μερῶν, ἔχειν τὸν τόπον αὐτοῦ μετὰ τὸν μακαριώτατον Ἱεροσολύμων ἔν τε τοῖς ἱεροῖς διπτύχοις, καὶ ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσιν, ἵνα τοὺς προῤῥηθέντας τῶν ἁγίων Πατέρων κανόνας ἀπαρασαλεύτως τηρήσωμεν, ὑπερέχειν τε ἐπισκόπων, μητροπολιτῶν, ἀρχιεπισκόπων ἐν ὅλῃ τῇ Καθολικῇ τῶν Ὀρθοδόξων τοῦ Χριστοῦ Ἐκκλησίᾳ· τῆς δὲ παροικίας ἐκείνης Μοσχόβου καὶ πάσης Ῥωσίας καὶ τῶν ὑπερβορείων μερῶν κεφαλὴν εἶναι καὶ ἐπιγινώσκεσθαι κατὰ τὸν λδ'. κανόνα τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, οὕτω διαγορεύοντα· « Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης, ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὴν χώραις· ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι· οὕτω γὰρ ὁμόνοια ἔσται καὶ δοξασθήσεται ὁ Θεὸς διὰ Κυρίου ἐν ἁγίῳ Πνεύματι, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα· ἀδελφόν τε εἶναι καὶ λέγεσθαι τῶν Ὀρθοδόξων πατριαρχῶν μετὰ ταύτης τῆς ἐπωνυμίας ὁμοταγῆ

καὶ σύνθρονον, ἴσον τε τῇ τάξει καὶ τῇ ἀξίᾳ, ἐπιγράφεσθαί τε καὶ ὑπογράφεσθαι κατὰ τὴν συνήθειαν τῶν Ὀρθοδόξων πατριαρχῶν, πατριάρχης Μοσχόβου καὶ πάσης Ῥωσίας καὶ τῶν ὑπερβορείων μερῶν· ἐν δὲ τῇ χειροτονίᾳ φυλάττεσθαι τὴν τάξιν τῆς Ἐκκλησίας, τοῦ πρωτοθρόνου τῶν ἀρχιερέων ἐκφωνοῦντος τὴν εὐχήν. Ἐγὼ μὲν οὖν ταῦτα οὕτω κρίνω· ἡ δὲ ἁγία σύνοδος ἀποφηνάτω τὸ δόξαν. Ἱερεμίας, ὁ παναγιώτατος οἰκουμενικὸς, εἶπε· Τοῦτο καὶ ἡμεῖς πρότερον καὶ ἐπράξαμεν, καὶ ἐγγράφως ἐδηλώσαμεν τῷ εὐσεβεςάτῳ βασιλεῖ. Σωφρόνιος ὁ Ἱεροσολύμων μακαριώτατος πατριάρχης ἔφη· Καὶ αὐτὸς ἀπαραλλάκτως τὰ αὐτὰ ἀποφαίνομαι. Ἡ ἁγία σύνοδος ὁμοθυμαδὸν εἶπε· Τοῦτο, ἐπειδὴ κατὰ τοὺς ἱεροὺς νόμους κέκριται, ἅπαντες στέργομεν, καὶ τοῦτο δὲ περὶ τῆς βασιλείας ἐκείνης κρίνομεν, ἵνα ὁ εὐσεβέστατος βασιλεὺς Μοσχόβου καὶ αὐτοκράτωρ πάσης Ῥωσίας καὶ τῶν ὑπερβορείων μερῶν, καθὼς μέχρι σήμερον ἐν ταῖς ἱεραῖς τελεταῖς τῆς Ἀνατολικῆς Ἐκκλησίας ἔχει τὸ μνημόσυνον αὐτοῦ, καὶ ἐν ταῖς ἁγίαις προθέσεσι καὶ ἱεροῖς διπτύχοις, οὕτω καὶ ἐν τῇ ἀρχῇ τοῦ Ἑξαψάλμου, μετὰ τὴν συμπλήρωσιν τῶν δύο ψαλμῶν, ὑπὲρ τοῦ βασιλέως λεγομένων, ἐκφωνῆται κατὰ τὴν ἐκφώνησιν ἐκείνην κατ᾽ ὄνομα, ὡς ὀρθοδοξότατος βασιλεύς. Πάντες εἶπον· Καὶ τοῦτο εὔλογον. Κρίνομεν δὲ καὶ τοῦτο, δεῖν πεμφθῆναι τὴν πρᾶξιν ταύτην δι᾽ ὑπογραφῶν ἡμετέρων ἠσφαλισμένην τῷ εὐσεβεστάτῳ βασιλεῖ Μοσχόβου, καὶ τῷ μακαριωτάτῳ Ἰὼβ, πατριάρχῃ πάσης Ῥωσίας καὶ τῶν ὑπερβορείων μερῶν. Πάντες εἶπον· Ἀρέσκει.

ΝΕΟΦΥΤΟΥ (1).

ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΓΑΜΙΚΩΝ ΚΕΦΑΛΑΙΩΝ.

Νεόφυτος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ τοῦ τε ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Θεοφάνους, καὶ τῶν παρατυχόντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ποθεινοτάτων ἀδελφῶν καὶ συλλειτουργῶν, ἐπὶ θεωρίᾳ καὶ ἐπισκέψει ἐκκλησιαστικῶν τινων ἀναγκαίων ὑποθέσεων· πρὸς τοῖς ἄλλοις τοῖς παρὰ τῶν ἀρχιερέων προβαλλομένοις ζητήμασι, μετὰ πολλῆς ἐφέσεως καὶ ἱκεσίας παρὰ πολλῶν τότε συνεισρευσάντων οὐ μόνον ἀρχιερέων, ἀλλὰ δὴ καὶ λαϊκῶν, ἀπῃτήθη, καὶ ἠρωτήθη, τίνι τρόπῳ, καὶ διὰ ποίαν αἰτίαν εὑρίσκονται ἀμφιβαλλόμενα τὰ δύο ταῦτα, τὸ μὴ ἐξεῖναι δυσὶν ἀδελφοῖς δύο πρωτεξαδέλφας λαβεῖν, καὶ τὸ κωλύεσθαι εἰς γάμου κοινωνίαν ἐλθεῖν τὸν σαρκικὸν υἱὸν τοῦ ἀναδόχου εἰς ἐπ' ἀδελφῷ ἀνεψιὰν τοῦ ἀναδεχθέντος ὑπ' αὐτοῦ· ὧν τὴν ἀμφιβολίαν λῦσαι βουλόμενοι, ἀναπτύξαντες τοὺς θείους καὶ ἱεροὺς νόμους τε καὶ κανόνας, εὕρομεν τὸν μὲν ἐξ ἀγχιστείας τοῦτον γάμον παρ' οὐδεμιᾶς ἄλλης συνόδου κυρωθέντα ὡς ἐκ τοῦ βαθμοῦ τυγχάνοντα, εἰ μὴ μόνον ἐπὶ τῆς πατριαρχείας τοῦ Σισιννίου ἐκείνου, ὃν καὶ μετὰ ταῦτα ὁ ἀοίδιμος καὶ εὐσεβέστατος βασιλεὺς κὺρ Ἀλέξιος ὁ Κομνηνὸς διὰ θεσπίσματος αὐτοῦ βασιλικοῦ οὑτωσὶ κατὰ λέξιν διακελεύεται, καὶ συγχώρησιν, ὡς φαίνεταιν, δίδωσι, ὡς ἂν καὶ ἀμφότερα καλῶς διαφυλαχθῶσι, καὶ σεβασθῶσιν, ἥ τε μεγαλειότης τῶν βασιλικῶν τε καὶ ἀρχιερατικῶν διαταγμάτων, καὶ ἡ

(1) Νεόφυτος ὁ Β΄. ἐκλεχθεὶς οἰκουμενικὸς πατριάρχης τὸ ἔτος 1600, ἐπὶ τοῦ Σουλτάνου Μεχμέτη τοῦ Γ΄., ἐκπίπτει μετὰ ἔτος ἓν καὶ μῆνας δύο, ἀλλὰ καλεῖται αὖθις εἰς τὴν διοίκησιν τῆς Ἐκκλησίας τὸ ἔτος 1608, καὶ μετὰ ἓξ ἔτη ἀποβάλλεται. Τὸ σημείωμα τοῦτο ἐκδίδεται ἤδη πρῶτον ἐκ χειρογράφου τοῦ Νομίμου τοῦ Μαλαξοῦ, σωζομένου ἐν τῇ ἐθνικῇ βιβλιοθήκῃ Ἀθηνῶν.

τῶν νόμων, καὶ ἡ τῶν κανόνων ἀκρίβεια· μήτε παντελῆ δοτέον τῷ τόμῳ τούτῳ τὴν λύσιν, μήτε πάντη ἐπιτρεπτέον αὐτῷ καὶ αὖθις τὸ ἐνεργόν· ἀλλὰ τὴν μέσην βαδιστέον, ὅ φασι, καὶ βασιλικὴν, καὶ ἄμφω συντηρητέον, τό τε περὶ τὸν τομογράφον ἐκεῖνον ἀρχιερέα σέβας, καὶ τοὺς ἐπιμνησθέντας τοῦ τόμου βασιλεῖς, καὶ τὸ μηδένα τοῖς νόμοις ἀπᾷδον καὶ τοῖς κανόσι προτρέψασθαι, ὅπερ ὁ τοιοῦτος τόμος προεισήνεγκε· χρὴ γὰρ τὸ ἀπὸ τοῦ τοιούτου εἰσενηνεγμένον συνάλλαγμα, ἤδη μὲν συντελεσθὲν καὶ πρὸ ἐρωτήσεως, μὴ διασπᾶσθαι· ἐπιτιμίοις δὲ τοὺς οὕτως εἰς γάμον ἁρμοσθέντας βαρύνεσθαι κατὰ τὴν κρίσιν καὶ δοκιμασίαν τοῦ κατὰ τόπον ἀρχιερέως, καὶ συντηρεῖσθαι τούτοις τὸ συνοικέσιον· φθάσαν δὲ πεσεῖν εἰς ἐρώτησιν, μὴ ἐνδίδοσθαι χωρὶς τῶν ἀνηκόντων ἐπιτιμίων καὶ ἐντολῶν, δι' ὃ σέβας ἄνωθεν εἴρηται· μηδὲ ἀδεῶς, καὶ ἀνυποστόλως, καὶ ἀναιτίως τοῖς ἐρωτήσασιν ἐπιτρέπεσθαι, ἀλλὰ μετὰ ἐντολῆς, μᾶλλον δὲ καὶ εἰς ἀνάμνησιν τοῦ ῥηθέντος τόμου παρὰ τῆς Ἐκκλησίας λαμβάνειν αὐτοὺς, καὶ τῶν ἐν αὐτῷ διατεταγμένων· καὶ εἰ μὲν τὸ θέσπισμα τιμᾶν προαιρούμενοι, καὶ τὰ ἐν αὐτῷ διειλημμένα φυλάττειν ἀπαρασάλευτα βούλοιντο, ἐπαινετέοι πάντως εἰσίν· εἰ δὲ τὸ παρ' αὐτοῦ κεκωλυμένον διαπράττεσθαι προαιροῖντο, ἐκχωρηθήσονται μὲν τοῦτο ποιεῖν, πλὴν ὅμως τοῖς προσήκουσιν ἐπιτιμίοις καθυπαγόμενοι (1). Τὸν δὲ ἐκ τοῦ θείου βαπτίσματος προειρημένον γάμον, ὡσαύτως καὶ αὐτὸν ἀκώλυτον, καὶ παρὰ μόνου τοῦ Κρητὸς ἐκείνου Ζαχαρίου τοῦ Μαραφαρᾶ ἐμποδιζόμενον· φησὶ γὰρ ῥητῶς ὁ κανών· Οὐ δύναμαι λαβεῖν ἣν ἐκ τοῦ ἁγίου βαπτίσματος ἀνεδεξάμην· οὔτε τὴν ταύτης μητέρα, ἢ θυγατέρα (2)· καὶ παρακατιὼν, λέγει· Ταῦτα μόνα παραφυλακτέα· τὰ δὲ ἐπέκεινα, ἀπαρατηρήτως πρὸς γάμον συνάπτεσθαι. Καὶ εἰ μὲν τὰ τοιαῦτα συναλλάγματα τότε ἐλύθησαν καὶ ἐγίνοντο χριστιανισμοῦ ὄντος, καὶ τῆς ἀκριβείας αὐξανομένης, πολλῷ μᾶλλον τὰ νῦν συμφέρει γίνεσθαι διὰ τὴν δυστυχίαν καὶ στενοχωρίαν τοῦ γένους. Διὸ καὶ γράφοντες ἀποφαινόμεθα ἐν ἁγίῳ Πνεύματι γνώμῃ κοινῇ συνοδικῶς, ἵνα ὁ μὲν γάμος οὗτος,

---

(1) Ὅρα Βαλσαμ. εἰς Φωτίου Νομοκάν. τίτλ. ΙΓ'. κεφ. Β'. σελ. 283. τοῦ Δ' Τόμ. — (2) Κανὼν ΝΓ'. τῆς ς'.

ὡς τὸν ἀριθμὸν τῆς κατὰ πᾶσαν ἀνάγκην ὀφειλομένης παραφυλακῆς τῆς ἐξ ἀγχιστείας συγγενείας τοῦ ἕκτου βαθμοῦ σῶον ἔχων, μόνην δὲ παρατήρησιν (ἥτις καὶ αὕτη εἰς οὐδὲν λογίζεται), εἴη συγκεχωρημένος καὶ λελυμένος, καὶ γίνηται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀποκριματίστως καὶ ἀδιστάκτως, χωρίς τινος ἐπιτιμίου καὶ κανόνος. Εἰ γὰρ καὶ τότε ὁ ἀοίδιμος βασιλεὺς, καὶ ἡ περὶ αὐτὸν ἱερὰ σύνοδος, διὰ τὸ πρὸς τὸν πατριάρχην ἐκεῖνον Σισίνιον σέβας, μετά τινος ἐπιτιμίου καὶ ἐντολῆς ἐθέσπισαν γίνεσθαι, ἀλλ' ὅμως ἡμεῖς καὶ πρὸς τὴν τοῦ καιροῦ κατάστασιν καὶ τοῦ ἡμετέρου γένους δουλείαν, καὶ τὸ τῶν πολλῶν μικρόψυχον ἀποβλέποντες, τοῦ ἐπιτιμίου τοὺς συναπτομένους ἀπολύομεν, καὶ ταῦτα, ἵνα μηκέτι τοῖς πρὸς φιλοχρηματίαν μόνην τὸ ὄμμα ῥέπουσι λαβὴν ἐπιδαψιλεύσωμεν· ὁ δὲ ἐκ τοῦ ἁγίου βαπτίσματος εἰς τὰ ἀνωτέρω προῤῥηθέντα καὶ μόνον πρόσωπα φυλάττηται, τὰ δὲ περαιτέρω, ὡς πλάγια, γίνωνται ἀκωλύτως, καὶ δίχα τῆς οἱανοῦν ἀμφιβολίας καὶ ὑποψίας, ἐξῃρημένων τῶν κατιόντων ἐξ αὐτῶν τῶν δύο πνευματικῶν ἀδελφῶν, ἤτοι τοῦ σαρκικοῦ υἱοῦ τοῦ ἀναδόχου, καὶ τοῦ ἀναδεχθέντος ὑπ' αὐτοῦ, ὧν ἡ πνευματικὴ συγγένεια τηρεῖται ἄχρι τοῦ ἑβδόμου βαθμοῦ, καὶ λύεται εἰς τὸν ὄγδοον, ὥσπερ καὶ ἡ ἐξ αἵματος(1).

Τὸ μὲν φυλάττεσθαι, καὶ διατηρεῖσθαι, καὶ περισώζεσθαι τοὺς θείους καὶ ἱεροὺς νόμους καὶ κανόνας, καὶ ἔχειν αὐτοὺς τὸ ἀπαρασάλευτον καὶ ἀμεταποίητον, ἀναγκαῖον πάντως καθέστηκε καὶ ἀναντίῤῥητον· τὸ δὲ ἐξεῖναι πάλιν τῇ ἀρχιερατικῇ συνόδῳ καὶ ἄδειαν κεκτῆσθαι μεταβαλεῖν τὰ πράγματα, καὶ ἐξοικονομεῖν κατὰ τοὺς καιρούς, ἵνα μή τις ὄλεθρος ψυχικὸς γένηται, καὶ τοῦτο ὁμολογούμενόν ἐστι καὶ ἀναμφίβολον. Ἐπεὶ τοίνυν τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ τοῦ τε ἁγιωτάτου καὶ μακαριωτάτου πα-

(1) Ὅρα Ἐγχειρίδιον τοῦ Σπανοῦ, Περὶ τῶν συνοικεσίων, κεφ. δ'. καὶ ς'. σελ. 531, 550, καὶ 555, ἔνθα μνημονεύεται σελ. 559 καὶ ὅτι τὸ τέως ἀμφισβητούμενον ζήτημα, εἰ ἐπιτρέπεται ὁ γάμος μεταξὺ προσώπων κοινὸν ἐχόντων ἀνάδοχον, ἐλύθη καταφατικῶς διὰ συνοδικῆς ἀποφάσεως τοῦ ἔτους 1583, ἐπὶ τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ἱερεμίου, ὡς τῆς σχέσεως ταύτης δυσχερέστατα ἀποδεικνυομένης. Περὶ τούτου ἐξεδόθη καὶ συνοδικὸν σημείωμα τοῦ αὐτοῦ Νεοφύτου. Ἐγχειρίδιον Σπανοῦ Κεφ. Γ'. σελ. 559.

τριάρχου Θεοφάνους, καὶ τῶν λοιπῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, πρὸς τοῖς ἄλλοις ἀνηνέχθη εἰς μέσον, καὶ ἐρωτήθη, εἰ δύναται ἀνδρός τινος γυνὴ, ἐν ἀποδημίᾳ τυγχάνοντος, διαζευχθῆναι ἀπ' αὐτοῦ, καὶ ἑτέρῳ συναφθῆναι, πρὸ τοῦ ἐπανελθεῖν αὐτὸν ἀπὸ τῆς ἀποδημίας· καὶ ἀποκρινόμεθα περὶ τούτου, καὶ λέγομεν, ὅτι οἱ μὲν θεῖοι κανόνες ἐξ ἅπαντος ἀπαγορεύουσι καὶ κωλύουσιν αὐτὴν μὴ δύνασθαι αὐτὸ ποιῆσαι πρὸ τῆς ἑπταετίας, ἢ καὶ πενταετίας τοὐλάχιστον· ἡμεῖς δὲ διασκεψάμενοι τὸ περὶ τούτου συνοδικῶς, διά τε τὸ ἀνώμαλον τοῦ καιροῦ, καὶ τὴν τοῦ γένους δουλείαν, καὶ μάλιςα διὰ τὸν ἐνόντα ταῖς γυναιξὶ ψυχικὸν κίνδυνον, γράφομεν ἐν ἁγίῳ Πνεύματι, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, εἴ τις γυνὴ, ἔχουσα ἄνδρα νόμιμον ἀποδημοῦντα καὶ οὐ φροντίζοντα ἐπαναστραφῆναι πρὸς αὐτὴν ἐντὸς τριετίας καὶ μόνης, καὶ συνοικῆσαι μετ' αὐτῆς, καὶ αὐτὴ ὑπὸ ἐνδείας στενοχωρουμένη, καὶ κινδυνεύουσα ψυχικῶς, θελήσῃ τὴν ἀπ' αὐτοῦ διάζευξιν, εἴη διεζευγμένη καὶ κεχωρισμένη ἀπ' αὐτοῦ, καὶ ἔχοι καὶ ἐπ' ἀδείας εἰς ἕτερον ἀπιδεῖν ἔννομον γάμον, παρ' οὐδενὸς ἐναντιουμένη τὸ σύνολον. Πρὸς τούτοις ἔτι ἀπεφάνθη καὶ τοῦτο, εἰ τύχοι τὸν ἀπλῶς θεῖον λαβεῖν ἑνὸς Χριστιανοῦ ἀδελφόπαιδα εἰς γυναῖκα, ἔχειν ἄδειαν καὶ τὸν ἀπλῶς θεῖον αὐτῆς πάλιν ἀγαγέσθαι εἰς γυναῖκα αὐτοῦ νόμιμον τὴν ἐπ' ἀδελφῷ ἀνεψιὰν τοῦ ἀνδρὸς αὐτῆς, καὶ εἰς οὐδὲν μετρεῖσθαι τὴν σύγχυσιν. Ὡσαύτως ἐγένετο καὶ ἀπόφασις, ἵνα καὶ ὁ πρὸ ἐρωτήσεως φθάσας γενέσθαι ἑβδόμου βαθμοῦ γάμος ἐξ αἵματος μὴ διασπᾶται, ἀλλ' ἐκκλησιάζηται ἀνεμποδίστως καὶ ἀκωλύτως διὰ τὴν στενοχωρίαν τοῦ γένους.

Οὕτως ἀποφαινόμεθα συνοδικῶς, μὴ τολμᾷν τινα εἰς τὸ μετέπειτα ἀθετῆσαι καὶ ἀνατρέψαι τὴν παροῦσαν συνοδικὴν διάσκεψιν καὶ ἀπόφασιν, ἐν ἀργίᾳ ἀσυγγνώστῳ, καὶ ἀφορισμῷ ἀλύτῳ καὶ αἰωνίῳ τῷ ἀπὸ Θεοῦ. Ὅθεν εἰς τὴν τούτου δήλωσιν, καὶ διηνεκῆ τὴν ἀσφάλειαν, καὶ πλείονα τὴν διαμονὴν, ἐγένετο τὸ παρὸν ἡμῶν πατριαρχικὸν καὶ συνοδικὸν σημείωμα, καὶ κατεστρώθη τῷ θείῳ καὶ ἱερῷ βασιλικῷ νομίμῳ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας ἐν ἔτει ,ςριθ', μηνὶ Μαΐῳ, ἰνδ. θ'.

ΙΕΡΕΜΙΟΥ (1).

ΓΡΑΜΜΑΤΑ ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ ΠΑΤΡΙΑΡΧΩΝ

Πρὸς τὴν Ἁγιωτάτην Σύνοδον.

Α'. Ἱερεμίας, ἐλέῳ Θεοῦ, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, καὶ οἰκουμενικὸς πατριάρχης.

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, διὰ τῆς χάριτος καὶ ἐξουσίας τοῦ παναγίου, ζωοποιοῦ, καὶ τελεταρχικοῦ Πνεύματος, ἐπικυροῖ, βεβαιοῖ, καὶ ἀποφαίνει τὴν παρὰ τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου αὐτοκράτορος, ἁγίου Βασιλέως πάσης Μοσχοβίας, Μικρᾶς καὶ Λευκῆς Ῥωσσίας, καὶ πάντων τῶν Βορείων, Ἀνατολικῶν, Δυτικῶν, καὶ ἄλλων πολλῶν μερῶν κατεξουσιαστοῦ, κυρίου κυρίου Πέτρου Ἀλεξιάδου Ἰμπεράτορος, τοῦ κατὰ Πνεῦμα τὸ ἅγιον ἀγαπητοῦ καὶ περιποθήτου αὐτῆς, διορισθεῖσαν σύνοδον

(1) Ἱερεμίας ὁ Γ'., μητροπολίτης Καισαρείας, Πάτμιος τὴν πατρίδα, ἀνὴρ εὐσεβείᾳ τε καὶ τρόπων χρηστότητι (κατὰ Δημήτριον τὸν Προκοπίου) σεμνυνόμενος, καὶ τῆς Ἑλληνικῆς δὲ καὶ Ἐκκλησιαστικῆς παιδείας ἐγκρατής, ἐκλεχθεὶς πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1715 ἐπὶ τοῦ Σουλτάνου Ἀχμέτη τοῦ Γ'. ἐπατριάρχευσεν ἔτη δώδεκα. Ἐπ' αὐτοῦ ἐγένοντο τὰ ἑξῆς πατριαρχικὰ γράμματα αὐτοῦ τε καὶ τοῦ πατριάρχου Ἀντιοχείας, περὶ τῆς ἁγιωτάτης Συνόδου τῆς Ῥωσσικῆς Αὐτοκρατορίας, ἐκδιδόμενα ἐνταῦθα, ἐκ φυλλαδίου τυπωθέντος ἐν Πετρουπόλει τὸ ἔτος 1840. — Ἰδοὺ δὲ καὶ ἡ ἐπὶ τούτῳ ἀπευθυνθεῖσα πρὸς τὸν οἰκουμενικὸν πατριάρχην ἐπιστολὴ ὑπὸ τοῦ Αὐτοκράτορος πασῶν τῶν Ῥωσσιῶν Πέτρου τοῦ Μεγάλου, ἧς συνεπείᾳ ἐξεδόθησαν τὰ ἀνωτέρω πατριαρχικὰ γράμματα.

ΓΡΑΜΜΑ ΤΟΥ ΙΜΠΕΡΑΤΟΡΟΣ ΠΕΤΡΟΥ ΤΟΥ ΠΡΩΤΟΥ,

Πρὸς τὸν Πατριάρχην Κωνσταντινουπόλεως Ἱερεμίαν.

Τῷ Παναγιωτάτῳ, σοφωτάτῳ τε καὶ λογιωτάτῳ Οἰκουμενικῷ Πατριάρχῃ Νέας Ῥώμης, Κυρίῳ, Κυρίῳ Ἱερεμίᾳ, τῷ ἐν Χριστῷ Ἡμῶν Πατρί, τὸ ἀνῆκον σέβας χαίρειν ἀδελφικῶς προσαγορεύομεν.

Ὡς εὐπειθὴς υἱὸς τῆς περιποθήτου ἡμῶν Μητρὸς, Ὀρθοδόξου, Καθολικῆς Ἐκκλησίας, διατηρῶν πάντοτε τὴν εὐλάβειαν πρὸς τὴν Ὑμετέραν Παναγιότητα, ὡς πρῶτον αὐτῆς τῆς Ὀρθοδόξου Καθολικῆς Ἐκκλησίας Ἀρχιποιμένα, καὶ κατὰ Πνεῦμα Ἡμῶν Πατέρα, ἐκρίναμεν ἀναγκαῖον γνωστοποιῆσαι ταῦτα. Ἐπειδὴ μεταξὺ τῶν πολλῶν, κατὰ τὸ χρέος τῆς παρὰ Θεοῦ δοθείσης Ἡμῖν ἐξουσίας, φροντίδων περὶ τῆς βελτιώσεως τῆς παρὰ Θεοῦ ἐγχειρισθείσης Ἡμῖν Βασιλείας καὶ τῶν ὑποκειμένων λαῶν, ἐστρέψαμεν τοὺς ὀφθαλμοὺς καὶ τὴν προσοχὴν Ἡμῶν καὶ εἰς τὴν Ἐκκλησιαστικὴν διοίκησιν, καὶ εἰς τὸ Ἱερατεῖον, καὶ

ἐν τῇ Ῥωσσικῇ ἁγίᾳ μεγάλῃ Βασιλείᾳ εἶναι καὶ λέγεσθαι ἡμετέρα ἐν Χριστῷ ἀδελφὴ, Ἁγία καὶ Ἱερὰ Σύνοδος παρὰ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, ἱερωμένων τε καὶ λαϊκῶν, ἀρχόντων καὶ ἀρχομένων, καὶ ἀπὸ παντὸς προσώπου ἀξιωματικοῦ. Καὶ ἔχει ἄδειαν τελεῖν καὶ ἐπιτελεῖν ὅσα οἱ τέσσαρες Ἀποστολικοὶ ἁγιώτατοι πατριαρχικοὶ θρόνοι· νουθετεῖ, παραινεῖ, καὶ ἐπιτάττει αὐτὴν, ἵνα διαφυλάττῃ καὶ κρατῇ

ἰδόντες ἐν αὐτῷ οὐκ ὀλίγας ἀκαταστασίας, καὶ τὰς ὑποθέσεις αὐτοῦ οὐκ ἐν ὀφειλομένῃ εὐταξίᾳ, οὐ μάταιον ἀνελάβομεν ἐν τῷ Ἡμῶν συνειδότι φόβον, ἵνα μήπως φανῶμεν ἀγνώμονες τῇ πανσόφῳ Θείᾳ Προνοίᾳ, εἴπερ τοσούτων ἀξιωθέντες παρ' αὐτῆς εὐοδώσεων εἰς τὴν βελτίωσιν ὅσον τοῦ στρατιωτικοῦ, τόσον καὶ τοῦ πολιτικοῦ τάγματος, ἀμελήσομεν τὴν διόρθωσιν τῆς τε Ἐκκλησιαστικῆς Διοικήσεως καὶ τοῦ Ἱερατείου, καὶ ἵνα μὴ εὑρεθῶμεν ἀναπολόγητοι, ὅτε ὁ ἀπροσωπόληπτος Κριτὴς μέλλει ζητεῖν παρ' Ἡμῶν λόγον περὶ τῆς τοσαύτης παρ' Αὐτοῦ ἐγχειρισθείσης Ἡμῖν ἐπιστασίας. Ὅθεν κατὰ τὸ παράδειγμα τῶν πρώτων ἔν τε τῇ Παλαιᾷ καὶ ἐν τῇ Νέᾳ Διαθήκῃ εὐσεβῶν Βασιλέων, ἀναλαβόντες φροντίδα καὶ ζῆλον ἕνεκα τῆς τε Ἐκκλησιαστικῆς διορθώσεως καὶ τοῦ Ἱερατείου, καὶ μὴ ἔχοντες εἰς τοῦτο ἁρμοδιώτερον μέσον παρὰ τὴν Συνοδικὴν Διοίκησιν, διὰ τοῦτο μετὰ πολλὴν ὀρθὴν κρίσιν καὶ βουλὴν μετά τε τοῦ Ἱερατείου καὶ τοῦ τῶν λαϊκῶν τάγματος τοῦ Ἡμετέρου Βασιλείου, ἐνεκρίναμεν συστῆσαι Πνευματικὴν Σύνοδον, ἰσοδυναμοῦσαν τοῖς Πατριάρχαις, ὅ ἐστι, μίαν ἀνωτάτην πνευματικὴν διοικητικὴν ὁμήγυριν, πρὸς κυβέρνησιν τῆς Ῥωσσικῆς Ἐκκλησίας τοῦ Ἡμετέρου Βασιλείου κράτους, ἀπὸ ἄξια ἱερωμένα ὑποκείμενα Ἀρχιερέων τε καὶ Κοινοβιαρχῶν, ἀποχρῶντα τὸν ἀριθμὸν, καὶ διετάξαμεν Ἡμετέρῳ θεσπίσματι πᾶσι τοῖς ὑπηκόοις Ἡμῶν, κληρικοῖς τε καὶ λαϊκοῖς, λογίζεσθαι ταύτην σεβασμίαν καὶ ἱκανὴν Διοίκησιν, καὶ ὑπείκειν αὐτῇ τῇ Συνόδῳ ἐν πᾶσι τοῖς Ἐκκλησιαστικοῖς πράγμασι, καθὼς ὑπετάσσοντο τοῖς πρότερον Πατριάρχαις πάσης Ῥωσσίας. Ταύτῃ τε τῇ Ἱερᾷ καὶ Ἁγιωτάτῃ Συνόδῳ διωρίσαμεν διὰ τῆς γενομένης διατάξεως, ὅπως διοικῶσι τὴν Ἁγίαν Ἐκκλησίαν ἐν πᾶσιν ἀπαραλλάκτως κατὰ τὰ δόγματα τῆς Ἁγίας Ὀρθοδόξου Καθολικῆς Ἐκκλησίας τοῦ Ἀνατολικοῦ δόγματος, καὶ κατέχωσι ταῦτα τὰ δόγματα ὡς κανόνα ἀλάνθαστον τῆς Ἐκκλησιαστικῆς διοικήσεως· ἐφ' ᾧ δι' ὁρκωμοσίας ἔνδον τῆς Ἁγίας Καθολικῆς Ἐκκλησίας, ἀσπασθέντες τὸν τίμιον Σταυρὸν, καὶ ἰδιοχείρως ὑπογραφέντες, ὑπεχρέωσαν ἑαυτοὺς εἰς τοῦτο. Πεποίθαμεν οὖν, ὅτι καὶ ἡ Ὑμετέρα Παναγιότης, ὡς πρῶτος Ἀρχιερεὺς τῆς Ὀρθοδόξου, Καθολικῆς καὶ Ἀνατολικῆς Ἐκκλησίας, τὸ Ἡμέτερον τοῦτο διάταγμα, καὶ τὴν συστηθεῖσαν Πνευματικὴν Σύνοδον, εὐδοκήσαντες ὁμολογήσητε δίκαιον, καὶ περὶ τούτου διακοινώσετε τοῖς λοιποῖς μακαριωτάτοις Πατριάρχαις, τῷ τε Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων.

Ἐπειδὴ δὲ Ἡμεῖς πανευμενῶς προσετάξαμεν ταύτῃ τῇ Ἁγιωτάτῃ Πνευματικῇ Συνόδῳ ἔχειν μετὰ τῆς Ὑμετέρας Παναγιότητος ἀναφορὰν καὶ ἀλληλογραφίαν ἐν πάσαις ταῖς Ἐκκλησιαστικαῖς ὑποθέσεσιν, ἀξιοῦμεν καὶ τὴν Ὑμε-

ἀπαρασάλευτα ἔθη καὶ κανόνας τῶν ἱερῶν Οἰκουμενικῶν ἁγίων ἑπτὰ Συνόδων, καὶ ἄλλα ὅσα ἡ Ἀνατολικὴ ἁγία Ἐκκλησία διακρατεῖ, καὶ διαμένῃ εἰς αἰῶνα τὸν ἅπαντα ἀπαρασάλευτος.

τέραν Παναγιότητα, ὅπως εὐδοκήσαντες διατηρῆτε μετὰ τῆς Συνόδου ταύτης ἀλληλογραφίαν καὶ ἀναφορὰν περὶ τὰς πνευματικὰς ὑποθέσεις, ὅσαι συντελοῦσιν εἰς τὸ συμφέρον τῆς Ἐκκλησίας, ὥσπερ καὶ πρότερον τοῦτο διετηρεῖτο μετὰ τῶν Πατριαρχῶν πάσης Ῥωσσίας. Εἰ δέ ποτε ἐξαιτήσωνται παρὰ τῆς Ὑμετέρας Παναγιότητος ὁποιανδήτινα καλὴν συμβουλὴν πρὸς ὄφελος καὶ κρείττονα οἰκονομίαν τῆς Ἐκκλησίας, παρακαλοῦμεν ἐν τοιαύτῃ περιστάσει μὴ ἀπαξιῶσαι αὐτοὺς τούτου διὰ τὸ κοινὸν συμφέρον τῶν ὀρθοδόξων, ἐφ' ᾧ ἡμεῖς μετ' ἰδιαζούσης πρὸς τὴν Ὑμετέραν Παναγιότητα εὐμενείας ἡμῶν ὑποσχόμεθα ἐνδεικνύειν πᾶσαν συγκατάβασιν πρὸς τὰ Ὑμέτερα ζητήματα.

Ἐν τοσούτῳ κοινοποιοῦμεν πρὸς τὴν Ὑμετέραν Παναγιότητα καὶ περὶ τοῦ, ὅτι ἀφάτοις κρίμασιν ὁ ὕψιστος Θεὸς, κατὰ τὴν πρὸς ἡμᾶς ὑπερβάλλουσαν Αὐτοῦ εὐσπλαγχνίαν, ηὐδόκησε χαρίσασθαι Ἡμῖν τὸ θεῖον Αὐτοῦ ἔλεος, εὐλογήσας καὶ χαροποιήσας Ἡμᾶς τε καὶ τὸν Ἡμέτερον λαόν· ἐπειδὴ κατὰ τὸ ἐνεστὼς ἔτος, τῇ 30 Αὐγούστου, ὁ διαρκέσας μεταξὺ Ἡμῶν καὶ τῆς Σβεκίας πολυχρόνιος καὶ σκληρὸς πόλεμος ὑπὲρ τὴν εἰκοσαετίαν, διὰ τῶν εὐτυχῶν καὶ τροπαιοφόρων Ἡμετέρων ὅπλων ἔλαβεν αἴσιον τέλος ἐν τῇ συνελεύσει τῇ γενομένῃ ἐν τῇ πόλει Νεϊστάτ. Διὰ γὰρ τῶν πληρεξουσίων ὑποκειμένων ἀμφοτέρων τῶν μερῶν, συνεφωνήθη μεταξὺ Ἡμῶν καὶ τῆς Σβεκίας αἰώνιος εἰρήνη, καὶ τοιουτοτρόπως ἡ Σβεκία παρεχώρησεν Ἡμῖν, ἵνα διὰ παντὸς κυριεύωμεν τὰς διὰ τῶν ὅπλων Ἡμῶν πολεμηθείσας τοπαρχίας κατὰ τὸν αἰγιαλὸν τῆς Βαλτικῆς θαλάσσης, Λιβονίαν, Αἰστλανδίαν, Ἰνγερμονλανδίαν, καὶ μέρος τι τῆς Καρελίας, καὶ τοῦ Πριγκιπάτου τῆς Φινλανδίας, σὺν πάσαις ταῖς πόλεσι, καὶ χώραις, καὶ λιμέσι, τουτέστι τὰς ἐπισημοτέρας ἐν ταύταις ταῖς τοπαρχίαις πόλεις καὶ φρούρια, Ῥίγα, Δυναμένδ, Περνόφ, Ῥεβέλι, Δέρπτ, Νάρβα, Βίπορχ, Κεκσγόλμ. Οὐκ ἀμφιβάλλομεν δὲ, ὅτι αὕτη ἡ συμφωνία Ἡμῶν τῆς παντοτεινῆς εἰρήνης, καὶ ἡ ἐπακολουθήσασα τῷ Ἡμετέρῳ βασιλείῳ αὔξησις ἔσται εὐχάριστον καὶ χαρᾶς πρόξενον Ὑμῖν, ὡς εὐχέτῃ Ἡμῶν, καὶ ἀνωτάτῳ Ἀρχιποιμάντορι. Ἐλπίζομεν δὲ μετὰ παρακλήσεως, ὅτι ἡ Ὑμετέρα Παναγιότης οὐ διαλείψῃ τε μεθ' ὅλου τοῦ Ἱερατείου ἀναπέμπειν τῷ Πανυψίστῳ Θεῷ ὕμνον καὶ εὐχαριστίαν ἕνεκα τοῦ ἐκχυθέντος ἐφ' Ἡμᾶς τοσούτου Θείου ἐλέους, καὶ τοῦ λοιποῦ ἱκετεύειν τὴν ἄπειρον Αὐτοῦ ἀγαθότητα ὑπὲρ τοῦ δωρηθῆναι τῷ Ἡμετέρῳ Κράτει εὐστάθειαν, εἰρήνην, καὶ γαλήνην. Τούτου ἕνεκα Ἡμεῖς ὑποχρεούμεθα ἀποδοῦναι τῇ Ὑμετέρᾳ Παναγιότητι τὴν ὀφειλομένην εὐγνωμοσύνην, ἐπαξίως ἀμείβοντες Ὑμᾶς.

Οὕτω τοίνυν διατελοῦμεν πάντοτε τῆς Ὑμετέρας Παναγιότητος, τοῦ κατὰ πνεῦμα Πατρὸς, καὶ ἀνωτάτου Οἰκουμενικοῦ Ἀρχιποιμένος, ὁ κατὰ Πνεῦμα υἱὸς καὶ πρόθυμος.

Ἐξεδόθη ἐν Πετρουπόλει, τῇ 30 Σεπτεμβρίου 1721.

Τὸ τοιοῦτον ἐν τῇ Ῥωσσικῇ διαλέκτῳ πρωτότυπον γράμμα, ἡ Αὐτοῦ Βασιλικὴ Μεγαλειότης εὐηρεστήθη ὑπογράψαι ἰδιοχείρως.

Ἡ δὲ τοῦ Θεοῦ χάρις, καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετ' Αὐτῆς. ᾳψκγ'. Σεπτεμβρίου κγ'.

Ἱερεμίας, ἐλέῳ Θεοῦ, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, καὶ ἐν Χριστῷ ἀδελφὸς Ὑμῶν.

Β'. Ἀθανάσιος, ἐλέῳ Θεοῦ πατριάρχης τῆς μεγάλης τοῦ Θεοῦ πόλεως Ἀντιοχείας, καὶ πάσης Ἀνατολῆς.

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, διὰ τῆς χάριτος καὶ ἐξουσίας τοῦ παναγίου, ζωοποιοῦ, καὶ τελεταρχικοῦ Πνεύματος, ἐπικυροῖ, βεβαιοῖ, καὶ ἀποφαίνει τὴν παρὰ τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου Αὐτοκράτορος, ἁγίου Βασιλέως πάσης Μοσχοβίας, μικρᾶς καὶ λευκῆς Ῥωσσίας, καὶ πάντων τῶν Βορείων, Ἀνατολικῶν, καὶ Δυτικῶν ἄλλων μερῶν κατεξουσιαστοῦ, κυρίου, κυρίου Πέτρου Ἀλεξιάδου, τοῦ κατὰ Πνεῦμα τὸ ἅγιον ἀγαπητοῦ καὶ περιποθήτου αὐτῆς Ἰμπεράτορος, διορισθεῖσαν Σύνοδον ἐν τῇ Ῥωσσικῇ ἁγίᾳ μεγάλῃ Βασιλείᾳ εἶναι καὶ λέγεσθαι ἡμετέρα ἐν Χριστῷ ἀδελφὴ, ἁγία καὶ ἱερὰ Σύνοδος παρὰ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, ἱερωμένων τε καὶ λαϊκῶν, ἀρχόντων καὶ ἀρχομένων, καὶ ἀπὸ παντὸς προσώπου ἀξιωματικοῦ. Καὶ ἔχει ἄδειαν ἐπιτελεῖν ὅσα οἱ τέσσαρες Ἀποστολικοὶ ἁγιώτατοι πατριαρχικοὶ θρόνοι· νουθετεῖ, παραινεῖ, καὶ ἐπιτάττει, ἵνα διαφυλάττῃ καὶ κρατῇ ἀπαρασάλευτα ἔθη καὶ κανόνας τῶν ἱερῶν οἰκουμενικῶν ἁγίων ἑπτὰ Συνόδων, καὶ ἄλλα ὅσα ἡ Ἀνατολικὴ ἁγία Ἐκκλησία διακρατεῖ, καὶ διαμένῃ εἰς αἰῶνα τὸν ἅπαντα ἀπαρασάλευτος. Ἡ δὲ τοῦ Θεοῦ χάρις, καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετ' Αὐτῆς. ᾳψκγ'. Σεπτεμβρίου κγ'.

ΓΡΗΓΟΡΙΟΥ (1).

ΤΟΜΟΣ ΠΕΡΙ ΣΥΝΟΙΚΕΣΙΩΝ.

Γρηγόριος, ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

ΝΟΜΟΣ ἀνθρώπῳ διδάσκαλος πέφυκεν· ἀπ᾽ ἀρχῆς γὰρ αὐτὸν ὁ Θεὸς λογικὸν δημιουργήσας τῇ φύσει, τῷ λόγῳ, καθάπερ νόμῳ, προστέταχεν ὑποτάσσεσθαι, καὶ ὑπ᾽ αὐτοῦ ὥρισεν ἀπλανῶς διακυβερνᾶσθαι ἔν τε τοῖς ἔργοις, καὶ λόγοις αὐτοῦ, καὶ διανοήμασιν· ἀχλύος γὰρ πάσης καὶ ζόφου τῶν ἀπὸ τῆς ἁμαρτίας, καὶ τῶν παθῶν τυγχάνων ἐλεύθερος ἄνθρωπος, ἀκριβῆ καὶ ἄπταιστον εἶχε τὸν λόγον ἑαυτῷ ὁδηγὸν, καὶ ἱκανὸν εἰς τὸ ἴδιον τέλος αὐτὸν ἀγαγεῖν, δι᾽ ὃ τοῦτον ὁ πάνσοφος Θεὸς ἔπλασε· μάρτυς δὲ τῶν λεγομένων ὁ πρωτόπλαστος πρὸ τῆς παραβάσεως ἐν τῷ παραδείσῳ· πρὶν γὰρ τὴν ἁμαρτίαν εἰσελ-

(1) Γρηγόριος ὁ ϛ΄, πρώην Πελαγονίας, εἶτα δὲ Σερρῶν, τὴν πατρίδα Βυζάντιος, ἀνὴρ τῆς τε θύραθεν καὶ τῆς Ἐκκλησιαστικῆς παιδείας ἐγκρατὴς, ἐκλεχθεὶς πατριάρχης Κωνσταντινουπόλεως το ἔτος 1834, ἐποίμανε θεαρέστως τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἔτη 6. Ἐκδίδομεν ἐνταῦθα τὴν ἀνυπόγραφον ἀναφορὰν τῆς Ἰονίου διοικήσεως, μεθ᾽ ἣν ἐξεδόθη ὁ περὶ συνοικεσιων ἀνωτέρω Συνοδικὸς Τόμος.

Ἀνυπόγραφος ἀναφορὰ τῆς Ἰονικῆς Ἑπτανησίου διοικήσεως πρὸς τὸν Παναγιώτατον Οἰκουμενικὸν Πατριάρχην.

Περὶ βαθμολογίας τῶν συνοικεσίων.

Τὸ Ἰονικὸν Κράτος, προσπαθοῦν νὰ ἐκπεραιώσῃ τὴν συμπλήρωσιν τῶν θεμελιωδῶν αὐτοῦ νόμων, εὐτυχῶς ἀρξαμένων ἀπὸ τὸ 1817 ἔτος, ὅπως τοῦ σκοποῦ ἐπιτύχῃ τῆς εὐνομίας, καὶ ἀφαιρέσῃ κᾶν εἶδος ἀβεβαιότητος, ἢ αὐθαιρέτου εἰς τὰς δικαιοδοσίας τῶν διαφόρων αὐλῶν, καὶ θεμελιώσῃ τὰ δικαιώματα, καὶ χρέη τοῦ πολίτου ἐπὶ ἀμεταβλήτων, πασιδήλων, καὶ ἰσχυρῶν βάσεων, συνέταξε διὰ τῶν ἀνηκουσῶν ἀρχῶν, μεταξὺ ἄλλων καθιδρυμάτων, καὶ πολιτικὸν Κώδικα, οἷον αἱ περιστάσεις, αἱ χρεῖαι, καὶ τὰ συμφέροντα τῶν πολιτῶν ἀναγκαίως ἀπῄτουν.

Ὁ πέμπτος τίτλος τοῦ εἰρημένου Κώδικος, ὑποκείμενον ἔχει τοὺς τρόπους, καὶ τὰ ἀπαιτούμενα, ἢ τὰ ἐμποιοῦντα ἐμπόδιον· ὁ δὲ ἕκτος πραγματεύεται περὶ τῶν αἰτιῶν, αἵτινες διαζεύγουσιν, ἢ ἀκυροῦσι τὴν συζυγίαν.

Ὅταν ληφθῇ ὑπὸ σκέψιν ἡ σμικρότης τῆς ἐκτάσεως, ἐξ ἧς σύγκειται τὸ Ἰο-

θεῖν, καὶ τὸν λόγον, τὸν πρῶτον νόμον, παρὰ Θεοῦ δοθέντα ζοφῶσαι, ἣν ἰδεῖν τοὺς προπάτορας, πάντα μὲν τῷ Θεῷ ἀρεστὰ διανοουμένους, πάντα δὲ τὰ θεοφιλῆ πράττοντάς τε καὶ λέγοντας. Παραβάντες δὲ τὴν τοῦ Θεοῦ ἐντολὴν, ἀπώλεσαν ἣν εἶχον εὐδαιμονίαν, διὰ τὴν ἁμαρτίαν, τοῖς ἀλόγοις πάθεσιν ὑποκύψαντες· ἐζόφωται γὰρ ὁ λόγος, ἐσκότισται ὁ ὁδηγὸς, καὶ οἷον ἅρμα ἐφέρετο ἄνθρωπος ἡνιόχου χωρίς· διὸ καὶ τιμωρίαι ποικίλαι παρὰ Θεοῦ, καὶ παγκόσμιος κατακλυσμὸς, ἵνα τὸν χείμαῤῥον τῆς ἀνομίας στήσῃ· ἀλλὰ καὶ μετὰ ταῦτα καὶ τοσαῦτα οὐχ ἧττον ἡ κακία ἐπὶ τὰ πρόσω προὐχώρει, τῆς

νιον Κράτος, ἡ νησιότης αὐτοῦ θέσις, καὶ ἡ στενότης τῆς αὐτοῦ κοινωνικῆς καταστάσεως, εὐκόλως δύναται νὰ συμπερανθῇ, πόσον καθίσταται ἀναγκαία ἡ μεταῤῥύθμισις τῶν ἤδη ὑπαρχόντων νόμων, τῶν ἀφορώντων τὴν γαμικὴν συζυγίαν, ἢ τὴν αὐτῆς διάλυσιν. Τοιαύτην μεταῤῥύθμισιν τῶν περὶ συζυγίας θεσμῶν, ἐν καιρῷ μάλιστα, ὅτε ὁ Πολιτικὸς Νόμος μέλλει νὰ θεμελιωθῇ ἐπὶ ἀκλονήτων βάσεων, καὶ νὰ συμμορφωθῇ μὲ τὰ λοιπὰ διηνεκῆ τοῦ Κράτους καθιδρύματα, ἐνόμισαν χρέος των νὰ προβάλωσιν αἱ ἀνήκουσαι ἀρχαὶ μετὰ πολυχρονίους σκέψεις καὶ συζητήσεις, συνάδουσαν μὲ τὸ πνεῦμα τοῦ αἰῶνος, καὶ μὲ τὰ ἀληθῆ τοῦ τόπου συμφέροντα, καὶ αὐτὴν τὸ νῦν καθυποβάλλουσιν εἰς τὴν Σὴν Παναγιότητα, ὅπως, καθ' ἃ μέρη ἐξ ἀναποφεύκτου ἀνάγκης τῆς ἐνεστώσης Ἐκκλησιαστικῆς δικαιοδοσίας ἀφίστηκεν, ἀπολαύσῃ τὴν Πατριαρχικὴν συγκατάθεσιν.

Ὡς τέκνα τῆς τοῦ Χριστοῦ Ὀρθοδόξου Ἐκκλησίας, οἱ Ἰόνιοι δὲν ἀνέχονται νὰ φανῶσιν ἐλλείποντες ἀπὸ τὸ ἀνῆκον εἰς τὸν πνευματικὸν αὐτῶν πατέρα χρέος· οὐδὲ διστάζουσι ποσῶς, ὅτι θὰ ἀπολαύσωσιν εὐνοϊκὴν τὴν Πατριαρχικὴν συγκατάθεσιν ὑπὲρ τῶν θεσπισθέντων μέτρων, ἅπερ, καίτοι διαφέροντα κατά τι τοῦ ἐν ἐνεργείᾳ ἐκκλησιαστικοῦ δικαίου, οὐδόλως ἐπεμβαίνουσιν οὔτε εἰς τὸ δόγμα, οὔτε εἰς τὴν πίστιν, ἀλλ' ἁπλῶς εἰς τὴν πολιτικὴν δικαιοδοσίαν, ὡς ἀνέκαθεν ἀνήκοντα, διαμένουσι πάντοτε ὑποκείμενα εἰς τὴν ἐξέτασιν καὶ ἀπόφασιν τῆς ἐκκλησιαστικῆς Αὐλῆς, ὡς καὶ πρότερον.

Αἱ περιεχόμεναι εἰς τὸ παρὸν νομοσχέδιον διαφοραὶ δὲν ἀναφέρονται εἰμὴ μόνον εἰς τὰς συγγενικὰς βαθμολογίας, τὰς κωλυούσας τὸν γάμον· ὅτι δὲ αἱ βαθμολογίαι ὑπῆρξαν ἀρχῆθεν πολιτικαὶ προβλέψεις τοῦ Ῥωμαϊκοῦ δικαίου, σκοπὸν ἔχουσαι τὴν ἐξάπλωσιν τῆς συγγενείας, μεταξὺ τῶν οἰκογενειῶν μιᾶς μεγάλης Ἐπικρατείας, ὄχι μόνον αὐτὴ ἡ Ἱστορία τῆς νομοθεσίας τὸ ἀποδεικνύει, ἀλλὰ καὶ οἱ ἴδιοι νομοδιδάσκαλοι τῆς Ἐκκλησίας διακηρύττουσι τὴν ἐξ ἧς ἐπήγασαν ἀρχήν· «Πλατύναι γὰρ (λέγει ὁ Βλάσταρις Τομ. Β'. Γράμμ. α. »Σελ. 47.) οἱ πολιτικοὶ νόμοι τὴν τῶν ὑπηκόων βουλόμενοι γνησιότητα, καὶ »μὴ περὶ μόνην περικλείεσθαι τὴν συγγένειαν, τοὺς μεταξὺ τῶν ἐκ πλαγίου »διεκώλυσαν γάμους, ὡς ἂν τοῖς ἔξωθεν τῆς ἑαυτῶν συγγενείας ἐξ ἀνάγκης »συναπτόμενοι, τὴν πρὸς αὐτοὺς σχοῖεν γνησιότητα, καὶ εὔνοιαν,

ἀνομίας βασιλευούσης· ἀπώλετο γὰρ ἅπαξ ὁ τῆς φύσεως νόμος ὑπὸ τῆς παραβάσεως. Διὰ ταῦτ' ἄρα ἐχρῆν αὐτὸν τὸν Θεὸν, τὸν τῆς ἀνθρωπίνης φύσεως δημιουργὸν, τὸν μόνον εἰδότα τὴν τοῦ ἀνθρώπου διαφθορὰν, ὁποία τις ἦν, τὸν ἄπειρον ἔχοντα τὴν σοφίαν, γενέσθαι τῷ ἀνθρωπίνῳ γένει νομοθέτην, καὶ διδάξαι αὐτὸ διὰ τῆς ἑαυτοῦ νομοθεσίας τὸ τριττὸν αὐτοῦ χρέος, τὸ πρὸς τὸν Θεὸν, τὸ πρὸς ἑαυτὸν, καὶ τὸ πρὸς τὸν πλησίον· διὸ καὶ ἐπὶ τοῦ ὄρους Χωρὴβ ἀναβιβάσας τὸν Θεόπτην ἐκεῖνον καὶ προφήτην Μωϋσῆν, ἐπέδωκεν αὐτῷ τὰς πλάκας τοῦ νόμου, καὶ δι' αὐτοῦ τῷ ἐκλεκτῷ Ἰσραὴλ, νομοθετήσας τοιουτοτρό-

---

Ἔχοντες τοίνυν οἱ βαθμολογικοὶ ὅροι τοιαύτην ἀρχὴν, καὶ ἐπὶ τοιαύτης ἐπερειδόμενοι βάσεως, ἑπόμενον ἦν νὰ διατρέξωσι τὴν ἀστασίαν τῶν λοιπῶν πολιτικῶν νόμων, ἄλλοτε ἄλλως παρὰ τῶν κατὰ καιροὺς ἡγεμόνων διατιθέμενοι, καὶ ποτὲ μὲν συστελλόμενοι, ποτὲ δὲ ἐπεκτεινόμενοι εἰς τὸ ποσὸν τῆς αὐτῶν ἐνεργείας. Αὐτὴ ἡ ἀστασία καὶ τὸ κατα καιροὺς ἀβέβαιον πορίζεται, ἐξ ὧν ὁ ῥηθεὶς νομοδιδάσκαλος λέγει περὶ τῆς ἐξ ἀγχιστείας συγγενείας (αὐτόθι)· «Ἐν τούτοις γὰρ βαθμῶν ποσότητα ζητεῖν οὐδόλως τοῖς παλαιοῖς ἔδοξεν, ἀλλὰ »τὰ συγκεχυμένα κατὰ τὴν τοῦ γένους κλῆσιν, καὶ ἀπρεπῆ ῥητῶς κωλύσαν»τες, τὰ λοιπὰ ἀνέγκλητα εἴασαν. Οἱ δὲ νεώτεροι, καὶ βαθμοὺς αὐτοῖς ἐπε»νόησαν, καὶ τὰ ὑπερ τὸν ἕκτον βαθμὸν προβαίνειν δεδώκασι, καὶ τοι ῥητῶς »εὑρίσκομεν καὶ ἕκτον συγκεχωρημένον, και ἕβδομον κεκωλυμένον, τὸν μὲν ὡς »ἀσύγχυτον, τὸν δὲ ὡς συγκεχυμένον, ὥστε οὐ χρὴ βαθμοὺς παρεισάγειν εἰς »ταῦτα, ἀλλ' ὃ μὲν ὁ νόμος ῥητῶς ἐκώλυσε, φεύγειν, ὃ δὲ μὴ ἐκώλυσε, πα»ραδέχεσθαι. Ἐκώλυσε δὲ ὁ μεν παλαιότερος νόμος τὰ προσεχέστερα, καὶ »ἐγγύτερα.»

Ὅτι δὲ αὐτὴ ἡ ἀστασία προήρχετο ἐκ θελήσεως τῶν κατὰ καιροὺς πολιτικῶν ἀρχῶν, δηλοῦται ἐκ τῶν μεταβολῶν, ἃς ὁ Ἰουστινιανὸς εἰς τὸ περὶ γάμων ἐπήνεγκεν.

Οἱ Ἰόνιοι τοίνυν ῥυθμίζοντες τὰς περὶ συζυγίας βαθμολογίας, καὶ συστέλλοντες αὐτὰς, καθ' ὅσον ἀπαιτεῖται εἰς την κοινωνικὴν αὐτῶν κατάστασιν, δὲν διενεργοῦσιν εἰμὴ το δικαίωμα παντὸς αὐτονόμου Κράτους, διαβουλευομένου τὰ ἀληθῆ τῶν πολιτῶν του συμφέροντα, βέβαιοι ὄντες, ὅτι διὰ τῶν τοιούτων μέτρων, οὔτε εἰς τα δόγματα, οὔτε εἰς τα ἔθιμα τῆς θρησκείας το παραμικρὸν προσβάλλουσιν.

Ἀφ' οὗ ἡ πολιτικὴ των τύχη τοὺς ἐπεριόρισεν εἰς μικροτάτην περιφέρειαν, διοικουμένους ἀπὸ νόμους ἰδιαιτέρους, αὐτὴ ἡ μικρότης των ἐπολλαπλασίασε τόσον τὴν μεταξύ των συγγένειαν, ὥστε καθίσταται πρᾶγμα δυσχερὲς ἡ ἐκπεραίωσις παντὸς συνοικεσίου, ἕνεκεν τῶν ἐπικρατούντων ἐμποδίων μιᾶς τοσούτον πολυπλόκου βαθμολογίας, καὶ πολλαὶ οἰκογένειαι ῥίπτονται πολλάκις εἰς ἀμήχανον ἀδημονίαν, ἀναγκαζόμεναι νὰ ἀποβάλλωσι τὰ ἀληθῆ των συμφέροντα, νὰ στερῶνται τὰς περιστάσεις, τὰς ὑποσχομένας εὐδαιμονίαν εἰς τὰ τέ-

πως αὐτῷ τε, καὶ δι' αὐτοῦ ἅπαντι τῷ ἀνθρωπίνῳ γένει, ὡς ἐξ αὐτῆς τῆς νομοθεσίας ἔστιν ἰδεῖν, ὅσα προσφυῶς τε καὶ καταλλήλως πρὸς τὰς τότε τοῦ λαοῦ ἐκείνου περιστάσεις νενομοθέτηται· ἐν οἷς διὰ τοῦ ἰδίου Θεόπτου ὁ νομοθέτης ἅμα καὶ νομοδότης Θεὸς, οὐ μόνον ἀπὸ πάσης ἄλλης ἁμαρτίας καὶ μολυσμοῦ τὸν ἐκλεκτὸν αὐτοῦ λαὸν καθαρεύειν ἐδίδαξεν, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐκ τῶν ἀθέσμων συνοικεσίων προσγινομένου ῥύπου ἀπαλλάξαι βουλόμενος, καὶ μὴ καταῤῥυπαίνεσθαι τοῖ

κνα των, νὰ ὑποπίπτουν εἰς θλιβερὰ ἀτοπήματα, ἢ νὰ συγκατανεύωσι, καθὼς συχνὰ συμβαίνει, εἰς συνοικέσια μὲ ἑτερόφρονα σύζυγον. Εἶδεν ἡ Ὀρθόδοξος Ἐκκλησία τῶν Ἰονίων κλαίουσα, τὰ τέκνα της προστρέχοντα πολλάκις εἰς ἀλλόφρονα Ἐκκλησίαν, καὶ βιαζόμενα νὰ ἐκφύγωσι τὰ ἐκ τῆς βαθμολογίας κωλύματα μὲ τὴν ἀπάρνησιν τῶν πατρῴων δογμάτων, νὰ ἀξιῶνται συζεύξεως. Εἶδε πολλοὺς διὰ τὰς αὐτὰς αἰτίας ζήσαντας εἰς ἁμαρτίαν, χωρὶς νὰ δύναται νὰ ἐπάγῃ τὴν ἀνήκουσαν θεραπείαν. Βλέπει τὸ κακὸν προοδεῦον, καὶ τόσον μᾶλλον, ὅσον εἰς τὸ Κράτος ἐκεῖνο εὑρίσκονται καὶ ἄλλαι Ἐκκλησίαι ἑτερόδοξοι μὲ προνόμια, παρέχουσαι εὐκολίας εἰς τὰ περὶ συζυγίας.

Τὰ τοιαῦτα δεινὰ ἠθέλησεν ὁ νομοθέτης νὰ θεραπεύσῃ μὲ μόνην τὴν μείωσιν δύο βαθμῶν εἰς ὅλα τὰ εἴδη τῆς συγγενείας, ἐπιζητῶν, ὥστε, σωζομένων ἐπ' ἄπειρον τῶν κωλυμάτων τῆς βαθμολογίας τῶν ἐξ αἵματος ἀνιόντων, καὶ κατιόντων, εἰς τοὺς μὲν ἐκ πλαγίου ἐξ αἵματος, ἀντὶ τοῦ ἑβδόμου βαθμοῦ, νὰ στήσῃ ὡς κωλύματος ὅρον τὸν πέμπτον· εἰς δὲ τὴν ἐξ ἀγχιστείας συγγένειαν, ἀντὶ τοῦ πέμπτου βαθμοῦ, τὸν τρίτον μόνον· εἰς δὲ τὴν ἐκ τοῦ ἁγίου βαπτίσματος συγγένειαν, ἀντὶ τοῦ τρίτου βαθμοῦ, εἰς μόνην τὴν κατιοῦσαν γραμμὴν τὸν δεύτερον. Εἰς αὐτὰς τὰς ἀναγκαίας δι' αὐτοὺς μεταῤῥυθμίσεις ζητοῦσιν οἱ Ἴονες τὴν συγκατάθεσιν τῆς Μεγάλης Ἐκκλησίας. Καὶ μ' ὅλον ὅτι τὸ Ἰόνιον Κράτος, ὡς ἀνεξάρτητον, ἠδύνατο νὰ διευθετήσῃ τὴν ἰδίαν αὐτοῦ νομοθεσίαν, κατὰ τὸ παράδειγμα τῶν κατὰ καιροὺς νομοθετῶν Αὐτοκρατόρων τοῦ Βυζαντίου, ὁ πόθος ὅμως ὁ ἔνθερμος, ὃν διασώζει, διὰ νὰ νομίζηται πάντα τέκνον γνήσιον τῆς Ὀρθοδόξου Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ ἡ ἐπιθυμία, ὥστε οἱ αὐτοῦ πνευματικοὶ Ποιμένες νὰ δύνανται ἤρεμα τῷ συνειδότι νὰ δίδωσιν ἐνέργειαν, καθ' ὅσον εἰς αὐτοὺς ἀναφέρεται, εἰς τὰ θεσπίσματα, τὰ ἔχοντα τὴν συναίνεσιν τοῦ πνευματικοῦ αὐτῶν Πατρὸς, καὶ Οἰκουμενικοῦ Πατριάρχου, ἔπεισαν τὰς Ἰονίους Ἀρχὰς, ἕνεκεν τῆς ἰδιαιτέρας αὐτῶν θέσεως, νὰ ζητήσωσι τὴν συγκατάθεσιν τῆς Ὑμετέρας Παναγιότητος, εἰς ἃς ἐπήγαγον μεταῤῥυθμίσεις εἰς τοὺς περὶ βαθμολογίας νόμους.

Καθ' ὅλα σχεδὸν τὰ λοιπὰ τὸ καθυποβαλλόμενον Νομοσχέδιον εἶναι σύμφωνον μὲ τὴν ἐνεστῶσαν τῆς Ἐκκλησίας συνήθειαν. Αὐτὸ παγιόνει εἰς ἀκραδάντους βάσεις τὴν ψυχὴν αὐτὴν τῆς κοινωνίας, τὸ συνοικέσιον, ἀφαιροῦν πᾶσαν ἀμφισβητήσιμον περίπτωσιν. Αὐτὸ ἐπιπλέον ἐπιβάλλει κωλύματα καὶ εἰς τοὺς μεταξὺ κηδεμόνων καὶ ἀνηλίκων γάμους, εἰς τοὺς ἀνηλίκους μὴ ἔχοντας τὴν

ἀπὸ τούτων μιάσμασιν, ἰδίᾳ καὶ περὶ αὐτῶν διαλαβὼν, ἐνομοθέτησεν ἀναλόγως τοῖς τότε παιδαγωγουμένοις, καθορίσας ὀνομαστὶ τίνων ἀπέχεσθαι, ἵνα μὴ ταῖς ἀθεμιτογαμίαις καταμιαίνωνται. Ἀναγινώσκομεν γὰρ ἐν τῷ Λευϊτικῷ (Κεφ. ιη. ἐδαφίῳ ε. καὶ ἑξῆς)· »Καὶ φυλάξεσθε πάντα τὰ προστάγματά »μου, καὶ πάντα τὰ κρίματά μου, καὶ ποιήσετε αὐτά· ἃ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς· ἐγὼ Κύριος ὁ Θεὸς »ὑμῶν. Ἄνθρωπος, ἄνθρωπος πρὸς πάντα οἰκεῖον σαρκὸς αὐτοῦ οὐ »προσελεύσεται, ἀποκαλύψαι ἀσχημοσύνην· ἐγὼ Κύριος. Ἀσχη- »μοσύνην πατρός σου, καὶ ἀσχημοσύνην μητρός σου οὐκ ἀπο- »καλύψεις· μήτηρ γάρ σου ἐστὶν, οὐκ ἀποκαλύψεις τὴν ἀσχη- »μοσύνην αὐτῆς. Ἀσχημοσύνην γυναικὸς πατρός σου οὐκ ἀπο- »καλύψεις· ἀσχημοσύνη πατρός σου ἐστίν. Ἀσχημοσύνην τῆς »ἀδελφῆς σου ἐκ πατρός σου ἢ ἐκ μητρός σου, ἐνδογενοῦς ἢ »γεγεννημένης ἔξω, οὐκ ἀποκαλύψεις ἀσχημοσύνην αὐτῶν. »Ἀσχημοσύνην θυγατρὸς υἱοῦ σου, ἢ θυγατρὸς θυγατρός σου, οὐκ »ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῶν, ὅτι σὴ ἀσχημοσύνη »ἐστίν. Ἀσχημοσύνην θυγατρὸς γυναικὸς πατρός σου οὐκ ἀπο- »καλύψεις· ὁμοπατρία ἀδελφή σου ἐστὶν, οὐκ ἀποκαλύψεις τὴν »ἀσχημοσύνην αὐτῆς. Ἀσχημοσύνην ἀδελφῆς πατρός σου οὐκ »ἀποκαλύψεις· οἰκεία γὰρ πατρός σου ἐστίν. Ἀσχημοσύνην ἀδελ-

---

συναίνεσιν τῶν παρὰ τοῦ νόμου διωρισμένων προσώπων, καὶ διευθετίζει τὴν περὶ υἱοθεσίας βαθμολογίαν.

Τὸ περὶ διαζυγίου, καὶ ἀκυρώσεως γάμου εἶναι σχεδὸν τὸ αὐτὸ μὲ τὴν ἐνεστῶσαν πρᾶξιν τῆς Ἐκκλησίας· αἱ δὲ ἀνεπαίσθητοι αὐτοῦ διαφοραὶ συντείνουσι μᾶλλον πρὸς ἐλάττωσιν τῶν αἰτιῶν, καὶ τῶν καταχρήσεων τῆς διαζεύξεως. Αὐτὸ τὸ ὑποκείμενον ἀπῄτει νὰ θεμελιωθῇ εἰς σταθεροὺς καὶ μονίμους ὅρους, ὥστε νὰ μὴ δύναται μήτε ἡ ἐξουσία, μήτε ἡ ἀμάθεια, μήτε ὁ δόλος νὰ μηχανῶνται καταχρήσεις, προσκρουούσας τὴν κοινωνίαν εἰς τὰ τιμαλφέστερά της δεσμά.

Ἡ Μεγάλη Ἐκκλησία παρέχουσα τὴν συγκατάθεσίν της εἰς τὸ παρὸν νομοσχέδιον, χαριζομένη εἰς τὰς εἰδικὰς τῶν Ἰονίων περιστάσεις, θὰ συσφίγξῃ ἔτι μᾶλλον τὰς πνευματικὰς αὐτῶν σχέσεις μὲ τὴν μητέρα τὴν Ἐκκλησίαν, ἐφελκύουσα τὴν αὐτῶν εὐγνωμοσύνην διὰ τὴν φιλόστοργον διαστολὴν, μὲ τὴν ὁποίαν τοὺς θεωρεῖ, καὶ μὲ τὴν τοιαύτην συγκατάβασιν θὰ συντηρήσῃ πολλοὺς τῶν πιστῶν εἰς τὴν εὐθεῖαν ὁδὸν, ἀπαλλάττουσα αὐτοὺς τῶν πειρασμῶν, εἰς οὓς τὰ εἰρημένα κωλύματα τῆς βαθμολογίας, ἄκοντας πολλάκις προσωθοῦσι βιαίως.

»φῆς μητρός σου οὐκ ἀποκαλύψεις· οἰκεία γὰρ μητρός σου ἐςίν. »Ἀσχημοσύνην ἀδελφοῦ τοῦ πατρός σου οὐκ ἀποκαλύψεις, καὶ »πρὸς τὴν γυναῖκα αὐτοῦ οὐκ εἰσελεύσῃ· συγγενὴς γάρ σου »ἐστίν. Ἀσχημοσύνην νύμφης σου οὐκ ἀποκαλύψεις· γυνὴ γὰρ »υἱοῦ σου ἐστίν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς. »Ἀσχημοσύνην γυναικὸς ἀδελφοῦ σου οὐκ ἀποκαλύψεις· ἀσχη»μοσύνη γὰρ ἀδελφοῦ σου ἐστίν. Ἀσχημοσύνην γυναικὸς καὶ θυ»γατρὸς αὐτῆς οὐκ ἀποκαλύψεις· τὴν θυγατέρα τοῦ υἱοῦ αὐτῆς, »καὶ τὴν θυγατέρα τῆς θυγατρὸς αὐτῆς οὐ λήψῃ, ἀποκαλύψαι »τὴν ἀσχημοσύνην αὐτῶν· οἰκεῖαι γάρ σου εἰσίν, ἀσέβημά ἐςι.» Ταῦτα μὲν καὶ τὰ τοιαῦτα διὰ τοῦ Προφήτου Μωϋσέως καὶ περὶ συνοικεσίων νενομοθέτηται τοῖς πάλαι Ἰσραηλίταις ἐκείνοις, ὡς νηπιάζουσι, καὶ παιδαγωγουμένοις, κατὰ τὸν θεῖον Ἀπόστολον, παιδαγωγὸν ἀποκαλοῦντα τὸν νόμον, καὶ τοῖς τῇ σκιᾷ λατρεύουσι, καὶ τοῖς τοὺς τύπους παραλαβοῦσιν. Ἡμῖν δὲ τῷ νέῳ Ἰσραὴλ, τῷ ἔθνει τῷ ἁγίῳ, τοῖς φυγοῦσι μὲν τὴν σκιὰν καὶ τοὺς τύπους, ἀξιωθεῖσι δὲ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς αὐτὴν τὴν ἀλήθειαν ἔχουσι, τί ἄρα τὸ Πνεῦμα τὸ ἅγιον ἐχρῆν νομοθετῆσαι; ἀνάγκη γὰρ ἦν τοῖς πάντα τ' ἄλλα τὴν τελειότητα χάριτι Χριστοῦ λαβοῦσι, καὶ τὰ περὶ συνοικεσίων ἀκριβέστερον παραλαβεῖν. Ἡμῖν, ὡς πρέπει ἁγίοις, ἔδει μᾶλλον καὶ τὰ συνοικέσια ἐξακριβωθῆναι, καὶ τῶν σχετικῶν ἀφίστασθαι προσώπων, ἐν οἷς καὶ ἐλαχίστη τις θεωρεῖται οἰκειότης· πῶς γὰρ ἂν ἄλλως τὸ τοιοῦτο φρονῆσαι ἡμῖν γένοιτο, ὃ ἐν τῷ παλαιῷ νόμῳ τοσαύτης ἠξίωται τῆς φροντίδος; ἢ τοῖς μὲν ἀτελέσιν ἔδει τοιαῦτα καὶ τοσαῦτα περὶ συνοικεσίων νομοθετηθῆναι, ἡμῖν δὲ τοῖς ἐν Χριστῷ τελείοις οὐδεμία ἦν χρεία περὶ τούτων, ἀλλ' ἐξῆν φέρεσθαι, ὡς ἂν τύχῃ; Καὶ τίς μὴ ἐκστὰς τῶν ἰδίων φρενῶν τολμήσειε κἂν μέχρι ψιλῆς διανοίας τὸ τοιοῦτο ὑπολαβεῖν; Διὸ καὶ οἱ θεῖοι Ἀπόστολοι, καθόλου μὲν ἱκανὰ ἡμῖν περὶ τούτων γνωρίσματα ἐν ταῖς ἱεραῖς αὐτῶν δέλτοις παρέδωκαν, ἀπείργοντες πάντα ῥύπον καὶ μολυσμὸν τοῖς τῷ χριςιανικῷ σεμνυνομένοις ὀνόματι. »Πορνεία, γάρ φησιν ὁ θεῖος Ἀπόστολος, καὶ πᾶσα ἀκαθαρσία, μη»δὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις· » (πρὸς Ἐφέσ.

κεφ. ί. ἐδάφ. γ'.) καὶ πάλιν· » Παράγει τὸ σχῆμα τοῦ κόσμου »τούτου, καὶ ὁ καιρὸς συνεσταλμένος ἐστὶν, ἵνα καὶ οἱ ἔχοντες »γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι.» (πρὸς Κορ. Α'. κεφ. ζ'. ἐδάφ. κθ'.) Ἀλλὰ καὶ ἐν τοῖς ἱεροῖς αὐτῶν κανόσι τὰ τῆς βαθμολογίας ἐν μέρει ἐμφαίνοντες, τοῖς ἀθεμίτοις γάμοις τοὺς Ὀρθοδόξους συμπλέκεσθαι ἀπαγορεύουσι. Καί τοι τοίνυν καθόλου καὶ ἐν μέρει τὰ περὶ συνοικεσίων ἐγγράφως ἡμῖν κατέλιπον, ὅμως μέντοι καὶ ἀγράφως πολλῷ πλείω περὶ τούτων τοῖς ἑαυτῶν διαδόχοις παρέδωκαν, καθὼς καὶ περὶ πολλῶν ἄλλων ἐν γένει τῆς Ἐκκλησίας παραδόσεων ἐν τοῖς τῆς Ὀρθοδόξου πίστεως ἡμῶν διὰ στόματος μέχρις ἡμῶν ἀλληλοδιαδόχως λαλοῦσιν· ἐφ' οἷς δὴ ἐγγράφως τε καὶ ἀγράφως παραδοθεῖσιν οἱ θεοφόροι Πατέρες ἐπιστηριζόμενοι, δι' Οἰκουμενικῶν καὶ Τοπικῶν Συνόδων, ὥσπερ τὰ περὶ δογματικῆς θεολογίας ἀνέπτυξάν τε, ἐδίδαξαν, καὶ ἐκράτυναν ὅροις καὶ κανόσιν ἱεροῖς, οὕτω καὶ τὰ ἀφορῶντα εἰς τὴν τῶν ἠθῶν εὐκοσμίαν, καὶ Χριστιανικὴν πολιτείαν, καὶ καθαρότητα, διετάξαντο καὶ ἐνομοθέτησαν, ἐν οἷς εἰσι καὶ τὰ περὶ συνοικεσίων, ἐποικοδομοῦντες ἐπί τε τῆς πρώτης ἐκείνης βάσεως τοῦ παλαιοῦ νόμου, τῆς ἐν τῷ Λευϊτικῷ, κεφ. ιή. ἐδάφ. ἑ, καὶ ἐφ' ὧν καθόλου καὶ ἐν μέρει οἱ θεῖοι Ἀπόστολοι περὶ τούτου ἐγγράφως ἐξέθεντο καὶ διέλαβον, καὶ ἀγράφως ὁριστικώτερον παρέδωκαν· τῆς γὰρ τῶν Ὀρθοδόξων Χριστιανῶν ὀρθότητος περὶ τὰ τῆς πίστεως δόγματα προμηθούμενοι, καὶ τῆς περὶ τὴν τοῦ βίου διαγωγὴν καὶ τὸ πολίτευμα καθαρότητος αὐτῶν προνοοῦντες, οὐ διέλιπον τὸ ἄνωθεν ἐκ παραδόσεως μέχρις αὐτῶν κατελθὸν ἔθος διακατέχοντες, ἀναπτύσσειν ἐν ἁγίῳ Πνεύματι ἀκριβέστερον δι' ἱερῶν κανόνων πᾶν τὸ περὶ οὗ ὁ λόγος, ἐπειδὰν χρεία ἐγίνετο. Καθ' ὃν δὴ τρόπον καὶ ἡ ἐν Νεοκαισαρείᾳ Τοπικὴ Σύνοδος, ἄνωθεν παραλαβοῦσα, ἐν τῷ β'. αὐτῆς κανόνι, μέχρι θανάτου ἐξωθεῖται τὴν δύο ἀδελφοῖς γήμασαν γυναῖκα, οὕτως ἐπὶ λέξεως λέγουσα· »Γυνὴ ἐὰν γήμηται »δύο ἀδελφοῖς, ἐξωθείσθω μέχρι θανάτου· πλὴν ἐν τῷ θανάτῳ, »διὰ τὴν φιλανθρωπίαν, εἰποῦσα, ὡς ὑγιάνασα λύσει τὸν γάμον, ἕξει τὴν μετάνοιαν.» Παρόμοια τούτοις καὶ ἄλλα ἐστιν ἰδεῖν διορισθέντα τε καὶ κανονισθέντα καὶ ὑπ' ἄλλων κατὰ μέ-

ρος ἁγίων Πατέρων, ὥσπερ καὶ παρὰ τοῦ οὐρανοφάντορος Βασιλείου· ὅς γε καθόλου μὲν περὶ γάμου ἐν τῷ ξη'. αὐτοῦ κανόνι οὕτω φησίν· » Ἡ τῆς ἀπειρημένης συγγενείας εἰς γάμον ἀν»θρώπων σύστασις, εἰ φωραθείη, ὡς ἐν ἁμαρτήμασιν ἀνθρώπων »γινομένη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται»· διὰ τῆς ἀπειρημένης συγγενείας ἐννοῶν γενικώτερον, ὡς ἔοικεν, ὅσα τε ὁ παλαιὸς νόμος προηγουμένως λαλεῖ, καὶ ὅσα οἱ θεῖοι Ἀπόστολοι ἑπομένως ἐγγράφως τε καὶ ἀγράφως παρέδωκαν· καὶ μετ' αὐτοὺς οἱ θεοφόροι Πατέρες, τοῖς ἴχνεσιν ἐκείνων ἑπόμενοι, μέχρι τοῦ καιροῦ αὐτῶν ὁριστικώτερον περὶ γάμου διέταξαν· ἐν μέρει δὲ, «Ὁ αὐτὸς τύπος, φησὶν ἐν ος'. αὐτοῦ κανόνι, καὶ περὶ τῶν »τὰς νύμφας ἑαυτῶν λαμβανόντων φυλαττέσθω·» καὶ ἐν οη'. »Ὁ »αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων »εἰς συνοικέσιον, εἰ καὶ κατὰ διαφόρους χρόνους»· καὶ ἐν τῷ κγ'. αὐτοῦ· Περὶ τῶν δύο ἀδελφὰς γαμούντων, ἢ ἀδελφοῖς δυ»σὶ γαμουμένων, ἐπιστολίδιον ἡμῖν ἐκπεφώνηται, οὗ τὸ ἀντί»γραφον ἀπεστείλαμέν σου τῇ εὐλαβείᾳ (τῷ Ἀμφιλοχίῳ, ἐν τῇ α. »κανονικῇ αὐτοῦ ἐπιστολῇ), ὁ δὲ ἀδελφοῦ ἰδίαν γυναῖκα λαβὼν, »οὐ πρότερον δεχθήσεται, πρὶν ἀποστῆναι αὐτῆς. »Καὶ Τιμόθεος δὲ ὁ Ἀλεξανδρείας, ἐν ιά. ἐρωτήσει αὐτοῦ, ἐρωτηθεὶς, Ἐάν τις »καλέσῃ κληρικὸν εἰς τὸ συζεῦξαι γάμον, ἀκούσῃ δὲ τὸν γά»μον παράνομον, ἢ θειογαμίαν, ἤγουν ἀδελφὴν τελευτησάσης »γυναικὸς, τὴν μέλλουσαν ζεύγνυσθαι, εἰ ὀφείλει ἀκολουθῆσαι ὁ »κληρικὸς, ἢ προσφορὰν ποιῆσαι; ἀποκρίνεται· Ἅπαξ εἴπατε· ἐὰν »ἀκούσῃ ὁ κληρικὸς τὸν γάμον παράνομον· εἰ οὖν ὁ γάμος πα»ράνομός ἐστιν, οὐκ ὀφείλει ὁ κληρικὸς κοινωνεῖν ἁμαρτίαις ἀλ»λοτρίαις». Ἐκ δὲ τῶν συνοδικῶν κανόνων, ὡς κορωνίδα ἐκτιθέμεθα ἐπὶ τῶν αὐτῶν βάσεων ἐκτεθέντα τὸν νδ'. τῆς ἕκτης Οἰκουμενικῆς Συνόδου· »Τῆς θείας ἡμᾶς οὕτω σαφῶς ἐκδιδασκού»σης Γραφῆς, Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀ»ποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, ὁ θεοφόρος Βασίλειος, τινὰς τῶν »ἀπηγορευμένων γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, »σιωπῇ τὰ πλεῖστα παραδραμὼν, καὶ κατ' ἀμφότερα κατασκευ»άσας ἡμῖν τὸ ὠφέλιμον· τὸ γὰρ τῶν αἰσχρῶν ὀνομασιῶν πλῆ»θος παραιτησάμενος, ὡς μὴ τὸν λόγον καταρρυπαίνοι τοῖς ῥή-

»μασι, τὰς ἀκαθαρσίας διέλαβε, δι' ὧν περιεκτικῶς ἡμῖν τοὺς »παρανόμους γάμους ὑπέδειξεν. Ἐπειδὴ δὲ τῇ τοιαύτῃ σιωπῇ, »καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως »ἑαυτὴν ἡ φύσις συνέχεε, συνείδομεν γυμνότερον τὰ περὶ τού»του ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν, τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ »πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν μητρὶ »καὶ θυγατρὶ, ἢ δύο κόραις ἀδελφαῖς πατέρα καὶ υἱὸν, ἢ ἀδελ»φοῖς δυσὶ μητέρα καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελ»φαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένων »αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου·» Ἀλλὰ τί χρὴ λέγειν τὰ πάντα, ὅσα οἱ θεῖοι Πατέρες εἰρήκασι περὶ συνοικεσίων, καὶ ἐγγράφως ἡμῖν κατέλιπον, ἃ ἐπιλείψει ἡμᾶς ὁ χρόνος ἀπαριθμοῦντας; ἐπ' ἐκείνης γὰρ τῆς τοῦ παλαιοῦ νόμου βάσεως, ὡς εἴρηται, καὶ ἐφ' ὧν οἱ πνευματέμφοροι Ἀπόστολοι ἐγγράφως καὶ ἀγράφως παρέδωκαν, οἵ τε τῶν Οἰκουμενικῶν ἁγίων Συνόδων θεῖοι Πατέρες ἡμῶν, οἵ τε τῶν Τοπικῶν, καὶ κατὰ μέρος αὐτῶν ἕκαστος θεοπνεύστως ἐποικοδομοῦντες· πρὸς δὲ, καὶ αἱ μετὰ ταῦτα κατὰ καιροὺς συγκροτηθεῖσαι Τοπικαὶ ἱεραὶ Σύνοδοι, ἀλληλοδιαδόχως τούτοις ἑπόμεναι, κατὰ πρόνοιαν τῆς ὑπὲρ τῶν ὀρθοδόξων ἁγνείας καὶ καθαρότητος, τοὺς περὶ συνοικεσίων διαφόρους κανόνας ἐξέθεντο· μὴ βουλόμενοι γὰρ τοῖς συγγενικοῖς γάμοις μολύνεσθαι, »Οἱ γεγραφότες, φασὶ, τοὺς νό»μους, τοὺς τῶν γάμων ἀθεμίτους, τοὺς μὲν, ὀνόμασι ῥητοῖς »διέστειλαν, τοὺς δὲ, τῷ τῆς ἀκαθαρσίας ὀνόματι διαλαβόντες »γενικῶς, ἀφῆκαν καὶ παρεσιώπησαν, τοῦ σεμνοῦ πάντως φρον»τίζοντες, καὶ μὴ τῇ καθ' ἕκαστον ἐκθέσει τὴν γλῶτταν κα»ταῤῥυπαίνειν ἐθέλοντες, συνῳδὰ τοῖς ὑπὸ τοῦ Ἀποστόλου Παύ»λου λεγομένοις, »Πορνεία καὶ ἀκαθαρσία πᾶσα, μηδὲ ὀνομαζέ»σθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις·» ἀποφαινόμενοι, καὶ τῷ »τῆς ἀκαθαρσίας ὀνόματι, πᾶσαν ἀθεμιτογαμίαν, καὶ ἀῤῥητο»ποιΐαν περιλαμβάνοντες. Ἀλλ' εἰ καί τινα σιωπῇ τετίμηται, »οὐ πάντως ἡ σιωπὴ τοῖς φιληδόνοις ἐγένετο ἄδεια· ἀλλὰ καὶ »αὐτοῖς τοῖς ἐπιτετραμμένοις τῶν γάμων, ὁ νόμος οὐκ ἀφῆκε »ῥᾳδίως ἐπιπηδᾶν·» ἐπεί τοι γε ἐν τοῖς γάμοις, οὐ τὸ ἐπιτε»τραμμένον μόνον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς δεῖ σκοπεῖν, κατὰ

»τὸν μέγαν Βασίλειον, τὸν καὶ τὰ βάθη τοῦ Πνεύματος, κατὰ τὴν θεολόγον φωνὴν, ἐρευνῶντα, οὗ νόμος ἡ γλῶττα τῇ Ἐκκλησίᾳ, καὶ ὁ τῶν ῥημάτων φθόγγος, θεόγραφοι πλάκες, δακτύλῳ ἐγκεχαραγμέναι Θεοῦ· ὁ δὲ ζητῶν ἕτερον νομοθέτην ἐν τούτοις, οὐκ οἶδα, εἰ σωφρονοῦσιν οὗτός γε δόξει σωφρονεῖν·» ὅς γε μέγας Πατὴρ, ἐπίτομον γνώρισμα παρεχόμενος, ἐν ᾧ τὰ τῶν ἀθεμίτων γάμων ῥᾳδίως τῶν νομίμων ἀποκριθήσεται, ἀποφαντικῶς λέγει· »Ἐν οἷς τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος.» Τοιούτοις οὖν γνωρίσμασι, καὶ θεοπνεύστοις τῶν Πατέρων γνώμαις, ὡς ἀλανθάστοις κανόσιν, αἱ μετὰ ταῦτα Τοπικαὶ Ἱεραὶ Σύνοδοι χρώμεναι, συνοδικαῖς ψήφοις καὶ ἀποφάσεσιν ἐκανόνισαν περὶ πάντων τῶν συνοικεσίων, ἅπερ ἡ καθόλου ἁγία τοῦ Χριστοῦ Ὀρθόδοξος Ἀνατολικὴ Ἐκκλησία διακρατεῖ, καὶ διακατέχει ἄνωθεν μέχρι τῆς σήμερον, καὶ μετασαλεῦσαι ταῦτα οὐδόλως ἀνέχεται, τοσούτοις αἰῶσιν ἐπικυρωθέντα, κρατυνθέντα τε καὶ παγιωθέντα. Ἀλλ' ἐπειδὴ ἐν τοῖς ἐσχάτοις τούτοις καιροῖς πολλοὶ τῶν ὀρθοδόξων Χριστιανῶν, οἱ μὲν δι' ἄγνοιαν τῶν ἱερῶν νόμων, οἱ δὲ καὶ ἐπ' ἐλπίδι συγκαταβάσεως, σχέσεις ἀθεμίτων συνοικεσίων συγκροτοῦντες, διαφόροις τρόποις τῆς Ἐκκλησιαστικῆς ἀφέσεως δράξασθαι πραγματεύονται· τοῖς μὲν γὰρ ἐπιχείρημα καθίσταται, εἴπου τι κατὰ περίστασιν καὶ ἀνάγκην συνέβη προγεγονὸς κεκωλυμένου γάμου παράδειγμα· τοῖς δὲ, καὶ διὰ τὸ ἔν τισι βαθμοῖς ἀμφιρρεπὲς τοῦ νόμου, ἀφορμὴ τῆς ἐπὶ τὸν προσεχῆ, καὶ ἐγγὺς κεκωλυμένον βαθμὸν εὐσυγγνώστου δῆθεν οἰκονομίας· εἰσὶ δὲ οἱ καὶ πορρωτέρω τὸ ἀναιδὲς προάγοντες, καὶ πολλῷ τῷ θράσει ἐπεμβαίνοντες, καὶ ἀνερυθριάστως καὶ ἀθεοφόβως γενικὴν καὶ συστηματικὴν ἀνατροπὴν τῶν περὶ τοῦ γάμου ἱερῶν ἐκπεφασμένων νόμων ἀπαιτοῦντες, καὶ εἰς μειώσεις, καὶ κολοβώσεις τῶν τῆς συγγενείας βαθμῶν τὴν ἐκκλησιαστικὴν συγκατάθεσιν ἐκβιαζόμενοι, πρὸς ἀκώλυτον τῆς ἐναγοῦς αἱμομιξίας ἐκτέλεσιν· οὗ τί ἂν γένοιτο παρανομώτερον; εἰ γὰρ ἔθος τὸ τυχὸν, τῷ χρόνῳ παγιωθὲν, νόμος καθίσταται, πῶς ἔθος ἅγιον, καὶ πρὸς τὴν καθαρότητα τοῦ χριστιανικοῦ πολιτεύματος ἀφορῶν, καὶ διὰ τοσούτων αἰώνων κρατυνθὲν, κινηθήσεται; εἰ δὲ καὶ γνώμη

τοσούτων ἁγίων ἀνδρῶν, καὶ θεοφόρων Πατέρων συνοδικῶς κεκύρωται, καὶ κανόσι διησφαλίσθη, καὶ ἐπὶ τοσούτους αἰῶνας παρὰ πάσης τῆς Ὀρθοδόξου Ἐκκλησίας διαμένει διατηρούμενον, πῶς οὐχὶ ἅπαν ἔχει τὸ κράτος καὶ τὴν ἰσχύν; Τίς δ' οὕτω τολμητίας τε καὶ ἀντίθεος, ὥστε καταργῆσαι ἅπερ αὐτὸς ὁ Θεὸς νενομοθέτηκε, καὶ ἅπας τῶν θείων ἀνδρῶν ὁ σύλλογος εὐσεβῶς διετάξατο, καὶ ἡ τῶν πιστῶν Ἐκκλησία ἐς δεῦρο διαφυλάττει; Διὰ ταῦτα, ἡ μετριότης ἡμῶν, τοῖς Ἀποστολικοῖς καὶ Συνοδικοῖς ἑπομένη ἴχνεσι, καὶ τούτοις ἀπαρεγκλίτως παρακολουθοῦσα, ἔγνω κοινῇ συνδιασκέψει, μιᾷ τε ὁμοφώνῳ γνώμῃ ἁπάντων τῶν ἐν Βασιλευούσῃ ἐνδημούντων Ὀρθοδόξων Ἱεραρχῶν, τῶν τε ἁγιωτάτων, καὶ σεβασμιωτάτων Πατριαρχῶν, προκατόχων ἡμῶν, τοῦ κυρίου Κωνσταντίου Α', καὶ τοῦ κυρίου Κωνσταντίου Β', τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου Πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Ἀθανασίου, καὶ τῶν περὶ ἡμᾶς ἱερωτάτων Ἀρχιερέων, καὶ ὑπερτίμων, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητῶν καὶ περιποθήτων ἡμῶν ἀδελφῶν, καὶ συλλειτουργῶν, τὸν παρόντα Πατριαρχικὸν καὶ Συνοδικὸν ἐκθέσθαι Τόμον, ἐπικυροῦντα, καὶ οἱονεὶ ἀνακαινίζοντα, καὶ ἐπιστηρίζοντα τὰ ἔκπαλαι περὶ τῶν βαθμῶν τῶν συνοικεσίων τεθεσπισμένα ὑπὸ τῆς ἁγίας ἡμῶν Ἐκκλησίας, καὶ μέχρι τοῦδε ἀλληλοδιαδόχως διενεργούμενα, καὶ ἐν εἴδει προαναφωνήσεως ἀνακηρύττοντα τοῖς ἁπανταχοῦ Ὀρθοδόξοις Ἀρχιερεῦσι, τοῖς τοῦ κλήρου ἅπασι, καὶ παντὶ τῷ χριστωνύμῳ πληρώματι, μηδεμίαν ἔσεσθαι τοῦ λοιποῦ μηδὲ ἐλπίσαι συγκατάβασιν ἐν οἱῳδήτινι κεκωλυμένῳ ὄντι παρὰ τῶν ἱερῶν νόμων συνοικεσίου βαθμῷ, εἴτε πρὶν καὶ ἐρωτηθέντος, εἴτε συντελεσθῆναι φθάσαντος· ἐφ' ᾧ καὶ γράφοντες ὁριζόμεθα ἐν ἁγίῳ Πνεύματι, καὶ ἀποφαινόμεθα συνοδικῶς, ἵνα ἡ περὶ τῶν γάμων ἀρχαιοτάτη καὶ θεοδίδακτος, καὶ δι' ἱερῶν Οἰκουμενικῶν Συνόδων, καὶ Πατριαρχικῶν Τόμων καὶ ἀποφάσεων ἐπικυρωθεῖσα, καὶ μέχρι τοῦ νῦν ἐπικρατοῦσα καὶ ἐμπολιτευομένη διάταξις, ὑπάρχῃ ἀπαραποιήτως διενεργουμένη, καὶ φυλαττομένη ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καὶ ἐς τὸ διηνεκὲς διασώζηται ἀπαραχάρακτος, καὶ οἱ περὶ βαθμολογίας τῶν γάμων κανόνες, καὶ ἱεραὶ διατυπώσεις, πάσης ἐνδεχομένης ἀνάγκης αἰωνίως ἐπι-

κρατῶσιν ἰσχύοντες· μόνον γὰρ τίμιον γάμον γνωρίζομεν, καὶ ἀποδεχόμεθα, τὸν ἔννομον, καὶ κατὰ τοὺς Ἀποστολικοὺς καὶ Συνοδικοὺς κανόνας τῶν θείων Πατέρων ἡμῶν συναπτόμενον, καὶ ὡς ῥίζαν ἀγαθὴν, καὶ ὑποβάθραν γένους τιμίου καὶ εὐσεβοῦς λογιζόμεθα, ὅπου δηλονότι ἡ συγγενικὴ βαθμολογία ἀκριβῶς καὶ ἀπαραποιήτως φυλάττεται· ἤτοι, εἰς μὲν τὴν ἐξ αἵματος συγγένειαν μέχρι τοῦ ὀγδόου βαθμοῦ, εἰς δὲ τὴν ἐξ ἀγχιστείας μέχρι τοῦ ἕκτου, καὶ εἰς τὴν ἐκ τριγενείας μέχρι τοῦ τετάρτου· ἐπὶ δὲ τοῦ ἁγίου βαπτίσματος ὁρίζεται κατὰ βάθος ὁ ὄγδοος, κατὰ τὴν ἐξ αἵματος βαθμολογίαν, ὅτι ἡ κατὰ πνεῦμα οἰκειότης μείζων τῆς κατὰ σάρκα· καὶ οὗτοι ἔσονται οἱ ἔσχατοι ὅροι τῆς ἀκωλύτου τῶν νομίμων συνοικεσίων ἐκτελέσεως· πᾶσαν δὲ ἄλλην γαμικὴν συνάφειαν, τοὺς ἐκτεθέντας βαθμοὺς ὑπερπηδῶσαν, καὶ τὴν κανονικὴν ταύτην βαθμολογίαν μὴ φυλάττουσαν, ὡς παράνομον ἀθεμιτογαμίαν, καὶ αἱμομιξίαν, καὶ τὸ σεμνοπρεπὲς τοῦ ἱεροῦ γάμου καθυβρίζουσαν, ἀποστέργομεν τοῖς ὅλοις, καὶ τῆς ἁγίας Ἐκκλησίας ἀποκλείομεν, καὶ πόῤῥω τοῦ Ὀρθοδόξου λαοῦ ἀποῤῥίπτομεν, καὶ ὡς ἄθεσμον, καὶ ἀτελεσιούργητον τὸ τοιοῦτο συνοικέσιον λογίζεσθαι ὁριζόμεθα, καὶ τοὺς παραβάτας, καὶ τῶν ἱερῶν νόμων καταφρονητὰς, ἐναντίους τῇ Ἐκκλησίᾳ, καὶ τοῖς ὑπὸ τῶν ἁγίων Πατέρων ἡμῶν ἐπανατεινομένοις ἐπιτιμίοις ἐνόχους ἀναγράφομεν, καὶ ὑπευθύνους, μηδεμιᾶς τοὐντεῦθεν ἐφ' οἱῳδήτινι λόγῳ, καὶ ἀνάγκῃ οἰκονομίας, ἢ παροράσεως, ἄπαγε! χώραν θαῤῥούσης λαχεῖν. Ὅθεν καὶ ὁ παρὼν ἡμέτερος Πατριαρχικὸς καὶ Συνοδικὸς ἐξεδόθη Τόμος, καταστρωθεὶς κἀν τῷ ἱερῷ Κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, πρὸς κοινὴν τῶν ἁπανταχοῦ Ὀρθοδόξων διαβεβαίωσιν.

Ἐν ἔτει Σωτηρίῳ ͵αωλθ'. Φεβρουαρίου ί.

† Γρηγόριος, ἐλέῳ Θεοῦ Πατριάρχης Κωνσταντινουπόλεως, ἐν Χριστῷ τῷ Θεῷ ἀποφαίνεται.

† Πατριάρχης πρώην Κωνσταντινουπόλεως Κωνστάντιος Α'. ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Πρώην Κωνσταντινουπόλεως Πατριάρχης Κωνστάντιος ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ἱεροσολύμων Πατριάρχης Ἀθανάσιος ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ἐφέσου Ἄνθιμος.

† Κυζίκου Ἄνθιμος.

† Χαλκηδόνος Ἱερόθεος.

† Θεσσαλονίκης Μελέτιος.

† Πελαγονίας Γεράσιμος.

† Λήμνου Ἱερώνυμος.

† Ἡρακλείας Διονύσιος.

† Νικομηδείας Ἄνθιμος.

† Δέρκων Γερμανός.

† Ἀμασείας Καλλίνικος.

† Κεστεντηλίου Ἀρτέμιος.

† Σκοπίων Γαβριήλ.

ΑΝΘΙΜΟΥ (1).

ΤΟΜΟΣ ΣΥΝΟΔΙΚΟΣ

Τῆς ἐν Κωνσταντινουπόλει ἁγίας καὶ ἱερᾶς Συνόδου, τῆς συγκροτηθείσης ἐν ἔτει ἀπὸ Χριστοῦ Σωτῆρος χιλιοστῷ ὀκτακοσιοστῷ πεντηκοστῷ, ἐν μηνὶ Ἰουνίῳ, Ἰνδικτιῶνος η'. περὶ τῆς ἐν Ἑλλάδι Ὀρθοδόξου Ἐκκλησίας.

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· Ἀμήν.

Ο ΔΕΣΠΟΤΗΣ τῶν ἁπάντων καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριςὸς, ἐν τῇ νυκτὶ, ᾗ παρεδίδετο, διατιθέμενος τοῖς ἱεροῖς αὐτοῦ μαθηταῖς καὶ Ἀποστόλοις τὴν καινὴν αὐτοῦ καὶ χαρακτηριστικὴν τῶν Χριστιανῶν ἐντολὴν, τὴν πρὸς ἀλλήλους ἀγάπην, «Οὐ δύναται, ἔφη, τὸ κλῆμα καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ·» καὶ ἀντιλαμβανόμενος τῆς ἀνθρωπίνης

(1) Ἄνθιμος ὁ ἀπὸ Νικομηδείας ἐκλεχθεὶς Πατριάρχης Κωνσταντινουπόλεως τὸ ἔτος 1848, ἐπὶ τοῦ Σουλτάνου Ἀβδοὺλ Μεδζίτου, ἐποίμανε τὴν Ἐκκλησίαν ὁσίως καὶ θεαρέστως ἕως τοῦ 1852 ἔτους. Ἐπὶ τῆς πατριαρχείας αὐτοῦ, γενομένης τῆς κάτωθι διακοινώσεως τοῦ ὑπουργείου τῆς Α. Μ. τοῦ βασιλέως τῆς Ἑλλάδος πρὸς τὴν Αὐτοῦ Παναγιότητα, ἐξεδόθη ὁ ἐνταῦθα δημοσιευόμενος Ἱερὸς Τόμος τῆς ἐν Κωνσταντινουπόλει Ἁγίας καὶ Ἱερᾶς Συνόδου, περὶ τῆς ἐν Ἑλλάδι Ὀρθοδόξου Ἐκκλησίας. — Κατόπιν δὲ τοῦ Συνοδικοῦ τούτου Τόμου, ἐξεδόθη ὁ τῆς 9 Ἰουλίου 1852 καταστατικὸς νόμος τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.

Γράμμα τῆς Κυβερνήσεως τοῦ Βασιλείου τῆς Ἑλλάδος πρὸς τὸν Παναγιώτατον Οἰκουμενικὸν Πατριάρχην, καὶ τὴν περὶ αὐτὸν Ἱερὰν Σύνοδον.

Παναγιώτατε καὶ θειότατε Οἰκουμενικὲ Πατριάρχα, Κύριε, Κύριε Ἄνθιμε, κατὰ Πνεῦμα ἡμῖν Σεβασμιώτατε Πάτερ, καὶ Πανιερώτατοι Ἀρχιερεῖς, οἱ συγκροτοῦντες τὴν περὶ τὴν Αὐτοῦ Παναγιότητα Ἱερὰν Σύνοδον, τὸ ὀφειλόμενον Ὑμῖν σέβας εὐλαβῶς ἀπονέμομεν.

Ὡς τέκνα γνήσια τῆς ἁγίας Μητρὸς ἡμῶν Καθολικῆς Ὀρθοδόξου Ἐκκλησίας, ἡμεῖς οἱ συγκροτοῦντες τὸ ὑπουργικὸν συμβούλιον τῆς Αὐτοῦ Μεγαλειότητος τοῦ σεβαστοῦ ἡμῶν Βασιλέως τῆς Ἑλλάδος, ἀπονέμοντες πάντοτε τῇ Ὑμετέρᾳ Παναγιότητι τὸν παρὰ πάντων τῶν Ὀρθοδόξων ὀφειλόμενον Αὐτῇ φόρον εὐλαβείας καὶ σεβασμοῦ, ὡς πρώτῳ τῆς Καθολικῆς Ἐκκλησίας τῶν Ὀρθοδόξων Ποιμενάρχῃ, καὶ Πνευματικῷ Πατρὶ, ἔγνωμεν, κατ' εὐδοκίαν τῆς Αὐτοῦ Μεγα-

ἀσθενείας, αὐτὸς πάλιν ὁ πάνσοφος Διδάσκαλος ἡμῶν ἡρμήνευσε τρανῶς, ὅτι αὐτός ἐστιν ἡ ἄμπελος ἡ ἀληθινή, εἰς ἣν ἐντέλλεται ἅπαντας ἡμᾶς μένειν· «Μείνατε ἐν ἐμοί.» Ἐντεῦθεν ἐν τῷ Χριστιανικῷ Ὀρθοδόξῳ πληρώματι ἡ ὑμνουμένη ἐκείνη, καὶ τοσοῦτον φιλοτίμως σπουδαζομένη ὑπό τε τῶν θείων Ἀποστόλων, καὶ τῶν σεπτῶν Οἰκουμενικῶν Συνόδων, καὶ καθ' ἑκάστην ἐν ταῖς δεήσεσι τῶν πιστῶν θερμῶς ἐξαιτουμένη *Ἑνότης*·

λειότητος, καὶ κατ' αἴτησιν τῆς παρ' ἡμῖν Ἱερᾶς Συνόδου, δι' ἰδιαιτέρας αὐτῆς
πράξεως γενομένην, διακοινῶσαι Αὐτῇ τε καὶ τῇ περὶ Αὐτὴν Ἱερωτάτῃ Συνό-
δῳ ὅ,τι τῇ τε γνώμῃ τοῦ ἔθνους καὶ τῇ τῶν ἐκλεκτῶν τοῦ ἔθνους ἐγκρίσει
ἔδοξε νομοθετῆσαι πρὸς τὴν νόμιμον καὶ τακτικὴν διοίκησιν τῆς παρ' ἡμῖν
Ὀρθοδόξου Ἐκκλησίας. Ἐπειδὴ ἡ τὰ πάντα πανσόφως τε καὶ φιλανθρώπως
διέπουσα πρόνοια τοῦ Ὑψίστου ηὐδόκησε κατὰ τὸ ἄπειρον αὐτοῦ ἔλεος νὰ
ἀνεγείρῃ καὶ τὴν Ἑλλάδα εἰς βασίλειον κράτος αὐτόνομόν τε καὶ ἀνεξάρτη-
τον, ἔδει πάντως καὶ τὴν ταύτης Ὀρθόδοξον Ἐκκλησίαν τῆς τοιαύτης ἐπαπο-
λαύειν ἀνεξαρτησίας, ἧς καὶ πάντων τῶν ἄλλων αὐτονόμων καὶ ἀνεξαρτήτων
βασιλείων αἱ Ἐκκλησίαι ἀπολαύουσι. Καὶ ἐθεωρήθη μὲν παρὰ τοῦ ἔθνους αὐ-
τοκέφαλος καὶ ἀνεξάρτητος ἡ Ἐκκλησία τῆς Ἑλλάδος ἀπὸ τοῦ 1821 ἔτους,
ὑπαγορευθέντος τούτου ἐκ τῆς ἀνάγκης τῶν τότε πολιτικῶν τῆς Ἑλλάδος πε-
ριστάσεων καὶ μεταβολῶν· ἀλλ' ἐν τοιούτοις καιροῖς ἦν ἀδύνατος ἡ σύστασις
Ἐκκλησιαστικῆς ἀρχῆς κυβερνώσης τὰ τῆς Ἐκκλησίας πρὸς τὴν ἀκρίβειαν τῶν
ἱερῶν κανόνων, καὶ ἐπαγρυπνούσης εἰς τὴν τήρησιν τῶν τῆς πίστεως δογμά-
των. Ἅμα δὲ ἡ Αὐτοῦ Μεγαλειότης ἀναβᾶσα εἰς τὸν θεόθεν προωρισμένον
Αὐτῇ θρόνον τῆς Ἑλλάδος, ἐπιχειρήσασα τὴν τοῦ βασιλείου διοργάνωσίν τε
καὶ διακόσμησιν διὰ σοφῶν θεσμοθεσιῶν, ἐπέστησεν εὐθὺς τὴν ὑψηλὴν Αὐτῆς
προσοχὴν εἰς τὴν τῆς Ὀρθοδόξου Ἐκκλησίας κατάστασιν, νομίσασα τὴν περὶ
τῆς ἀποκαταστάσεως αὐτῆς μέριμναν καθῆκον τῆς Βασιλείας Του οὐχ ἧττον
σπουδαῖον καὶ ἐμβριθές, ἢ τὴν τῶν ἄλλων πραγμάτων τοῦ Βασιλείου διαρρύθ-
μισιν. Ἀλλ' εἰς τὸ ἔργον τοῦτο, ὡς Πνευματικὸν καὶ ἐκκλησιαστικὸν, πρὶν ἢ
ἐπιβάλῃ χεῖρα, ηὐδόκησε νὰ ἀκούσῃ καὶ αὖθις τὴν περὶ τούτου γνώμην τοῦ ἐν
τῷ Βασιλείῳ ἱεροῦ Κλήρου, καί τοι γινώσκουσα καλῶς, ὅτι καὶ τὰ πρότερον παρὰ
τῶν Ἐθνικῶν Συνελεύσεων ψηφισθέντα, τῇ γνώμῃ καὶ τῇ συναινέσει τοῦ ἱεροῦ
Κλήρου ἐψηφίσθησαν. Καὶ δὴ συγκαλέσασα εἰς τὴν καθέδραν τῆς Κυβερνήσεως
πάντας τοὺς ἐν τῇ Ἑλλάδι διαμένοντας καὶ παρεπιδημοῦντας Ἀρχιερεῖς, ἤτοι
τοὺς Μητροπολίτας, Ἀρχιεπισκόπους, καὶ Ἐπισκόπους, ἤκουσεν εὐμενῶς τὴν
γνώμην αὐτῶν, ἀποφηναμένων ὁμοφώνως, ὅτι ἡ διὰ Συνόδου διαρκοῦς διοίκησις
τῆς Ὀρθοδόξου Ἐκκλησίας, οἵα ὑπάρχει καὶ ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ τῆς ὁμο-
δόξου Ῥωσσίας, νομίζεται καὶ ἁρμοδιωτέρα, καὶ συμφερωτέρα καὶ ἐν τῷ θεο-
συστάτῳ Βασιλείῳ τῆς Ἑλλάδος Κατὰ ταύτην τοίνυν τὴν γνωμοδότησιν τῶν
σεβασμιωτάτων Ἀρχιερέων, ἐπισήμως παρὰ τῶν ἰδίων ἐκτεθεῖσαν, καὶ κυρωθεῖ-
σαν, κατέστη ἐν Ἑλλάδι δι' ὑψηλοῦ βασιλικοῦ νόμου ἀνωτάτη Ἐκκλησιαστικὴ
ἀρχὴ τοῦ βασιλείου Κράτους ὑπὸ τὸ ὄνομα Ἱ ε ρ ὰ Σ ύ ν ο δ ο ς τῆς Ἑλλάδος,
συγκροτουμένη ἐκ πέντε Ἀρχιερέων, εἰς ἣν ἀνετέθη ἡ ἐξάσκησις τῶν κυριαρχικῶν

«Μείνατε ἐν ἐμοί·» εἷς γὰρ Κύριος, ᾧ λατρεύομεν· μία πίστις, ἣν παρελάβομεν, καὶ ἓν βάπτισμα, ὃ βεβαπτίσμεθα. Ταῦτά εἰσιν αἱ συνθῆκαι τῆς μιᾶς ἀληθοῦς ποίμνης τοῦ Ἀρχιποίμενος Χριστοῦ, ἤτοι τῆς Μιᾶς, Ἁγίας, Καθολικῆς, καὶ Ἀποστολικῆς Ἐκκλησίας, ποιμαινομένης ὑπὸ πολυπληθῶν ὑπηρετῶν

δικαιωμάτων τῆς αὐτοκεφάλου ἤδη Ἐκκλησίας τῆς Ἑλλάδος, οἷα καὶ πασῶν τῶν ἄλλων αὐτοκεφάλων Ἐκκλησιῶν οἱ ἀρχηγοὶ ἐξασκοῦσιν. Ἐπιβάλλεται δὲ αὐτῇ παρὰ τοῦ νόμου, ὡς πρώτιστον καθῆκον, καὶ ἀπαραίτητον, τὸ νὰ ἐπαναγρυπνῇ εἰς τὴν ἀκριβῆ διατήρησιν τῶν παρὰ τῆς Μεγάλης Ἐκκλησίας, καὶ πασῶν τῶν ἄλλων Ὀρθοδόξων Ἐκκλησιῶν πρεσβευομένων δογμάτων, ἵνα φυλάττηται ἀπαραχάρακτος ἡ δογματικὴ μετ' αὐτῶν ἑνότης· ἐφ' ᾧ καὶ οἱ ἀναδεχόμενοι τὴν ὑψηλὴν ταύτην ἀξίαν Ἀρχιερεῖς ὁμολογοῦσιν ἐνώπιον Θεοῦ καὶ τῆς Αὐτοῦ Μεγαλειότητος, ὅτι θέλουν διατηρεῖ ταῦτα πάντα ἀνόθευτα καὶ ἀκέραια, κυροῦντες τὴν πρᾶξιν ταῖς ἰδίαις αὐτῶν ὑπογραφαῖς. Τὴν θεσμοθεσίαν ταύτην τῆς Ἐκκλησιαστικῆς διοικήσεως παρεδέχθη καὶ ἐπιψήφισεν ἅπαν τὸ Χριστεπώνυμον πλήρωμα τῶν Ὀρθοδόξων Ἑλλήνων διὰ τῶν αἱρετῶν αὐτοῦ ἀντιπροσώπων, τῶν ἐν ἔτει 1843 συγκαλεσθέντων εἰς Ἐθνικὴν Συνέλευσιν ἐν Ἀθήναις, τῇ τοῦ Βασιλείου Μητροπόλει· οἵτινες, μιᾷ φωνῇ, καὶ μιᾷ ψήφῳ, ὡς ἀρχὴν τοῦ θεμελιώδους νόμου ἔθεντο τὴν καλὴν ὁμολογίαν τῆς πίστεως, διακηρύξαντες πανδήμως διὰ τοῦ 2 ἄρθρου τοῦ συντάγματος τὴν σταθερὰν τοῦ Ἑλληνικοῦ Ἔθνους εὐσέβειαν, καὶ τὴν ἀδιάσπαστον ἑνότητα τῆς πίστεως, δι' ἧς ἑνοῦται δογματικῶς μετὰ τῆς ἐν Κωνσταντινουπόλει Μεγάλης Ἐκκλησίας, καὶ πάσης ἄλλης ὁμοδόξου τοῦ Χριστοῦ Ἐκκλησίας καὶ ἡ Ἑλληνικὴ Ὀρθόδοξος Ἐκκλησία, διατηροῦσα ἀπαραλλάκτως τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας, καὶ τὰς ἱερὰς παραδόσεις. Ἤδη τοίνυν τῶν ἀλλεπαλλήλων δυσχερῶν πραγμάτων τῆς Ἑλλάδος θείᾳ συνάρσει ἐξομαλυνθέντων, καὶ τοῦ καιροῦ ἐπιτρέψαντος, καθῆκον ἡμῶν ἱερὸν ἡγησάμεθα, εὐδοκίᾳ τῆς Αὐτοῦ Μεγαλειότητος, γνώμῃ δὲ καὶ αἰτήσει τοῦ ἱεροῦ Κλήρου, ὅπως ἀναγγείλωμεν πρὸς τὴν Μεγάλην Ἐκκλησίαν τῆς Κωνσταντινουπόλεως ταῦτα, ἀξιοῦντες τὴν Ὑμετέραν Παναγιότητα, ὡς πρῶτον Ποιμενάρχην τῆς Ὀρθοδόξου Καθολικῆς Ἀνατολικῆς Ἐκκλησίας, καὶ τὴν περὶ Αὐτὴν Ἱερωτάτην Σύνοδον, ἵνα ἐπιδοκιμάσαντες τὴν ἐκκλησιαστικὴν ταύτην θεσμοθεσίαν, καὶ τὴν δι' αὐτῆς συστᾶσαν Ἱερὰν Σύνοδον τοῦ Βασιλείου τῆς Ἑλλάδος ἀναγνωρίσαντες, ἀποδέξησθε αὐτὴν ὡς ἐν Χριστῷ ἀδελφήν, εὐλογοῦντες τὸ ἔργον τοῦ εὐσεβοῦς Ἑλληνικοῦ Ἔθνους, καὶ διακοινοῦντες ταῦτα καὶ τοῖς λοιποῖς μακαριωτάτοις Πατριάρχαις, τῷ Ἀντιοχείας, τῷ Ἀλεξανδρείας, καὶ τῷ Ἱεροσολύμων, ὅπως μετὰ τῆς Ὑμετέρας Παναγιότητος καὶ οἱ μακαριώτατοι οὗτοι Πατριάρχαι γνωρίζωσι τοῦ λοιποῦ, καὶ ἀποδέχωνται ὡς ἀδελφὴν ἐν Χριστῷ ὁμότιμον καὶ ὁμόδοξον τὴν Ἱερὰν ἡμῶν Σύνοδον, ἵν' οὕτω διατηρῆται ἀλώβητος ἡ τῆς ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἑνότης. Τῇ δὲ Ἱερᾷ ταύτῃ Συνόδῳ τοῦ Βασιλείου τῆς Ἑλλάδος ἐπίκειται εἰς ἀεὶ καθῆκον ἱερώτατον τὸ ἀπονέμειν εὐλαβῶς τὰ κατὰ τοὺς ἱεροὺς κανόνας πρεσβεῖα τῆς τιμῆς εἰς τὸν Οἰκουμενικὸν θρόνον τῆς Κωνσταντινουπόλεως, ὡς πρῶτον πάσης τῆς ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας τῶν

αὐτοῦ, ἀγραυλούντων καὶ φυλασσόντων φυλακὰς ἐν τῇ νυκτὶ τοῦ πλάνου τούτου βίου ἐπὶ μιᾷ ἐλπίδι, εἰς ἣν καὶ ἐκλήθημεν ἅπαντες. Ἀλλ' ἡ σοφία τοῦ Θεοῦ, ὡς ἅπασαν τὴν κτίσιν συνέχει ἐν θαυμασίᾳ ἀλληλουχίᾳ καὶ τάξει διέπουσα, οὕτω καὶ τὴν ἁγίαν αὐτοῦ Ἐκκλησίαν ηὐδόκησε τῇ αὐτῇ ἁρμονίᾳ οἰκονομεῖσθαι, καὶ τὸ ἅγιον Πνεῦμα, τὸ θέμενον τοὺς μὲν Ἀποστόλους, τοὺς δὲ Προφήτας, τοὺς δὲ Ποιμένας καὶ Διδασκάλους, ὥσπερ διὰ τῆς τῶν θείων Ἀποστόλων χειροθεσίας ἀνέδειξεν ἐν τῇ διακονίᾳ τῆς *Πίστεως*, τοὺς μὲν Ἐπισκόπους, τοὺς δὲ Πρεσβυτέρους, τοὺς δὲ Διακόνους, οὕτω τὸ αὐτὸ Πνεῦ-

---

Ὀρθοδόξων, καὶ μνημονεύειν δὲ πρῶτον τὸν ἐπ' αὐτοῦ καθήμενον ἐν τοῖς ἱεροῖς διπτύχοις, κατὰ τὴν καθεστῶσαν τάξιν τῆς Ἐκκλησίας, ἔτι δὲ καὶ πραγμάτων ἐκκλησιαστικῶν συμπεσόντων, ἅτινα δέονται συσκέψεως καὶ συμπράξεως πρὸς κρείττονα οἰκονομίαν καὶ στηριγμὸν τῆς Ὀρθοδόξου Ἐκκλησίας, πρὸς αὐτὸν πρῶτον θέλει ἀναφέρεσθαι. Ἀξιοῦμεν δὲ, καὶ πεπείσμεθα, ὅτι ἐν τοιούτοις πράγμασι, τὸ Πνευματικὸν ἀφορῶσι τῆς Ἐκκλησίας συμφέρον, θέλει εὐδοκεῖ καὶ ἡ Ὑμετέρα Παναγιότης νὰ πράττῃ τὸ αὐτὸ πρὸς τὴν ἡμετέραν Ἱερὰν Σύνοδον, κἂν αὕτη ποτὲ ἐξαιτήσηται παρ' Αὐτῆς γνώμην, ἢ ὁδηγίαν, πρὸς ὄφελος τῆς Ἐκκλησίας, οὐκ ἀπαξιώσει ἡ Ὑμετέρα Παναγιότης ἀνακοινοῦν τὰ δέοντα. Οὕτω συνδεδεμέναι αἱ Ἐκκλησίαι τῷ συνδέσμῳ τῆς ἐν Χριστῷ ἀγάπης, δυνήσονται διὰ τῆς θείας Χάριτος ἀντιστῆναι πρὸς πάντα τὰ ἐναντία, καὶ πᾶσαν προσβολὴν ἀποκρούσονται θαῤῥαλεώτερον καὶ δραστηριώτερον.

Ταῦτα γνωστοποιοῦντες καὶ ἀξιοῦντες ὑπὲρ τῆς ἡμετέρας Ἱερᾶς Συνόδου, ἐξαιτούμεθα εὐλαβῶς τὰς Πατρικὰς εὐχὰς καὶ εὐλογίας καὶ Αὐτῆς, καὶ τῆς περὶ Αὐτὴν ἱερωτάτης Συνόδου καὶ ὑπὲρ ἡμῶν, καὶ ὑπὲρ παντὸς τοῦ Ὀρθοδόξου λαοῦ τῆς Ἑλλάδος, διατελοῦντες μετ' εὐλαβείας καὶ σεβασμοῦ.

Ἐγένετο ἐν Ἀθήναις, τῇ τοῦ Βασιλείου καθέδρᾳ, τὴν τριακοστὴν τοῦ μηνὸς Μαΐου, ἐν ἔτει Σωτηρίῳ χιλιοστῷ ὀκτακοσιοστῷ καὶ πεντηκοστῷ.

Τῆς Ὑμετέρας Παναγιότητος υἱοὶ καὶ κατὰ Πνεῦμα προθυμότατοι.

Οἱ συγκροτοῦντες τὸ συμβούλιον τῆς Αὐτοῦ Μεγαλειότητος τοῦ Βασιλέως τῆς Ἑλλάδος.

Ὁ Πρόεδρος τοῦ Ὑπουργικοῦ Συμβουλίου καὶ ἐπὶ τῶν Ναυτικῶν Ὑπουργός,
Α. Γ. Κριεζῆς.

Ὁ ἐπὶ τοῦ Βασιλικοῦ Οἴκου καὶ τῶν Ἐξωτερικῶν καὶ ἐπὶ τῶν Οἰκονομικῶν Ὑπουργός, Ἀναστάσιος Λόντος.

Ὁ ἐπὶ τῶν Ἐσωτερικῶν Ὑπουργός. Γ. Νοταρᾶς.

Ὁ ἐπὶ τῶν Στρατιωτικῶν Ὑπουργός. Ἰωάννης Στάϊκος.

Ὁ ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς Δημοσίου Ἐκπαιδεύσεως καὶ τῆς Δικαιοσύνης Ὑπουργός. Ν. Χρυσόγελος.

(Τ. Σ.)

μα, καὶ διὰ τῆς ἀποφάνσεως τῶν Οἰκουμενικῶν Ἁγίων Συνόδων ἐκανόνισεν ἐν τῇ οἰκονομίᾳ τῆς *Ἑνότητος*, τοὺς μὲν Πατριάρχας, τοὺς δὲ Ἀρχιεπισκόπους καὶ Μητροπολίτας, τοὺς δὲ Ἀρχιπρεσβυτέρους καὶ Ἀρχιδιακόνους κτλ. Οὗτοι δὲ πάντες, εἴτε ὁμότιμοι ἐν ἀδελφικῇ ὑπαλληλίᾳ, εἴτε ὑποτασσόμενοι ἀλλήλοις ὡς «ἡγουμένοις,» κατὰ τὴν διακονίαν ἣν ἕκαστος ἔλαχεν, ἔχοντες τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, καὶ τὴν αὐτὴν ἀποστολικὴν κατὰ κανόνας χειροτονίαν, ὡς μέλη ὑπουργικὰ συναρμολογούμενοι εἰς ἓν σῶμα Χριστοῦ, ὅπου γῆς ἂν ὦσιν, ἕνα ναὸν ἅγιον καταρτίζουσι, καὶ συνδεόμενοι τῷ συνδέσμῳ τῆς ἀγάπης, κἂν κεχωρισμένοι καὶ ἀφεστηκότες δοκῶσι κατὰ τὰς τοῦ κοινωνικοῦ βίου χρείας τε καὶ περιπετείας τῶν πολιτευμάτων, ἀδιάστατοι καὶ ἀχώριστοί εἰσιν ἐν τῇ τῆς Ἐκκλησίας *Ἑνότητι*. Ἐπὶ ταύτῃ τῇ βάσει ἀνέκαθεν ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἤτοι αἱ σεπταὶ Οἰκουμενικαὶ Σύνοδοι, ὥς γε πρὸς τὴν τοῦ βιωτικοῦ πολιτεύματος καιρικὴν χρείαν ἀφορῶσαι, ἢ ἐχώρισαν, ἢ συνῆψαν ἐπαρχίας ἐκκλησιαστικάς, καὶ ἢ ἄλλοις ὑπέταξαν, ἢ αὐτοκεφάλους ἀνέδειξαν αὐτάς, τῆς ἐν τῇ πίστει καὶ ἐν τῇ ἐκκλησιαστικῇ κοινωνικῇ τάξει *Ἑνότητος* ἀλωβήτου διαμενούσης. Ἐπεὶ τοίνυν καί τινες τῶν ὑπὸ τὴν ἐκκλησιαστικὴν κυριαρχίαν τοῦ Πατριαρχικοῦ, Ἀποστολικοῦ, Οἰκουμενικοῦ Θρόνου τῆς Κωνσταντινουπόλεως ἁγιώταται Μητροπόλεις, καὶ Ἀρχιεπισκοπαί, καὶ Ἐπισκοπαί, αἱ ἀπαρτίζουσαι σήμερον τὸ θεόσωστον καὶ θεοστήρικτον βασίλειον τῆς Ἑλλάδος, διὰ καιρικὰς περιπετείας, καίπερ διατηροῦσαι τῇ τοῦ Θεοῦ χάριτι τὴν τῆς Πίστεως *Ἑνότητα*, ἀπελείφθησαν ὅμως ἐπί τινα καιρὸν τῆς ἐκκλησιαστικῆς καὶ κανονικῆς σχέσεώς τε καὶ συναφείας πρός τε τὴν Ὀρθόδοξον αὐτῶν Μητέρα, τὴν ἐν Κωνσταντινουπόλει Μεγάλην Ἐκκλησίαν, ἐξ ἧς ἤρτηντο, καὶ δὴ καὶ πρὸς πάσας τὰς λοιπὰς Ὀρθοδόξους τοῦ Χριστοῦ Ἐκκλησίας, ἡμεῖς οἱ διὰ τῆς χάριτος τοῦ Παναγίου Πνεύματος συνελθόντες ἐν πλήρει Συνόδῳ, πρὸς καταρτισμὸν τῆς κανονικῆς ἑνότητος τῆς ἐν Ἑλλάδι Ἐκκλησίας μετὰ τῶν λοιπῶν Ὀρθοδόξων Ἐκκλησιῶν, ἀκούσαντες διὰ τῶν ἐπισήμων γραμμάτων τῶν ἐπισταλέντων ἡμῖν παρὰ τοῦ εὐσεβοῦς Ὑπουργείου τοῦ

θεοσώστου Κράτους τῆς Ἑλλάδος, τήν τε περὶ τούτου αἴτησιν τοῦ ἐκεῖ σύμπαντος εὐλαβεστάτου Κλήρου, καὶ τὴν συντρέχουσαν ἐπιθυμίαν παντὸς τοῦ Ὀρθοδόξου Ἑλληνικοῦ λαοῦ, τῶν ἐν Ἁγίῳ Πνεύματι τέκνων ἡμῶν ἀγαπητῶν καὶ περιποθήτων, συνιδόντες δὲ καὶ τὴν χρείαν τῆς κατ' ἐκεῖνο τὸ νεοσύστατον Κράτος διακονίας τῆς Πίστεως, καὶ τῆς ἐκκλησιαστικῆς οἰκονομίας τῆς *Ἑνότητος*, καὶ συσκεψάμενοι ὅπως ἥ τε ἁγία ἡμῶν Πίστις διατηρηθῇ ἐσαεὶ ἀλώβητος, καὶ οἱ κανόνες τῶν θείων Πατέρων ἀπαραβίαστοι καὶ ἀπαρασάλευτοι, ὥστε εἶναι πάντας ἡμᾶς, ὡς ἐν τῇ αὐτῇ Πίστει, οὕτω καὶ ἐν τῇ αὐτῇ οἰκονομίᾳ τῆς *Ἑνότητος*, καὶ κλήματα ἀδιάσπαστα τῆς θείας Ἀμπέλου, ὡρίσαμεν, τῇ δυνάμει τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, διὰ τοῦ παρόντος Συνοδικοῦ τόμου, ἵνα ἡ ἐν τῷ βασιλείῳ τῆς Ἑλλάδος Ὀρθόδοξος Ἐκκλησία, ἀρχηγὸν ἔχουσα καὶ κεφαλήν, ὡς καὶ πᾶσα ἡ Καθολικὴ καὶ Ὀρθόδοξος Ἐκκλησία, τὸν Κύριον, καὶ Θεόν, καὶ Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν, ὑπάρχῃ τοῦ λοιποῦ κανονικῶς αὐτοκέφαλος, ὑπερτάτην ἐκκλησιαστικὴν ἀρχὴν γνωρίζουσα Σύνοδον διαρκῆ, συνισταμένην ἐξ ἀρχιερέων προσκαλουμένων ἀλληλοδιαδόχως κατὰ τὰ πρεσβεῖα τῆς χειροτονίας, Πρόεδρον ἔχουσαν τὸν κατὰ καιρὸν ἱερώτατον μητροπολίτην Ἀθηνῶν, καὶ διοικοῦσαν τὰ τῆς Ἐκκλησίας κατὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας ἐλευθέρως καὶ ἀκωλύτως ἀπὸ πάσης κοσμικῆς ἐπεμβάσεως. Οὕτω δὴ καὶ ἐπὶ τούτοις καθισταμένην διὰ τοῦ παρόντος Συνοδικοῦ Τόμου τὴν ἱερὰν ἐν Ἑλλάδι Σύνοδον, ἐπιγινώσκομεν αὐτὴν καὶ ἀνακηρύττομεν Πνευματικὴν ἡμῶν ἀδελφήν, καὶ πᾶσι τοῖς ἁπανταχοῦ εὐσεβέσι καὶ Ὀρθοδόξοις τέκνοις τῆς μιᾶς, Ἁγίας, Καθολικῆς, καὶ Ἀποστολικῆς Ἐκκλησίας, ἐπισυνιστῶμεν ὡς τοιαύτην τοῦ λοιποῦ ἀναγνωρίζεσθαι καὶ μνημονεύεσθαι τῷ ὀνόματι, Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος. Δαψιλεύομεν δὲ αὐτῇ καὶ πάσας τὰς προνομίας, καὶ πάντα τὰ κυριαρχικὰ δικαιώματα, τὰ τῇ ἀνωτάτῃ ἐκκλησιαστικῇ ἀρχῇ παρομαρτοῦντα, ἵνα τοῦ λοιποῦ μνημονεύηται ὑπὸ τῶν ἐν Ἑλλάδι Ἀρχιερέων ἐν ταῖς ἰδίαις ἐπαρχίαις ἱερουργούντων, τοῦ Προέδρου αὐτῆς μνημονεύοντος πάσης ἐπισκοπῆς Ὀρθοδόξων, καὶ χορηγῇ τὰς πρὸς χειροτονίαν Ἀρχιε-

ρέων ἀπαιτουμένας κανονικὰς ἐκδόσεις. Ἵνα δὲ ἡ κανονικὴ Ἑνότης πρός τε τὴν ἐν Κωνσταντινουπόλει Μεγάλην Ἐκκλησίαν, καὶ πρὸς τὰς λοιπὰς Ὀρθοδόξους τοῦ Χριστοῦ Ἐκκλησίας διατηρῆται, κατὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας καὶ τὰ Πατροπαράδοτα ἔθιμα τῆς Καθολικῆς Ὀρθοδόξου Ἐκκλησίας, ὀφείλει ἡ Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος μνημονεύειν ἐν τοῖς ἱεροῖς διπτύχοις τοῦ τε κατὰ καιρὸν Οἰκουμενικοῦ Πατριάρχου, καὶ τῶν λοιπῶν τριῶν Πατριαρχῶν κατὰ τάξιν, καθὼς καὶ πάσης ἐπισκοπῆς Ὀρθοδόξων, λαμβάνειν δὲ, ὁσάκις ἂν χρήζῃ, καὶ τὸ ἅγιον μύρον παρὰ τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας. Κατὰ δὲ τὰς κανονικὰς καὶ Πατροπαραδότους διατυπώσεις, ὁ Πρόεδρος τῆς Ἱερᾶς Συνόδου ἀναγορευόμενος ὀφείλει ἐπιστέλλειν τὰ ἀναγκαῖα συνοδικὰ γράμματα πρός τε τὸν Οἰκουμενικὸν καὶ πρὸς τοὺς λοιποὺς Πατριάρχας, καθὼς καὶ οὗτοι ἀναγορευόμενοι τὸ αὐτὸ ποιήσουσιν. Οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς συμπίπτουσιν ἐκκλησιαστικοῖς πράγμασι, τοῖς δεομένοις συσκέψεως καὶ συμπράξεως πρὸς κρείττονα οἰκονομίαν καὶ στηριγμὸν τῆς Ὀρθοδόξου Ἐκκλησίας, ἤρεσεν, ἵνα ἡ μὲν ἐν Ἑλλάδι Ἱερὰ Σύνοδος ἀναφέρηται πρὸς τὸν Οἰκουμενικὸν Πατριάρχην καὶ τὴν περὶ αὐτὸν Ἱερὰν Σύνοδον· ὁ δὲ Οἰκουμενικὸς Πατριάρχης μετὰ τῆς περὶ αὐτὸν Ἁγίας καὶ Ἱερᾶς Συνόδου, παρέχῃ προθύμως τὴν ἑαυτοῦ σύμπραξιν, ἀνακοινῶν τὰ δέοντα πρὸς τὴν Ἱερὰν Σύνοδον τῆς Ἐκκλησίας τῆς Ἑλλάδος. Τὰ δὲ πρὸς τὴν ἐσωτερικὴν ἐκκλησιαστικὴν διοίκησιν ἀφορῶντα, οἷα, φερ' εἰπεῖν, τὰ περὶ ἐκλογῆς καὶ χειροτονίας Ἀρχιερέων, περὶ ἀριθμοῦ αὐτῶν, καὶ ὀνομασίας τῶν θρόνων αὐτῶν, περὶ χειροτονίας ἱερέων καὶ ἱεροδιακόνων, περὶ γάμου καὶ διαζυγίου, περὶ διοικήσεως μοναστηρίων, περὶ εὐταξίας καὶ ἐκπαιδεύσεως τοῦ ἱεροῦ Κλήρου, περὶ τοῦ κηρύγματος τοῦ θείου λόγου, περὶ ἀποδοκιμασίας ἀντιθρησκευτικῶν βιβλίων, ταῦτα πάντα καὶ τὰ τοιαῦτα κανονισθήσονται παρὰ τῆς Ἱερᾶς Συνόδου διὰ συνοδικῆς πράξεως μὴ ἀντιβαινούσης τὸ παράπαν τοῖς ἱεροῖς κανόσι τῶν ἁγίων καὶ Ἱερῶν Συνόδων, καὶ τοῖς Πατροπαραδότοις ἐθίμοις, καὶ ταῖς διατυπώσεσι τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας.

Ἐπ' αὐτοῖς οὖν τοῖς ὅροις, αὕτη ἡ ἀρχῆθεν καλλιγόνος Μή-

τηρ, ἡ ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τοῦ οἴκου Κυρίου, ἡ ἐν Κωνσταντινουπόλει Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία, ἐν Ἁγίῳ Πνεύματι συνοδικῶς ἀποφαινομένη, ἀναγορεύει καὶ κηρύττει τὴν ἐν Ἑλλάδι Ἐκκλησίαν αὐτοκέφαλον, καὶ τὴν ἐν αὐτῇ Σύνοδον ἀδελφὴν ἐν Πνεύματι ἑαυτῆς τε καὶ πάσης ἄλλης ἀνὰ μέρος Ὀρθοδόξου Ἐκκλησίας. Ἔτι ἀναγνωρίζει πλήρη καὶ κυρίαν καὶ Ἀποστολικὴν, τὴν ψήφῳ καὶ δοκιμασίᾳ τῶν ἐν Ἑλλάδι Ἱερωτάτων Μητροπολιτῶν, καὶ Ἀρχιεπισκόπων, καὶ Ἐπισκόπων γινομένην χειροτονίαν, ἣν ἔλαβον ἐντεῦθεν ἀπὸ τοῦ Ἀποστολικοῦ Οἰκουμενικοῦ τούτου Θρόνου, ἢ καὶ ἀφ' ἑτέρου Ἀποστολικοῦ Θρόνου, ἢ καὶ Συνόδων αὐτοκεφάλων, τῶν ἐν τῷ Ὀρθοδόξῳ πληρώματι. Ἔτι δὲ κατέχει πλήρη κυρίαν καὶ Ἀποστολικὴν πᾶσαν χειροθεσίαν αὐτῶν, καὶ πᾶσαν ἱερὰν τελετὴν νομίμως τελουμένην, καὶ τοιαύτην ἀξιοῖ κατέχεσθαι καὶ παρὰ πάντων τῶν Ὀρθοδόξων. Ταῦτα ὥρισεν ἐν Ἁγίῳ Πνεύματι ἡ ἐν Κωνσταντινουπόλει Ὀρθόδοξος Ἱερὰ Σύνοδος, εὐχομένη ἀπλέτῳ πόθῳ καὶ διαπύρῳ ἀγάπῃ τῇ φίλῃ αὐτῆς ἐν Χριστῷ ἀδελφῇ, στηριγμὸν ἐν τῇ Πίστει καὶ ἐν τῇ Ἑνότητι, προκοπὴν ἐν τοῖς παραγγέλμασι τοῦ Κυρίου, καὶ ἄγρυπνον προσοχὴν εἰς τὴν Ὀρθόδοξον διδασκαλίαν τοῦ ποιμνίου, εἰς ὃ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπέστησε ποιμαίνειν, ὅπως ἂν εἴπωσι καὶ οἱ ἀντικείμενοι τῇ εὐσεβείᾳ, «Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος, θάμβος ὡς τεταγμέναι;» Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότειχον τοῦ φραγμοῦ λύσας, δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις πάντοτε, χάριτι καὶ οἰκτιρμοῖς τοῦ Πρώτου καὶ Μεγάλου καὶ Ἄκρου Ἀρχιερέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, πρεσβείαις τῆς Παναχράντου Αὐτοῦ Μητρὸς, τῆς ἀειπαρθένου καὶ Θεοτόκου Μαρίας, τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων πανευφήμων Θεοκηρύκων καὶ Πνευματοφόρων Ἀποστόλων, τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, καὶ πάντων τῶν Ἁγίων· Ἀμήν.

Ἐν ἔτει Σωτηρίῳ ͵αων'. Ἰουνίου κθ'.

† Ἄνθιμος ἐλέῳ Θεοῦ, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας

ας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, ἐν Χριστῷ τῷ Θεῷ ἀποφαίνεται.

† Ὁ πρώην Κωνςαντινουπόλεως Κωνςάντιος Α'. ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ὁ πρώην Κωνςαντινουπόλεως Κωνστάντιος Β'. ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ὁ πρώην Κωνσταντινουπόλεως Γρηγόριος ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ὁ πρώην Κωνσταντινουπόλεως Γερμανὸς ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ὁ πρώην Κωνσταντινουπόλεως Ἄνθιμος ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Κύριλλος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ὁ Καισαρείας Παΐσιος. † Ὁ Ἐφέσου Ἄνθιμος.

† Ὁ Ἡρακλείας Πανάρετος.

† Ὁ Νικομηδείας Διονύσιος, ἔχων καὶ τὴν γνώμην τοῦ σεβασμιωτάτου γέροντος ἁγίου Χαλκηδόνος Κυρίου Ἱεροθέου.

† Ὁ Δέρκων Νεόφυτος. † Ὁ Πρόεδρος Διδυμοτείχου Μελέτιος.

† Ὁ Νεοκαισαρείας Λεόντιος.

† Ὁ Κρήτης Χρύσανθος. † Ὁ Σεῤῥῶν Ἰάκωβος.

† Ὁ Βιζύης Γρηγόριος. † Ὁ Σωζουαγαθουπόλ. Προκόπιος.

† Ὁ πρώην Μεσημβρίας Σαμουήλ. † Ὁ Σταυρουπόλεως Κωνςαντῖνος.

ΝΕΑΡΑΙ ΔΙΑΤΑΞΕΙΣ
ΤΩΝ
ΒΥΖΑΝΤΙΝΩΝ ΑΥΤΟΚΡΑΤΟΡΩΝ
ΠΕΡΙ ΠΡΑΓΜΑΤΩΝ, ΚΑΙ ΠΡΟΝΟΜΙΩΝ, ΚΑΙ ΖΗΤΗΜΑΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ.

ΙΟΥΣΤΙΝΙΑΝΟΥ (1).

Α΄. ΟΜΟΛΟΓΙΑ ΠΙΣΤΕΩΣ

ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

Κατὰ τῶν τριῶν Κεφαλαίων.

Ἐν ὀνόματι τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν, καὶ τοῦ ἁγίου Πνεύματος, Αὐτοκράτωρ, Καῖσαρ, φιλόχριστος (2), *Ἰουστινιανὸς, Ἀλαμανικὸς, Γοτθικὸς, Φραγκικὸς, Γερμανικὸς, Ἀντικὸς, Ἀλανικὸς, Οὐανδαλικὸς, Ἀφρικανὸς, εὐσεβὴς, εὐτυχὴς, ἔνδοξος, νικητὴς, τροπαιοῦχος, ἀεισέβαστος, Αὔγουστος, ἅπαντι τῷ πληρώματι τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας.*

Εἰδότες ὡς οὐδὲν οὕτω θεραπεύει τὸν φιλάνθρωπον Θεὸν, ὡς τὸ ἓν καὶ τὸ αὐτὸ φρονεῖν πάντας τοὺς Χριστιανοὺς περὶ τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν, καὶ μὴ εἶναι σχίσματα ἐν τῇ ἁγίᾳ

(1) Ἰουστινιανὸς ὁ Α΄. ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 527 μέχρι τοῦ ἔτους 565 Μ. Χ. Τὴν βασιλείαν αὐτοῦ κοσμοῦσιν ἔνθερμος ὑπὲρ τῆς Ὀρθοδόξου πίστεως ζῆλος, νῖκαι ἐπίσημοι κατὰ τῶν βαρβάρων, ἰδίως δὲ ἡ ἐπώνυμος αὐτοῦ νομοθεσία, τουτέστιν ἡ σύνταξις τῶν Εἰσηγήσεων τοῦ Ῥωμαικοῦ δικαίου, τῶν Πανδεκτῶν, τοῦ Κώδικος, καὶ τῶν Νεαρῶν Διατάξεων. — Ἡ παροῦσα περὶ τῆς Ὀρθοδόξου πίστεως ὁμολογία τοῦ Ἰουστινιανοῦ ἐξεδόθη ἐν τῷ Chronicon Paschale τοῦ τε Dufresne, καὶ τῆς ἐν Βόννῃ 1832 ἐκδόσεως τῶν Βυζαντινῶν Τόμ. Α΄. σελ. 635. Ἰδίως δὲ ἐν Τόμ. IX. τῆς Συλλογῆς τῶν Συνόδων σελ. 538, ὑπὸ Φρεέρου ἐν τῷ Γραικο-Ῥωμαϊκῷ Νομίμῳ τοῦ Λευγκλαυίου, Μέρ. Α. σελ. 521, εἶτα δὲ ἐν τῇ Συλλογῇ τῶν Ἱερῶν Συνόδων ὑπὸ Σ. Μηλίου Τομ. Β σελ. 364, ὅπου ἀναγινώσκεται καὶ τὸ πρὸς τὴν ἐν Κωνσταντινουπόλει κατὰ τὸ ἔτος φνγ΄. συστᾶσαν Ἁγίαν Σύνοδον γράμμα τοῦ αὐτοῦ Αὐτοκράτορος περὶ κατακρίσεως τοῦ Ὠριγένους, καὶ τῶν ὁμοφρόνων αὐτοῦ. — (2) παρ' ἄλλοις, Φλάβιος.

τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἀναγκαῖον ἡγησάμεθα, πᾶσαν πρόφασιν ἀναιροῦντες τοῖς σκανδαλιζομένοις, ἢ σκανδαλίζουσι, τὴν τῆς ὀρθῆς πίστεως ὁμολογίαν, τὴν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ κηρυττομένην, φανερὰν διὰ τοῦ παρόντος ἠδίκτου ποιήσασθαι, πρὸς τὸ καὶ τοὺς τὴν ὀρθὴν πίστιν ὁμολογοῦντας ἐν βεβαίῳ ταύτην φυλάττειν, καὶ τοὺς πρὸς ταύτην φιλονεικοῦντας, μανθάνοντας τὴν ἀλήθειαν, σπουδάσαι ἑνωθῆναι τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ.

Ὁμολογοῦμεν τοίνυν πιστεύειν εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, μίαν θεότητα, ἤτοι φύσιν, καὶ οὐσίαν, καὶ δύναμιν, καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν, ἤτοι προσώποις δοξάζοντες, εἰς ἃ βεβαπτίσμεθα, εἰς ἃ πεπιστεύκαμεν, καὶ οἷς συντετάγμεθα, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα· μονάδα γὰρ ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι προσκυνοῦμεν, παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν καὶ τὴν ἕνωσιν· μονάδα μὲν, κατὰ τὸν τῆς οὐσίας, ἤγουν θεότητος, λόγον· τριάδα δὲ, κατὰ τὰς ἰδιότητας, ἤγουν ὑποστάσεις, ἤτοι πρόσωπα· διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπωμεν, καὶ συνάπτεται διῃρημένως· ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τὰ τρία ἕν, ἐν οἷς ἡ θεότης· ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης, Θεὸν ἕκαστον, ἂν θεωρῆται μόνον, τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα· Θεὸν τὰ τρία μετ' ἀλλήλων νοούμενα τῷ ταυτῷ τῆς κινήσεως καὶ τῆς φύσεως· ἐπειδὴ χρὴ καὶ τὸν ἕνα Θεὸν ὁμολογεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις κηρύττειν, ἤγουν τρία πρόσωπα, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος· καὶ οὔτε τὴν ἕνωσιν [ὁμολογοῦντες], σύγχυσιν ἐργαζόμεθα, κατὰ Σαβέλλιον, ἓν πρόσωπον τριώνυμον λέγοντα τὴν τριάδα, τὸν αὐτὸν Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, οὔτε διαιροῦντες ἀλλοτριοῦμεν τῆς τοῦ Θεοῦ Πατρὸς οὐσίας τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, κατὰ τὴν Ἀρείου μανίαν, εἰς τρεῖς διαφόρους οὐσίας κατατέμνοντες τὴν θεότητα. Εἷς τοίνυν Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Υἱὸς μονογενὴς, δι' οὗ τὰ πάντα· καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα.

Ὁμολογοῦμεν δὲ αὐτὸν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ Θεὸν Λόγον, τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ Πατρὸς γεννηθέντα, οὐ ποιηθέντα, ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς καὶ

διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου, καὶ τῆς ἁγίας ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ γεννηθέντα ἐξ αὐτῆς, ὅς ἐστι Κύριος Ἰησοῦς Χριστὸς, εἷς τῆς ἁγίας Τριάδος, ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, παθητὸς σαρκὶ, ἀπαθὴς ὁ αὐτὸς θεότητι· οὔτε γὰρ ἕτερός τίς ἐστι παρὰ τὸν Θεὸν Λόγον ὁ τὸ πάθος, καὶ τὸν θάνατον ἀναδεδεγμένος, ἀλλ' αὐτὸς ὁ ἀπαθὴς καὶ ἀΐδιος τοῦ Θεοῦ Λόγος, γεννήσεως σαρκὸς ἀνθρωπίνης ἀνασχόμενος, τὰ πάντα πεπλήρωκε. Διὸ οὐκ ἄλλον τὸν Θεὸν Λόγον τὸν θαυματουργήσαντα, καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα ἐπιστάμεθα, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν τοῦ Θεοῦ Λόγον, σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, καὶ τοῦ αὐτοῦ τά γε θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκὶ, ὁμολογοῦμεν· οὔτε γὰρ ἄνθρωπός τις ὑπὲρ ἡμῶν ἑαυτὸν δέδωκεν, ἀλλ' αὐτὸς ὁ Θεὸς Λόγος τὸ ἴδιον σῶμα δέδωκεν ὑπὲρ ἡμῶν, ἵνα μὴ εἰς ἄνθρωπον ἡ πίςις καὶ ἡ ἐλπὶς ἡμῶν ᾖ, ἀλλ' εἰς αὐτὸν τὸν Θεὸν Λόγον τὴν ἡμετέραν πίστιν ἔχωμεν. Καὶ Θεὸν τοίνυν αὐτὸν ὁμολογοῦντες, οὐκ ἀθετοῦμεν τὸ εἶναι αὐτὸν καὶ ἄνθρωπον· καὶ ἄνθρωπον λέγοντες αὐτὸν, οὐκ ἀρνούμεθα τὸ εἶναι αὐτὸν καὶ Θεόν. Εἰ γὰρ Θεὸς μόνον ἦν, πῶς ἔπασχε; πῶς ἐσταυροῦτο, καὶ ἀπέθνησκεν; ἀλλότρια γὰρ ταῦτα Θεοῦ. Εἰ δὲ ἄνθρωπος μόνον, πῶς διὰ τοῦ πάθους ἐνίκα; πῶς ἔσωζε; πῶς ἐζωοποίει; ταῦτα γὰρ ὑπὲρ ἄνθρωπον ἦν. Νῦν δὲ ὁ αὐτὸς πάσχει, καὶ σώζει, καὶ διὰ τοῦ πάθους νικᾷ, ὁ αὐτὸς Θεὸς, ὁ αὐτὸς ἄνθρωπος τὸ συναμφότερον· οὕτως ἓν ἑκάτερον, ὡς μόνον· ὅθεν ἐξ ἑκατέρας φύσεως, τοῦτ' ἔστιν ἐκ θεότητος, καὶ ἀνθρωπότητος ἕνα Χριστὸν σύνθετον λέγοντες, σύγχυσιν τῇ ἑνώσει οὐκ ἐπεισάγομεν. Καὶ ἐν ἑκατέρᾳ δὲ φύσει, τοῦτ' ἔστιν ἐν θεότητι, καὶ ἀνθρωπότητι, τὸν ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν, τὸν τοῦ Θεοῦ Λόγον σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα γινώσκοντες, διαίρεσιν μέν τινα ἀνὰ μέρος, ἢ τομὴν οὐκ ἐπιφέρομεν τῇ μιᾷ αὐτοῦ ὑποστάσει· τὴν δὲ διαφορὰν τῶν φύσεων, ἐξ ὧν καὶ συνετέθη, σημαίνομεν οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν, ἐπειδὴ ἑκατέρα

φύσις ἐστὶν ἐν αὐτῷ· συνθέσεως γὰρ ὁμολογουμένης, καὶ τὰ μέρη ἐν τῷ ὅλῳ ὑπάρχει, καὶ τὸ ὅλον ἐν τοῖς μέρεσι γινώσκεται· οὔτε γὰρ ἡ θεία φύσις εἰς τὴν ἀνθρωπίνην μετεβλήθη, οὔτε δὲ ἡ ἀνθρωπίνη φύσις εἰς τὴν θείαν ἐτράπη· νοουμένης δὲ μᾶλλον, καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ τε καὶ λόγῳ, πεπρᾶχθαί φαμεν τὴν ἕνωσιν καθ' ὑπόστασιν· ἡ δὲ καθ' ὑπόστασιν ἕνωσις δηλοῖ, ὅτι ὁ Θεὸς Λόγος, τοῦτ' ἔστιν ἡ μία ὑπόστασις ἐκ τῶν τριῶν τῆς θεότητος ὑποστάσεων, οὐ προϋποστάντι ἀνθρώπῳ ἡνώθη, ἀλλ' ἐν τῇ γαστρὶ τῆς ἁγίας Παρθένου ἐδημιούργησεν ἑαυτῷ ἐξ αὐτῆς ἐν τῇ ἰδίᾳ ὑποστάσει σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, ὅπερ ἐστὶ φύσις ἀνθρωπίνη· ταύτην δὲ τὴν καθ' ὑπόστασιν τοῦ Θεοῦ Λόγου πρὸς τὴν σάρκα ἕνωσιν, διδάσκων ἡμᾶς καὶ ὁ θεῖος Ἀπόστολος, λέγει· Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών(1)· διὰ γὰρ τοῦ εἰπεῖν, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, τὴν τοῦ Λόγου ὑπόστασιν ὑπάρχουσαν ἔδειξεν ἐν οὐσίᾳ Θεοῦ· διὰ δὲ τοῦ εἰπεῖν, μορφὴν δούλου ἔλαβεν, οὐσίᾳ ἀνθρώπου, καὶ οὐχ ὑποστάσει, ἤτοι προσώπῳ ἑνωθῆναι τὸν Θεὸν Λόγον ἐσήμανεν· οὔτε γὰρ εἶπε, τὸν ἐν μορφῇ δούλου ὑπάρχοντα ἔλαβεν· ἵνα μὴ προϋποστάντι ἀνθρώπῳ ἑνωθῆναι δείξῃ τὸν Λόγον, καθὼς Θεόδωρος, καὶ Νεστόριος ἀσεβοῦντες ἐβλασφήμησαν, σχετικὴν τὴν ἕνωσιν λέγοντες. Ἡμεῖς δὲ θείᾳ Γραφῇ καὶ τοῖς ἁγίοις Πατράσιν ἑπόμενοι, ὁμολογοῦμεν ὅτι ὁ Θεὸς Λόγος σὰρξ ἐγένετο, ὅπερ ἐστὶ καθ' ὑπόστασιν ἑαυτῷ ἑνῶσαι φύσιν ἀνθρωπίνην· διὸ καὶ εἷς ὑπάρχει ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἐν ἑαυτῷ ἔχων τὸ τέλειον τῆς θεϊκῆς φύσεως, καὶ τὸ τέλειον τῆς ἀνθρωπίνης φύσεως· καὶ ἔστι μονογενὴς μὲν καὶ Λόγος, ὡς ἐκ Θεοῦ Πατρὸς γεννηθεὶς, καὶ πρωτότοκος δὲ ἐν πολλοῖς ἀδελφοῖς ὁ αὐτὸς, ὅτε γέγονεν ἄνθρωπος· ὁ γὰρ Υἱὸς τοῦ Θεοῦ, υἱὸς ἀνθρώπου γέγονε, καὶ μείνας ὅπερ ἦν, οὐ μετέβαλεν ὅπερ γέγονεν· ὅθεν καὶ δύο γεννήσεις τοῦ αὐτοῦ μονογενοῦς Θεοῦ Λόγου ὁμολογοῦμεν· τὴν μὲν πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς ἀσωμάτως, τὴν δ' ἐπ' ἐσχά-

(1) Φιλιππ. Β', 6.

των τῶν ἡμερῶν τοῦ αὐτοῦ ἐκ τῆς ἁγίας ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας σαρκωθέντος, καὶ ἐνανθρωπήσαντος· ὁ γὰρ ἐκ Πατρὸς ἐκλάμψας ὑπὲρ ἔννοιαν, ἐκ μητρὸς ἀνέτειλεν ὑπὲρ λόγον· καὶ ὢν Θεὸς ἀληθὴς, ἄνθρωπος γέγονεν ἀληθῶς· διὰ τοῦτο κυρίως καὶ κατ' ἀλήθειαν Θεοτόκον τὴν ἁγίαν ἔνδοξον καὶ ἀειπάρθενον Μαρίαν ὁμολογοῦμεν· οὐχ ὡς τοῦ Θεοῦ Λόγου τὴν ἀρχὴν ἐξ αὐτῆς λαβόντος, ἀλλ' ὅτι ἐπ' ἐσχάτων τῶν ἡμερῶν ὁ πρὸ τῶν αἰώνων μονογενὴς Θεὸς Λόγος σαρκωθεὶς ἐξ αὐτῆς ἀτρέπτως ἐνηνθρώπησε· καὶ ἀόρατος ὢν ἐν τοῖς ἑαυτοῦ, ὁρατὸς γέγονεν ἐν τοῖς παρ' ἡμῖν· καὶ ἀπαθὴς ὢν Θεὸς, οὐκ ἀπηξίωσε παθητὸς εἶναι ἄνθρωπος, καὶ ὁ ἀθάνατος, νόμοις ὑποκεῖσθαι θανάτου. Τοῦτον τὸν ἐν Βηθλεὲμ γεννηθέντα ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, καὶ ὁμοιωθέντα ἀνθρώποις, καὶ σταυρωθέντα ὑπὲρ ἡμῶν τῶν ἀνθρώπων ἐπὶ Ποντίου Πιλάτου, ἐκήρυξαν οἱ ἅγιοι Ἀπόστολοι αὐτὸν εἶναι Θεὸν, αὐτὸν ἄνθρωπον, αὐτὸν Υἱὸν Θεοῦ, αὐτὸν υἱὸν ἀνθρώπου, αὐτὸν ἐξ οὐρανοῦ, αὐτὸν ἀπὸ γῆς, αὐτὸν ἀπαθῆ, αὐτὸν παθητόν· ὁ γὰρ γεννηθεὶς ἄνωθεν ἐκ τοῦ Πατρὸς Λόγος ἀῤῥήτως, ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως, αὐτὸς ἐν χρόνῳ γεννᾶται κάτωθεν ἐκ παρθένου Μαρίας, ἵνα οἱ κάτωθεν πρότερον γεννηθέντες, ἄνωθεν ἐκ δευτέρου γεννηθῶσι, τοῦτ' ἔστιν ἐκ Θεοῦ. Αὐτὸς οὖν μητέρα μόνον ἔχει ἐπὶ τῆς γῆς, καὶ ἡμεῖς Πατέρα μόνον ἔχομεν ἐν οὐρανῷ· λαβὼν γὰρ τὸν θνητὸν πατέρα τῶν ἀνθρώπων τὸν Ἀδὰμ, ἔδωκε τοῖς ἀνθρώποις τὸν ἑαυτοῦ Πατέρα ἀθάνατον κατὰ τὸ λεγόμενον· Δέδωκεν αὐτοῖς ἐξουσίαν, τέκνα Θεοῦ γενέσθαι(1)· ὅθεν καὶ θανάτου κατὰ σάρκα γεύεται ὁ Υἱὸς τοῦ Θεοῦ, διὰ τὸν σαρκικὸν αὐτοῦ πατέρα, ἵνα οἱ υἱοὶ τοῦ ἀνθρώπου τῆς ζωῆς αὐτοῦ μεταλάβωσι, διὰ τὸν κατὰ Πνεῦμα αὐτῶν Πατέρα, τὸν Θεόν· αὐτὸς ὢν κατὰ φύσιν Υἱός ἐστι τοῦ Θεοῦ, ἡμεῖς κατὰ χάριν· καὶ πάλιν αὐτὸς κατ' οἰκονομίαν, καὶ δι' ἡμᾶς υἱὸς γέγονε τοῦ Ἀδάμ· ἡμεῖς δὲ κατὰ φύσιν ἐσμὲν υἱοὶ τοῦ Ἀδάμ· πατὴρ γὰρ αὐτοῦ ἐςιν ὁ Θεὸς κατὰ φύσιν, ἡμῶν δὲ κατὰ χάριν· καὶ Θεὸς αὐτοῦ γέγονε κατ' οἰκονομίαν, διότι ἄνθρωπος· ἡμῶν δὲ κατὰ φύσιν δεσπότης ἐστὶ

(1) Ἰωάνν. Α'. 12.

καὶ Θεός· καὶ διὰ τοῦτο ὁ Λόγος, ὅς ἐστιν Υἱὸς τοῦ Θεοῦ Πατρός, ἑνωθεὶς σαρκί, γέγονε σάρξ, ἵνα οἱ ἄνθρωποι, ἑνωθέντες τῷ Πνεύματι, γένωνται ἓν Πνεῦμα. Αὐτὸς οὖν ὁ ἀληθινὸς Υἱὸς τοῦ Θεοῦ τοὺς πάντας ἡμᾶς φορεῖ, ἵνα οἱ πάντες τὸν ἕνα φορέσωμεν Θεόν· καί ἐστι καὶ μετὰ τὴν ἐνανθρώπησιν εἷς τῆς ἁγίας Τριάδος ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, σύνθετος ἐξ ἑκατέρας φύσεως· σύνθετον δὲ τὸν Χριστὸν ὁμολογοῦμεν, τῇ τῶν ἁγίων Πατέρων ἀκολουθοῦντες διδασκαλίᾳ· ἐπὶ γὰρ τοῦ κατὰ Χριστὸν μυστηρίου, ἡ κατὰ σύνθεσιν ἕνωσις τὴν σύγχυσιν καὶ διαίρεσιν ἀποβάλλεται· καὶ φυλάττει μὲν τὴν ἑκατέρας φύσεως ἰδιότητα· μίαν δὲ ὑπόστασιν, ἤτοι πρόσωπον τοῦ Θεοῦ Λόγου, καὶ μετὰ τῆς σαρκὸς δείκνυσι· καί ἐστιν εἷς καὶ ὁ αὐτὸς τέλειος ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι, οὐχ ὡς ἐν δυσὶν ὑποστάσεσιν, ἤτοι προσώποις, ἀλλ' ἐν θείᾳ φύσει, καὶ ἀνθρωπίνῃ γνωριζόμενος, ἵνα εἷς ᾖ καθ' ἑκάτερα, τέλειος Θεός, καὶ τέλειος ἄνθρωπος, ὁ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ εἷς τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι· οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπεδέξατο ἡ ἁγία Τριάς, καὶ σαρκωθέντος τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Θεοῦ Λόγου. Ταύτην τὴν καλὴν παρακαταθήκην, ἣν παρὰ τῶν ἁγίων Πατέρων εἰλήφαμεν, φυλάττομεν, ἐν ᾗ ζῶμεν, καὶ πολιτευόμεθα, καὶ ἣν συνέκδημον λάβοιμεν εἰς Πατέρα, καὶ Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἅγιον Πνεῦμα, ὁμολογίαν. Ταῦτα οὕτως ὁμολογοῦντες πρὸς ταῖς ἄλλαις τοῦ ἐν ἁγίοις Κυρίλλου περὶ τῆς ὀρθῆς πίστεως διδασκαλίαις, καὶ τὸ εἰρημένον παρ' αὐτοῦ, μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην δεχόμενοι ὁμολογοῦμεν, ὅτι ἐκ τῆς θείας φύσεως, καὶ τῆς ἀνθρωπίνης, εἷς Χριστὸς ἀπετελέσθη, καὶ οὐ μία φύσις, καθώς τινες, κακῶς τὴν λέξιν ἐκλαμβάνοντες, λέγειν ἐπιχειροῦσιν. Ἀμέλει τοι καὶ αὐτὸς ὁ Πατήρ, ὁσάκις μίαν φύσιν εἶπε τοῦ Λόγου σεσαρκωμένην, ἐπὶ τούτου τῷ τῆς φύσεως ὀνόματι ἀντὶ ὑποστάσεως ἐχρήσατο· καὶ ἐν οἷς λόγοις εἶπε ταύτην τὴν λέξιν, ἐν τοῖς ἐφεξῆς ὡς ἐπὶ τὸ πλεῖστον ἐπήγαγε· ποτὲ μὲν Υἱόν, ποτὲ δὲ Λόγον, ἢ μονογενῆ, ἅπερ οὐ φύσεως, ἀλλ' ὑποστάσεως, ἤτοι προσώπου ἐστὶ δηλωτικά. Ἡ τοίνυν ὑπόστασις τοῦ Λόγου σαρκωθεῖσα, οὐ

μίαν φύσιν, ἀλλ' ἕνα Χριστὸν σύνθετον ἀπετέλεσε, τὸν αὐτὸν Θεὸν καὶ ἄνθρωπον· Θεὸν δὲ καὶ ἄνθρωπον τὸν Χριστὸν ὁμολογοῦντας, μίαν φύσιν, ἤτοι οὐσίαν ἐπ' αὐτῷ λέγειν, ἀσεβές· ἀδύνατον γὰρ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, κατὰ μίαν καὶ τὴν αὐτὴν φύσιν, ἤτοι οὐσίαν, καὶ πρὸ αἰώνων εἶναι, καὶ ἐν χρόνῳ, ἢ ἀπαθῆ καὶ παθητόν· ὅπερ ἐπὶ τῆς μιᾶς αὐτοῦ ὑποστάσεως, ἤτοι προσώπου, ὀρθῶς ὁμολογοῦμεν· ἐξ αὐτῶν δὲ τῶν εἰρημένων τοῦ αὐτοῦ ἐν ἁγίοις Κυρίλλου, ἀποδείξομεν τὴν περὶ τῆς εἰρημένης λέξεως σαφεστάτην αὐτοῦ διδασκαλίαν. Ἐν γὰρ τῇ πρώτῃ πρὸς Σούκενσον ἐπιστολῇ, εἰπὼν μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην, εὐθὺς ἐπήγαγεν· Οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἔννοιαν, καὶ εἴς γε μόνον τὸ ὁρᾷν τοῖς τῆς ψυχῆς ὄμμασι, τίνα τρόπον ἐνηνθρώπηκεν ὁ μονογενὴς, δύο τὰς φύσεις εἶναί φαμεν τὰς ἑνωθείσας, ἕνα δὲ Υἱὸν, καὶ Χριϛὸν, καὶ Κύριον, τὸν τοῦ Θεοῦ Πατρὸς Λόγον, ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. Διὰ τούτων δὲ ὁ Πατὴρ, τὸν τρόπον τῆς ἐνανθρωπήσεως παραστῆσαι βουλόμενος, καὶ τὸ ἀδιαίρετον, καὶ ἀσύγχυτον φυλάττων, καὶ τὸν ἀριθμὸν τῶν συνελθουσῶν φύσεων ἔδειξε, καὶ ἕνα Χριστὸν ἐκήρυξεν, ἀλλ' οὐχὶ μίαν φύσιν θεότητος καὶ σαρκός. Καὶ ἐν τῇ δευτέρᾳ πρὸς τὸν αὐτὸν Σούκενσον ἐπιϛολῇ, τὰ παραπλήσια διδάσκων, γράφει οὕτως· Εἰ μὲν γὰρ μίαν εἰπόντες τὴν τοῦ Λόγου φύσιν σεσιγήκαμεν, οὐκ ἐπενεγκόντες τὸ, σεσαρκωμένην, ἀλλ' οἷον ἔξω θέντες τὴν οἰκονομίαν, ἦν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος προσποιουμένοις ἐρωτᾷν, ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι, ἢ τὸ, πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία; Ἐπειδὴ δὲ καὶ ἡ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν, σεσαρκωμένην, παυσάσθωσαν καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες· τοῦ γὰρ ἐκβάλλοντος τὴν οἰκονομίαν, καὶ ἀρνουμένου τὴν σάρκωσιν, ἦν τὸ ἐγκαλεῖσθαι δικαίως [ὡς] ἀφαιρουμένου τὸν Υἱὸν τῆς τελείας ἀνθρωπότητος. Εἰ δὲ, ὡς ἔφην, ἐν τῷ σεσαρκῶσθαι λέγειν αὐτὸν, σαφὴς ἐστι καὶ ἀναμφίβολος ὁμολογία τοῦ, ὅτι γέγονεν ἄνθρωπος, οὐδὲν ἔτι κωλύει νοεῖν, ὡς εἷς ὑπάρχων καὶ μόνος Υἱὸς ὁ Χριστὸς, ὁ αὐτὸς Θεός ἐστι καὶ ἄνθρωπος, ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος. Ὀρθότατα δὲ καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ Σωτηρίου πάθους

ἐκτίθεται λόγον, οὐκ αὐτὸν-τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, καθὸ νοεῖται καὶ ἔστι Θεὸς, παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώματος ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει· δεῖ γὰρ ἀναγκαίως ἀμφότερα σώζεσθαι τῷ ἑνὶ καὶ κατὰ ἀλήθειαν Υἱῷ, τὸ καὶ μὴ πάσχειν θεϊκῶς, καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως· ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ. Καὶ ἐν τῷ τρισκαιδεκάτῳ δὲ κεφαλαίῳ τῶν σχολίων, ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ὁμοίως ἀποβαλλόμενος τούς τε δύο υἱοὺς εἰσάγοντας, τούς τε μίαν φύσιν λέγοντας θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ, γράφει οὕτως· Οὐ διοριστέον οὖν ἄρα τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν εἰς ἄνθρωπον ἰδικῶς, καὶ εἰς Θεὸν ἰδικῶς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Κύριον Ἰησοῦν Χριστόν φαμεν, τὴν τῶν φύσεων εἰδότες διαφορὰν, καὶ ἀσυγχύτους ἀλλήλαις τηροῦντες αὐτάς. Εἰ τοίνυν, καθὼς διδάσκει ὁ ἐν ἁγίοις Κύριλλος, εἷς ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τέλειος ἐν θεότητι, καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι, καὶ οὐκ ἔπαθε τῇ θείᾳ φύσει, ἀλλὰ τῇ χοϊκῇ φύσει, οἶδε δὲ καὶ τὴν τῶν φύσεων διαφορὰν, καὶ τὸ ἀσυγχύτους αὐτὰς ἀλλήλαις ἐν μιᾷ ὑποστάσει φυλάττεσθαι, δῆλον, ὅτι τὸν αὐτὸν ἐν τῇ θείᾳ φύσει, καὶ τῇ ἀνθρωπίνῃ λέγει ὁ Πατὴρ γνωρίζεσθαι, καὶ ἑκατέραν φύσιν ἐν αὐτῷ εἶναι, ἐξ ὧν καὶ συνετέθη· καὶ οὐκ ἄν τις οὕτω μανείη, ὡς ὀρθῶς νομίσαι φρονεῖν τοὺς λέγοντας μίαν εἶναι φύσιν, ἤτοι οὐσίαν σαρκὸς καὶ θεότητος τοῦ Χριστοῦ, τὴν αὐτὴν θείαν καὶ χοϊκὴν, παθητὴν καὶ ἀπαθῆ. Ἐπειδὴ δὲ καὶ ἑτέρωθεν κατασκευάζειν ἐπιχειροῦσί τινες τὸ μίαν εἶναι φύσιν τῆς θεότητος, καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, τὸ τοῦ ἀνθρώπου παράδειγμα προβαλλόμενοι, καὶ λέγοντες, ὅτι, ὥσπερ ἐξ ἑτεροφυῶν ψυχῆς, καὶ σώματος συνεστὼς ὁ ἄνθρωπος, μία φύσις λέγεται, οὕτω καὶ ἐκ δύο φύσεων, θεότητος καὶ ἀνθρωπότητος, τὸν Χριστὸν λέγοντες, ὀφείλομεν μίαν φύσιν ἐπ' αὐτῷ λέγειν, ἐκεῖνο πρὸς αὐτοὺς ἐροῦμεν, ὅτι ὁ μὲν ἄνθρωπος, κἂν ἐκ διαφόρων συνέστηκε, τοῦτ' ἔστι, ψυχῆς καὶ σώματος, ὅμως διὰ τοῦτο μία φύσις λέγεται, ἐπειδὴ κοινῶς κατὰ πασῶν τῶν ὑποστάσεων, ἤγουν προσώπων, τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἀναγομένων, κατηγορεῖται· εἰ καὶ τὰ μάλιστα γὰρ ἑκάστη ὑπόστασις, ἤτοι πρόσωπον, οἷον Πέτρος, καὶ Παῦλος, τοῖς ἰδιώ-

μασιν ἀπ' ἀλλήλων διαχωρίζονται, ἀλλ' ὅμως οὐ τῇ φύσει διαιροῦνται· ἀμφότεροι γὰρ ἄνθρωποι· καὶ πάλιν οὔτε ψυχὴ χωρὶς σώματος, οὔτε σῶμα χωρὶς ψυχῆς ἄνθρωπός ἐστιν, ἀλλ' ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἐκ ψυχῆς καὶ σώματος ἐδημιουργήθη· πᾶν δὲ κτίσμα, εἰ καὶ ἐκ διαφόρων συνέστηκεν, ἀλλ οὖν μίαν ἐκείνην ἔχειν λέγεται φύσιν, καθ' ἣν παρὰ τοῦ Θεοῦ ἐδημιουργήθη. Ὁ δὲ Χριστὸς οὐχ οὕτως· οὔτε γὰρ μίαν φύσιν, ἤγουν οὐσίαν, δηλοῖ κοινῶς κατὰ πολλῶν ὑποστάσεων, ἤτοι προσώπων κατηγορουμένην, ὥσπερ ὁ ἄνθρωπος· εἰ γὰρ τοῦτο ἦν, πολλοὶ Χριστοὶ εὑρεθήσονται, καθ' ὧν τὸ κοινὸν τῆς φύσεως κατηγορεῖται, ὅπερ καὶ λέγειν ἐστὶν ἀσεβές· ἀλλ' οὔτε ἀπ' ἀρχῆς ἐκ θεότητος καὶ ἀνθρωπότητος, ὥσπερ ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος, ὁ Χριστὸς ἐδημιουργήθη, ἵνα τοῦτο ᾖ φύσις Χριστοῦ· ἀλλὰ Θεὸς ὢν πρὸ αἰώνων ὁ Λόγος, καὶ τῆς αὐτῆς φύσεως, ἤτοι οὐσίας ὑπάρχων τῷ Πατρὶ, καὶ δημιουργὸς ἁπάντων, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἀνθρώπου φύσιν καθ' ὑπόστασιν ἑνώσας ἑαυτῷ, γέγονεν ἄνθρωπος, μὴ ἐκστὰς τοῦ εἶναι Θεός.

Ἔστιν οὖν ὁ Χριστὸς μία ὑπόστασις, ἤτοι πρόσωπον, καὶ ἔχει τὸ τέλειον ἐν ἑαυτῷ τῆς τε θείας καὶ ἀκτίστου φύσεως, καὶ τὸ τέλειον τῆς ἀνθρωπίνης καὶ κτιστῆς φύσεως. Πῶς οὖν, ἐν ᾧ δύο φύσεις γνωρίζονται, ἄκτιστος καὶ κτιστὴ, ἐπὶ τούτου μίαν φύσιν, ἤτοι οὐσίαν λέγεσθαι δυνατόν; Εἰ γὰρ καὶ μία ὑπόςασις, ἤτοι πρόσωπον ὁ Χριςὸς, ἀλλ' ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ, καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς, οὐ μὴν κατὰ μίαν καὶ τὴν αὐτὴν φύσιν, ἤτοι οὐσίαν· εἰ δὲ μία φύσις, ἤτοι οὐσία ἦν Χριστὸς, ἢ ἄσαρκος ὢν, μόνῳ τῷ Θεῷ καὶ Πατρί ἐστιν ὁμοούσιος, ἐπειδὴ μία τῆς θεότητος οὐσία, ἤτοι φύσις· ἢ ψιλὸς ὢν ἄνθρωπος, μόνοις ἡμῖν ἐστιν ὁμοούσιος, ἐπειδὴ μία φύσις τῆς ἀνθρωπότητος· ἢ τραπεῖσα ἑκατέρα φύσις, ἑτέραν φύσιν ἀπετέλεσε παρὰ τὰς συνελθούσας, καὶ κατ' αὐτοὺς οὔτε Θεὸς ἔμεινεν, οὔτε ἄνθρωπος γέγονεν ὁ Χριστός· καὶ διὰ τοῦτο οὔτε τῷ Πατρὶ, οὔτε ἡμῖν ἐστιν ὁ αὐτὸς ὁμοούσιος· τὸ δὲ οὕτω φρονεῖν πάσης πεπλήρωται ἀσεβείας. Καὶ ταῦτα λέγομεν, οὐκ ἀγνοοῦντες, ὅτι καὶ τινες τῶν

ἁγίων Πατέρων, τῷ τοῦ ἀνθρώπου ὑποδείγματι ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου ἐχρήσαντο· ἀλλ' ἐκεῖνοι μὲν, ἵνα δείξωσιν, ὅτι καθάπερ ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος εἷς ἀποτελεῖται, καὶ οὐχὶ δύο ἄνθρωποι, οὕτω καὶ ὁ Χριστὸς ἐκ θεότητος καὶ ἀνθρωπότητος συντεθεὶς εἷς ἐστιν, καὶ οὐκ εἰς δύο Χριστοὺς, ἢ δύο υἱοὺς μερίζεται· οὗτοι δὲ τῷ τοῦ ἀνθρώπου ὑποδείγματι κέχρηνται, ἵνα μίαν φύσιν, ἤτοι οὐσίαν θεότητος καὶ ἀνθρωπότητος τοῦ Χριστοῦ εἰσαγάγωσιν, ὅπερ ἀπεδείξαμεν ἀλλότριον εἶναι τῆς εὐσεβείας. Ἀλλὰ διὰ τοῦτο ἐλεγχόμενοι ὡς παρὰ τὴν ὀρθὴν τῶν Πατέρων διδασκαλίαν, ἀναπλάττουσιν ἐν ἑαυτοῖς μίαν φύσιν, ἤτοι οὐσίαν θεότητος καὶ σαρκὸς, ἐφ' ἕτερα μεταβαίνουσι λέγοντες, μὴ δεῖν ἀριθμὸν φύσεων ἐπὶ Χριστοῦ λέγειν, ὡς τοῦ ἀριθμοῦ διαίρεσιν εἰσάγοντος. Ἴστωσαν τοίνυν, ὅτι ὁ ἀριθμὸς, ὅταν μὲν ἐπὶ διαφόρων προσώπων, ἢ ὑποστάσεων λέγεται, τῶν πραγμάτων αὐτῶν τὴν ἀνὰ μέρος ἔχει διαίρεσιν, οἷον ὡς ἐπὶ δύο ἢ πλειόνων ἀνθρώπων· ὅταν δὲ ἐπὶ ἡνωμένων πραγμάτων, τηνικαῦτα μόνῳ λόγῳ καὶ θεωρίᾳ, οὐ μὴν αὐτῶν τῶν πραγμάτων ἔχει τὴν διαίρεσιν, οἷον ἐπὶ μιᾶς ὑποστάσεως ἀνθρώπου ἐκ ψυχῆς καὶ σώματος συνεστώσης· δύο γὰρ καὶ ἐνταῦθα φύσεις θεωροῦνται, ἑτέρα μὲν τῆς ψυχῆς, καὶ ἑτέρα τοῦ σώματος· καὶ ὅμως οὐ διὰ τοῦτο εἰς δύω ἀνθρώπους διαιρεῖται, ἀλλ' ἕνα ἴσμεν τὸν ἄνθρωπον, καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν. Καὶ ἐπὶ τοῦ κατὰ Χριστὸν τοίνυν μυστηρίου τῆς ἑνώσεως γενομένης, εἰ καὶ διάφορα θεωρεῖται τὰ ἑνωθέντα, ἀλλ' οὖν οὐ πραγματικῶς καὶ ἀνὰ μέρος ἀλλήλων διΐστανται τὰ ἐξ ὧν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς συνετέθη· τὴν μέντοι διαφορὰν κατανοοῦντες, καὶ ταύτην σημᾶναι βουλόμενοι, τὸν ἀριθμὸν παραλαμβάνομεν, καὶ δύο τὰς ἐν Χριστῷ φύσεις εἶναί φαμεν, καὶ οὐ διὰ τοῦτο ὁ εἷς Χριστὸς εἰς δύο Χριστοὺς, ἢ δύο υἱοὺς διαιρεῖται· καὶ μαρτυρεῖ τοῖς παρ' ἡμῶν εἰρημένοις ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Θεολόγος, ἐν τῷ πρὸς Κληδόνιον πρώτῳ λόγῳ γράφων οὕτως· « Εἴ τις εἰσάγει δύο υἱοὺς, ἕνα μὲν τὸν » ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, δεύτερον δὲ τὸν ἐκ τῆς μητρὸς, ἀλλ' » οὐχὶ ἕνα καὶ τὸν αὐτὸν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς

»ἐπηγγελμένης τοῖς ὀρθῶς πιςεύουσι· φύσεις μὲν γὰρ δύο, Θεὸς »καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο, οὐδὲ »Θεοί· οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι· εἰ καὶ οὕτως ὁ Παῦλος, »τὸ ἐντὸς τοῦ ἀνθρώπου, καὶ τὸ ἐκτὸς προσηγόρευσε (1)· καὶ »εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ »Σωτήρ, εἴπερ μὴ ταυτὸν τὸ ἀόρατον τῷ ὁρατῷ, καὶ τὸ ἄχρο»νον τῷ ὑπὸ χρόνον, οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο. Ἰδοὺ διὰ τούτων σαφῶς διδάσκει ὁ ἐν ἁγίοις Γρηγόριος, ὅτι ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου ὁ μὲν ἐπὶ προσώπων τὸν ἀριθμὸν λέγων, ὡς ἀσεβὴς κατακρίνεται· ὁ δὲ ἐπὶ τῶν φύσεων, ἐξ ὧν ὁ εἷς συνετέθη Χριςός, τοῦτον παραλαμβάνων, ὀρθῶς ὁμολογεῖ, ὡς τὴν μὲν διαφορὰν τῶν συνελθουσῶν φύσεων διὰ τούτου σημαίνων, διαίρεσιν δὲ τὴν ἀνὰ μέρος κατ' οὐδένα τρόπον ποιούμενος. Ὥσπερ γὰρ ἑτέρα φύσις τῆς ψυχῆς, καὶ ἑτέρα σώματος, καὶ ὅμως εἷς κατὰ σύνθεσιν ἄνθρωπος ἀποτελεῖται, καὶ οὐ δύο, οὕτω καὶ ἐν Χριστῷ, εἰ καὶ δύο φύσεις θεωροῦνται, ἑτέρα μὲν τῆς θεότητος, ἑτέρα δὲ τῆς ἀνθρωπότητος, ἀλλ' οὐ διὰ τοῦτο δύο Χριστοί, ἢ δύο υἱοὶ εἰσάγονται· ὥστε τὸν ἀριθμὸν τῶν ἐν Χριστῷ φύσεων κατὰ τὸν εἰρημένον τρόπον, παραιτούμενοι λέγειν, δῆλοί εἰσι τὴν διαφορὰν τούτων ἀρνούμενοι, καὶ σύγχυσιν ἐπεισάγοντες τῇ οἰκονομίᾳ· εἰ δὲ τὴν διαφορὰν ὁμολογοῦσιν, ἀνάγκη πάντως ἐπὶ ταύτῃ καὶ τὸν ἀριθμὸν τῶν ἀσυγχύτως συνελθουσῶν φύσεων εἰς μίαν ὑπόστασιν λέγειν αὐτούς· ὅπου γὰρ διαφορὰ φυλάττεται, ταύτῃ πάντως καὶ ἀριθμὸς ἕπεται. Εἰς σύστασιν δὲ τῶν παρ' ἡμῶν εἰρημένων τῇ τῶν ἁγίων Πατέρων μαρτυρίᾳ χρώμενοι, δείξομεν αὐτοὺς λέγειν, ὅτι ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου οἱ μὲν λόγοι διαιροῦνται κατὰ τὴν διαφορὰν τῶν φύσεων, θεότητος καὶ ἀνθρωπότητος, ἐξ ὧν καὶ συνετέθη, καὶ τὸν ἀριθμὸν ἐπὶ τούτου παραλαμβάνουσιν, οὐ μὴν πραγματικῶς ἀνὰ μέρος τὴν τῶν φύσεων ποιοῦνται διαίρεσιν εἰς δύο ὑποστάσεις, ἤτοι δύο πρόσωπα. Λέγει γὰρ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ Λευϊτικοῦ οὕτως· « Ὅλον δὴ πάλιν ἐν τούτοις περιάθρει σα»φῶς τοῦ Σωτῆρος ἡμῶν τὸ μυστήριον, καὶ τὸν διὰ τοῦ ἁγίου

---

(1) ά, Κορ. Δ'.

»βαπτίσματος καθαρισμόν· δύο μὲν γὰρ ὀρνίθια ληφθῆναι κελεύει ζῶντα καὶ καθαρὰ(1), ἵνα νοήσῃς διὰ τῶν πετεινῶν τὸν »οὐράνιον ἄνθρωπόν τε ὁμοῦ καὶ Θεὸν εἰς δύο φύσεις, ὅσον »ἧκεν εἰς τὸν ἑκάστῃ πρέποντα λόγον, διαιρούμενον· Λόγος γὰρ »ἦν ὁ ἐκ Θεοῦ Πατρὸς ἀναλάμψας ἐν σαρκὶ τῇ ἐκ γυναικός· »πλὴν οὐ μεριζόμενον· εἷς γὰρ ἐξ ἀμφοῖν ὁ Χριστός.» Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος, ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ ἐπιστολῇ, γράφει οὕτως· «Ἀλλ' ἠγνόησαν, ὅτι ὅσα κατὰ »μόνην τὴν θεωρίαν διαιρεῖσθαι φιλεῖ, ταῦτα οὐ πάντως καὶ εἰς »ἑτερότητα τὴν ἀνὰ μέρος ὁλοτρόπως καὶ ἰδικῶς ἀποφοιτήσειεν »ἂν ἀπ' ἀλλήλων.» Καὶ ὁ ἐν ἁγίοις Βασίλειος, ἐν τῷ τετάρτῳ κατ' Εὐνομίου λόγῳ, ἑρμηνεύων τὸ, Κύριος ἔκτισέ με, καὶ πρὸ πάντων βουνῶν γεννᾷ με(2), γράφει οὕτως· «Ληπτέον οὖν τὸ μὲν »ἐγέννησεν, ἐπὶ τοῦ Θεοῦ Υἱοῦ, τὸ δὲ ἔκτισεν, ἐπὶ τοῦ τὴν μορφὴν »τοῦ δούλου λαβόντος. Ἐν πᾶσι δὲ τούτοις οὐ δύο λέγομεν, Θεὸν ἰδίᾳ »καὶ ἄνθρωπον ἰδίᾳ, εἷς γὰρ ἦν· ἀλλὰ κατ' ἐπίνοιαν τὴν ἑκάστου »φύσιν λογιζόμενοι.» Καὶ ὁ ἐν ἁγίοις δὲ Γρηγόριος ὁ Θεολόγος, ἐν τῷ περὶ Υἱοῦ δευτέρῳ λόγῳ διδάσκων ἡμᾶς, ὅπως δεῖ τὰς ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ φύσεις κατ' ἐπίνοιαν διακρίνειν, γράφει οὕτως· »Ἡνίκα αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, συν»διαιρεῖται καὶ τὰ ὀνόματα· Παύλου λέγοντος ἄκουσον· Ἵνα ὁ Θεὸς »τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, Χριστοῦ »μὲν Θεὸς, τῆς δὲ δόξης Πατήρ (3)· εἰ γὰρ καὶ τὸ συναμφότερον »ἕν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ.» Καὶ ὁ ἐν ἁγίοις δὲ Γρηγόριος ὁ Νύσσης ἐπίσκοπος, ἐν τῷ κατ' Εὐνομίου τετάρτῳ λόγῳ, τὰ αὐτὰ ἡμᾶς διδάσκων, γράφει οὕτως· »Καὶ ὡς ἂν μή »τις τῇ ἀκηράτῳ φύσει τὸ κατὰ τὸν σταυρὸν πάθος προστρί»βοιτο, δι' ἑτέρων τρανώτερον τὴν τοιαύτην ἐπανορθοῦται πλάνην, μεσίτην αὐτὸν Θεοῦ καὶ ἀνθρώπων, Θεὸν καὶ ἄνθρωπον αὐτὸν ὀνομάζων(4), ἵνα ἐκ τοῦ τὰ δύο περὶ τὸ ἓν λέγεσθαι, τὸ πρόσφορον νοοῖτο περὶ ἑκάτερον, περὶ μὲν τὸ θεῖον, ἡ ἀπάθεια, περὶ δὲ τὸ ἀνθρώπινον, ἡ κατὰ τὸ πάθος οἰκονομία. Τῆς οὖν ἐπινοίας διαιρούσης τὸ κατὰ φιλανθρωπίαν μὲν ἡνωμένον,

(1) Λευΐτ. ΙΔ', 4. — (2) Παρ. Θ', — (3) Ἐφεσ. Α', 17. — (4) α. Τιμοθ. Β'.

τῷ δὲ λόγῳ διακρινόμενον, ὅταν μὲν τὸ ὑπερκείμενον καὶ ὑπερέχον πάντα νοῦν κηρύσσῃ, τοῖς ὑψηλοτέροις κέχρηται τῶν ὀνομάτων, ἐπὶ πάντων Θεὸν, καὶ μέγαν Θεὸν, καὶ δύναμιν Θεοῦ, καὶ σοφίαν, καὶ τὰ τοιαῦτα καλῶν (1)· ὅταν δὲ τὴν ἀναγκαίως διὰ τὸ ἡμέτερον ἀσθενὲς συμπαραληφθεῖσαν τῶν παθημάτων πεῖραν περιγράφῃ τῷ λόγῳ, ἐκ τοῦ ἡμετέρου κατονομάζει, τὸ συναμφότερον, ἄνθρωπον αὐτὸν προσαγορεύων, οὐ κοινοποιῶν πρὸς τὴν λοιπὴν φύσιν διὰ τῆς φωνῆς τὸν δηλούμενον, ἀλλ' ὥστε περὶ ἑκάτερον τὸ εὐσεβὲς φυλαχθῆναι·

Τούτων οὕτως ἀποδεδειγμένων διὰ τῆς τῶν Πατέρων διδασκαλίας, παυσάσθωσαν οἱ τὸν ἀριθμὸν τῶν ἐν Χριστῷ φύσεων πρόφασιν τῆς οἰκείας πλάνης ποιούμενοι, καὶ τῷ διὰ τούτου τὴν διαφορὰν ἀρνεῖσθαι, σύγχυσιν εἰσάγειν ἐπιχειροῦντες. Πῶς γὰρ οὐκ ἀναγκαῖος ὁ ἀριθμὸς, ᾧ ἐπὶ σημασίᾳ τῆς διαφορᾶς τῶν ἑνωθεισῶν εἰς μίαν ὑπόστασιν φύσεων, καὶ οὐκ ἐπὶ τῇ ἀνὰ μέρος διαιρέσει αὐτῶν, οἱ Πατέρες ἐχρήσαντο; Ἀποδεδειγμένου τοίνυν πανταχόθεν, ὡς εὐσεβές ἐστι τὸ λέγειν μίαν φύσιν, ἤτοι οὐσίαν θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ, κἀκεῖνο ἐροῦμεν, ὡς οὐδὲ καθ' ὃ μίαν ὑπόστασιν λέγομεν τῆς θεότητος, καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, οὕτω δυνατὸν καὶ μίαν φύσιν λέγειν Χριστοῦ· ἐπειδὴ μὴ ταυτὸν φύσις τε καὶ ὑπόστασις· πάντες γὰρ οἱ ἅγιοι Πατέρες συμφώνως ἡμᾶς διδάσκουσιν, ἄλλο εἶναι φύσιν, ἤτοι οὐσίαν, καὶ μορφὴν, καὶ ἄλλο ὑπόστασιν, ἤτοι πρόσωπον· καὶ τὴν μὲν φύσιν, ἤτοι οὐσίαν καὶ μορφὴν, τὸ κοινὸν σημαίνειν· τὴν δὲ ὑπόστασιν, ἤτοι πρόσωπον, τὸ ἰδικόν. Εἰ δὲ φήσωσί τινες, ὅτι, ὥσπερ μία ὑπόστασις σύνθετος εἴρηται ἐπὶ Χριστοῦ, οὕτω δεῖ καὶ μίαν φύσιν σύνθετον λέγειν, ἀποδείξομεν καὶ τοῦτο ἀλλότριον εἶναι τῆς εὐσεβείας· μίαν γὰρ φύσιν θεότητος, ἤτοι οὐσίαν λέγοντες, τρεῖς ἐπ' αὐτῆς δοξάζομεν ὑποστάσεις, ἐν ἑκάστῃ ὑποστάσει, τὴν αὐτὴν φύσιν, ἤτοι οὐσίαν γνωρίζοντες, καὶ εὐσεβῶς ἐκ τῶν τριῶν ὑποστάσεων μίαν ὑπόστασιν τὴν τοῦ Λόγου πρὸς τὴν σάρκα συντεθεῖσθαί φαμεν· οὐδεὶς γάρ ποτε ἐτόλμησεν ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ εἰπεῖν, ὅτι,

(1) ἐ, Κορ. Α'. — Ῥωμ. ἰ. — Τίτ. Β'.

ὥςπερ τρεῖς ὑποστάσεις, οὕτω καὶ τρεῖς φύσεις εἰσὶ τῆς ἁγίας Τριάδος, ὥςτε καὶ δύνασθαι λέγειν μίαν φύσιν ἐκ τῶν τριῶν φύσεων συντεθεῖσθαι πρὸς σάρκα· τρεῖς γὰρ φύσεις ἐπὶ τῆς ἁγίας Τριάδος μόνος Ἄρειος τολμήσας εἰπεῖν, ὡς βλάσφημος κατεκρίθη. Διὰ τοῦτο τοίνυν κατὰ τὸν ὀρθὸν λόγον, δύο φύσεων ἕνωσιν λέγομεν, καὶ μίαν ὑπόστασιν· ἐπειδὴ ὁ τοῦ Θεοῦ Υἱὸς, κατὰ τὴν ὑπόστασιν ἕτερος ὢν παρὰ τὸν Πατέρα, τῆς αὐτῆς δὲ φύσεως ὢν τῷ Πατρὶ, ἐν τῇ ἰδίᾳ ὑποστάσει ἐδημιούργησεν ἑαυτῷ σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, ὅπερ δηλοῖ ἀνθρωπίνῃ φύσει ἑνωθῆναι τὸν τοῦ Θεοῦ Λόγον, καὶ οὐχ ὑποστάσει, ἤτοι προσώπῳ τουδέ τινος. Ἔστι τοίνυν ὁ τοῦ Θεοῦ Λόγος καὶ σαρκωθεὶς μία ὑπόστασις ἐν ἑκατέρᾳ φύσει γνωριζόμενος, ἔν τε τῇ θείᾳ, ἐν ᾗ ὑπῆρχε κατὰ τὸ, Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων (1), καὶ ἐν τῇ ἀνθρωπίνῃ, κατὰ τὸ, Ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος (2)· καὶ διὰ τοῦτο εὐσεβῶς εἴποι τις ἂν μίαν ὑπόστασιν τοῦ Θεοῦ Λόγου σύνθετον, ἤπερ μίαν φύσιν σύνθετον· ἐπειδὴ ὅτε καθ' ἑαυτὴν ἁπλῶς φύσις λέγεται, μὴ προσκειμένου ταύτῃ ἰδικοῦ τινος προσώπου, ἀόριστόν τι καὶ ἀνυπόστατον δηλοῖ· τὸ δὲ ἀόριστον πρὸς οὐδὲν συντεθῆναι δύναται. Εἰ δέ τις καὶ μετὰ τοὺς τοιούτους λόγους πρὸς φιλονεικίαν μόνην ὁρῶν, ἀντιθεῖναι ἐπιχειρήσει λέγων, ὅτι κατὰ τὸν ἀποδοθέντα τῆς φύσεως λόγον, χρὴ καὶ τὴν ἀνθρωπίνην φύσιν τοῦ Χριστοῦ ἰδίαν ὑπόστασιν, ἤτοι πρόσωπον ἴδιον ἔχειν, πρόδηλός ἐστιν ὁ τοιοῦτος, ὅτι προϋποστάντι ἀνθρώπῳ ἑνωθῆναι λέγει τὸν Λόγον, καὶ σχετικὴν γεγενῆσθαι τὴν ἕνωσιν· δύο γὰρ ὑποστάσεων, ἤτοι προσώπων καθ' ὑπόστασιν γενέσθαι ἕνωσιν ἀδύνατον· ὥστε ὁ ταῦτα λέγων, τὸ δυνατὸν τοῦ Θεοῦ λόγοις ἀνθρωπίνης σοφίας κενῶσαι σπουδάζων, ἀγνοεῖ τὸ μέγα τῆς εὐσεβείας μυστήριον, ὅπερ καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν(3)· οὔτε γὰρ ἡ ἀνθρωπίνη φύσις τοῦ Χριστοῦ ἁπλῶς ποτε λέγεται, ἀλλ' οὔτε ἰδίαν ὑπόστασιν, ἤτοι πρόσωπον ἔσχεν, ἀλλ' ἐν τῇ ὑποστάσει τοῦ Λόγου τὴν ἀρχὴν τῆς ὑπάρξεως ἔλαβεν· ὅθεν αὐτὸν τὸν Θεὸν Λόγον ἀτρέπτως ἄνθρωπον γεγενῆσθαι ὁμολογοῦμεν, καὶ οὐκ εἰς

(1) Φιλιππησ. Β', 6. — (2) Φιλιππησ. Β', 7. — (3) Ρωμ. Ι, 10.

ἄνθρωπόν τινα αὐτὸν ἐληλυθέναι· καὶ τοῦ αὐτοῦ Θεοῦ Λόγου σαρκωθέντος τὴν ἐκ Παρθένου γέννησιν εἶναι, καὶ διὰ τοῦτο Θεοτόκον εἶναι τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν. Διὰ τοῦτο καὶ πρὸ τῆς σαρκώσεως τοῦ Θεοῦ Λόγου, καὶ μετὰ τὴν αὐτοῦ σάρκωσιν, τρεῖς ὑποστάσεις λέγομεν, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, τῆς ἁγίας Τριάδος, τετάρτης ὑποστάσεως, ἤτοι προσώπου προσθήκην μὴ ἐπιδεξαμένης. Ἐκ τούτων τοίνυν πάντων διελέγχονται οἱ λέγοντες πρὸ τῆς ἑνώσεως δύο φύσεις, ὡς προϋποστάντα λέγουσιν ἄνθρωπον, καὶ οὕτως ἑνωθῆναι τῷ Θεῷ Λόγῳ κατὰ τὴν μανίαν Θεοδώρου, καὶ Νεστορίου τῶν ἀσεβῶν. Οἱ δὲ λέγοντες μὴ χρῆναι λέγειν μετὰ τὴν ἕνωσιν δύο φύσεις ἐπὶ Χριστοῦ, ἀλλὰ μίαν φύσιν, σύγχυσιν καὶ φαντασίαν εἰσάγουσι κατὰ Ἀπολλινάριον, καὶ Εὐτυχέα τοὺς ἀσεβεῖς· ἀλλ' οὗτοι μὲν ταῦτα. Οἱ δὲ ἅγιοι Πατέρες μετὰ τὴν τοῦ Λόγου ἐνανθρώπησιν θεωρήσαντες τὰ ἐξ ὧν ὁ Χριστὸς, καὶ ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ὀρθότατα τὰς δύο φύσεις τήν τε θείαν καὶ ἀνθρωπίνην ἐν τῷ Χριστῷ εἶναι εἰρήκασιν· οὔτε γὰρ πρὸ τῆς ἐνανθρωπήσεως δύο φύσεις ἦσαν τοῦ Κυρίου, οὐδὲ μετὰ τὴν ἐνανθρώπησιν αἱ δύο μία γεγόνασιν, εἰ καὶ ἐν μιᾷ ὑποστάσει γνωρίζονται.

Ταῦτα δὲ καὶ ἐκ τῶν θείων Γραφῶν, καὶ ἐκ τῆς τῶν Πατέρων διδασκαλίας διδαχθέντες, πρὸς ἀνατροπὴν τῶν συγχεόντων, καὶ τεμνόντων τὸ τῆς θείας οἰκονομίας μυστήριον, εἰκότως ἐγράψαμεν, καὶ οὐ τῷ σαφηνίζειν τὰ ἐξ ὧν ἐστι, καὶ ἐν οἷς γνωρίζεται ὁ Χριστὸς, σύγχυσιν ἢ διαίρεσιν τῇ θείᾳ οἰκονομίᾳ εἰσάγομεν· ἀμέλει δοξολογίαν, καὶ τὸν τῆς ἑνώσεως λόγον προφέροντες, ἕνα Χριστὸν, καὶ Υἱὸν, καὶ Κύριον, τὸν τοῦ Θεοῦ Λόγον σεσαρκωμένον, καὶ ἐνανθρωπήσαντα ὁμολογοῦμεν τε, καὶ προσκυνοῦμεν σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι. Τούτων οὕτως ὑπὸ τῆς τοῦ Θεοῦ καθολικῆς Ἐκκλησίας ὁμολογουμένων, γινώσκειν βουλόμεθα πάντας τοὺς Χριστιανοὺς, ὅτι, ὥσπερ ἕνα Θεὸν καὶ Κύριον ἔχομεν, οὕτω καὶ μίαν πίστιν· εἷς γάρ ἐστιν ὅρος πίστεως, τὸ ὁμολογεῖν καὶ ὀρθῶς δοξάζειν Πατέρα, καὶ Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ἅγιον Πνεῦμα· ταύτην τὴν ὁμολογίαν φυλάττομεν, εἰς ἣν καὶ ἐβαπτίσθημεν, δωρηθεῖσαν μὲν πα-

ρα του μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ Ἀποςόλοις, παρ' αὐτῶν δὲ κηρυχθεῖσαν ἐν ὅλῳ τῷ κόσμῳ. Οἱ δὲ τριακόσιοι δέκα καὶ ὀκτὼ Πατέρες ἅγιοι, οἱ συναχθέντες ἐν Νικαίᾳ κατὰ Ἀρείου, καὶ τοῦτον μετὰ τῆς αὐτοῦ ἀσεβείας καταδικάσαντες, τὴν αὐτὴν ὁμολογίαν, ἢ σύμβολον καὶ ἅγιον μάθημα τῆς πίςεως παραδεδώκασι τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ· καὶ μετ' ἐκείνους οἱ ρν'· ἅγιοι Πατέρες, οἱ συναχθέντες ἐν Κωνσταντινουπόλει κατὰ Μακεδονίου τοῦ πνευματομάχου, καὶ Μάγνου τοῦ Ἀπολλιναριστοῦ, καὶ τούτους καταδικάσαντες μετὰ τῆς αὐτῶν ἀσεβείας, ἀκολουθοῦντές τε κατὰ πάντα τῷ αὐτῷ ἁγίῳ συμβόλῳ τῷ παρὰ τῶν τιη. ἁγίων Πατέρων παραδοθέντι, ἐτράνωσαν τὰ περὶ τῆς θεότητος τοῦ ἁγίου Πνεύματος. Ἔτι δὲ καὶ οἱ ἐν Ἐφέσῳ συναχθέντες τὸ πρότερον ἅγιοι Πατέρες κατὰ Νεστορίου τοῦ δυσσεβοῦς, καὶ οἱ ἐν Χαλκηδόνι ἅγιοι Πατέρες κατὰ Εὐτυχοῦς τοῦ δυσσεβοῦς, ἀκολουθήσαντες κατὰ πάντα τῷ εἰρημένῳ ἁγίῳ συμβόλῳ, ἤτοι μαθήματι τῆς πίστεως, κατεδίκασαν τοὺς προειρημένους αἱρετικοὺς μετὰ τῆς αὐτῶν ἀσεβείας, καὶ τῶν ὅμοια αὐτοῖς φρονησάντων, ἢ καὶ φρονούντων· καὶ πρὸς τούτοις ἀνεθεμάτισαν τοὺς ἕτερον ὅρον πίστεως, ἤτοι σύμβολον, καὶ μάθημα παραδιδόντας τοῖς προσιοῦσι τῷ ἁγίῳ βαπτίσματι, ἢ ἐξ οἱασδήποτε αἱρέσεως ἐπιστρέφουσι παρὰ τὸν παραδοθέντα, καὶ ὡς εἴρηται, ὑπὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων, τρανωθέντα ὑπὸ τῶν ρν'. ἁγίων Πατέρων. Τούτων οὕτως ἐχόντων, συνείδομεν καὶ κεφάλαια ὑποτάξαι, τήν τε τῆς πίςεως ὀρθὴν ὁμολογίαν ἐν συντόμῳ, τήν τε τῶν αἱρετικῶν κατάκρισιν περιέχοντα.

Εἴ τις οὐχ ὁμολογεῖ Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, μίαν θεότητα, ἤγουν φύσιν καὶ οὐσίαν, μίαν τε δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν, ἤγουν προσώποις προσκυνουμένην, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις οὐχ ὁμολογεῖ τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ Πατρὸς γεννηθέντα Θεὸν Λόγον ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθόντα ἐκ τῶν οὐρανῶν, σαρκωθέντα ἐκ τῆς ἁγίας ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ἄνθρωπον γενόμενον, γεννηθέντα ἐξ αὐτῆς, καὶ διὰ τοῦτο τοῦ αὐτοῦ Θεοῦ Λόγου εἶναι τὰς δύο γεννήσεις, τήν τε πρὸ αἰώνων ἀσωμάτως, καὶ

τὴν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατὰ σάρκα, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις λέγει ἄλλον εἶναι τὸν Θεὸν Λόγον τὸν θαυματουργήσαντα, καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα, ἢ τὸν Θεὸν Λόγον συνεῖναι τῷ Χριστῷ λέγει γενομένῳ ἐκ γυναικὸς, ἢ ἐν αὐτῷ εἶναι ὡς ἄλλον ἐν ἄλλῳ, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ Λόγον σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, καὶ τοῦ αὐτοῦ τά τε θαύματα, καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκὶ, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις λέγει κατὰ χάριν, ἢ κατ' ἐνέργειαν, ἢ κατ' ἀξίαν, ἢ κατ' ἰσοτιμίαν, ἢ κατ' αὐθεντίαν, ἢ ἀναφορὰν, ἢ σχέσιν, ἢ δύναμιν, τὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου πρὸς ἄνθρωπον γεγενῆσθαι, ἢ καθ' ὁμωνυμίαν, καθ' ἣν οἱ Νεστοριανοὶ καὶ τὸν Θεὸν Λόγον Χριστὸν καλοῦντες, καὶ τὸν ἄνθρωπον κεχωρισμένως Χριστὸν ὀνομάζοντες, κατὰ μόνην τὴν προσηγορίαν ἕνα Χριστὸν λέγουσιν· ἢ εἴ τις λέγει κατ' εὐδοκίαν τὴν ἕνωσιν γεγενῆσθαι, καθὼς Θεόδωρος ὁ αἱρετικὸς αὐταῖς λέξεσι λέγει, ὡς ἀρεσθέντος τοῦ Θεοῦ Λόγου τῷ ἀνθρώπῳ ἀπὸ τοῦ εὖ καὶ καλὰ δόξαι αὐτῷ περὶ αὐτοῦ, οὐχὶ καθ' ὑπόστασιν τοῦ Θεοῦ Λόγου πρὸς τὴν σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ τὴν ἕνωσιν ὁμολογεῖ, καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑπόστασιν σύνθετον, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις κατὰ ἀναφορὰν, ἢ καταχρηστικῶς Θεοτόκον λέγει τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν, ἢ ἀνθρωποτόκον, ἢ Χριστοτόκον, ὡς τοῦ Χριστοῦ μὴ ὄντος Θεοῦ, ἀλλὰ μὴ κυρίως καὶ κατ' ἀλήθειαν Θεοτόκον αὐτὴν ὁμολογεῖ, διὰ τὸ τὸν πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντα Θεὸν Λόγον ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐξ αὐτῆς σαρκωθῆναι καὶ γεννηθῆναι, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις οὐχ ὁμολογεῖ τὸν ἐσταυρωμένον σαρκὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, Θεὸν εἶναι ἀληθινὸν, καὶ Κύριον τῆς δόξης, καὶ ἕνα τῆς ἁγίας Τριάδος, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις ἐν δυσὶ φύσεσι λέγων μὴ ὡς ἐν θεότητι, καὶ ἐν ἀνθρωπότητι τὸν ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ Λόγον σαρκωθέντα ὁμολογεῖ, μηδὲ ἐπὶ τῷ σημᾶναι τὴν διαφο-

ρὰν τῶν φύσεων, ἐξ ὧν καὶ συνετέθη, ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέρος τὴν τοιαύτην λαμβάνει φωνὴν ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου, ὡς κεχωρισμένας καὶ ἰδιοϋποστάτους εἶναι τὰς φύσεις, καθὼς Θεόδωρος, καὶ Νεστόριος βλασφημοῦσιν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις ἐπὶ τοῦ ἑνὸς Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦτ' ἔςι, τοῦ σαρκωθέντος Θεοῦ Λόγου, τὸν ἀριθμὸν τῶν φύσεων ὁμολογῶν, μὴ τῇ θεωρίᾳ τὴν διαφορὰν τούτων, ἐξ ὧν καὶ συνετέθη, λαμβάνει, ὡς ταύτης οὐκ ἀνῃρημένης διὰ τὴν ἕνωσιν, ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέρος τῷ ἀριθμῷ κέχρηται, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις λέγων μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, οὐχ οὕτως αὐτὸ ἐκλαμβάνει, ὡς ὅτι ἐκ τῆς θείας φύσεως, καὶ τῆς ἀνθρωπίνης εἷς Χριστὸς ἀπετελέσθη ὁμοούσιος τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, ἀλλ' ὅτι τῆς θεότητος, καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ μία φύσις, ἤτοι οὐσία ἀπετελέσθη, κατὰ τὴν Ἀπολλιναρίου, καὶ Εὐτυχοῦς κακοπιστίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. Ἐπίσης γὰρ καὶ τοὺς ἀνὰ μέρος διαιροῦντας, ἤτοι τέμνοντας, καὶ τοὺς συγχέοντας τὸ τῆς θείας οἰκονομίας μυστήριον τοῦ Χριστοῦ ἀποστρέφεται, καὶ ἀναθεματίζει ἡ καθολικὴ Ἐκκλησία.

Εἴ τις μὴ ἀναθεματίζει Ἄρειον, Εὐνόμιον, Μακεδόνιον, Ἀπολλινάριον, Νεστόριον, Εὐτυχέα, καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας, ἢ φρονήσαντας, ἀνάθεμα ἔστω.

Εἴ τις ἀντιποιεῖται Θεοδώρου τοῦ Μοψουεστίας τοῦ εἰπόντος, ἄλλον εἶναι τὸν Θεὸν Λόγον, καὶ ἄλλον τὸν Χριστὸν, ὑπὸ παθῶν ψυχῆς καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον, καὶ ἐκ προκοπῆς ἔργων βελτιωθέντα, καὶ βαπτισθέντα εἰς ὄνομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, καὶ διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου Πνεύματος λαβεῖν, καὶ υἱοθεσίας ἀξιωθῆναι, καὶ κατ' ἰσότητα βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ Θεοῦ Λόγου προσκυνούμενον, καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις, καὶ ἀναμάρτητον παντελῶς γενόμενον· καὶ πάλιν εἰρηκότος τὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου πρὸς τὸν Χριστὸν τοιαύτην γεγενῆσθαι, οἵαν εἶπεν ὁ Ἀπόστολος ἐπὶ ἀνδρὸς καὶ γυναικὸς,

ἔσονται οἱ δύο εἰς σάρκα μίαν(1), καὶ πρὸς ταῖς ἄλλαις ἀναριθμήτοις αὐτοῦ βλασφημίαις τολμήσαντος εἰπεῖν, ὅτι μετὰ τὴν ἀνάστασιν ἐμφυσήσας ὁ Κύριος τοῖς μαθηταῖς, καὶ εἰπὼν, Λάβετε πνεῦμα ἅγιον(2), οὐ δέδωκεν αὐτοῖς Πνεῦμα ἅγιον, ἀλλὰ σχήματι μόνον ἐνεφύσησεν· οὗτος δὲ καὶ τὴν ὁμολογίαν Θωμᾶ, ἣν ἐπὶ τῇ ψηλαφήσει τῶν χειρῶν, καὶ τῆς πλευρᾶς τοῦ Κυρίου μετὰ τὴν ἀνάστασιν, λέγων τὸ, Ὁ Κύριός μου, καὶ ὁ Θεός μου(3) εἶπε, μὴ εἰρῆσθαι περὶ τοῦ Χριστοῦ παρὰ τοῦ Θωμᾶ, (οὐδὲ γὰρ εἶναι λέγει Χριστὸν τὸν Θεόν·) ἀλλ' ἐπὶ τῷ παραδόξῳ τῆς ἀναστάσεως ἐκπλαγέντα τὸν Θωμᾶν ὑμνῆσαι τὸν Θεὸν τὸν ἐγείραντα τὸν Χριστόν· τὸ δὲ χεῖρον, ὅτι καὶ ἐν τῇ τῶν Πράξεων τῶν Ἀποστόλων γενομένῃ παρ' αὐτοῦ δῆθεν ἑρμηνείᾳ συγκρίνων ὁ αὐτὸς Θεόδωρος τὸν Χριστὸν Πλάτωνι, καὶ Μανιχαίῳ, καὶ Ἐπικούρῳ, καὶ Μαρκίωνι, λέγει, ὅτι ὥσπερ ἐκείνων ἕκαστος εὑράμενος οἰκεῖον δόγμα τοὺς αὐτῷ μαθητεύσαντας πεποίηκε καλεῖσθαι Πλατωνικοὺς, καὶ Μανιχαίους, καὶ Ἐπικουρίους, καὶ Μαρκιωνιστὰς, τὸν ὅμοιον τρόπον καὶ τοῦ Χριστοῦ εὑραμένου τὸ δόγμα, ἐξ αὐτοῦ τοὺς Χριστιανοὺς καλεῖσθαι. Εἴ τις τοίνυν ἀντιποιεῖται Θεοδώρου τοῦ τὰ τοιαῦτα βλασφημήσαντος, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὸν, καὶ τὰ αὐτοῦ συγγράμματα, καὶ τοὺς τὰ ὅμοια αὐτῷ φρονοῦντας, ἢ φρονήσαντας, ἀνάθεμα ἔστω.

Εἴ τις ἀντιποιεῖται τῶν συγγραμμάτων Θεοδωρήτου, ἅπερ ἐξέθετο ὑπὲρ Νεστορίου τοῦ αἱρετικοῦ, καὶ κατὰ τῆς ὀρθῆς πίστεως, καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἁγίας συνόδου, καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τῶν ιβ'. αὐτοῦ κεφαλαίων, ἐν οἷς ἀσεβέσι συγγράμμασι σχετικὴν λέγει τὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου πρὸς τόν τινα ἄνθρωπον, περὶ οὗ βλασφημῶν λέγει, ὅτι ἐψηλάφησε Θωμᾶς τὸν ἀναστάντα, καὶ προσεκύνησε τὸν ἐγείραντα, καὶ διὰ τοῦτο ἀσεβεῖς καλεῖ τοὺς τῆς Ἐκκλησίας διδασκάλους, τοὺς καθ' ὑπόστασιν τὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου πρὸς τὴν σάρκα ὁμολογοῦντας· καὶ πρὸς τούτοις Θεοτόκον ἀπαρνεῖται τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν· εἴ τις τοίνυν τὰ εἰρημένα συγγράμματα Θεοδωρήτου ἐπαινεῖ, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὰ, ὁ τοιοῦτος

(1) Ἐφεσ. Ε', 31. — (2) Ἰω. Κ', 22. — (3) Ἰω. Κ'. 28.

ἀνάθεμα ἔστω. Διὰ ταύτας γὰρ τὰς βλασφημίας τῆς ἐπισκοπῆς ἐξεβλήθη, καὶ μετὰ ταῦτα ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ ἐν Χαλκηδόνι συνωθήθη πάντα τὰ ἐναντία τοῖς μνημονευθεῖσιν αὐτοῦ συγγράμμασι ποιῆσαι, καὶ τὴν ὀρθὴν πίστιν ὁμολογῆσαι.

Εἴ τις ἀντιποιεῖται τῆς ἀσεβοῦς ἐπιστολῆς τῆς λεγομένης παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην τὸν αἱρετικὸν, τῆς ἀρνουμένης τὸν Θεὸν Λόγον ἄνθρωπον γεγενῆσθαι, καὶ λεγούσης μὴ τὸν Θεὸν Λόγον ἐκ τῆς Παρθένου σαρκωθέντα γεννηθῆναι, ἀλλὰ ψιλὸν ἄνθρωπον ἐξ αὐτῆς γεννηθῆναι, ὃν ναὸν ἀποκαλεῖ, ὡς ἄλλον εἶναι τὸν Θεὸν Λόγον, καὶ ἄλλον τὸν ἄνθρωπον· πρὸς τούτοις δὲ ἐνυβριζούσης τὴν ἐν Ἐφέσῳ πρώτην σύνοδον, ὡς χωρὶς ζητήσεως καὶ κρίσεως Νεστόριον καταδικασάσης, καὶ τὸν ἐν ἁγίοις Κύριλλον αἱρετικὸν ἀποκαλούσης, καὶ ἀσεβῆ τὰ ιβ'. αὐτοῦ κεφάλαια· Νεστόριον δὲ καὶ Θεόδωρον μετὰ τῶν αὐτοῦ ἀσεβῶν συγγραμμάτων ἐπαινούσης, καὶ ἐκδικούσης· εἴ τις τοίνυν τὴν εἰρημένην ἀσεβῆ ἐπιστολὴν ἐκδικεῖ, ἢ ὀρθὴν αὐτὴν εἶναι λέγει, ἢ μέρος αὐτῆς, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὴν, ἀνάθεμα ἔστω.

Τῆς τοιαύτης τοίνυν ἐπιστολῆς δικαίως ἀναθεματισθείσης διὰ τὰς περιεχομένας αὐτῇ βλασφημίας, οἱ τὰ Νεστορίου, ἢ Θεοδώρου τῶν ἀσεβῶν φρονοῦντες ἐπιχειροῦσι λέγειν, ταύτην δεδέχθαι παρὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου· τοῦτο δὲ λέγουσι, τὴν μὲν ἁγίαν σύνοδον συκοφαντοῦντες, τῷ δὲ ταύτης προσχήματι σπουδάζοντες τῆς ὀφειλομένης κατακρίσεως ἐλευθερῶσαι Θεόδωρον, καὶ Νεστόριον, καὶ τὴν ἀσεβῆ ἐπιστολὴν, περὶ ἧς Ἴβας πολλάκις κατηγορηθεὶς οὐκ ἐτόλμησε οἰκειώσασθαι διὰ τὰς περιεχομένας αὐτῇ βλασφημίας· καὶ ταῦτα ἀποδείξομεν, ἐκ τῶν διαφόρως περὶ τούτου κεκινημένων. Ἐν γὰρ τοῖς παρὰ Φωτίου καὶ Εὐσταθίου πεπραγμένοις ἐν Τύρῳ, κατηγορούμενος ὁ προλεχθεὶς Ἴβας περὶ τῶν ὕβρεων τοῦ ἐν ἁγίοις Κυρίλλου φανερῶς κατέθετο, μετὰ τὴν ἕνωσιν τῶν ἀνατολικῶν τὴν πρὸς τὸν ἐν ἁγίοις Κύριλλον μηδὲν ὕβρεως ἐχόμενον εἰρηκέναι περὶ αὐτοῦ· ἡ δὲ ἐπιστολὴ ἡ πεπληρωμένη τῶν εἰρημένων βλασφημιῶν, ἐφ' αἷς κατηγορεῖται Ἴβας, πολλὰς κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου ὕβρεις περιέχουσα παρίστησιν, ὅτι μετὰ τὴν ἕνωσιν τὴν πρὸς

τοὺς ἀνατολικοὺς γέγονεν, ἐξ οὗ δείκνυται Ἴβας ἀπαρνησάμενος ταύτην· ὅθεν οἱ μνημονευθέντες Φώτιος, καὶ Εὐστάθιος διὰ τὴν τῶν ἐγκαλούντων πληροφορίαν ἐγγράφως διετύπωσαν, τὸν εἰρημένον Ἴβαν πάντα τὰ ἐναντία τῇ ἐπιστολῇ πρᾶξαι, καθὼς ἡ περὶ τούτου δοθεῖσα παρ' αὐτῶν ἐπίκρισις δείκνυσιν· ἀλλὰ μὴ πληρώσας Ἴβας τὰ παρ' ἐκείνων ἐπικριθέντα ἐξεβλήθη τῆς ἐπισκοπῆς διὰ τὰς βλασφημίας τῆς εἰρημένης ἐπιστολῆς, καὶ Νόννος ἀντ' αὐτοῦ ἐχειροτονήθη, ὃς καὶ συνεκαθέσθη τῇ ἁγίᾳ ἐν Χαλκηδόνι συνόδῳ. Περὶ τῶν αὐτῶν τοίνυν καὶ ἐν Χαλκηδόνι κατηγορηθεὶς ὁ μνημονευθεὶς Ἴβας μετὰ τὴν ἀνάγνωσιν τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησε ταύτην οἰκειώσασθαι, ἀλλ' εὐθὺς αὐταῖς λέξεσιν ἐπήγαγεν, ὅτι ἀλλότριός εἰμι τῶν ἐπαγομένων μοι· ὅθεν ἡ ἁγία σύνοδος μὴ ἀρκεσθεῖσα τῇ ἀρνήσει Ἴβα, τῇ ἐπὶ τῇ ἀσεβεῖ ἐπιστολῇ, συνώθησεν αὐτὸν τἀναντία ταύτῃ πρᾶξαι, τοῦτ' ἔστι τὴν ἐν αὐτῇ ἀθετουμένην πίστιν ὀρθὴν ὁμολογῆσαι, καὶ τὴν ἐν Ἐφέσῳ πρώτην ἁγίαν σύνοδον δέξασθαι, καὶ τὸν ἐν ἁγίοις Κύριλλον Πατέρα καὶ διδάσκαλον ἐπιγράψασθαι, τὰ ἐν τῇ ἀσεβεῖ ἐπιστολῇ ὑβριζόμενα, καὶ Νεστόριον, καὶ τὸ ἀσεβὲς αὐτοῦ δόγμα ἀναθεματίσαι, ἅπερ ἡ ἀσεβὴς ἐπιστολὴ ἐπαινεῖ καὶ ἐκδικεῖ. Εἰ τοίνυν καὶ αὐτὸς Ἴβας διαφόρως κατηγορηθεὶς περὶ τῆς ἀσεβοῦς ἐπιστολῆς, οὐκ ἐτόλμησε αὐτὴν οἰκειώσασθαι, ἀλλὰ καὶ ἡ ἁγία ἐν Χαλκηδόνι σύνοδος πάντα τὰ ἐναντία ταύτης παρεσκεύασεν αὐτὸν πρᾶξαι, πῶς εἶχεν ἡ αὐτὴ ἁγία σύνοδος τὴν εἰρημένην ἐπιστολὴν δέξασθαι, καὶ τῷ κρίματι τῆς περιεχομένης αὐτῇ ἀσεβείας ὑποπεσεῖν, ἀφ' ἧς Ἴβαν ἐλευθερῶσαι ἐσπούδασεν; Ἐπειδὴ δὲ πάσας ὑπερβαίνοντες τὰς περιεχομένας τῇ ἐπιστολῇ βλασφημίας οἱ αἱρετικοί, τοῦτο μόνον ἐξ αὐτῆς προφέρουσι τὸ πρὸς ἀπάτην τῶν ἁπλουστέρων παρὰ τοῦ τὴν ἐπιστολὴν γράψαντος εἰρημένον, τοῦτ' ἔστι, δύο φύσεις, μίαν δύναμιν, ἓν πρόσωπον, ἀποδείξομεν αὐτὸν καὶ ἐν τούτῳ τὴν ἰδίαν ἀσέβειαν παραμιγνύντα. Τίνος γὰρ ἂν λέγοι δύο φύσεις, καὶ ἓν πρόσωπον, ὁ ἀπαρνούμενος τὸν Θεὸν Λόγον σαρκωθῆναι ἐκ τῆς ἁγίας ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ τεχθῆναι ἐξ αὐτῆς; Ἀλλὰ πρόδηλον, ὡς ἑκάστῃ φύσει ἴδιον πρόσωπον ἀπονέμει, καθὼς Θεόδωρος, καὶ Νε-

στόριος ἐν τοῖς οἰκείοις λόγοις βλασφημοῦντες ἐξέθεντο, οὓς καὶ ἐκδικεῖ ὁ γράψας τὴν ἐπιστολὴν μετὰ τῆς αὐτῶν ἀσεβείας· ἐκεῖνοι γαρ φανερῶς λέγουσι δύο πρόσωπα τοῦ Θεοῦ Λόγου, καὶ τοῦ Χριστοῦ, ὃν ψιλὸν ἄνθρωπον ἀποκαλοῦσι κατὰ σχετικὴν συνάφειαν, καὶ τὴν αὐτὴν ἀξίαν τε, καὶ τιμὴν ἓν πρόσωπον ἀναφαίνεσθαι λέγουσι· ἀλλὰ καὶ τῶν δύο φύσεων μίαν δύναμιν, ἤτοι δυναστείαν λέγων ὁ γράψας τὴν ἐπιστολὴν φανερός ἐστιν, ὡς καὶ ἐν τούτῳ ἀκολουθεῖ τοῖς εἰρημένοις αἱρετικοῖς, Θεοδώρῳ μὲν λέγοντι ἐν τοῖς περὶ ἐνανθρωπήσεως αὐτοῦ διαφόροις λόγοις ἀσεβῶς ἐκτεθεῖσι, Νεστορίῳ δὲ ἐν πολλοῖς συγγράμμασι, μάλιστα δὲ ἐν τῇ ἐπιστολῇ τῇ γραφείσῃ πρὸς Ἀλέξανδρον τὸν αἱρετικὸν Ἱεραπολίτην, ὅτι τῶν δύο φύσεων μία ἐστὶν αὐθεντία, καὶ μία δύναμις, ἤτοι δυναστεία, καὶ ἓν πρόσωπον κατὰ μίαν ἀξίαν, καὶ τὴν αὐτὴν τιμήν· ἀφ' ὧν ἀποδείκνυται ὁ τὴν ἐπιστολὴν γράψας κατὰ τὴν ἐκείνων κακοδοξίαν ἀντὶ προσώπων τῇ τῶν φύσεων προσηγορίᾳ χρησάμενος· μία γὰρ αὐθεντία, καὶ μία δύναμις, ἤτοι δυναστεία, καὶ μία ἀξία, καὶ ἡ αὐτὴ τιμὴ οὐκ ἐπὶ διαφόρων φύσεων, ἀλλ' ἐπὶ διαφόρων προσώπων, καὶ τῆς αὐτῆς οὐσίας λέγεται, ὅπερ ἐπὶ τῆς ἁγίας Τριάδος ὁμολογοῦμεν· ὅθεν καὶ οἱ ἅγιοι Πατέρες ἀνεθεμάτισαν τοὺς κατ' αὐθεντίαν, ἢ δύναμιν, ἤτοι δυναστείαν, ἢ ἀξίαν, ἢ ἰσοτιμίαν λέγοντας τὸν Θεὸν Λόγον τῷ Χριστῷ ἡνῶσθαι, ὃν ψιλὸν ἄνθρωπον οἱ ἀπὸ Θεοδώρου, καὶ Νεστορίου καλοῦσιν, ἀλλ' οὐχὶ καθ' ὑπόστασιν τὴν τοῦ Λόγου πρὸς τὴν σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ τὴν ἕνωσιν γεγενῆσθαι ὁμολογοῦντας.

Καὶ ἤρκει μὲν ταῦτα πρὸς τὸ διελέγξαι τὴν ἀσέβειαν τῶν ἐκδικούντων τὴν μυσαρὰν ἐκείνην ἐπιστολήν. Πλὴν ὅμως καὶ πρὸς τῷ τέλει τῆς αὐτῆς ἐπιστολῆς ὁ ταύτην γράψας τὴν ἰδίαν δείκνυσι κακοδοξίαν λέγων, ὅτι δεῖ πιστεύειν εἰς τὸν ναὸν, καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ, ἐν οἷς φανερῶς δύο εἰσάγει πρόσωπα· ἀλλὰ καὶ ταύτην τὴν ἀσέβειαν ὁ γράψας τὴν ἐπιστολὴν παρὰ Θεοδώρου, καὶ Νεστορίου ἐδιδάχθη. Ἡ μέντοι καθολικὴ Ἐκκλησία τὴν τοιαύτην κακοδοξίαν κατακρίνουσα, οὐχὶ εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ, ἀλλὰ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ Λόγον σαρκωθέντα,

καὶ ἐνανθρωπήσαντα ὁμολογεῖν καὶ πιστεύειν παραδίδωσιν. οὐδὲν δὲ θαυμαστὸν, εἰ τῇ τῶν φύσεων ὀνομασίᾳ ἐχρήσατο ὁ τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν γράψας· ἔθος γὰρ τοῖς αἱρετικοῖς, πρὸς ἀπάτην τῶν ἁπλουστέρων ταῖς παρὰ τῶν Ὀρθοδόξων εὐσεβῶς λεγομέναις φωναῖς κεχρῆσθαι, καὶ τὴν εὐσεβῆ τούτων ἔννοιάν τε, καὶ ἐξήγησιν πρὸς τὴν οἰκείαν μεταφέρειν ἀσέβειαν· ἐπειδὴ ἔστιν ὅτε αἱ αὐταὶ φωναὶ καλῶς μὲν ἐξηγούμεναι, καὶ νοούμεναι μετὰ τῆς εὐσεβείας εἰσί· κακῶς δὲ παρὰ τῶν αἱρετικῶν ἑρμηνευόμεναι, καὶ προφερόμεναι τὸ ἀσεβὲς ἔχουσιν. Ἀμέλει Νεστόριον εἰπόντα μὲν δύο φύσεις, καὶ ἓν πρόσωπον, μὴ ὁμολογοῦντα δὲ τούτων τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἡ ἐν Ἐφέσῳ πρώτη ἁγία σύνοδος, ἧς ἐξῆρχον Κελεστῖνος, καὶ Κύριλλος, οἱ ἐν ὁσίᾳ τῇ μνήμῃ, οὐ προσεδέξατο, ἀλλὰ καὶ κατεδίκασεν. Ἡμεῖς δὲ τῇ τῶν ἁγίων Πατέρων διδασκαλίᾳ διὰ πάντων ἀκολουθοῦντες, καὶ τὴν τῶν δύο φύσεων ἕνωσιν, ἐξ ὧν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ εἷς τῆς ἁγίας Τριάδος, ὁ Θεὸς Λόγος σαρκωθεὶς συνετέθη, καὶ τὴν τούτων διαφορὰν οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν ἀνωτέρω σαφέστερον ἀπεδείξαμεν. Καὶ ἤρκει μὲν τὰ παρ' ἡμῶν εἰρημένα πληροφορῆσαι τοὺς μὴ βουλομένους φιλονεικεῖν· ἀλλ' ἐπειδὴ πρὸς ἀσέβειαν ἅπαξ ἐκκλίναντες καὶ ἑτέροις ἐπιχειροῦσιν, ἀναγκαίως ἡμεῖς καὶ τὰς τοιαύτας αὐτῶν προφάσεις ματαίας ἀποδείξομεν. Φασὶ γὰρ μὴ δεῖν ὑπὸ μέμψιν γενέσθαι τὴν ἀσεβῆ ἐπιστολὴν διὰ τὸ φέρεσθαι ἔν τισι βιβλίοις· ἀλλ' εἰ τοῦτό τις κατὰ τὴν αὐτῶν ἄνοιαν προσδέξεται, δεῖ καὶ Εὐτυχέα, καὶ Νεστόριον δέχεσθαι, ἐπειδὴ πολλὰ καὶ περὶ τούτων τοῖς ἐν τῇ συνόδῳ πεπραγμένοις ἐμφέρεται· ἀλλ' οὐδεὶς τῶν εὖ φρονούντων τοῖς παρ' αὐτῶν λεγομένοις προσέξει τὸν νοῦν· τὰ γὰρ περὶ τῶν αἱρετικῶν ἐν ταῖς συνόδοις προφερόμενα, καὶ μέρος τῶν ὑπομνημάτων γινόμενα, οὐκ ἐπὶ τῷ ἐλευθερωθῆναι, ἀλλ' εἰς ἔλεγχον αὐτῶν, καὶ ἐπὶ μείζονι κατακρίσει αὐτῶν τε καὶ τὰ ὅμοια αὐτοῖς φρονούντων παραλαμβάνεται· εἰ καὶ ὅτι τὰ τῆς ἀσεβοῦς ἐπιστολῆς φερόμενα ὑπομνήματα, ἔν τισι μὲν βιβλίοις, ὡς εἴρηται, ἐντέτακται, ἐν δὲ τοῖς αὐθεντικοῖς, ἐν οἷς ὑπέγραψαν οἱ ὁσιώτατοι ἐπίσκοποι, οὐδαμῶς εὕρηται. Πλὴν κἀκείνῳ

δεῖ προσέχειν τοὺς τὴν ἀλήθειαν ἐρευνῶντας, ὅτι πολλάκις τινὰ ἐν ταῖς συνόδοις παρά τινων ἐν αὐταῖς εὑρισκομένων λέγεται ἢ κατὰ προσπάθειαν, ἢ κατ' ἐναντίωσιν, ἢ κατ' ἄγνοιαν· οὐδεὶς δὲ προσέχει τοῖς κατὰ μέρος παρά τινων λεγομένοις, ἀλλὰ μόνοις τοῖς κατὰ κοινὴν συναίνεσιν παρὰ πάντων ὁριζομένοις· εἰ γὰρ κατ' ἐκείνους βουληθείη τις προσέχειν ταῖς τοιαύταις ἐναντιώσεσιν, ἑκάστη σύνοδος εὑρίσκεται ἑαυτὴν ἀνατρέπουσα. Διὰ ταῦτα τοίνυν ἔδει αὐτοὺς, εἴπερ ὀρθῶς ἐδέχοντο τὴν ἁγίαν σύνοδον, μὴ τοιαύτας αὐτῇ μέμψεις περιάπτειν, ἀλλὰ ἀκολουθῆσαι τοῖς διδασκάλοις τῆς καθολικῆς Ἐκκλησίας, καὶ μάλιστα τῷ ἐν ἁγίοις Ἀθανασίῳ, τῷ γενομένῳ τῆς Ἀλεξανδρέων Ἐκκλησίας ἐπισκόπῳ, καὶ πολλοὺς καὶ μεγάλους ἀγῶνας ἀναδεξαμένῳ ὑπὲρ τῆς ὀρθῆς τῶν Χριστιανῶν πίστεως κατὰ πάσης αἱρέσεως, καὶ μάλιστα τῶν ἀσεβεστάτων Ἀρειανῶν· τῶν γὰρ αὐτῶν Ἀρειανῶν πρὸς ἀπάτην τῶν λαῶν εἰς τὴν ἑαυτῶν μερίδα ἐπισπωμένων Διονύσιον, πρὸ πολλῶν ἐτῶν τοῦ ἐν ἁγίοις Ἀθανασίου τῆς Ἀλεξανδρέων γενόμενον ἐπίσκοπον, καὶ λεγόντων, ὡς καὶ αὐτὸς Διονύσιος τὰ ὅμοια αὐτοῖς ἐφρόνησεν, Ἀθανάσιος ὁ μέγας τῆς Ἐκκλησίας διδάσκαλος, πολλοῖς τρόποις ἐγγράφως ἀπέδειξε, τὴν ὀρθὴν πίστιν Διονύσιον ἐξ ἀρχῆς κηρῦξαι, καὶ μηδαμῶς ἐπικοινωνῆσαι τῇ τῶν Ἀρειανῶν ἀσεβείᾳ· οὗτοι δὲ τὰ τῶν αἱρετικῶν φρονοῦντες, τὴν οἰκείαν ἀσέβειαν ταύτῃ περιάπτειν σπουδάζουσιν. Ὁποῖον δέ ἐστι κατάκριμα, καὶ ποία ἐπίκειται ἀρὰ τοῖς εἰς Πατέρας ἁμαρτάνουσι, διδάσκει ἡμᾶς καὶ ἡ θεία Γραφή· εἰ γὰρ Χὰμ, ὁ υἱὸς τοῦ Νῶε, θεασάμενος γυμνὸν τὸν ἴδιον πατέρα, καὶ μὴ καλύψας τὴν τοῦ πατρὸς σωματικὴν γύμνωσιν, ἐξελθὼν ἀπήγγειλε ταύτην τοῖς ἀδελφοῖς, καὶ ἐκεῖνοι ἱματίῳ ταύτην περιεσκέπασαν, αὐτὸς δὲ Χὰμ, καὶ οἱ ἐξ αὐτοῦ γεννηθέντες ὑπὸ κατάραν γεγόνασιν, οἱ δὲ σκεπάσαντες εὐλογίας μεγάλης ἠξιώθησαν, πολλῷ μᾶλλον οὗτοι μείζονος καὶ ἔτι πλείονος κατακρίσεώς εἰσιν ἄξιοι, οἱ τὴν μηδαμῶς προσοῦσαν ἀτιμίαν τῇ συνόδῳ σπουδάζοντες διὰ τῆς ἀσεβείας τῆς ἐπιστολῆς, καὶ Θεοδώρου περιάπτειν αὐτῇ. Ἀλλ' οὐ διὰ τοῦτο ἡ ἀσεβὴς ἐπιστολὴ, ἢ οἱ ταύτης ἀντιποιούμενοι ἐκφεύξονται τὴν ἐπὶ τῇ αὐτῶν ἀσεβείᾳ κατάκρισιν·

ἀλλ' οὐδὲ Θεόδωρος ὁ Ἕλληνάς τε, καὶ Ἰουδαίους, καὶ πάντας αἱρετικοὺς τῇ ἀσεβείᾳ ὑπερβαλλόμενος· οὗτος γὰρ πρὸς ταῖς ἄλλαις αὐτοῦ βλασφημίαις, οὐκ ἠρκέσθη τῷ πρὸς τὴν ἰδίαν πλάνην παρερμηνεῦσαι τὸ σύμβολον τῶν τιη'. ἁγίων Πατέρων, ἀλλὰ καὶ περιφρονήσας τούτου, ἕτερον σύμβολον ἐξέθετο πάσης ἀσεβείας πεπληρωμένον, ἐν ᾧ ἀναθεματίσαι τοὺς ἑτέρως φρονοῦντας, ἢ παραδιδόντας ἐτόλμησεν, ὥστε ὅσον κατὰ τὴν ἐκείνου μανίαν πάντας τοὺς ἁγίους Ἀποστόλους, καὶ Πατέρας κατακεκρίσθαι. Τοῦτο δὲ τὸ ἀσεβὲς Θεοδώρου σύμβολον καὶ ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ προκομισθὲν, καὶ ἐν Χαλκηδόνι ἀναγνωσθὲν, ὑφ' ἑκατέρας συνόδου μετὰ τοῦ ἐκθεμένου καὶ τῶν δεξαμένων αὐτὸ κατεκρίθη. Ἐπειδὴ δέ τινες τὸν ὑπὲρ Θεοδώρου λόγον ποιούμενοι, προφερομένων τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων διὰ τὴν ἐνοῦσαν αὐτοῖς βλασφημίαν, προσποιοῦνται μὲν λέγειν, ὅτι ἀσεβῆ ταῦτα τυγχάνει, αὐτὸν δὲ τὸν τὴν τοιαύτην ἀσέβειαν ἐξεμέσαντα παραιτοῦνται ἀναθεματίζειν, θαυμάζομεν τὴν τούτων ἄνοιαν, ὅτι τῇ θείᾳ τολμῶσιν ἐναντιοῦσθαι Γραφῇ, φανερῶς λεγούσῃ, ὅτι Ἐν ἴσῳ μισητὰ Θεῷ καὶ ὁ ἀσεβῶν, καὶ ἡ ἀσέβεια αὐτοῦ· καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται(1). Εἰ δὲ ὁμοίως τῇ αὐτοῦ ἀσεβείᾳ μισητὸς Θεῷ καὶ ὁ ἀσεβῶν, πρόδηλον ὡς ὁ τοιοῦτος κεχώρισται τοῦ Θεοῦ, καὶ τῷ ἀναθέματι δικαίως ὑποβάλλεται· τὸ γὰρ ἀνάθεμα οὐδὲν ἕτερον σημαίνει, ἢ τὸν ἀπὸ τοῦ Θεοῦ χωρισμὸν, ὡς ἐν τῇ Παλαιᾷ καὶ τῇ Καινῇ Διαθήκῃ τὸ περὶ τοῦ ἀναθέματος κρίμα δηλοῖ. Ὅτι δὲ ὁ Κύριος τοὺς μὴ μένοντας ἐν τῷ τῆς ἀληθείας αὐτοῦ λόγῳ κεχωρισμένους εἶναι λέγει τῆς Ἐκκλησίας, ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ πρὸς τοὺς Ἰουδαίους διαλεγόμενος οὕτω φησί· Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας· ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ δὲ υἱὸς μένει εἰς τὸν αἰῶνα(2)· ὅτι δὲ τὴν παρὰ τοῦ Κυρίου ὠνομασμένην οἰκίαν, ἡ θεία Γραφὴ Ἐκκλησίαν Θεοῦ ζῶντος καλεῖ, ὁ Ἀπόστολος μαρτυρεῖ ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ ἐπιστολῇ(3). Εἰ δὲ λέγουσί τινες μὴ

(1) Σοφ. Σολ ΙΔ', 9, 10. — (2) Ἰω. Η', 34, 35. — (3) α'. Τιμόθ. Γ', 15.

δεῖν Θεόδωρον μετὰ θάνατον ἀναθεματίζεσθαι, ἴστωσαν οἱ τὸν τοιοῦτον αἱρετικὸν ἐκδικοῦντες, ὡς πᾶς αἱρετικὸς μέχρι τέλους τῇ οἰκείᾳ πλάνῃ ἐμμείνας δικαιότερον διηνεκεῖ ἀναθεματισμῷ καὶ μετὰ θάνατον ὑποβάλλεται· καὶ τοῦτο ἐπὶ πολλοῖς γέγονεν αἱρετικοῖς ἀρχαιοτέροις τε καὶ τοῖς ἐγγυτέρω, τοῦτ' ἔστι Βαλεντίνῳ, Βασιλείδῃ, Μαρκίωνι, Κηρίνθῳ, Μανιχαίῳ, Εὐνομίῳ, καὶ Βονόσῳ. Τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ Θεοδώρῳ γέγονε, καὶ ἐν ζωῇ κατηγορηθέντι, καὶ μετὰ θάνατον ἀναθεματισθέντι ὑπὸ τῶν ἁγίων Πατέρων· οἷς εἰ μὴ βούλονται πείθεσθαι ὡς αἱρετικοὶ οἱ τούτου ἀντιποιούμενοι, τῇ γοῦν παρ' αὐτῶν ἐκδικουμένῃ ἀσεβεῖ ἐπιστολῇ πιστευσάτωσαν, ἥτις, εἰ καὶ τὰ μάλιστα Θεόδωρον ἐκδικεῖ, ὅμως φανερῶς λέγει, ὅτι καὶ ἐπ' Ἐκκλησίας παρ' ἁγίων Πατέρων ἀνεθεματίσθη, καὶ ἐξ ἐκείνου πολλὴ ζήτησις γέγονε περὶ τῶν αὐτοῦ συγγραμμάτων, ὡς ἀσεβείας δηλονότι πεπληρωμένων· τοῦτο δὲ ἐποίουν τηνικαῦτα οἱ τῆς καθολικῆς Ἐκκλησίας διδάσκαλοι, ἐφ' ᾧ μὴ τοὺς ἁπλουστέρους ἐντυγχάνοντας τοῖς ἐκείνου ἀσεβέσι συγγράμμασι τῆς ὀρθῆς παρατρέπεσθαι πίστεως. Ὅτι δὲ οἱ ἀσεβεῖς, εἰ καὶ μὴ κατὰ πρόσωπον ἐν ζωῇ δέξονται ἀναθεματισμὸν, ὅμως καὶ μετὰ θάνατον ἀναθεματίζονται ὑπὸ τῆς καθολικῆς Ἐκκλησίας, δείκνυται ἐκ τῶν ἁγίων συνόδων· ἡ μὲν γὰρ ἐν Νικαίᾳ, τοὺς τὸ ἀσεβὲς Ἀρείου φρόνημα πρεσβεύοντας ἀνωνύμως ἀνεθεμάτισεν· ἡ δὲ ἐν Κωνσταντινουπόλει, τὴν Μακεδονίου ἀσεβεστάτην αἵρεσιν ὁμοίως ἀνεθεμάτισεν· ἀλλ' ὅμως ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία, καὶ μετὰ θάνατον Ἄρειον καὶ Μακεδόνιον ὀνομαστὶ ἀναθεματίζει. Ἐκ πολλῶν δὲ τῶν ἀποδείξεων ἐλεγχόμενοι, ὡς ἀσεβοῦσι διακενῆς οἱ Θεοδώρου καὶ τῆς ἀσεβείας αὐτοῦ ἀντιποιούμενοι, ἐφ' ἑτέραν ματαίαν πρόφασιν καταφεύγουσι, λέγοντες, μὴ δεῖν αὐτὸν ἀναθεματισθῆναι διὰ τὸ ἐν τῇ κοινωνίᾳ τῶν Ἐκκλησιῶν τετελευτηκέναι. Ἔδει δὲ αὐτοὺς εἰδέναι, ὡς ἐκεῖνοι τελευτῶσιν ἐν τῇ κοινωνίᾳ τῶν Ἐκκλησιῶν, οἱ τὸ κοινὸν τῆς εὐσεβείας δόγμα, τὸ ἐπὶ τῆς καθολικῆς Ἐκκλησίας κηρυττόμενον, μέχρι τέλους φυλάξαντες· οὗτος δὲ τῇ οἰκείᾳ ἐντελευτήσας ἀσεβείᾳ, ἀπὸ πάσης Ἐκκλησίας ἐξεβλήθη. Ἀμέλει τοι καὶ πᾶν τὸ πλήρωμα τῆς ἐν Μοψουεστίᾳ Ἐκκλησίας, ἐν ᾗ λέγεται ἐπίσκοπος γεγενῆσθαι, διὰ τὰς βλασφημίας, δι' ἅσπερ Ἕλλησί

τε, καὶ Ἰουδαίοις, καὶ Σαμαρείταις (1) παρὰ τῶν ἁγίων Πατέρων συνηριθμήθη, ἀπήλειψαν ἐξ ἐκείνου τῶν ἱερῶν τῆς Ἐκκλησίας διπτύχων τὴν τούτου προσηγορίαν, ὡς τὰ περὶ τούτου συστάντα κατὰ τὴν αὐτὴν πόλιν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας ὑπομνήματα δείκνυσι. Θαυμάζομεν τοίνυν τοὺς ἐκδικοῦντας Θεόδωρον, οἰκειουμένους αὐτόν τε καὶ τὴν αὐτοῦ ἀσέβειαν, ὅπου γε ἡ Ἐκκλησία, ἐν ᾗ γέγονεν ἐπίσκοπος, ὡς αἱρετικὸν ἐκ πολλῶν τῶν χρόνων αὐτὸν ἀπεβάλετο. Ὅτι δὲ ἐπὶ κατακρίσει οἰκείᾳ τὴν τοιαύτην προβάλλονται πρόφασιν οἱ Θεόδωρον ἐκδικοῦντες, ἔξεστι γνῶναι καὶ ἐξ αὐτοῦ τοῦ ἐπὶ Ἰούδα γενομένου φοβεροῦ κρίματος· ἐκεῖνος γὰρ νομίσας λανθάνειν τὸν τὰ κρυπτὰ τῶν ἀνθρώπων γιγνώσκοντα, ἐκοινώνησε τῶν μυστηρίων τοῖς Ἀποστόλοις· ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὤνησε καὶ ἡ μετὰ ὑποκρίσεως κοινωνία· ἀλλ' οὐδὲ καὶ τὸ μετὰ θάνατον αὐτοῦ δώδεκα ὀνομασθῆναι τοὺς μαθητὰς, ὥς φησιν Ἰωάννης ὁ Εὐαγγελιστὴς, λέγων, Θωμᾶς δὲ ὁ λεγόμενος Δίδυμος, εἷς τῶν δώδεκα, οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς (2), ἢ ἐξαίρει τὸν Ἰούδαν τῆς κατακρίσεως, ἢ συναριθμεῖσθαι ποιεῖ τοῖς Ἀποστόλοις· ἀμέλει τοι μετὰ τὴν τοῦ Κυρίου ἀνάληψιν οἱ Ἀπόστολοι δι' οἰκείας ψήφου τὸν αὐτὸν Ἰούδαν καὶ μετὰ θάνατον κατεδίκασαν, καὶ ἕτερον ἀντεισήγαγον(3). Ὅτι δὲ ματαίαν πρόφασιν προβάλλονται λέγοντες, μὴ δεῖν τοὺς τελευτῶντας αἱρετικοὺς ἀναθεματίζεσθαι, καὶ ἐξ αὐτῶν τῶν τοῦ Κυρίου ῥημάτων ἀποδείξομεν· τοὺς γὰρ ἀσεβεῖς καὶ ἔτι ζῶντας, νεκροὺς ὀνομάζει, λέγων· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς αὐτῶν νεκρούς(4)· ὥσπερ οὖν καὶ τοὺς δικαίους τελευτήσαντας, ζῶντας ἀποκαλεῖ· λέγει γὰρ περὶ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ὅτι ὁ Θεὸς οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων(5). Εἰ τοίνυν κατὰ τοὺς ἐκείνων λόγους οὐ χρὴ τοὺς αἱρετικοὺς τελευτῶντας ἀναθεματίζεσθαι, οὐδὲ ζῶντες αἱρετικοὶ ἀναθεματισθήσονται, οὓς νεκροὺς ὁ Κύριος ἀποκαλεῖ, διὰ τὸ ἀποκεχωρισμένους εἶναι αὐτοῦ τοῦ εἰπόντος· Ἐγώ εἰμι ἡ ζωή (6)· καὶ κατ' αὐτοὺς λοιπὸν οὔτε ζῶντες, οὔτε τελευτῶντες αἱρετικοὶ ἀναθεματισθή-

(1) Συλλ. Συν. Μηλίου ἐν περισελ. — Σοδομίταις, ἄλλοι. — (2) Ἰω. Κ', 24. — (3) Πράξ. Α', 25. — (4) Ματθ. Η', 22. — (5) Ματθ. ΚΒ', 32. — (6) Ἰω. ΙΑ', 25. ΙΔ', 6.

σονται· καὶ μάτην κατ' ἐκείνους ἡ ἀποςολικὴ διδασκαλία παραδέδωκεν ἀναθεματίζεσθαι τοὺς παραδιδόντας παρ' ὃ παρελάβομεν(1)· μάτην αἱ ἅγιαι σύνοδοι τοὺς αἱρετικοὺς κατέκριναν· μάτην καὶ οἱ ἄλλοι ἅγιοι Πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας τοὺς αἱρετικοὺς ἀνεθεμάτισαν· μέμψονται δὲ καὶ Ἱερεμίᾳ τῷ Προφήτῃ, λέγοντι· Ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς(2)· καὶ Δαυὶδ τῷ Προφήτῃ εἰπόντι· Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου(3)· καὶ συντόμως εἰπεῖν, πάσῃ τῇ θείᾳ Γραφῇ, πολλαχοῦ τὰς τοιαύτας κατακρίσεις ἐπαγούσῃ τοῖς ἀσεβέσιν. Εἰ δὲ οἱ ἀμελῶς ποιοῦντες τὰ ἔργα Κυρίου, καὶ ἁμαρτάνοντες περὶ τὰς αὐτοῦ ἐντολὰς, τοιαύταις κατακρίσεσιν ὑποβάλλονται, πόσῳ μᾶλλον Θεόδωρος ὁ ἀσεβὴς, ὁ τοιαῦτα κατ' αὐτοῦ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ βλασφημήσας, δικαιότερον κατακέκριται καὶ ἀναθεματίζεται; Καὶ ἤρκει μὲν ταῦτα πρὸς ταῖς παρατεθείσαις ἀνωτέρω τε καὶ ἐν ἑτέροις ἡμῶν λόγοις ἀποδείξεσι, περὶ τοῦ δεῖν καὶ μετὰ τελευτὴν τοὺς αἱρετικοὺς κατακρίνεσθαι, καταισχύνειν τοὺς Θεοδώρου μεταποιουμένους, καὶ παύειν τῆς τοιαύτης ἀσεβείας· διὰ δὲ τὸ ἐμφιλονείκως τοῖς αὐτοῖς ἐπιμένειν, τὸ πλέον ἐροῦμεν· ὅτι τινὲς τῶν συναχθέντων ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ συνόδῳ, καὶ ὑπογράψαντες τῷ ἐκτεθέντι παρ' αὐτῆς ὅρῳ, ἤτοι συμβόλῳ τῆς πίστεως, ἐπειδὴ μετὰ ταῦτα ἐναντία φρονήσαντες ἐφάνησαν, οἱ μὲν ζῶντες, οἱ δὲ μετὰ θάνατον ἀνεθεματίσθησαν παρὰ Δαμάσου τοῦ τῆς ὁσίας μνήμης πάπα τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῆς ἐν Σαρδικῇ οἰκουμενικῆς συνόδου, καθὰ μαρτυρεῖ ὁ ἐν ἁγίοις Ἀθανάσιος. Ἀλλὰ καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος, Δόμνον τὸν Ἀντιοχείας γενόμενον ἐπίσκοπον μετὰ θάνατον κατεδίκασε, τολμήσαντα μόνον γράψαι, δεῖν παρασιωπηθῆναι τὰ ιβ' κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου. Ἐπειδὴ δὲ οἱ Θεοδώρου ἀντιποιούμενοι αἱρετικοὶ, πάσης προτάσεως (4) καὶ ἐγχειρήσεως ἐκπεπτωκότες, ἐπεχείρησαν λέγειν πρὸς ἀπάτην τῶν ἀγνοούντων, ὡς ὁ τῆς ὁσίας μνήμης Κύριλλος ἔν τινι μέρει ἐπιστολῆς τοῦτον ἐπῄνεσεν, ἐκ πολλῶν ἀποδείκνυται, ὅτι οὐ συμβαίνει τὸ αὐτῶν

(1) Γαλ. Α', 8. — (2) Ἱερ. ΜΗ', 10. — (3) Ψαλμ. ΡΙΗ', 21. — (4) προφάσεως. Μύλιας ἐν περισελ.

ἐγχείρημα τοῖς εἰρημένοις παρὰ τοῦ ἐν ἁγίοις Κυρίλλου ἐν διαφόροις αὐτοῦ λόγοις κατὰ τοῦ δυσσεβοῦς Θεοδώρου, ἐν οἷς ἀσεβέστερον αὐτὸν πάντων τῶν ἄλλων αἱρετικῶν ἀποδείξας εἶναι, οὐκ ἐνεγκὼν τὸ πλῆθός τε, καὶ τὸ μέγεθος τῶν αὐτοῦ βλασφημιῶν τῶν εἰρημένων κατὰ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπεφθέγξατο οὕτως εἰπών· Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλείω σφόδρα, λέγει Κύριος· ὢ τῆς ἀποῤῥήτου σκαιότητος, ὢ γλώσσης λαλούσης ἀδικίαν κατὰ τοῦ Θεοῦ, καὶ τὸ κέρας αἰρούσης. Καὶ πάλιν· Ἐπίθες, ἄνθρωπε, τῇ σαυτοῦ γλώττῃ θύραν καὶ μοχλόν· παῦσαι τὸ κέρας εἰς ὕψος ἐπαίρων, καὶ λαλῶν ἀδικίαν κατὰ τοῦ Θεοῦ· μέχρι τίνος ἐπιπηδᾷς ἀνεξικακοῦντι Χριςῷ; εἰς νοῦν ἔχε τὸ γεγραμμένον παρὰ τοῦ θεσπεσίου Παύλου· »Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, »καὶ πλήττοντες αὐτῶν ἀσθενοῦσαν τὴν συνείδησιν, εἰς Χριστὸν »ἁμαρτάνετε(1)· καὶ ἵνα τι καὶ ἐκ προφητικῶν φθέγξωμαι βιβλίων, Ἐδικαιώθη Σόδομα ἐκ σοῦ(2)· νενίκηκας τὰς τῶν Ἑλλήνων ἀθυροςομίας, ἃς ἐποιήσαντο κατὰ Χριςοῦ, μωρίαν ἡγούμενοι τὸν ςαυρόν· οὐδὲν ὄντα διέδειξας τὰ τῆς Ἰουδαϊκῆς ἀπονοίας ἐγκλήματα. Τούτων τοίνυν οὕτως ἐπὶ καταχρίσει τοῦ ἀσεβοῦς Θεοδώρου ὑπὸ τοῦ ἐν ἁγίοις Κυρίλλου εἰρημένων, εἰ καὶ δοίη τις κατὰ τοὺς ἐκείνων λόγους τὸν ἐν ἁγίοις Κύριλλον εἰρηκέναι τι ὑπὲρ Θεοδώρου, οὐδὲ τοῦτο ἐξαιρεῖται αὐτὸν τῆς κατακρίσεως· εὑρίσκομεν γὰρ, ὡς πολλοὶ τῶν ἁγίων Πατέρων τινὰς τῶν αἱρετικῶν ἀπεδέξαντο, ὥσπερ καὶ ὁ ἐν ἁγίοις Δάμασος, καὶ Ἀθανάσιος, καὶ Βασίλειος Ἀπολλινάριον, καὶ Λέων δὲ ὁ τῆς ἁγίας μνήμης Εὐτυχέα· καὶ ὅμως ἐπειδὴ φανερὰ γέγονεν ἡ τούτων ἀσέβεια, οὐκ ἐξέφυγον διὰ τὴν τοιαύτην ἀποδοχὴν οἱ αἱρετικοὶ τὴν μετὰ ταῦτα εἰς οἰκεῖον πρόσωπον καὶ τὴν αὐτῶν ἀσέβειαν γενομένην κατάκρισίν τε, καὶ ἀναθεματισμόν. Τοσαύτη δέ ἐστιν ἡ μανία τῶν Θεόδωρον ἐκδικούντων, ὅτι τολμῶσι καταψεύδεσθαι καὶ Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Κωνσταντινουπόλεως, ὡς ἐπιστολὰς πρὸς αὐτὸν Θεόδωρον ἀποστειλάντων πεπληρωμένας ἐπαίνου, ὅπερ ψεύδους ἐστὶ μεστόν.

(1) ά. Κορ. Η', 12. — (2) Ἰεζεκ. Ις'.

Γρηγόριος μὲν γὰρ, ὅτε ὑπὲρ τῆς ἀληθείας ἐν Κωνσταντινουπόλει ἀγωνισάμενος, καὶ τοὺς λαοὺς ἀπὸ τῆς τῶν Ἀρειανῶν πλάνης εἰς τὴν ὀρθόδοξον πίστιν ἐπιστρέψας, εἰς τὴν οἰκείαν ἐπανῆλθε πατρίδα, τὰς παρὰ τῶν αἱρετικῶν κακούργως προφερομένας ἐπιστολὰς οὐ πρὸς Θεόδωρον τὸν Μοψουεστίας ἔγραψεν, ἀλλὰ πρὸς Θεόδωρον ἐπίσκοπον Τυάνων, ἥτις ἐστὶ τῆς δευτέρας Καππαδοκῶν μητρόπολις· τῆς δὲ αὐτῆς χώρας ἐστὶν ἡ Ναζιανζὸς, ἧς γέγονεν ἐπίσκοπος ὁ αὐτὸς ἐν ἁγίοις Γρηγόριος, καὶ Ἀριανζὸς τὸ χωρίον, ὅθεν ὥρμητο· τοῦτο γὰρ καὶ αὐταὶ σαφῶς δηλοῦσιν αἱ ἐπιστολαὶ, μεμνημέναι ἐθνῶν, καὶ συνόδων, καὶ τοῦ αὐτοῦ χωρίου Ἀριανζοῦ, καὶ ἑτέρων χωρίων τῆς αὐτῆς ἐπαρχίας, καὶ μηνῶν τῇ ἐπιχωρίῳ διαλέκτῳ Καππαδοκῶν ὠνομασμένων, καὶ Βοσπορίου ἐπισκόπου ὑπ' αὐτὸν τελοῦντος Κολωνίας τῆς πόλεως, καὶ ἑτέρων ἐπισκόπων, καὶ χωρεπισκόπων, καὶ μοναστηρίων ὑπὸ τὸν αὐτὸν τελούντων Θεόδωρον μνημονεύουσαι, ὧν καὶ μέχρι νῦν σώζεται τὰ αὐτὰ ὀνόματα. Ποία δὲ μετουσία Καππαδόκαις πρὸς τοὺς τῆς δευτέρας Κιλικίας ἢ τότε ἢ νῦν ὑπάρχει, διαμεμερισμένης τῆς τῶν ἐπαρχιῶν τούτων διοικήσεως; Ἢ ποίους ἐπισκόπους ὑφ' ἑαυτὸν ἔχειν ἠδύνατο ὁ Μοψουεστίας ἐπίσκοπος, αὐτὸς ὑπὸ τὸν τῆς αὐτῆς δευτέρας Κιλικίας μητροπολίτην τελῶν; Ἰωάννης δὲ ὁ Κωνσταντινουπόλεως ἔγραψεν ἐπιστολὴν πρὸς Θεόδωρον τὸν Μοψουεστίας, οὐκ ἐπαίνων δὲ, ἀλλὰ μέμψεων καὶ ἐπιτιμήσεων οὖσαν μεστὴν, ὡς ἐκπεσόντος αὐτοῦ τῆς θεοσεβείας· συνασκήσας γὰρ αὐτῷ τὸν μονήρη βίον ἐν ἑνὶ καὶ τῷ αὐτῷ μοναστηρίῳ, τῆς ἐκεῖσε συνδιαγωγῆς ἀναμιμνήσκει αὐτόν· καὶ ταῦτα μαρτυροῦσι Σωζόμενος, καὶ Ἡσύχιος, καὶ Σωκράτης, καὶ Θεοδώρητος, ὁ πολλοὺς ὑπὲρ Θεοδώρου λόγους τε καὶ ἐπαίνους ἐκτείνας. Εἰ δὲ προφέρουσι μαρτυρίας Ἰωάννου τοῦ Ἀντιοχείας, καὶ τῆς ὑπ' αὐτὸν ἀνατολικῆς συνόδου, ὑπὲρ Θεοδώρου, καὶ τῆς αὐτοῦ ἀσεβείας γενομένας, ἀνάγκη αὐτοὺς κἀκεῖνα δέξασθαι, ἅπερ ὅσον τό γε ἐπ' αὐτοῖς εἰς κατάκρισιν τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ ἀθέτησιν τῆς ὀρθῆς πίστεως οἱ περὶ Ἰωάννην ἐτόλμησαν, καὶ ἅπερ ἔγραψαν, Νεστόριον καὶ τὴν αὐτοῦ κακοδοξίαν ἐπὶ πλεῖστον χρόνον ἐκδικοῦντες· καὶ τοῦτο δείκνυται ἐκ διαφόρων αὐτῶν λόγων τε

καὶ ἐπιστολῶν πρὸς Θεοδόσιον τὸν τῆς εὐσεβοῦς λήξεως, καὶ ἑτέρους διαφόρους γραφεισῶν. Καὶ ταῦτα μὲν οὕτως. Ἵνα δὲ μηδὲν τῆς ἀκριβείας παραλείψωμεν, ἀναγκαῖον ἐνομίσαμεν μνησθῆναι καὶ τῶν γραφέντων παρὰ Αὐγουστίνου τοῦ τῆς ὁσίας μνήμης, ἐπισκόπου ἐν Ἀφρικῇ γενομένου. Ζητήσεως γάρ τινος περὶ Καικιλιανοῦ μετὰ θάνατον αὐτοῦ κινηθείσης, ὡς τῆς ἐκκλησιαστικῆς παρατραπέντος παραδόσεως, καί τινων τούτου χάριν χωρισάντων ἑαυτοὺς ἀπὸ τῆς καθολικῆς Ἐκκλησίας, γράφει πρὸς Βονιφάτιον ὁ αὐτὸς τῆς ὁσίας μνήμης Αὐγουστῖνος, ὡς οὐκ ἔδει τινὰς διὰ τοῦτο χωρίσαι ἑαυτοὺς τῆς καθολικῆς Ἐκκλησίας· εἰ γὰρ ἀληθῆ ὑπῆρχε τὰ ἐπαγόμενα Καικιλιανῷ, καὶ ἐφανερώθη ἐναντία φρονήσας τῆς καθολικῆς καταστάσεως, καὶ μετὰ θάνατον ἂν τοῦτον ἀναθέματι ὑπέβαλον. Ἀλλὰ καὶ κανὼν τῆς ἁγίας ἐν Ἀφρικῇ συνόδου διαγορεύει, τοὺς ἐπισκόπους, τοὺς τὴν οἰκείαν περιουσίαν ἢ ἐν διαθήκῃ, ἢ ἐξ ἀδιαθέτου αἱρετικῷ παραπέμποντας, χρῆναι καὶ μετὰ θάνατον ἀναθεματίζεσθαι. Πρὸς τούτοις δὲ ἅπασι, τίς ἀγνοεῖ τὰ ἐν τοῖς ἡμετέροις χρόνοις ἐν τῇ Ἐκκλησίᾳ τῆς πρεσβυτέρας Ῥώμης γενόμενα κατὰ Διοσκόρου, ὃς οὐδὲν περὶ πίστιν ἡμαρτηκὼς, διὰ μόνην ἐκκλησιαστικὴν κατάστασιν μετὰ θάνατον παρ' αὐτῆς τῆς κατὰ Ῥώμην ἁγιωτάτης Ἐκκλησίας ἀνεθεματίσθη; Εἰ τοίνυν οἱ μηδὲν εἰς πίστιν πταίσαντες ἐπίσκοποι, διὰ κατάστασιν ἐκκλησιαστικὴν, καὶ διὰ χρηματικὴν αἰτίαν, ἀναθέματι καὶ μετὰ θάνατον ὑποβάλλονται, πόσῳ μᾶλλον Θεόδωρος, ὁ εἰς αὐτὸν τὸν Θεὸν ἀσεβήσας; ὅσον δὲ πρὸς τὴν ἄνοιαν τῶν λεγόντων, μὴ δεῖν ἀναθεματίζεσθαι μετὰ θάνατον τοὺς ἐν τῇ οἰκείᾳ ἀσεβείᾳ τελευτῶντας, ἔδει μηδὲ τοὺς ἀδίκως κατακριθέντας Πατέρας μετὰ θάνατον ἀνακαλεῖσθαι, ὅπερ συμβέβηκε καὶ ἐπὶ Ἰωάννῃ τῷ ἐν ὁσίᾳ τῇ μνήμῃ ἐπισκόπῳ γενομένῳ Κωνσταντινουπόλεως, ὑπὸ τῆς καθολικῆς Ἐκκλησίας μετὰ θάνατον ἀνακληθέντι, καὶ ἐπὶ Φλαβιανῷ τῷ τῆς ὁσίας μνήμης, καὶ αὐτῷ Κωνσταντινουπόλεως γενομένῳ ἐπισκόπῳ, ἀδίκως μὲν ἐν ζωῇ κατακριθέντι, δικαίως δὲ μετὰ θάνατον ἀνακληθέντι ὑπό τε τοῦ τῆς ὁσίας μνήμης πάπα Λέοντος, καὶ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου. Ἐντεῦθεν δὲ συμβαίνει κατὰ τοὺς ἐκείνων λόγους, τοὺς μὲν αἱρετικοὺς

τοῖς ἁγίοις Πατράσι συναριθμεῖσθαι, οἷα ἐλευθέρους ἀφιεμένους τῆς ὀφειλομένης αὐτοῖς καταχρίσεως· τοὺς δὲ ἁγίους Πατέρας ἀδίκως καταδικασθέντας, τοῖς αἱρετικοῖς συνάπτεσθαι, οἷα μὴ λυομένης τῆς ἐπ' αὐτοῖς ἀδίκου κατακρίσεως. Ἀξιοπιστότερος δὲ πάντων ἐστὶ διδάσκαλος ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, περὶ ἑαυτοῦ λέγων· «Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν »κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ »πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· οὐ »γὰρ ἀπέςειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ »τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων »εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιςεύων εἰς αὐτὸν ἤδη κέκρι»ται, ὅτι μὴ πεπίςευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ »Θεοῦ(1). »Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον διὰ τοῦ Προφήτου Δαυὶδ λέγει, Τοὺς ἀσεβεῖς μὴ ἀναςήσεσθαι ἐν κρίσει(2). Τῆς οὖν τοιαύτης τοῦ Κυρίου ἀποφάσεως ἐξενεχθείσης κατὰ παντὸς ἀσεβοῦς, καὶ οὐδὲν διαστελλούσης μεταξὺ ζώντων καὶ νεκρῶν αἱρετικῶν, πῶς τολμῶσιν ἀντιπίπτειν τῇ τοιαύτῃ ἀποφάσει, καὶ τοὺς ἅπαξ ἀσεβήσαντας, καὶ διὰ τοῦτο ἤδη ὑπὸ τοῦ Κυρίου κατακεκριμένους λέγειν, μὴ δεῖν μετὰ θάνατον κατακρίνεσθαι; Καὶ ὁ θεῖος δὲ Ἀπόστολος τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, οὐ μόνον κατὰ ἀνθρώπων, ἀλλὰ καὶ κατὰ Ἀγγέλων τὴν τοιαύτην ἐπήγαγεν ἀπόφασιν, εἰπὼν ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Γαλάτας· »Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ Ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίση»ται ὑμᾶς παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Ὡς »προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω· εἴ τις ὑμᾶς εὐαγγελίζε»ται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔςω(3).» Καὶ τίς οὕτως ἀσεβὴς, ὡς τολμῆσαι εἰπεῖν, ὡς τὰ παρὰ Θεοδώρου ἀσεβῶς συγγραφέντα, ἢ μέρος αὐτῶν παρεδόθη ποτὲ τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἀλλ' οὐκ εὐθὺς ὁ τολμήσας τι τοιοῦτο παραφθέγξασθαι ἀναθέματι καθυπεβλήθη παρὰ τῶν ἁγίων Πατέρων;

Εἴ τις τοίνυν μετὰ τὴν τοιαύτην ὀρθὴν ὁμολογίαν, καὶ κατάκρισιν τῶν αἱρετικῶν, τῆς εὐσεβοῦς ἐννοίας σωζομένης περὶ ὀνομάτων, ἢ συλλαβῶν, ἢ λέξεων ζυγομαχῶν, χωρίζει ἑαυτὸν τῆς

(1) Ἰω. Γ', 16. — (2) Ψαλμ. Α', 5. — (3) Γαλ. Α, 8. 9.

ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, ὥσπερ ἐν ὀνόμασι μόνοις καὶ λέξεσι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγμασιν, ὁ τοιοῦτος, ὡς τοῖς σχίσμασι χαίρων, λόγον ὑφέξει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν ὑπ' αὐτοῦ ἀπατωμένων, ἢ ἀπατηθησομένων τῷ μεγάλῳ Θεῷ καὶ Σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ ἐν ἡμέρᾳ κρίσεως· Ἀμήν.

Β'. ΕΚ ΤΗΣ ΔΙΑΤΑΞΕΩΣ,

Ἐκτεθείσης ὑπὲρ τῶν προσφύγων τῆς μεγάλης Ἐκκλησίας, καὶ τῶν ἁπανταχοῦ τῆς οἰκουμένης θείων Ἐκκλησιῶν.

ΕΙ ΤΙΣ τῶν ἐκ Θεοῦ τετιμημένων τῇ μεγάλῃ τῆς ἀρχιερωσύνης τιμῇ προδῷ τινα τῶν προσφυγόντων τῇ κατ' αὐτὸν Ἐκκλησίᾳ, κἂν τῶν ἀλλοτρίων ἐστὶν, ἢ αὐτὸς δι' ἑαυτοῦ προδήλως, ἢ τῇ τούτου ὑποβολῇ ἄλλος ἀντ' αὐτοῦ, ὁ τοιοῦτος, οἷος ἂν καὶ εἴη, κακώσεσιν ὑποβαλλέσθω, αἷς καὶ ὁ πρόσφυξ ὑπεβλήθη παρὰ τοῦ λαβόντος αὐτὸν, τῆς ἰδίας πρότερον στερούμενος ἀρχιερωσύνης. Καὶ εἴ τις δὲ τῶν μεγάλα δυναμένων, καὶ ἀρχικὴν ὑπενδυομένων ἐξουσίαν, τολμήσειεν ἀποσπάσαι βίᾳ ἀπὸ τῆς ἀρχιερατικῆς χειρὸς τὸν αὐτῆς πρόσφυγα, καὶ τῶν ἀδύτων ἐξελκῦσαι τῆς Ἐκκλησίας, ἐν ᾗ προσέφυγεν ὁ αὐτὸς, δι' ἑαυτοῦ, ἢ διὰ τοῦ ὑπὸ χεῖρα, καὶ οὗτος τὴν ζώνην τῆς ἰδίας ἀρχῆς ἀφαιρούμενος καὶ μαστιγούσθω, καὶ κακούσθω, καὶ δημευέσθω πᾶσα ἡ οὐσία αὐτοῦ· οὐ γὰρ ἀνεχόμεθα τοιοῦτόν τι κατατολμᾶσθαι τὸ σύνολον ἐν πάσῃ τῇ ὑπὸ Ῥωμαίους ἀρχῇ, καὶ τῇ χριστιανικωτάτῃ καταστάσει· τοῦτο γὰρ τῶν ἐθνικῶν μόνον ἐστὶ, καὶ τῶν ἔξω νόμου ὄντων, καὶ μηδὲ τὴν οἰκείαν φύσιν αἰδουμένων· ἀλλὰ καὶ αὐτῶν δὴ τῶν αἱμοβόρων θηρίων θηριωδεστέρων πάντως καὶ ἀτιθασσοτέρων τυγχανόντων, καὶ χαιρόντων καταφαγεῖν τὸ ὁμόφυλον σῶμα τῆς θείας διαπλάσεως, καὶ βεβηλοτέρων ἀποδεικνυμένων καὶ αὐτοῦ δὴ τοῦ μισητοῦ Ἰούδα, τοῦ προδότου καὶ βδελυκτοῦ.

Γ'. ΙΣΟΝ ΤΟΥ ΠΡΩΤΟΤΥΠΟΥ ΧΡΥΣΟΒΟΥΛΛΟΥ

Τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ, περὶ τῶν ἐπαρχιῶν, καὶ προνομίων τῆς ἀρχιεπισκοπῆς Ἀχριδῶν (1). *(Μετεγράφη ἐν Κωνσταντινουπόλει αψιή, Ὀκτωβρίου κζ'. ἀντεγράφη δὲ αὖθις καὶ κατὰ τὸ αψξζ', Φεβρουαρίου δ', καθ' ὃν καιρὸν ὑπετάχθη ἡ ἀρχιεπισκοπὴ αὕτη τῷ οἰκουμενικῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ.)*

Αὐτοκράτωρ, Καῖσαρ, Φλάβιος Ἰουστινιανὸς, Ἀλαμανικὸς, Γοτθικὸς, Φραγκικὸς, Γερμανικὸς, Ἀντικὸς, Ἀλανικὸς, Βανδαλικὸς, Ἀφρικανὸς, εὐσεβὴς, εὐτυχὴς, περίκλυτος, νικητὴς, θριαμβευτὴς, πατὴρ πατρίδος, ἀειαύγουστος, εἰς ἀΐδιον τοῦ πράγματος μνήμην, Τῷ μακαριωτάτῳ ἀνδρὶ καὶ πατρὶ Κατηλιανῷ, ἀρχιεπισκόπῳ ἡμετέρῳ, σωτηρίαν.

ΠΟΛΛΟΙΣ καὶ διαφόροις αὐξάνεσθαι τρόποις τὴν ἡμετέραν πατρίδα ἐπιποθοῦντες, ἥν περ ὁ Θεὸς ἡμῖν δέδωκε πρώτην ἐν τῷ κόσμῳ, ὅν τινα αὐτὸς ἐδημιούργησε, καὶ περὶ τὴν τῆς ἱερωσύνης ἀξίαν βουλόμεθα πολλαῖς αὐτὴν τιμαῖς περισσευθῆναι, ὅπως ὁ τῆς κατὰ καιρὸν ἡμετέρας πατρίδος πρώτης Ἰουστινιανῆς ἱερώτατος ἐπίσκοπος, ὁ τὴν τοῦ θρόνου καθέδραν διαδεχθησόμενος, οὐ μόνον μητροπολίτης, ἀλλά γε καὶ ἀρχιεπίσκοπος, καὶ ὑπέρτατος ἀρχιερεὺς ὀνομαζέσθω, τιμάσθω, καὶ γνωριζέσθω ἐν πᾶσι· τοίνυν ἐπὶ βεβαιώσει αὐτοκρατορικῇ ἡμετέρᾳ αἱ περιεχόμεναι τῆς αὐτῆς γῆς ἐπαρχίαι ὑπὸ τὴν αὐτοῦ

(1) Τὸ ἀνωτέρω Χρυσόβουλλον, ἐν ᾧ περιέχεται ἡ ΙΑ'. Νεαρὰ τοῦ Ἰουστινιανοῦ, ἐξελέγχεται ὑποβολιμαῖον ἔκ τε τῶν λοιπῶν αὐτοῦ μερῶν, καὶ τῆς ἐν τέλει χρονολογίας, ἔργον μᾶλλον φαινόμενον τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος. Ἐξεδώκαμεν δὲ αὐτὸ ὡς περιέχον ἀρχαίαν Ἑλληνικὴν μετάφρασιν τῆς ἐν τῇ συλλογῇ τῶν Ἰουστινιανείων Νεαρῶν λατινιστὶ μόνον σωζομένης ΙΑ'. Νεαρᾶς, καὶ ὡς ἀνέκαθεν παρὰ τῇ Ἀρχιεπισκοπῇ Ἀχριδῶν φυλαττόμενον, τῇ ἀπὸ τοῦ δεκάτου αἰῶνος ἐξασκησάσῃ τὰ τῇ Πρώτῃ Ἰουστινιανῇ ὑπὸ τοῦ μνησθέντος Αὐτοκράτορος ἀπονεμηθέντα προνόμια. — Βλέπε καὶ τὴν ΡΛΑ'. Νεαρὰν τοῦ Ἰουστινιανοῦ, καὶ τὴν κατωτέρω τοῦ βασιλέως Βασιλείου τοῦ Βουλγαροκτόνου, περὶ τῆς αὐτῆς Ἀρχιεπισκοπῆς πραγματευομένην. Παράβαλε δὲ καὶ Μελετ. Ἐκκλ. Ἱστορ. Τόμ. Β'. σελ. 68, καὶ Νικηφ. Γρηγορᾶ Ῥωμ. Ἱστορ. Λόγ. Β'. Κεφ. 6'.

ἔστωσαν ἐξουσίαν· δηλονότι τοσοῦτόν γε ἡ Μεσόγειος Δακία, ὅσον γε καὶ ἡ Ὄχθειος Δακία, ἡ δευτέρα Μυσία, ἡ Δαρδανία, ἥ τε Πρεβαλιτάνα ἐπαρχία, σύν τε τῇ Μακεδονίᾳ, ἡ ἀνωτέρα Ἀλβανία, καὶ ἡ Θεσσαλία, ἡ Ἤπειρος, καὶ ἡ Λειβαδία, ἥ τε νῆσος Εὔριπος ἐπικαλουμένη, τό,τε μέρος τῆς δευτέρας Παννονίας, ἥτις ἐστὶ πόλις τῆς Βατζίας. Ἐπείπερ ἐν τοῖς τότε καιροῖς συνισταμένη ἦν ἡ ἐπαρχία τοῦ Φιρμίου, ἔνθα ἐθριάμβευεν ἅπαν τὸ Ἰλλυρικὸν μεγαλεῖον ἐν τοῖς πολιτικοῖς, καὶ ἐπισκοπικοῖς πράγμασι· μετὰ ταῦτα δ' ὅμως ἐν τοῖς τοῦ Ἀτίλα χρόνοις τῶν ἐκείνων μερῶν καταπεπορθημένων πάντων, ὁ τοῦ πραιτωρίου ἔπαρχος τῆς Φιρμιανῆς πόλεως Ἀπέννιος φυγὰς ᾤχετο εἰς Θετταλίαν, καὶ ἡ ἐπαρχία αὕτη ἠκολούθησε τῷ ἱερῷ ἀξιώματι, ὁ Θεσσαλονίκης ἐπίσκοπος οὐκ ἰδίᾳ ἐξουσίᾳ, ἀλλ' ὑπὸ τὴν σκιὰν τῆς ἡγεμονίας προνομίων τινῶν ἠξιώθη. Μεσιτευούσης τοίνυν τῆς θείας προνοίας οὑτωσὶ, ἡ ἡμετέρα βασιλεία ηὐξήνθη, καὶ διεπλατύνθη τῶν τοῦ ἑκατέρωθεν Δανουβίου ἀκτῶν, καὶ τό γε νῦν ἔχον σὺν ταῖς ἡμετέραις πόλεσι κοινωνίαν πρὸς ἀλλήλας ποιοῦσι τό,τε Βιμινάκιον, τὸ Ῥεκόδιον, καὶ τὸ Λιτεράτον, ἅτινα πέραν τοῦ Δανουβίου εἰσὶν, ὑπὸ τὴν ἡμετέραν δ' αὖθις ἐξουσίαν ἐγένοντο οὑτωσὶ, ἀναγκαῖον ἡγησάμεθα τηλικαύτην περίφημον ἐπαρχίαν, ἥτις ἐν τῇ Παννονίᾳ ἦν, τῇ ἡμετέρᾳ εὐτυχεστάτῃ πατρίδι συντιθέναι καὶ συναρμοσθῆναι· οὐ γὰρ πολὺ διΐσταται τῆς Μεσογαίας Δακίας ἡ δευτέρα Παννονία, πολλῷ δὲ τῷ μέτρῳ διΐσταται τῆς δευτέρας Παννονίας ἡ Μακεδονία. Καὶ ἐπεὶ ἄνθρωποι πολεμικοῖς ἀεὶ ἱδρῶσιν ἀμφισβητοῦντες ἥκιστα λυσιτελούμενον ἦν τῇ βασιλείᾳ μου εἰς Μακεδονίαν μετὰ τοσοῦτον διάστημα καὶ τοσαύτας δυσχερείας ἀπελθεῖν, τούτων ἕνεκα ἀναγκαῖον ἔδοξεν ἡμῖν ἐν τοῖς ἀνωτέρω μέρεσιν αὐτὴν ἀφελκῦσαι, ἵνα κατὰ τὴν κατασταθεῖσαν ἐκείνην ἐπαρχίαν ῥᾷον ἐπιγνώσωνται τὴν ἑαυτῆς τε θεραπείαν. Διὸ ἡ μακαριότης σου, καὶ πάντες οἱ τῆς προειρημένης πρώτης Ἰουστινιανῆς ἱερώτατοι ἐπιστάται ἀρχιεπίσκοποι ἐχέτωσαν προτέρημα καὶ προνόμιον, καὶ πᾶσαν τελείαν ἄδειαν, δύναμίν τε, καὶ ἐξουσίαν, ἥν τινα ἐπιχορηγοῦμεν σοί τε, καὶ τοῖς διαδόχοις σου, χειροτονεῖν,

καὶ προστάττειν ἐν πάσαις ταῖς προλεχθείσαις ἐπαρχίαις, πόλεσί τε, καὶ τόποις, ἔχειν τε κρατίστην καὶ ὑπερτάτην ἐξουσίαν, ἄκραν ἀρχιερωσύνην, μεγίστην μεγαλοπρέπειαν, καὶ παρὰ σοῦ ἐπιψηφίζεσθαι πάντας, καὶ σὲ μόνον ἀρχιεπίσκοπον, δεσπότην, καὶ κύριον ἐχέτωσαν, οὐδεμιᾶς κοινωνίας ἐξ ἐναντίας φυλαττομένης τοῦ χειροτονεῖν ἐκείνους τῷ τῆς Θεσσαλονίκης ἐπισκόπῳ· ἀλλὰ σὺ αὐτὸς μόνος, καὶ πάντες οἱ τῆς πρώτης Ἰουστινιανῆς μέγιστοι ἀρχιερεῖς διάδοχοί σου ἔστωσαν ἐκείνου κριταὶ καὶ διαγνώμονες εἰς πᾶσαν διαφορὰν, διχόνοιάν τε, καὶ διαλλαγὴν τῆς αὐτῆς ἐπαρχίας· μηδὲ ἔχειν ἐκείνους οὐδεμίαν ἄδειαν ὑφ᾽ ἑτέρου κρίνεσθαι, ἀλλ᾽ ὑπὸ σὲ μόνον τὸν γνήσιον ἀρχιεπίσκοπον αὐτοδέσποτόν τε, καὶ αὐτοκύριον πᾶσαι αἱ προειρημέναι χῶραι, πόλεις, καὶ τόποι, καὶ ἐπαρχίαι προσεπιγινωσκέτωσαν· προσέτι οἱ παρὰ σοῦ, ἢ διὰ τῆς σῆς ἀδείας καὶ ἐξουσίας ἀποστελλόμενοι κληρικοὶ, ἐχέτωσαν πᾶσαν ἐξουσίαν, καὶ ἐκκλησιαστικὴν τιμήν. Ἀλλὰ καὶ ἐν Ἀκβῇ, ἥτις ἐστὶν ἐπαρχία τῆς Ὀχθείου Δακίας, ὁρίζομεν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς χειροτονεῖσθαι τὸν αὐτῆς ἐπίσκοπον παρὰ τῆς σῆς ἁγιότητος, καὶ μηδόλως ὑποκεῖσθαι τῷ τῆς Μεσημβρίας ἐπισκόπῳ· ὁ δὲ τῆς Μεσημβρίας ἐπίσκοπος διαμενέτω ἐν τῇ Μεσημβρίᾳ, καὶ μηδόλως κοινωνείτω τῷ τῆς Ἀκβῆς ἐπισκόπῳ· ὁ δὲ τῆς Ἀκβῆς ἐπίσκοπος ἐχέτω τὴν προῤῥηθεῖσαν ἐπαρχίαν, καὶ πάντα τὰ τῆς αὐτῆς κάστρα, περιοχάς τε, καὶ Ἐκκλησίας, ὅπως δυνήσηται δαμάσαι, ὑποτάξαι τε, καὶ ἐξελάσαι πάντας τοὺς τῆς Βονοσιακῆς αἱρέσεως, ἢ ἐπιστρέψαι αὐτοὺς πρὸς τὴν ὀρθόδοξον πίστιν. Ἔξοχον δὲ μᾶλλον τὸ κράτος τῆς βασιλείας μου ἐν κοσμικοῖς τιμὴν, καὶ ἀξίαν ὑπερτέραν τῇ σῇ μακαριότητι χαρίζομεν, κράντορά τε, καὶ δυνάστην τῆς ἱερᾶς ἀμφοτέρας ἡμετέρας ῥωμαϊκῆς βασιλείας καταστήνομεν καὶ ὀνομάζομεν, τοῦ τε ἱεροῦ ἡμετέρου παλατίου κόμητα, προστάττοντες εἰς τὸ διηνεκὲς ὅπως μετὰ μεγίστης δυνάμεως καὶ ἰσχύος ἐνεργεῖν σε πᾶσαν κοσμικὴν ἐξουσίαν ἐν ὅλῃ τῇ προωρισμένῃ περιοχῇ, τόποις, καὶ ἐπαρχίαις τοῦ προβιβάζειν εἰς τιμὴν καὶ ἀξίαν, καὶ ποιεῖν κόμητας, ἱππεῖς, πατρικίους, εὐγενεῖς, νομικοὺς, ῥήτορας, νομοδικαστὰς μετὰ δίκης

ῥομφαίας, τουτέστι κρίνειν, καὶ ἀνακρίνειν, καὶ κατακρίνειν εἰς ζωὴν, καὶ εἰς θάνατον· προσέτι καὶ μετὰ δικαιώματος νομίσματα τοῦ τυποῦν καὶ χαρακτηρίζειν χρυσᾶ καὶ ἀργυρᾶ κέρματα, σὺν τῷ καταλλήλῳ καὶ ἁρμοδίῳ τίτουλῳ, προσέτι καὶ ἁρμοζόντως κράντορι, καὶ ἐν μεγίστῃ ἀρχιερατικῇ ἀξίᾳ ἀνευφημοῦμέν σε, διορίζομεν, καθίστημεν, καὶ προβιβάζομεν, ἵνα ἐν ταῖς χειρογράφοις ἐπιστολαῖς, γράμμασί τε, ὁρισμοῖς, καὶ βούλλαις ἀξιούσθωσαν πάντες οἱ προϊστάμενοι τῆς ἡμετέρας πατρίδος Ἰουστινιανῆς ἀρχιεπίσκοποι πάντων τῶν προνομίων, ὡς κράντορες τῆς βασιλείας μου, καὶ ὀνομαζέσθωσαν γαληνότατοι, μηδενὶ ὑποκείμενοι, ἢ ὑποτασσόμενοι, ὡς αὐτοδέσποτοι καὶ αὐτεξούσιοι κύριοι. Προσέτι ὁρίζομεν, καὶ προστάττομεν, ἵνα σύ τε, καὶ οἱ προϊστάμενοι τῆς ἡμετέρας πατρίδος τῆς πρώτης Ἰουστινιανῆς ἀρχιεπίσκοποι ἰσομοιούσθωσαν τοῖς τε τῇ ἡμετέρᾳ βασιλείᾳ ὑποκειμένοις ῥήγεσι, καὶ κράντορσι· καὶ εἰσέτι κοσμοῦμεν ὑμᾶς, καὶ δωρούμεθα ὑμῖν ἐσθῆτα πορφυρᾶν ὁλοσηρικὴν, χιτῶνα λευκὸν, καὶ ἀρχιερατικὸν κάνμαυρον ὁμοίως ἐρυθρὸν ὁλοσηρικὸν σὺν λευκοῖς σανδαλίοις· κραντορικὴν μίτραν σὺν χρυσῷ βασιλικῷ στέμματι, ὅπως ἐν πάσαις ἐκκλησιαστικαῖς καὶ πολιτικαῖς κοιναῖς παῤῥησίαις δύνησθε χρῆσθαι τούτοις, καὶ πᾶσι τοῖς λοιποῖς προνομίοις, μεγαλείοις τε, δόξαις τε, καὶ τιμαῖς πρεπούσαις ῥήγεσι, καὶ κράντορσι· καὶ συνελόντι εἰπεῖν, καθάπερ οὗτοί γε χρῶνται πᾶσι, χαίρουσί τε, καὶ ἀπολαύουσιν, οὑτωσὶ καὶ ἡ σὴ μακαριότης, καὶ οἱ μετὰ σὲ διάδοχοί σου, προστάττομεν χρῆσθαι πᾶσι διηνεκῶς, χαίρειν τε, καὶ ἀπολαύειν. Ἕνεκα τούτου, μακαριώτατε Πάτερ, ἵνα ἐπιγνωσθῇ ἐν πάσῃ τῇ οἰκουμένῃ ἡ ἐκ τῆς θείας νεύσεως πρὸς ὑμᾶς ἡμετέρα ἀγάπη, διὰ τοῦτο τὸν παρόντα νόμον πρὸς τὸν σὸν πανυπέρροχον θρόνον ἀπεστάλκαμεν, καὶ εἰς τὸ διηνεκὲς τοιοῦτον δώρημα, προνόμιόν τε, καὶ μεγαλεῖον ἐχέτω ἡ τῆς ἡμετέρας πατρίδος Ἐκκλησία, ἐπικυρούμενον, καὶ ἐπιβεβαιούμενον, ἥν τινα καὶ ῥωμαϊκὴν ἐπονομάζομεν εἰς δόξαν τοῦ ἁγίου Θεοῦ, καὶ εἰς μνήμην ἀθάνατον τοῦ ἡμετέρου ὀνόματος. Ὅταν δ' ὅμως ὁ προϊστάμενος τοῦ θρόνου τούτου ἀρχιεπίσκοπος ἐκ τῆς παρούσης ζωῆς μετατεθήσεται, τὸν γενησόμενον ἀρχιεπίσκοπον, ψήφοις κανονικαῖς, καὶ ἐκλογῇ νο-

μίμῳ ἐκλέγεσθαι, καὶ ψηφίζεσθαι παρὰ τῆς ἱερᾶς συνόδου μητροπολιτῶν τε, ἐπισκόπων τοῦ σοῦ κλίματος, ἀρχιμανδριτῶν, ἡγουμένων, καὶ πάσης τῆς συγκλήτου, καὶ τοῦ πρεσβυτερείου, ἄνευ τοῦ τῆς Θεσσαλονίκης ἐπισκόπου, διορίζομεν, καὶ προστάττομεν. Τούτου δὲ γενομένου, ὁ νεοχειροτονηθεὶς, ἢ προβιβασθεὶς ἀρχιεπίσκοπος καὶ κράντωρ ὀφείλει ἀναντιῤῥήτως πέμψαι τὸν ἑαυτοῦ λεγάτον μετὰ πρεπούσης πομπῆς πρὸς τὴν βασιλείαν μου, καὶ μετ' ἐμὲ εἰς τοὺς αὐτοκράτορας διαδόχους μου, ἐπὶ τῷ παραλαβεῖν τὰς βασιλικὰς βούλλας, τὰ σημεῖα, καὶ σύμβολα, καὶ τὸ κραντορικὸν στέμμα εἰς βεβαίωσιν καὶ ἀσφάλειαν τῆς ἑαυτοῦ ἐξουσίας, ἵνα δεσπόζῃ, κυριεύῃ, καὶ ἐξουσιάζῃ ἐν ταῖς προειρημέναις πόλεσί τε, τόποις, καὶ ἐπαρχίαις, ἐν πᾶσι τοῖς ἐκκλησιαστικοῖς καὶ πολιτικοῖς πράγμασιν. Ἐπὶ τούτοις δὲ πᾶσιν ὁρίζομεν, δίδοντές σοι ἄδειαν χρῆσθαι σφραγίδι, ὅν τινα τρόπον τανῦν περιγράφεταί σοι· δηλονότι σκοῦδον κεχωρισμένον ἐν ἑπτὰ μέρεσιν, ἤτοι τὸ ἐν μέσῳ σκοῦδον χρυσὸν, καὶ ἐν αὐτῷ ἔχον τὸν δικέφαλον μέλανα ἀετὸν, σημαίνοντα τὸ βασιλικὸν ἔμβλημα, στεφανωμένον ταῖς δυσὶ κεφαλαῖς αὐτοῦ μετὰ πορφυροῦ βασιλικοῦ διαδήματος· τὰ δὲ ἀνώτερα δύο μέρη, ἐν τῷ δεξιῷ, ὅπερ σημαίνει τὸ κράτος τῆς ἀμφοτέρας Δακίας, πεδίον ἐρυθρὸν, καὶ ἐν αὐτῷ πῦργον· ἐν τῷ ἀριστερῷ, πεδίον κυάνειον, καὶ ἐν αὐτῷ χρυσὸς διπλὸς σταυρὸς, σημαίνων τὴν δευτέραν Παννονίαν· καὶ αὖθις ἐν τῷ δεξιῷ μέρει, πεδίον κυάνειον, καὶ ἐν αὐτῷ βάρεις τρεῖς ἑκατέρωθεν λευκὰς, ἡ δὲ μεσαία χρυσῆ, σημαινούσας τὴν ἀνωτέραν Ἀλβανίαν· καὶ ἔτι ἐν τῷ ἀριστερῷ, πεδίον ἐρυθρὸν, καὶ ἐν αὐτῷ σχῆμα αἰγὸς, σημαῖνον τὴν Μακεδονίαν· καὶ πάλιν ἐν τῷ δεξιῷ μέρει, πεδίον λευκὸν ἔχον λέοντα, σημαίνοντα τὴν Ἤπειρον· ἔν τε τῷ ἀριστερῷ, πεδίον πράσινον, καὶ ἐν αὐτῷ χεῖρες δύο βαστάζουσαι χρυσοῦν στέμμα μετὰ μαργαριταρίων ἑπτὰ, σημαίνουσαι τὴν Θετταλίαν· ἐπὶ πάντων δὲ, σταυρὸν τρίμορφον, ἐν μὲν τῷ δεξιῷ μέρει ῥομφαία, σημαίνουσα τὸ κράτος, καὶ πᾶσαν κοσμικὴν πολιτικὴν ἐξουσίαν, ἐν δὲ τῷ ἀριστερῷ ἡ ποιμαντικὴ ῥάβδος, σημαίνουσα τὴν ἐκκλησιαστικὴν ἐξουσίαν· ὁ δὲ σταυρὸς περικαλύπτεται μετὰ κραντορικοῦ διαδήματος, καὶ ἐπ' αὐτῷ πέτασος κόκκινος σὺν

κροσσωτοῖς χρυσοῖς, ᾧ περ ἐπικαλύπτεταί σου ἡ κεφαλὴ, ἀπερχόμενος παῤῥησιαστικῶς ἐν τῇ Ἐκκλησίᾳ.

Τούτων δὲ πάντων τετελειωμένων, ὁρίζομεν τὸν τοῦ θρόνου τούτου ἀρχιεπίσκοπον καὶ κράντορα τῆς ἡμετέρας πατρίδος πρώτης Ἰουστινιανῆς, καὶ τὸν διάδοχον αὐτοῦ, εἰ ἔκ τινος περιστάσεως συμβῇ περιπεσεῖν ἐλαττώματί τινι αἱρέσεως, ἢ ἀποστάσεως, ἢ παραβάσεως, καὶ παραλύσεως τῶν θείων καὶ ἱερῶν νόμων, καὶ δογμάτων τῆς καθολικῆς ἀποστολικῆς Ἐκκλησίας, τὸν τοιοῦτον ὀφείλειν κρίνεσθαι, ἀνακρίνεσθαί τε, καὶ κατακρίνεσθαι παρὰ τοῦ ἁγιωτάτου ἀποστολικοῦ οἰκουμενικοῦ θρόνου τῆς νέας Ῥώμης ἐν Βυζαντίῳ ἀναντιῤῥήτως. Τοίνυν ἡ σὴ μακαριότης ποιησάτω ταχύτερον κατὰ πάντα τρόπον ἐνεργηθῆναι· ἅπαντα τὰ προσταττόμενά σοί, καὶ περιεχόμενα ἐν τῷ παρόντι ἱερῷ ἡμετέρῳ διπλώματι ἄνευ τινὸς προφάσεως καὶ ἀντιλογίας ἐξ ἀποφάσεως.

Ἐδόθη ἐν Βυζαντίῳ, ἐν ἔτει φξς΄.

Ἐν μηνὶ Αὐγούστῳ, Ἰνδικτιῶνος ιδ΄.

Ὁ Βελισάριος περιφανὴς δοὺξ, καὶ ὕπατος.

ΗΡΑΚΛΕΙΟΥ (1).

Α'. ΝΟΜΟΣ ΒΕΒΑΙΩΝ ΤΟΙΣ ΟΣΙΩΤΑΤΟΙΣ

Ἐπισκόποις, καὶ τοῖς θεοφιλεστάτοις κληρικοῖς, καὶ μονάζουσι, τὰ παρὰ τῶν προβεβασιλευκότων αὐτοῖς δεδωρημένα προνόμια, περὶ τοῦ πῶς δεῖ ἐνάγεσθαι χρηματικῶς τε καὶ ἐγκληματικῶς, προστιθεὶς ἐκ καινῆς, ὥστε μηδεμίαν πάροδον κατ' αὐτῶν ἔχειν πολιτικοὺς ἢ στρατιωτικοὺς ἄρχοντας.

ΕΝ ὀνόματι τοῦ Δεσπότου Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ ἡμῶν. Ἡράκλειος καὶ Ἡράκλειος, νέος Κωνσταντῖνος, πιστοὶ ἐν Χριστῷ βασιλεῖς, Σεργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ ταύτης τῆς εὐδαίμονος πόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ.

Οὐχ ἁλουργὶς, οὐκ αὐτεξούσια σκῆπτρα, τὸ τῆς βασιλείας κοσμεῖν τοσοῦτον ἐπίστανται κράτος, ὡς πρᾶξις εὐσεβὴς, τὸν ἔπαινον οἴκοθεν ἔχουσα· ἐκεῖνα μὲν γὰρ τοῖς κρατοῦσι προστιθέμενα, τιμιωτέρους μόνους αὐτοὺς ἀποφαίνουσιν· αὕτη δὲ τοῖς οἰκείοις ἀγαθοῖς κοινὴν ἀπεργάζεται τὴν ὠφέλειαν. Ἔνθεν ὁρμηθέντες πρὸς τιμὴν τῶν ἁπανταχοῦ γῆς ἁγιωτάτων Ἐκκλησιῶν, καὶ τῶν ἱερέων, ἢ ἄλλως πως εὐλαβὲς περιβεβλημένων σχῆμα, πρὸς τὸν παρόντα συνεωράκαμεν ἤδη νόμον, βαλβίδα τε, καὶ, ὡς ἄν τις φαίη, θεμέλιόν τινα τῆς ἡμετέρας εὐσεβοῦς τοῦτον νομοθεσίας ποιήσασθαι, καὶ δίκην ἀπαρχῆς προ-

(1) Ὁ Ἡράκλειος ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 610 μέχρι τοῦ ἔτους 641· συνεβασίλευσε δὲ μετ' αὐτοῦ 28 ἔτη καὶ ὁ υἱὸς αὐτοῦ Κωνσταντῖνος. Τὸ ὄνειδος τῆς μετὰ πολυετῆ πόλεμον πρὸς τὸν Πέρσην Χοσρόην συνομολογηθείσης εἰρήνης ἀπέπλυνε μετά τινα ἔτη ὁ Ἡράκλειος διὰ τῆς κατὰ τὸ ἔτος 624 ἐνδόξου κατ' αὐτοῦ παρὰ τὸν Τραϊανὸν νίκης. Ἀνακτησάμενος δὲ κατ' αὐτὴν καὶ τὸν ἐκ τῆς ἐκπορθηθείσης Ἱερουσαλὴμ ἁρπαγέντα πρώην ὑπὸ τῶν Περσῶν σταυρὸν τοῦ Χριστοῦ, ὕψωσεν αὖθις αὐτὸν πανηγυρικῶς ἐν τῇ ἁγίᾳ πόλει. — Βλέπε καὶ Νομοκάν. Φωτίου Τίτλ. Θ'. Κεφ. Α'. ἐν Τόμ. Α'. σελ. 164 κ. ἑπ. τοῦ παρόντος Συντάγματος.

σαγαγεῖν τῷ Δεσπότῃ καὶ Σωτῆρι τῶν ὅλων Θεῷ. Πλεῖστοι γὰρ τῶν ἐν τῷ θεοφιλεῖ κλήρῳ ταύτης ἡμῶν τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, καὶ τῶν ἐν τοῖς εὐαγέσι μοναστηρίοις τὴν ἄσκησιν ποιουμένων, ἔτι δὲ καὶ διαφόρων πόλεων ὁσιώτατοι πρόεδροι, εὐλαβεῖς τε κληρικοί, καὶ μοναχοὶ κατ' αὐτὴν ἐνδημοῦντες, προσελθόντες ἐδίδαξαν ἡμᾶς, τινὰς τῶν ἡμετέρων εὐσεβῶν κατολιγωρήσαντας νόμων, ἢ πρὸς αὐτὴν ὑπευθύνους αὐτοὺς ἔχοντας τὴν ἀλήθειαν, ἢ παραλόγως ἐργολαβεῖν πειρωμένους, πολιτικοῖς προχείρως ἢ καὶ στρατιωτικοῖς παραβάλλειν δικαστηρίοις, παρασκευάζειν τε μεθ' ὅσων ἀγομένους τῶν ὕβρεων φρουραῖς ἀποτίθεσθαι, καὶ τὰς αὐτοῖς δοκούσας ἴσως ὑπέχειν ποινάς· ἢ ὅτε φιλανθρωπότερα περὶ αὐτοὺς διανοεῖσθαι δοκιμάσειεν, προσεδρείας ἱκανοδοσίαν εἰσπράττοντας, καὶ πλείσταις ζημίαις αὐτοὺς περιβάλλοντας, τῶν, παρ' οἷς ἐν εὐθύναις καθίστανται, κέρδους χάριν, ἢ προσπαθείας τῶν ἐγχειρούντων αὐτοῖς ἐπηρεάζειν, προϊεμένων τὸ δίκαιον· καὶ ταῦτα διδάσκοντες, ἐδέοντο τῶν κατ' αὐτῶν οὕτω πλημμελουμένων τῆς προσηκούσης καὶ παρισταμένης ἡμῖν τυχεῖν διορθώσεως. Ἡμεῖς τοίνυν τὸ πρέπον κἀν τούτῳ τῇ σῇ μακαριότητι γέρας ἀπονέμοντες, λογισάμενοί τε τὴν ὑπὸ πάντων ἐκείνοις δικαίως ὀφειλομένην αἰδῶ, καὶ τῶν ἐπ' αὐτοῖς πάλαι νενομοθετημένων τὰ μὲν ἐπὶ τούτου καταλιπόντες, τὰ δὲ πρὸς τὰ καλλίως ἔχειν ἡμῖν δεδοκιμασμένα μεταῤῥυθμίσαντες, θεσπίζομεν, τοὺς μὲν ἐν κλήρῳ καταλεγομένους τῆς θεοφυλάκτου καὶ βασιλίδος ἡμῶν πόλεως, καὶ τοὺς ἐν αὐτῇ τὸν μονήρη βίον ἀναδεδεγμένους, ἧττον δὲ οὐδὲν καὶ τοὺς κατ' αὐτὴν ἐνδημοῦντας ὁσιωτάτους προέδρους, ἔτι γε μὴν εὐλαβεῖς κληρικούς τε καὶ μοναχοὺς τῶν ἐπαρχιῶν καὶ πόλεων, ὧν αἱ διοικήσεις ὑπὸ τὸν ἀρχιερατικὸν τῆς σῆς μακαριότητος θρόνον τελοῦσι, χρηματικὰς παρ' οὑτινοσοῦν τῶν πάντων ὑφισταμένους κινήσεις, παρὰ μόνῃ τῇ σῇ μακαριότητι, καὶ τοῖς ἐπὶ τούτῳ παρ' αὐτῆς ὁριζομένοις τὰς ἀπολογίας ποιεῖσθαι, καθ' ὧν ἔκκλητος παρακολουθοῦσα πρὸς τὴν σὴν ἀναδραμεῖται μακαριότητα, μήτε τῶν ὑπευθύνους αὐτοὺς ἔχειν οἰομένων, τολμώντων αὐτοὺς εἰς πολιτικὸν, ἢ στρατιωτικὸν δικαστήριον ἑλ-

κειν, μήτε μὴν τῶν ταῖς τοιαύταις ἀρχαῖς ἐφεστώτων, εἴ τινας τοιαύτας τύχοιεν προσαγγελίας δεχόμενοι, θαῤῥούντων αὐτοὺς τούτου χάριν πρὸς ἑαυτοὺς ἀγαγεῖν· τῶν τοῖς εὐσεβέσιν ἡμῶν νόμοις διωρισμένων ἐπί τε ταῖς δικαστικαῖς ἀσφαλείαις, ἐπί τε τῷ μέτρῳ τῶν σπορτούλων, αὐτοῖς φυλαττομένων ἀτρώτων. Εἰ δέ τινες ἑτέρας διοικήσεως ὁσιώτατοι πρόεδροι, ἢ εὐλαβεῖς κληρικοὶ, ἢ μοναχικὸν μεταδιώκοντες βίον, κατὰ τὴν ἡμῶν ἀφιγμένοι πανευδαίμονα πόλιν, παρ' οὑτινοσοῦν τῶν πάντων χρηματικὰς ὑποσταῖεν ἐναγωγὰς, θεσπίζομεν καὶ τούτους, εἴ γε βούλοιντο, παρὰ μόνῃ τῇ σῇ μακαριότητι τὸν ὅμοιον ἀποκρίνεσθαι τρόπον, καὶ μηκέτι τὸ λοιπὸν (τοῦτο γὰρ τῆς προτέρας ἐπανορθούμεθα νομοθεσίας) παρὰ τοῖς ἐνδοξοτάτοις ἄκοντας ἀπολογεῖσθαι τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων ὑπάρχοις. Εἰ δὲ, ὡς εἰκὸς, πρὸς τὴν τῆς σῆς μακαριότητος ἀκρόασιν ἥκιστα καταφύγοιεν, τηνικαῦτα κατὰ τοῦτο δὴ τὸ πάλαι νενομοθετημένον, παρὰ τοῖς ἐνδοξοτάτοις τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων ὑπάρχοις, ἢ παρ' ᾧ δὴ ἂν ἑτέρῳ κελεύσωμεν, ὑπαντᾷν, καὶ τὰς ἀπολογίας τοῖς ἐγκαλοῦσι ποιεῖσθαι· φυλαττομένων δηλαδὴ καὶ τούτοις τῶν, ἅπερ ἐπί τε ταῖς δικαστικαῖς ἀσφαλείαις, ἐπί τε τῇ συμμετρίᾳ τῶν σπορτούλων οἱ παλαιοὶ διορίζουσι νόμοι. Τοῖς μέντοι διακονουμένοις ἐκκλησιαστικαῖς ἀποκρίσεσι, καὶ τοῖς πρὸς πρεσβείαν Ἐκκλησίας, ἢ πόλεως, ἢ προέδρου χειροτονίαν, κατὰ ταύτην ἡμῶν ἀφιγμένοις τὴν θεοφύλακτον πόλιν, ἀκαινοτόμητα τὰ πάλαι περὶ αὐτῶν νενομοθετημένα φυλάττομεν· ἐφ' ὧν δὲ θεμάτων ἐναγωγὰς ὑφίστασθαι τοὺς τοιούτους οἱ ἡμέτεροι διορίζουσι νόμοι, καὶ ἐπ' αὐτῶν τὴν εὐεργεσίαν τοῦ παρόντος ἐκτείνομεν νόμου. Οἱ δὲ τῶν ἐπαρχιῶν ὁσιώτατοι πρόεδροι, πρός δέ γε καὶ οἱ κατ' αὐτὰς ἐν κλήρῳ καταλεγόμενοι, καὶ οἱ τὴν ἄσκησιν ἐν αὐταῖς μετιόντες, κἀκεῖσε διάγοντες, παρ' ἐκείνοις, ὧν ὑπὸ τὴν δικαιοδοσίαν καθεστᾶσι, τὰς εὐθύνας ἐπὶ ταῖς χρηματικαῖς ὑφέξουσι δίκαις, τῆς ὁμοίας καὶ ἐπ' αὐτοῖς φυλαττομένης παρατηρήσεως, ἐπί τε τῇ τῶν σπορτούλων ποσότητι, ἐπί τε τῷ τρόπῳ τῶν δικαστικῶν ἀσφαλειῶν· τῆς κατὰ τῶν κριθησομένων ἐφέσεως, εἰ μὲν ἐπίσκοπος ὁ ψηφισάμενος εἴη, παρὰ τῷ τὸν

μητροπολιτικὸν ἐκείνης τῆς ἐπαρχίας ἐπέχοντι θρόνον γυμναζομένης· εἰ δὲ μητροπολίτης ὁ δικάσας ἔσοιτο, παρὰ τῷ ἁγιωτάτῳ πατριάρχῃ τῆς αὐτοῦ διοικήσεως· πλὴν εἰ μὴ καθ' ἡμετέραν κέλευσιν εἰς τὴν τῆς ὑποθέσεως παρειληφὼς ἀκρόασιν τύχοι· τοιούτου γάρ τινος παρεμπίπτοντος, τοὺς ἐπὶ τούτῳ κειμένους κρατεῖν βουλόμεθα νόμους. Ἄρχοντα δὲ ὅλως πολιτικὸν, ἢ στρατιωτικὸν, ἐπίσκοπον εἰς δίκην παραπέμπειν, ἢ τὴν αὐτοῦ κρίσιν ἀναψηλαφᾷν, ἢ ἐκβιβασμῷ ταύτην παραδιδόναι, οὐδὲ κατὰ ταύτην ἡμῶν τὴν πανευδαίμονα πόλιν, οὐδὲ καθ' ἕτερόν τινα τόπον τῆς ἄνωθεν παραδεδομένης ἡμῖν πολιτείας βουλόμεθα, ἀπρεπὲς τοῦτο ἡγησάμενοι, καὶ τὸν παλαιὸν καὶ περὶ τοῦτο τὸ μέρος ἐπανορθούμεθα νόμον, τῶν κρινομένων ἐκβιβασμῷ, εἰ μὲν τὰ μέρη τοῖς διατυπουμένοις ἐφησυχάσωσι, προνοίᾳ τοῦ κρίνοντος ἐπαγομένων· εἰ δέ τις ἔφεσις παρακολουθήσει, φροντίδι τοῦ τὴν δευτέραν ἐκφέροντος ψῆφον· προδήλως τῶν τοῖς ἡμετέροις διηγορευμένων νόμοις, ἐπὶ τοῖς ἐναγωγὰς παρὰ κληρικῶν ὑφισταμένοις λαϊκοῖς, τὴν ἰδίαν ἐχόντων ἰσχύν· τὸ δέ γέ ἐστι, τὸ χρῆναι τὸν ἄκτορα τὸν τοῦ ῥέου μεταδιώκειν φόρον. Εἰ δὲ πρὸς ἐγκλήματα φέροιτο τὰ ἐνταῦθα ἐπαγόμενά τινι τῶν ἱερωμένων προσώπων, κἂν τῆς σῆς, κἂν ἑτέρας εἴησαν διοικήσεως, παρὰ τῇ σῇ μακαριότητι καὶ μόνῃ, καὶ τοῖς παρ' αὐτῆς ὁριζομένοις, τὴν τούτων ἐξέτασιν προϊέναι θεσπίζομεν, καὶ τῆς κατὰ τῶν τοιούτων προτιθεμένης κατηγορίας φανερᾶς γινομένης, ἢ συνομολογούντων πολλάκις ἐκείνων τὰ, ἐφ' οἷς κατηγοροῦνται, ἢ νομίμως διελεγχομένων, τὴν καλῶς ἔχειν φαινομένην τῇ σῇ μακαριότητι τοῖς ἡμαρτῆσθαι δεικνυμένοις κατὰ τοὺς θείους κανόνας ἐπάγειν τομήν· εἰ δέ γε νομίσει σφοδροτέρας ἐπεξελεύσεως ἄξιον καθεστάναι τὸν κρινόμενον, τηνικαῦτα τὸν τοιοῦτον παρὰ τῆς σῆς μακαριότητος τοῦ περικειμένου κελεύομεν γυμνοῦσθαι σχήματος, καὶ τοῖς πολιτικοῖς ἄρχουσι παραδίδοσθαι, τὰς τοῖς ἡμετέροις διωρισμένας νόμοις τιμωρίας ὑποστησόμενον, τῶν ὁμοίων καὶ ἐν ταῖς ἐπαρχίαις ἐπὶ ταῖς ἐγκληματικαῖς φυλαττομένων ζητήσεσιν· ὥστε τῶν προδηλουμένων ἕκαστον ὑπὸ κατηγορίαν γινόμενον, παρ' ἐκείνῳ τὰς εὐθύνας ὑπέχειν, ὑφ'

ὃν αὐτὸν τετάχθαι συμβαίνει, καὶ τὴν ἐπὶ τοῖς αὐτῷ πεπλημμελῆσθαι φαινομένοις ἐπεξέλευσιν κατὰ τὸν προαναφερόμενον ὑφίστασθαι τρόπον, τῶν ὑποθέσεων τῶν ἤδη, ὡς εἰκὸς, προοίμιον ἐν πολιτικοῖς ἢ στρατιωτικοῖς δικαστηρίοις ἐν γράμμασι δεξαμένων, ἐνταῦθά τε καὶ κατὰ χώραν, κατὰ ὁσιωτάτων προέδρων, ἢ θεοφιλῶν κληρικῶν τε καὶ μοναχῶν, ἢ ἄλλως πως ἱερωμένων προσώπων, ἐκεῖσε πρὸς πέρας ἀγομένων· δηλαδὴ τῆς ἐκ τῆς ἐφέσεως τοῖς οἰομένοις ἠδικῆσθαι διὰ τῶν ἐκεῖσε ψηφισθησομένων οὐκ ἀναιρουμένης βοηθείας· τὸν γὰρ παρόντα θεῖον ἡμῶν νόμον ex calendis Aprilis τῆς ἐνεστώσης δευτέρας ἐπινεμήσεως, καὶ εἰς τὸν ἑξῆς ἅπαντα καὶ διηνεκῆ χρόνον κελεύομεν κρατεῖν, τῶν ἑτέρως πεφιλοτιμημένων προνομίων τῇ τε καθ' ἡμᾶς ἁγιωτάτῃ Ἐκκλησίᾳ, καὶ ταῖς λοιπαῖς, καὶ τοῖς ὁσιωτάτοις αὐτῶν προέδροις, κληρικοῖς τε καὶ μοναχοῖς, καὶ ἑτέρως πως ἱερωμένοις προσώποις, τὴν ἰδίαν ἐχόντων ἰσχύν. Τὰ τοίνυν παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου ἡμῶν γενικοῦ δηλούμενα νόμου, ἡ σὴ μακαριότης, καὶ οἱ μετ' αὐτὴν τοῦ κατ' αὐτὴν προστησόμενοι θρόνου, καὶ οἱ τῶν πόλεων ὁσιώτατοι πρόεδροι, καὶ οἱ ταῖς πολιτικαῖς καὶ στρατιωτικαῖς ἐφεστῶτες ἀρχαῖς, καὶ οἱ τούτοις ὁπωσοῦν καθυπουργεῖν τεταγμένοι, ἔργῳ καὶ πέρατι παραδοῦναι καὶ παραφυλάξαι σπευσάτωσαν· τοῦ τὰ παρ' ἡμῶν νενομοθετημένα παραβαίνοντος, ἢ παραβαθῆναι συγχωροῦντος, εἰ μὲν τῶν ἱερέων τις εἴη, κίνησιν ἡμῶν ὑφορωμένου δικαίαν· εἰ δὲ πολιτικὴν, ἢ στρατιωτικὴν αὐτὸν ἀρχὴν διανύειν συμβαίνει, πρὸς τῇ τῆς ἀρχῆς ἐκπτώσει, καὶ ποινὴν εἴκοσι λιτρῶν χρυσοῦ ὑποστησομένου· εἰ δὲ τῶν τὴν ὑπουργίαν νεμόντων καθεστήκοι, τὰς εἰς σῶμα ὑπομένοντος ποινάς. Τὸ Θεῖόν σε φυλάξοι ἐπὶ πολλοὺς χρόνους, ἁγιώτατε καὶ μακαριώτατε Πάτερ. Ἐγράφη καλάνδαις Ἀπριλλίαις ιβ', βασιλείας Ἡρακλείου τοῦ εὐσεβεστάτου ἔτους ιθ', καὶ Ἡρακλείου τοῦ νέου Κωνσταντίνου ἔτους ιζ'.

—

Β'. ΠΕΡΙ ΤΟΥ ΩΡΙΣΜΕΝΟΝ ΕΙΝΑΙ ΤΟΝ ΑΡΙΘΜΟΝ

Τῶν κληρικῶν τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ τῆς ἁγίας Θεοτόκου ἐν Βλαχέρναις τιμωμένης· ἔτι μὴν καὶ τῶν ἐν τοῖς ὀφφικίοις ἐξυπηρετουμένων τῇ τε εἰρημένῃ μεγάλῃ Ἐκκλησίᾳ, καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ (1).

ΕΝ ὀνόματι τοῦ Δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Αὐτοκράτωρ, Καῖσαρ, Φλάβιος Ἡράκλειος, πιστὸς ἐν Χριστῷ, ἡμερώτατος, μέγιστος εὐεργέτης, εἰρηνικὸς, Ἀλαμανικὸς, Γοτθικὸς, Φραγκικὸς, Γερμανικὸς, Ἀντικὸς, Ἀλανικὸς, Οὐανδαλικὸς, Ἀφρικανὸς, Ἐρουλικὸς, Γεπιδικὸς, εὐσεβὴς, εὐτυχὴς, ἔνδοξος, νικητὴς, τροπαιοῦχος, ἀεισέβαστος, αὔγουστος, Σεργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ ταύτης τῆς εὐδαίμονος πόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ.

Καὶ τοῖς ἄλλοις κατάλληλον καὶ ἁρμοδίαν ἐπάγεσθαι τάξιν, χρήσιμόν τι καὶ ἐπαινούμενον, οἷα τῆς ἀμετρίας ἐπιθολούσης ἀεὶ, καὶ τὰ καλῶς εἶναί τε καὶ κρατεῖν ὀφείλοντα ταραττούσης τε καὶ διαλυούσης, εἰς ἀπρεπῆ τε φερούσης σύγχυσιν, καὶ διαφερόντως τὴν ἱερὰν κατάστασιν, ἣν ἐπὶ σεμνότητι καὶ εὐταξίᾳ συνεστῶσάν τε, καὶ ἐξ ἀρχῆς ἐκ θείας ἐξευρημένην προνοίας, ἔξω τοῦ καθεστῶτος εἶναι οὐκ ἀσύμφορον μόνον, ἀλλὰ καὶ σφόδρα παράλογον· οὐκοῦν εἰκότως καὶ τὰ νῦν δοκιμασθέντα παρὰ τῆς σῆς μακαριότητος, ὀρθῶς τῆς τε ἀκολούθου τάξεως ἐστοχασμένης, καὶ τῶν πραγμάτων αὐτῶν, καὶ σχεδόν που πρὸς τὸ περιφανὲς τῆς ἀμωμήτου πίστεως ἡμῶν φερομένης, οὐκ ἀπὸ τρόπου προσιέμεθα· ἐπεὶ καὶ ὁ πάντα σοφῶς καὶ καλὰ λίαν καταστήσας, μέτρῳ τινὶ τὰ ὄντα παραγαγεῖν εὐδόκησεν, ὡς μηδὲ ἓν ἐνδεῖν τι τούτοις, μηδὲ προσθήκην ἑτέραν ἐπιδέχεσθαι. Ἀνήγαγε γὰρ ἡμῖν τοὺς ἐν τῷ κλήρῳ τῆς κατ' αὐτὴν ἁγιωτάτης μεγάλης Ἐκκλησίας ἀναφερομένους, ὁρῶντας εἰς πολλὴν ἐξελθεῖν ἀμετρίαν τὸν τῶν εὐλαβῶν πρεσβυτέρων, καὶ τῶν ἄλλων τῶν ἐν διαφόροις βαθμοῖς θεοφιλῶν κληρικῶν ἀριθμόν· ὥστε τῶν μὲν πρεσβυτέρων τὰς συνθρόνους στενοχωρεῖσθαι καθέδρας, ὡς πολ-

---

(1) Βλέπε Νομοκάν. Φωτίου Τόμ. Α'. σελ. 69 τοῦ παρόντος Συντάγματος.

λάκις τινὰς καὶ πλείστους τῶν ἱερατεύειν ἐθελησάντων, ὑπὸ τῶν πρὸ αὐτῶν ἐξωθουμένους, ἐρυθριῶντας ἀπιέναι· καὶ τὴν στάσιν δὲ τῶν εὐλαβῶν διακόνων ὁμοίως τοῖς πλείοσιν οὐκ ἀρκεῖν· εἶτα δὲ καὶ λογιζομένους τὰ πράγματα τῆς αὐτῆς ἁγιωτάτης Ἐκκλησίας ἐπιδόσεσιν ὑπερβαλλούσαις πεφορτισμένα, μυρίαις μὲν, διὰ τὴν ὥρας ἑκάστης γινομένην εὐσεβῆ χορηγίαν, ἑτέραις δὲ πάλιν, ἐξ ἀπαραιτήτων συνθηκῶν, καὶ διαθηκῶν, ἄλλων τε καὶ διαφόρων αἰτιῶν προϊούσαις· ἐν γράμμασιν αὐτοὺς, καὶ γραμμάτων χωρὶς δεηθῆναι τῆς σῆς μακαριότητος, ταύτην περιστεῖλαι τὴν ἄδειαν· αὐτήν τε τοῖς πράγμασι τῆς ἁγιωτάτης Ἐκκλησίας εὑροῦσαν οὐ μετρίαν τοῦτο συνεισάγειν βοήθειαν, εὐκοσμίαν τε μείζονα καὶ εὐταξίαν τῷ κλήρῳ προσγίνεσθαι, τὴν καλῶς ἔχειν αὐτῇ δόξασαν διατύπωσιν ποιήσασθαι, οὔτε τὸν Ἰουστινιανοῦ τοῦ τῆς εὐλαβοῦς λήξεως νόμον, ἐκ χρόνων τινῶν διὰ τῆς ἐναντίας τῶν πραγμάτων σχολάσαντα χρήσεως, οὔτε τὸ ποσὸν τῶν νῦν ὄντων θεοφιλῶν κληρικῶν εἰς τὸν ἔπειτα χρόνον μεταδιώκουσαν· τέως μὲν γὰρ διατυπῶσαι τοὺς ἐν ἑκάστῳ τάγματι τελοῦντας κατὰ τὴν ἁγιωτάτην μεγάλην Ἐκκλησίαν, ὁπόσους αὐτοὺς εἶναι συμβέβηκε, μένειν ἐφ' ἧς ὑπάρχωσι νῦν τῶν προσώπων ποσότητος, μηδενὸς αὐτοῖς, ὡς ἔτυχεν, ἑτέρου προστιθεμένου, ἕως ἂν προκόπτοντος τοῦ χρόνου, τὸν μὲν κατάλογον τῶν θεοφιλῶν πρεσβυτέρων εἰς π', τῶν δὲ διακόνων, ἀῤῥένων μὲν, εἰς ρν', θηλείων δὲ διακονισσῶν, εἰς μ', καὶ τῶν ὑποδιακόνων, εἰς ο', καὶ τῶν ἀναγνωστῶν, εἰς ρξ', ψαλτῶν δὲ, εἰς κε', καὶ πυλωρῶν, εἰς οε', ἐξ οἱασοῦν περιστῆναι συμβαίη προφάσεως· μηδενὸς ἑτέρου, πλὴν τῶν ἐν ἑκάστῳ τάγματι λεγομένων πριμμικηρίων, τῶν μετὰ τὴν τεταγμένην τριετίαν τοῦ μείζονος ἀξιουμένων, τούτοις ἐγκατειλεγμένου, πρὶν ἂν τὸ ῥηθὲν ἐκλείψοι μέτρον, καθάπερ εἰκός ἐστιν, ἐλαττούμενον· τηνικαῦτα γὰρ ἀκωλύτως αὐτοῖς ἀντεισάγεσθαι τοσοῦτον, ὅσον τὸ μνημονευθὲν μέτρον ἀναπληροῖ προστιθέμενον, καὶ τούτου πλέον οὐδὲν οὐδενὸς, καθ' οἱονδήποτε τρόπον, προστιθεμένου· εἰ μή πού τις δι' ὑπερβάλλουσαν αὔξησιν τοῖς πράγμασι περιγενομένην τῆς αὐτῆς ἁγιωτάτης Ἐκκλησίας, δι' ὧν αὐτῇ προσνέμει πραγμάτων ἐν δωρεαῖς, ἢ διαθήκαις, μετὰ τῆς τῶν ἱερῶν κανόνων παρατη-

ρήσεως, τινὶ τῶν προδηλουμένων συναριθμηθῇ ταγμάτων, ἢ ἐφ' ἑτέρῳ προσώπῳ τοῦτο γίνεσθαι παρασκευάσει· τούτου γὰρ προϊόντος, διά τε τὴν εὐσεβῆ πρόθεσιν, καὶ τὸ τῆς ὠφελείας μέγεθος, ἐφικτὸν εἶναι τὸ τεταγμένον πλεονάζεσθαι μέτρον· καὶ τούτου δὲ οὕτως ἔχοντος, καὶ τοῦ ἀριθμοῦ τῶν προσώπων ἔτι πλεονάζοντος, εἴ τις τοιαύτη γένηται πρόφασις, τὴν προσθήκην ἐπισχεῖν οὐκ ἀναγκαῖον ἡγήσασθαι. Καὶ τῶν λεγομένων δὲ ἐπιταγμάτων οὐκ εἰς εὔθετον χωρησάντων τὸ πλῆθος, δεῖν ἡγήσασθαι καὶ τοῦτο μηδαμῶς καταλιπεῖν ἀδιόρθωτον, τὴν κοινὴν τῶν εὐλαβῶν κληρικῶν γνώμην οὐχ ἧττον τῆς σῆς μακαριότητος εἰς τοῦτο συντρέχουσαν ἐπισταμένης· ὅθεν καὶ τῶν ἐν τοῖς αὐτοῖς ἐπιτάγμασι προσώπων, ἐφ' οὗπερ εἰσὶν ἀριθμοῦ μενόντων, ἕτερον μὲν αὐτοῖς ἐξ οὐδεμιᾶς ἀφορμῆς ἢ ἐπινοίας προσγίνεσθαι διατυπῶσαι· τοῦ χρόνου δὲ προϊόντος, ἐπειδὰν συμβαίνῃ τοὺς ἐν ἑκάστῃ τάξει τὴν εὖ ἔχουσαν ἀπολαβεῖν συμμετρίαν, ταυτὸν δὲ φάναι, τοὺς μὲν θεοφιλεῖς συγκέλλους εἰς δύο τὸν ἀριθμὸν περιστάντας, καγκελλαρίους δὲ εἰς ιβ', ἐκδίκους δὲ εἰς ι', ῥεφερενδαρίους δὲ εἰς ιβ', νοταρίους δὲ εἰς μ', σκευοφύλακας δὲ, πρεσβυτέρους μὲν δ', διακόνους δὲ ς', ἀναγνώστας δὲ δύο, τρόποις ἅπασιν ἐπὶ τῆς αὐτῆς ποσότητος διατελεῖν, μηδενὸς αὐτοῖς καθ' οἱονδήποτε προστιθεμένου τρόπον· πρόδηλον ὄν, ὡς τούτου κατὰ τὸ εἰκὸς ἐν τοῖς εἰρημένοις ἐπιτάγμασιν ἐνδέοντος τοῦ μέτρου, τὰ πρὸς μόνην ἑκάστου τούτων ἀναπλήρωσιν ἀκωλύτως ἀντεισαχθήσεται πρόσωπα. Καὶ περὶ τοῦ ἐν Βλαχέρναις δὲ σεβασμίου οἴκου τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ὁμοίως συνιδεῖν, καὶ ἐπ' ἐκείνῳ τὰ παραπλήσια διατυπῶσαι· ὥστε τοῖς νῦν οὖσι κατὰ τὸν εἰρημένον ἔνδοξον οἶκον τῶν κληρικῶν τάγμασι μηδεμίαν ἐπεισάγεσθαι προσθήκην· τῶν δὲ πρεσβυτέρων εἰς ιβ', καὶ διακόνων, ἀῤῥένων μὲν εἰς ιη', θηλείων δὲ διακονισσῶν εἰς ς', ὑποδιακόνων εἰς η', ἀναγνωστῶν εἰς κ', ψαλτῶν εἰς δ', πυλωρῶν εἰς ς', τῷ χρόνῳ συντελουμένων, ἐν ἐκείνῳ λοιπὸν τῷ μέτρῳ μένειν τε καὶ διατελεῖν· ἐνδέοντος δὲ τούτου καθ' οἱανδήποτε πρόφασιν, μόνης κἀκείνοις ἐπιτετραμμένης διὰ τὸ μεῖζον ὄφελος τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας ἐπαυξήσεως, τηνικαῦτα τὴν προσθήκην

γίνεσθαι· ᾔτησέ τε ἡμᾶς ἡ σὴ μακριότης, θείῳ πραγματικῷ τύπῳ τὰ οὕτω καλῶς τε καὶ θεοφιλῶς δοκιμασθέντα παρ' αὐτῆς, βέβαια καταστῆσαι. Ἐπειδὴ τοίνυν πρόδηλόν ἐστιν, ὡς οἱ τὰ τοιαῦτα θηρώμενοι, οὐ ζήλῳ θείῳ, τοῦ δὲ πλείονος ὀρεγόμενοι, ἐπιπηδῶσι· καὶ πλειόνων εὐκτηρίων ὄντων κατὰ ταύτην τὴν βασιλίδα πόλιν, τὰ ἱερὰ καταπράττειν ἀξιοῦντες, μόνου κέρδους ἀφορμὴν καὶ πρόφασιν τὴν εἰς τὸ Θεῖον λειτουργίαν καὶ ὑπηρεσίαν ποιεῖσθαι σπουδάζουσι· θεσπίζομεν, τὰ καλῶς τε καὶ ἐπωφελῶς πρός τε τὸ τῆς ὀρθῆς ἡμῶν πίστεως περιφανὲς, καὶ τὴν εὐκοσμίαν τῆς κατὰ τὴν μακαριότητα τὴν σὴν ἁγιωτάτης μεγάλης Ἐκκλησίας δοκιμασθέντα τε καὶ ψηφισθέντα, τὸ βέβαιον καὶ ἀῤῥαγὲς ἐπὶ πάντας τοὺς ἐφεξῆς χρόνους καὶ ἐκ τῶν παρουσῶν θείων ἡμῶν συλλαβῶν ἔχειν. Καὶ πρὶν ἂν τοὺς μὲν πρεσβυτέρους εἰς π', διακόνους δὲ εἰς ρν', θηλείας δὲ διακονίσσας εἰς μ', ὑποδιακόνους εἰς ο', ἀναγνώςας εἰς ρξ', ψάλτας εἰς κε', πυλωροὺς εἰς οε' περιστῆναι τὸν ἀριθμὸν, πλὴν μόνων τῶν κατὰ καιρὸν πριμμικηρίων, μηδένα τούτοις μηδαμῶς μηδὲ ἐντάττεσθαι, μηδὲ χειροτονίαν γίνεσθαι, χωρὶς μεγάλης τινὸς ἀντεισαγωγῆς ἐκ διαθηκῶν, ἢ δωρεῶν, τοῦτο καταναγκαζούσης προελθεῖν· ἐπεὶ καὶ τοῦτο πρὸς τὸ χρήσιμον τῆς [αὐτῆς] ἁγιωτάτης Ἐκκλησίας ὁρᾷ. Τοὺς δέ γε ἐν διαφόροις ὀφφικίοις, ἢ τοῖς λεγομένοις ἐπιτάγμασι τελοῦντας, θεσπίζομεν πρὸς τὰ παρὰ τῆς σῆς τυπωθέντα μακαριότητος, τέως ἐφ' οὗ εἰσι μένειν ἀριθμοῦ· ἐπειδὰν δὲ συμβαίη περιστῆναι τοὺς μὲν συγκέλλους εἰς δύο, καγκελλαρίους εἰς ιβ', νοταρίους εἰς μ', σκευοφύλακας εἰς μὲν πρεσβυτέρους δ', εἰς δὲ διακόνους ἕξ, ἀναγνώστας β', ἐπὶ τούτου διαμένειν τοῦ μέτρου, μηδενὸς αὐτοῖς προστιθεμένου καθάπαξ, πρὶν ἂν καὶ τοῦτο, καθάπερ εἰκὸς, ἐλλείψει τὸ μέτρον, καὶ τῆς ἀναπληρούσης δεηθῇ προσθήκης· τηνικαῦτα γὰρ ἐξεῖναι τὸ ἐλλιπὲς ἀντεισάγεσθαι. Ὥσπερ οὖν καὶ τοὺς ἐν τῷ σεπτῷ ναῷ τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐν Βλαχέρναις τὴν θείαν πληροῦντας λειτουργίαν, κατὰ τὰ παρὰ τῆς σῆς καλῶς ὁρισθέντα μακαριότητος, δεήσει μένειν μὲν ἐφ' ἧς καθεστᾶσι ποσότητος, μηδένα δὲ ταύτῃ παντελῶς ἐπεισάγεσθαι, πρὶν

τοὺς μὲν πρεσβυτέρους εἰς ιβ', καὶ διακόνους ἄῤῥενας μὲν εἰς ιή, θηλείας δὲ διακονίσσας εἰς ϛ', ὑποδιακόνους εἰς ή, ἀναγνώστας εἰς κ', ψάλτας εἰς δ', πυλωροὺς δὲ εἰς ϛ' περιενεχθῆναι συμβαίη· ἐφ' ἑκάστῳ δὲ τάγματι τούτου, καθάπερ εἰκός ἐστιν, ἐλλείποντος τοῦ μέτρου, μόνον δεῖ προστίθεσθαι τὸ ἐνδέον· τούτων γὰρ οὕτως πραττομένων τε καὶ φυλαττομένων, οὐδὲ παρεγγράπτους, ἢ τοὺς τυχόντας, μόνου κέρδους ἕνεκεν ὀρεγομένους, ὡς εἴρηται, συμβήσεται τοῖς ἱεροῖς ἐπιπηδᾶν, καὶ τὰ πρὸς εὐσέβειαν ἀπονεμηθέντα μάτην οὕτω καὶ χύδην ἑαυτοῖς περιποιεῖν, οὐδὲ ἐλάττωσίς τις εἰς τὴν θείαν ὑπουργίαν γενήσεται, ἁπάντων πρὸς τὴν εὖ ἔχουσαν ἀποκαθισταμένων τάξιν, τῆς τε ἁγιωτάτης Ἐκκλησίας τῇ θείᾳ λειτουργίᾳ ἡ προσήκουσα κατάστασις ἀποδοθήσεται. Τὰ τοίνυν παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα τύπου, ἡ σὴ μακαριότης, καὶ οἱ μετὰ σὲ τοῦ αὐτοῦ ἱερατικοῦ θρόνου προστησόμενοι, ὅ,τε εὐαγής σου κλῆρος ἔργῳ καὶ πέρατι παραδοῦναι, καὶ παραφυλάξαι σπευσάτωσαν. Divinitas te servet per multos annos, sancte ac beatissime pater. Dat. καλάνδαις Μαΐαις, ἐν Κωνςαντινουπόλει, ἐπινεμήσεως ιε'.

Γ'. Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΣΕΡΓΙΩι,

Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ.

ΚΑΙ τὰ καλῶς τοῖς ἀνθρώποις πολλάκις ἐπινενοῆσθαι δοκοῦντα, περιστάσεις τινὲς ἴσως ἐπιγινόμεναι πρὸς ἀλλοιοτέραν μεταγίνεσθαι παρασκευάζουσι τάξιν· ὁποῖον δὴ καὶ νῦν συμβὰν ἐπὶ τὴν παροῦσαν ἡμᾶς ἰδεῖν προέτρεψε κέλευσιν. Τῶν γὰρ ἐν τῷ κλήρῳ τῆς ἁγίας τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, τῆς ἐν ταύτῃ τῇ βασιλίδι πόλει τελούντων, ἑωρακότων οὐ μετρίως τὰ αὐτῆς βαρεῖσθαι πράγματα, πολλῶν παρενοχλούντων τῇ ὑμῶν ἁγιωσύνῃ, ὥστε διάφορα πρόσωπα κατατάττειν ἐν αὐτῷ τῷ κλήρῳ, καὶ ἐν τοῖς εὐκτηρίοις οἴκοις τῆς παναγίας Μητρὸς τοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, τῷ ἐν Βλαχέρναις, καὶ τοῖς Οὐρβικίου προσαγορευομένοις, ὡς

ἐντεῦθεν εἰς πλῆθος ἐκταθῆναι τὴν ἐπιδιδομένην αὐτοῖς τῶν διαρίων ποσότητα, εἶτα αἰτούντων καί τινα τῶν ἐκκλησιαστικῶν ὀφφικίων ἑτέρους ἐγχειρίζεσθαι, ἐξ ὧν οὐκ ὀλίγη τοῖς τῆς αὐτῆς ἁγιωτάτης Ἐκκλησίας πράγμασιν ὠφέλεια προσεγένετο, καὶ τοῦτο πραττόμενον ἀξιωσάντων διορθώσεως τυχεῖν, ἔγνωμεν ἀρέσαι τῇ τε ὑμετέρᾳ ἁγιωσύνῃ, καὶ τοῖς ὑπὸ τὸν εἰρημένον κλῆρον τελοῦσιν, ὥστε ῥητῶν προσώπων ἀριθμῷ περιστῆναι τῶν λεχθέντων εὐαγῶν οἴκων τοὺς κληρικοὺς, καὶ τοὺς τὰ τῆς ἐκκλησιαστικῆς λειτουργίας ὀφφίκια μετερχομένους, ἑτέρου μηδενὸς δυναμένου ἐν τοῖς εἰρημένοις κατατάττεσθαι κληρικοῖς, ἢ τῶν ἐκκλησιαστικῶν παρεῖναι φροντισμάτων, πρὶν ἂν, ἐνίων τῶν ἐν αὐτοῖς τεταγμένων διαπιπτόντων, εἰς τὸν συνδόξαντα πᾶσιν ὑμῖν ἀριθμὸν ἢ οἱ κληρικοὶ τῶν εἰρημένων εὐαγῶν οἴκων, ἢ τὰ τῆς Ἐκκλησίας φροντίσματα περιστῶσι. Τῶν οὕτω τοίνυν δοξάντων ὑμῖν εἰς τὰς ἡμετέρας ἐλθόντων ἀκοὰς, καὶ αἰτήσεως προσαχθείσης ἡμῖν, ὥστε δι' ἡμετέρου πραγματικοῦ τύπου τὰ καλῶς παρ' ὑμῶν δοκιμασθέντα βεβαιωθῆναι, εἰκότως ἡμεῖς τὰ λυσιτελοῦντα τῇ αὐτῇ ἁγιωτάτῃ μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ μεριμνῶντες ἀεὶ καὶ διανοούμενοι, τὴν ὑμετέραν ἔργῳ παραδεδώκαμεν αἴτησιν, τὸν εἰρημένον πραγματικὸν τύπον τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ Ἐκκλησίᾳ φιλοτιμησάμενοι, ἄδειαν ὑμῖν δι' αὐτοῦ δεδωκότες, ὥστε τὸν ὠφελείας προφανεῖς τοῖς τῆς Ἐκκλησίας περιποιοῦντα πράγμασιν, ἢ διὰ δωρεᾶς, ἢ διὰ συνθήκης, ἢ διὰ τελευταίας βουλῆς, ἢ ἑτέρας ἐπινοίας, τὴν διδομένην αὐτῷ χάριν ὑπερβαινούσας, καὶ πρὶν τοὺς εἰρημένους κληρικοὺς εἰς τὸν συνδόξαντα ἀριθμὸν περιστῆναι, ἢ τοὺς ἐκκλησιαστικῶν ὀφφικίων διοικητὰς, ἀκωλύτως τοῦ ἰδίου ἐντὸς γίνεσθαι σκοποῦ, τῆς τῶν ἱερῶν δηλονότι κανόνων φυλαττομένης τάξεως· εἴτε αὐτὸς ὁ τοῦτο πράττων βουληθείη ἐν ἑνὶ τῶν προλεγομένων κλήρων ταγῆναι, ἢ ἐκκλησιαστικὸν ὀφφίκιον πιστευθῆναι, εἴτε ἑτέρῳ συνίδοι ταύτην προσώπῳ περιποιῆσαι τὴν τάξιν. Ταῦτα τοίνυν τοῦ λεχθέντος πραγματικοῦ περιέχοντος τύπου, ἀνήγαγεν ἡμῖν ἐπὶ τοῦ παρόντος ἡ ὑμῶν ἁγιωσύνη, διάφορα μὲν βουληθῆναι πρόσωπα τῶν εἰρημένων ἀξιωθῆναι κλήρων, ἢ ἐκ-

κλησιαστικοῦ ὀφφικίου ἐπιλαβέσθαι, ἢ καὶ ἑτέρῳ τινὶ τοιοῦτό τι περιποιῆσαι· δεδιέναι δὲ, μήπως ὕστερον πραγμάτων τινὲς αὐτῶν πειρασθῶσιν, ἐπιζητούμενοι, τί πράξαντες ἐπὶ τῇ τῶν ἐκκλησιαστικῶν πραγμάτων ὠφελείᾳ τὸν οἰκεῖον σκοπὸν ἀνεπλήρωσαν, δυσχεροῦς οὔσης αὐτοῖς μετὰ χρόνου παραδρομὴν τῆς τοιαύτης ἀποδείξεως· ἄλλους δὲ μὴ θέλειν γινώσκεσθαι τὰ πρὸς αὐτοὺς, καὶ τὸ μέρος τῆς Ἐκκλησίας πραττόμενα· ὡς ἐντεῦθεν ἀναστέλλεσθαί τινας ἐκεῖνα πράττειν, ἅπερ εἰς λυσιτέλειαν τῶν αὐτῆς πραγμάτων ὁρᾷ. Ὥστε οὖν μὴ διὰ τὴν πρόφασιν ταύτην τὸ πρώην εἰς ὠφέλειαν αὐτῆς ἐπινοηθὲν, βλάβης αἴτιον αὐτῇ καταστῆναι, γινώσκοντες ἡμεῖς πάντων πλέον τὴν ἁγιωσύνην τὴν σὴν τὰ τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ λυσιτελοῦντα μεριμνᾷν τε καὶ πράττειν, πεποίθησιν αὐτῇ παρέχομεν, τὸν εἰρημένον μηδαμῶς τύπον εὐλαβούμενοι, καὶ χωρὶς τῆς δι' αὐτοῦ δηλουμένης παρατηρήσεως, τὰ ἐπὶ τοῖς εἰρημένοις δύο κεφαλαίοις διοικεῖν, ἀποβλεπούσῃ (καθὰ σύνηθές ἐστιν αὐτῇ) πρὸς αὐτὸν τὸν Θεὸν, τὸν πάντων μὲν τῶν εὐαγῶν οἴκων ἔφορον, κατ' ἐξαίρετον δὲ τῆς ἐν αὐτῇ τῇ βασιλίδι ταύτῃ πόλει ἁγίας τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, ἐξ ἧς ἀνένδοτοι καὶ τηλικαῦται τὸ μέγεθος περὶ τὰς εὐσεβεῖς πράξεις προΐασι χορηγίαι· θαῤῥοῦμεν γὰρ, ὅτι καὶ μόνη καθ' ἑαυτὴν ἡ ἡμῶν ἁγιωσύνη τῶν ἀναφερομένων αὐτῇ κεφαλαίων ἕκαστον βασανίζουσα, ἐκεῖνα ἔχει καὶ περὶ τὴν προκειμένην ὑπόθεσιν βουλεύσασθαί τε καὶ πράττειν, ὅσα δύναται τοῖς ἐκκλησιαστικοῖς πράγμασι προσάγειν ὠφέλειαν εἴτε προφανῆ, εἴτε λανθάνειν ὀφείλουσαν τοὺς πολλούς. Ἐδόθη τῇ ή. καλανδῶν Μαΐων, ἐν Κωνσταντινουπόλει, τῶν εὐσεβεστάτων καὶ αἰωνίων Αὐγούστων, Ἡρακλείου ἔτους θ', καὶ μετὰ τὴν ὑπατείαν αὐτοῦ ἔτους ή, καὶ Ἡρακλείου τοῦ νέου Κωνσταντίνου, τοῦ υἱοῦ αὐτοῦ, ἔτους ζ'.

Δʹ. ΠΕΡΙ ΤΟΥ ΜΗ ΕΞΕΙΝΑΙ, ΤΙΝΑ ΣΧΗΜΑ

Περιβεβλημένον ἱερατικὸν, οἱουδήποτε βαθμοῦ ἢ τάγματος ὄντα, ἐξ ἑτέρας πόλεως, ἢ κώμης, ἢ ἑτέρου τὸ σύνολον τόπου, τῇ βασιλίδι ταύτῃ παραγινόμενον πόλει, ἔν τινι τῶν αὐτῆς Ἐκκλησιῶν, ἢ τῆς ἐνορίας αὐτῆς, χωρὶς δοκιμασίας καὶ ἐπιτάγματος τοῦ τὸν ἀποστολικὸν ταύτης διέποντος θρόνον οἰκουμενικοῦ πατριάρχου καταπέμπεσθαι, ἢ διαρίων ἀξιοῦσθαι, εἴτε ἐκ τῶν θείων οἴκων, εἴτε ἐκ τοῦ εὐαγοῦς ὀρφανοτροφείου, ἢ ξενώνων, ἢ μοναστηρίων, ἢ ἑτέρου τινὸς τοιούτου οἴκου· μήτε μὴν ἐν δύο Ἐκκλησίαις κληρικὸν καθ' οἱονδήποτε τάττεσθαι τρόπον (1).

Εν ὀνόματι τοῦ Δεσπότου Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ ἡμῶν. Αὐτοκράτορες, Καίσαρες, Φλάβιοι, Ἡράκλειος, καὶ Ἡράκλειος νέος Κωνσταντῖνος, πιστοὶ ἐν Χριστῷ αὔγουστοι, Σεργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ οἰκουμενικῷ πατριάρχῃ, οἰκείῳ πατρί.

Τὴν κοινὴν ἅπασιν εὐκοσμίαν τε καὶ κατάστασιν τῆς εὐδαίμονος ἡμῶν πολιτείας ἀξίως τοῦ ταύτης μεγέθους τηρεῖσθαί τε καὶ διασώζεσθαι διὰ σπουδῆς ποιούμενοι, διαφερόντως δὲ καὶ τὴν τῶν ἁγιωτάτων Ἐκκλησιῶν τῆς εὐδαίμονος ταύτης πόλεως, καὶ τῶν ἐν αὐταῖς τὴν θείαν ἐκπληρούντων λειτουργίαν, ἄμεμπτον εἶναι πανταχόθεν προσήκειν ἡγούμενοι, μηδενί τε τὰ θεῖα καὶ ἱερὰ παίζειν ἐγχειρεῖν ἐξεῖναι, καὶ ταραχὴν, καὶ σύγχυσιν γίνεσθαι τὰ πάντων σεμνότερα, ἢ τὴν θείαν ὑπηρεσίαν ὑβρίζεσθαι, πολλῶν (οἷα εἰκὸς) ἐκ πάσης τῆς ὑφ' ἥλιον κατ' αὐτὴν γινομένων, ὡς εἰς κοινὴν ἁπάντων πατρίδα, τὴν βασιλίδα πόλιν, ἐν ᾗ τοσούτων ἁγιωτάτων Ἐκκλησιῶν τε καὶ εὐκτηρίων οἴκων, καὶ πρός γε εὐαγῶν μοναστηρίων ἐστὶ πλῆθος, ὧν ἡ σὴ προέστηκε μακαριότης· οὐκ ἀνεκτὸν ἡγούμεθα περιϊδεῖν, βασιλικῆς τε καὶ ἡμετέρας καὶ τοῦτο προνοίας ἀξιῶσαι, εἰδότες καὶ τοὺς ἄλλους ἡμῶν προγόνους, καὶ τὸν Ἰουστινιανὸν τὸν τῆς θείας λήξεως, μάλιστα ταῖς περὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως κατησφαλισμένον νομοθεσίαις, οὐ

(1) Βλέπε Νομοκάν. Τίτλ. Αʹ. Κεφ. ΚϚʹ. Τόμ. Αʹ. σελ. 63 κ ἑπ.

παρέργως τε, καὶ πλέον τῶν ἄλλων, ὡς εἰπεῖν, τὰ περὶ τούτων πολυπραγμονήσαντα, καὶ προσηκόντως ἐπανορθωσάμενον. Ἐπεὶ τοίνυν μεμαθήκαμεν, πολλοὺς ἐκ διαφόρων ἐπαρχιῶν τε, καὶ κωμῶν, ἢ ἐμπορείων, ἠγνοημένους μὲν καθάπαξ, εὐλαβὲς δὲ σχῆμα περιβεβλημένους, καὶ μηδὲ, ὡς εἰκὸς, κληρικοὺς ὄντας ὅλως, μηδὲ μὴν χειροτονίας ἀπό τινος ἱερέως, οἷς ἔξεστι, τετυχηκότας, ἐνίους δὲ τυχόντας, ἀλλ' ἐπί τισι κανονικοῖς ἐπιτιμίοις ἐκδιωχθέντας ἐκ τῶν τόπων, ἐν οἷς εἰσιν, ἢ καὶ τῆς λεγομένης ἀπολυτικῆς μὴ τυχόντας· εἶτα καὶ ἐνταῦθα φοιτῶντας, συμπλαττομένους ἐξ οἱουδήποτε τάγματος, ἱερατικοῦ ἢ βαθμοῦ εἶναι, [καὶ] χρήμασιν, ἢ προστασίαις, ἤ τισιν ἑτέραις περιδρομαῖς ὑφαρπάζειν παρὰ τοὺς νόμους καὶ τοὺς θείους κανόνας κλῆρον, ἢ τάγμα, ἢ βαθμὸν, ἢ ὑπουργίαν, ἢ ἄλλο τι τῶν οὐ προσηκόντων αὐτοῖς, καὶ καταπέμπεσθαι ἐν οἱᾳδήποτε Ἐκκλησίᾳ, ἢ εὐκτηρίῳ ταύτης τῆς ἐνδόξου πόλεως, ἢ τῆς ἐνορίας αὐτῆς, γνώμης χωρὶς καὶ ἐπιτροπῆς τῆς σῆς μακαριότητος· καὶ τὸ δὴ χείριστον, καὶ τὰς λεγομένας τῶν διαρίων κομίζεσθαι ῥόγας εἴτε διανομὰς, εἴτε ἐκ τοῦ εὐαγοῦς ὀρφανοτροφείου, ἢ εὐαγῶν ξενώνων, ἢ εὐαγοῦς μοναστηρίου, ἢ ἐκ τῶν θείων ἡμῶν οἴκων, ἢ ἑτέρου προσώπου οἱουδήτινος, ἢ ἄλλης οἱασοῦν διοικήσεως· ὅπερ οὐ μόνον εἰς ὕβριν καὶ καταφρόνησιν τῆς θείας φέρεται λειτουργίας καὶ μυσταγωγίας, ἀλλὰ καὶ εἰς τὸν πατριαρχικὸν θρόνον τῆς σῆς μακαριότητος, ὑφ' ὃν τελοῦσι πάντες οἱ εὐαγεῖς τόποι τῆς βασιλίδος ταύτης πόλεως, καὶ τῆς ταύτης ἐνορίας· καὶ τούτων δὲ χωρὶς, ὅπερ παντελῶς ἔξω τῶν ἱερῶν ἐστι κανόνων, πειρᾶσθαί τινας ἐν Ἐκκλησίαις διαφόροις ἑαυτοὺς εἰσποιεῖν, ἢ καὶ πολλάκις ὑπὸ τὸν ἐν Χαλκηδόνι ὁσιώτατον πρόεδρον, ἐνίοτε δὲ καὶ ἐν ταῖς ἁγιωτάταις Ἐκκλησίαις, ἐν αἷς ἡ σὴ μακαριότης τὴν τῶν διαρίων ἐπίδοσιν ποιεῖται, καὶ ἐν ἑτέραις, ἢ ὑπὸ τοὺς ἐνδοξοτάτους τῶν θείων οἴκων κουράτωρας, ἤ τινας ἑτέρους βασιλικοὺς ἢ εὐαγεῖς οἴκους, τετάχθαι ἐπὶ δύο καὶ τριῶν Ἐκκλησιῶν, καὶ τὸ πρᾶγμα συγχύσεως εἶναι μεστόν· εἶτα πολλάκις μετατίθεσθαι ἐξ οὗπερ ἐξ ἀρχῆς ἀπεκληρώθησαν τόπου, δέον αὐτοὺς ἐν ᾗπερ ἔτυχεν ἕκαστος ἱερωμένος Ἐκκλησίᾳ προσκαρτερεῖν,

κἀκεῖσε τὴν θείαν· ἐκπληροῦν λειτουργίαν. Ὡς μὴ ταῦτα ἐπὶ πολὺ λανθάνοντα τὴν ἐκκλησιαστικὴν ἀνατρέπειν κατάστασιν, δεῖν ἡγούμενοι τῆς προσηκούσης ἀξιωθῆναι προνοίας, εἰς τιμὴν μάλιστα φερόμενα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ, οὗτινος ἐπώνυμος ἡ εὐδαίμων ἡμῶν ἐστι πολιτεία, ὃν ἡγούμεθα πάντως τῆς τοιαύτης μᾶλλον πρὸς τὸ βέλτιστον ἀναγομένης τάξεως εὐμενέστερον ἡμῖν ἔσεσθαι, καὶ μείζονα τὴν οἰκείαν ἐφαπλῶσαι σύναρσίν τε καὶ βοήθειαν τοῖς πράγμασι τῆς εὐδαίμονος ἡμῶν πολιτείας· θεσπίζομεν, μηδένα ἐξ ἑτέρας πόλεως, ἢ κώμης, ἢ ἐμπορείου, ἢ ἑτέρου τόπου ἐπιδημοῦντα κατὰ ταύτην τὴν βασιλίδα πόλιν, ἱερατικὸν περιβεβλημένον σχῆμα, οἱουδήποτε βαθμοῦ ἢ τάγματος ἐπιθρυλλοῦντα τυγχάνειν ἐν οἱᾳδήποτε Ἐκκλησίᾳ, ἢ εὐκτηρίῳ, τοῦ λοιποῦ χωρὶς γνώμης τε καὶ ἐπιστάλματος τοῦ κατὰ καιρὸν προεστῶτος τῆς εὐδαίμονος ταύτης πόλεως πατριαρχικοῦ θρόνου, ἐν οἱῳδήποτε εὐκτηρίῳ οἴκῳ, ἢ Ἐκκλησίᾳ τῆς ἐνδόξου ταύτης πόλεως, ἢ τῆς αὐτῆς ἐνορίας κατατάττεσθαι, ἢ διαρίων ἀξιοῦσθαι εἴτε ἐκ τῶν θείων οἴκων, εἴτε ἐκ τοῦ εὐαγοῦς ὀρφανοτροφείου, ἢ τῶν εὐαγῶν ξενώνων, ἢ εὐαγοῦς μοναστηρίου, ἢ ἐξ ἑτέρου οἱουδήτινος προσώπου, ἢ ἄλλης τοιαύτης διοικήσεως· ἀλλὰ γίνεσθαι τὸν τοιοῦτον ἢ παρὰ τῇ σῇ μακαριότητι, ἢ παρὰ τῷ κατὰ καιρὸν μακαριωτάτῳ πατριάρχῃ· ἐκεῖνον δὲ ἐξετάζειν τὰ περὶ τῆς ποιότητος τοῦ προσώπου, καὶ οὕτως, εἰ συνίδοι, κατατάττεσθαι αὐτόν· μήτε δὲ κληρικόν τινα πρὸς τούτοις ταύτης τῆς εὐδαίμονος πόλεως, ἢ τῆς ἐνορίας αὐτῆς, οἱουδήποτε τάγματος ὄντα, ἢ βαθμοῦ, εἰς Ἐκκλησίαν, ἢ εὐκτήριον τόπον ἕτερον ἀπὸ τοῦ παρόντος μεταφέρεσθαι, ἢ μετατάττεσθαι, ἐπιστάλματος χωρὶς τῆς σῆς μακαριότητος· οὐδὲ μὴν ἐν δύο Ἐκκλησίαις, ἢ εὐκτηρίοις οἴκοις, καθ' οἱονδήποτε τρόπον τετάχθαι· τὸν δὲ ἀνασχόμενον δέξασθαι, ἢ κατατάττειν, ἢ μεταφέρειν, ἢ καταπέμπειν ἄνευ γνώμης καὶ ἐπιτροπῆς τῆς σῆς μακαριότητος, ἢ καὶ ἀπὸ Ἐκκλησίας εἰς Ἐκκλησίαν μεταφέρειν, ἢ καὶ ἐν δύο Ἐκκλησίαις τὸν αὐτὸν κατατάττειν, πέντε χρυσίου λιτρῶν ποινῇ ὑποκεῖσθαι, πρὸς τῷ καὶ ἄκυρον εἶναι καὶ πάντῃ ἀνίσχυρον τὸ παρ' αὐτοῦ

γεγονός· καὶ αὐτὸν δὲ τὸν ἐγχειροῦντα δεχθῆναι, ἢ κατάταγῆναι, ἢ ἀπὸ Ἐκκλησίας εἰς Ἐκκλησίαν μετατεθῆναι, ἢ ἐν δύο Ἐκκλησίαις τετάχθαι, μὴ μόνον ἐκπίπτειν τῆς οἰκείας ἐγχειρήσεως, ἀλλὰ καὶ τῆς λειτουργίας αὐτῆς ἔξω καθίστασθαι ἐπὶ τρεῖς ἐνιαυτούς, καὶ τῶν εἰθισμένων δίδοσθαι παρὰ τῆς κατ' αὐτὸν Ἐκκλησίας διαρίων, καὶ πρός γε κανονικοῖς ἐπιτιμίοις ὑποβαλλόμενον, δοκιμαζούσης ταῦτα τῆς σῆς μακαριότητος· καὶ αὐτοὺς δὲ τοὺς συλλειτουργεῖν αἱρομένους, ἢ δέξασθαι τὸν παρὰ γνώμην τῆς σῆς μακαριότητος καταπεμπόμενον, ἐπιτιμίοις ὁμοίως ὑποβάλλεσθαι, οἷς ἂν ἡ σὴ δοκιμάσῃ μακαριότης· παραφυλαττόντων διηνεκῶς τὰ παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα πραγματικοῦ τύπου, τῆς σῆς μακαριότητος, καὶ τῶν μετ' αὐτὴν τὸν τῆς εὐδαίμονος ταύτης πόλεως πατριαρχικὸν παραλαμβανόντων θρόνον, καὶ τῶν προεστώτων τῶν θείων ἡμῶν οἴκων ἐνδοξοτάτων ἀνδρῶν, τοῦ τε κατὰ καιρὸν προεστῶτος τοῦ κατὰ τὴν ἔνδοξον πόλιν κατὰ Ζωτικὸν εὐαγοῦς ὀρφανοτροφείου, καὶ τοῦ κατὰ Σαμψὼν εὐαγοῦς ξενῶνος, καὶ τῶν ἄλλων τῶν τὰς τοιαύτας προβολὰς ποιουμένων, φανερὰ τούτοις τὰ παρ' ἡμῶν ἐπ' εὐταξίᾳ τῶν ἁγιωτάτων Ἐκκλησιῶν θεσπισθέντα καθιστώσης τῆς σῆς μακαριότητος.

ΛΕΟΝΤΟΣ (1).

ΝΟΜΟΘΕΣΙΑ ΝΕΑΡΑ

ΛΕΟΝΤΟΣ ΒΑΣΙΛΕΩΣ ΚΑΤΑ ΤΟΝ ΒΑΡΔΑ.

ΠΑΣΑΝ σπουδὴν ἔχοντες ἀεὶ, ὥστε τὴν παρὰ τῆς ἄνω ῥοπῆς ἐγχειρισθεῖσαν ἡμῖν Ῥωμαϊκὴν πολιτείαν ὀρθοφρόνως τῇ ὑπερθέῳ καὶ μακαρίᾳ Τριάδι λατρεύουσαν, καὶ κατὰ τὰς θεουργοὺς αὐτῆς ἐντολὰς ἀναστρεφομένην ἐν εὐνομίᾳ ζωὴν εἰρηναίαν καὶ ἀστασίαστον(2), πάσῃ τῇ τοῦ βίου ῥαστώνῃ χαίρειν εἰπόντες, ἐμμελῶς ταῖς φροντίσιν ἐπαγρυπνεῖν, καὶ πάντα τὸν πόνον ἀναδεχθῆναι νύκτωρ τε καὶ μεθ' ἡμέραν προεθυμήθημεν, πεποιθότες ἐν τούτῳ μάλιστα κατευθύνεσθαι τὴν τῆς σωτηρίας ὁδὸν, καὶ τὸν στέφος ἡμῖν δωρησάμενον μεγαλοκράτορα βασιλέα τὰ μέγιστα θεραπεύειν, καὶ τῆς παρ' αὐτοῦ ἀπολαύειν φιλανθρώπου κηδεμονίας. Ἀμέλει τοίνυν καὶ νῦν τῆς συνήθους ἐχόμενοι φιλαγρύπνου ἐπιμελείας, πρᾶγμά τι σκαιὸν καὶ πάσης ἀνάμεστον παρανομίας, ὥσπερ τι φθοροποιὸν καὶ λοιμῶδες νόσημα παρεισπεσὸν, ἐξαφανίσαι καὶ τῆς πολιτείας τῆς ἡμετέρας ποῤῥωτάτω ἀπελάσαι διενοήθημεν. Ἀνόσιοι γάρ τινες, καὶ παρανομίᾳ συζῶντες, οὐκ ἄνδρες μόνον ἀλλὰ καὶ γυναῖκες, τῆς θείας ἀλογήσαντες ἐντολῆς,

---

(1) Λέων ὁ Δ', ὁ καὶ Χάζαρος καλούμενος, υἱὸς Κωνσταντίνου τοῦ Κοπρωνύμου, εἰκονομάχος καὶ αὐτὸς, συνεβασίλευσε μετὰ τοῦ πατρὸς αὐτοῦ ἔτη κδ', μόνος δὲ μετὰ τὴν τελευτὴν αὐτοῦ ἀπὸ τοῦ ἔτους 775 μέχρι τοῦ ἔτους 780.
Τὴν ἀνωτέρω Νεαρὰν, διατηρηθεῖσαν ἐν τῷ ὑπ' ἀρ. VII νομικῷ κώδικι τῆς ἐν Βιέννῃ αὐτοκρατορικῆς βιβλιοθήκης ὡς παράρτημα τοῦ Προχείρου Νόμου τοῦ Βασιλείου, ἀποδίδει ὁ Κ. Ζαχαρίας (Delineatio hist. juris Græco—Romani) Λέοντι τῷ Χαζάρῳ καὶ τῷ υἱῷ αὐτοῦ Κωνσταντίνῳ, εἰ καὶ ὁ Κ. Wite (Ἀνέκδοτα II σελ. 261) ἀμφιῤῥέπει μεταξὺ τῶν δύο τούτων βασιλέων, καὶ Λέοντος τοῦ Ἰσαύρου μετὰ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Κοπρωνύμου. Ἀλλ' ἡ ἐν τῷ καταλόγῳ τοῦ ὑπ' ἀρ. 179 κώδικος τῆς ἐν Βενετίᾳ βιβλιοθήκης τοῦ Ἁγίου Μάρκου κατάταξις τῆς Νεαρᾶς μετὰ τὰς Νεαρὰς τῆς βασιλίσσης Εἰρήνης πιθανολογεῖ μᾶλλον τὴν γνώμην τοῦ Κ. Ζαχαρίου, ἣν παραδέχεται καὶ ὁ Κ. Mortreuil Hist. du droit Byzantin Τόμ. Α'. σελ. 350.

(2) ἴσως ἐλλείπει τὸ, διάγειν.

ἀλλήλους ἀποστυγοῦντες, τὰ συνοικέσια λύειν διενοήθησαν, οἱ μὲν ὑπό τε γυναίων ἀσέμνων, καὶ τῆς τῶν ἡδονῶν οἰστρηλατούσης ἀκολασίας συνελαυνόμενοι, αἱ δὲ σκήψεις τινὰς οὐκ ἀπρεπεῖς κατὰ τῆς τῶν ἀνδρῶν προβαλλόμεναι κοίτης (1), ὡς δῆθεν εἰς τὴν ἑαυτῶν εὐνὴν ἐξυβρισάντων, ἐπίνοιάν τινα ὡς δεινὴν καὶ κακότροπον ὑπ' αὐτοῦ τοῦ σοφιστοῦ τῆς κακίας ἐμηχανήσαντο· τὰ σφέτερα γὰρ τέκνα ἐκ τοῦ τῆς παλιγγενεσίας λουτροῦ, τοῦ ἁγίου, φαμὲν, καὶ σωτηριώδους βαπτίσματος, ἀνεδέξαντο, κἀκ τούτου πρὸς ἀθέμιτον ἦλθον διάζευξιν, τὴν ἐξ ἀμφοῖν θείᾳ χάριτι μίαν σάρκα γεγενημένην τολμηρῶς ἀποτεμόντες, καὶ τὴν ἐπαινετὴν ἕνωσιν ἀτοπωτάτῃ λύσαντες διαιρέσει, καὶ ἀπωλείας μὲν αἴτιοι τῆς ἑαυτῶν φαντασθέντες, ἀπευκτὸν δὲ τῇ πολιτείᾳ γενόμενοι ἄκουσμα. Ταύτην τοιγαροῦν τὴν παρανομίαν ἐνδίκως ἀνελεῖν βουληθέντες, καὶ τὴν προσήκουσαν τῷ σφάλματι διόρθωσιν ἐπιτίθεσθαι σπεύσαντες, συμβούλῳ ἀγαθῷ τοῖς τοῦ Θεοῦ χρησάμενοι δικαιώμασιν, (καὶ γὰρ μὴ χρῆναι ἄνδρα γυναικὸς διαζεύγνυσθαι παρεκτὸς λόγου πορνείας, ἡ τῶν ἱερωτάτων λογίων Κυριόλεκτος διαῤῥήδην ἐκδιδάσκει φωνὴ,) ἐπὶ τήνδε ἐλθεῖν τὴν εὐσεβῆ νομοθεσίαν τῶν ἀναγκαιοτάτων ἐκρίναμεν ποιεῖν, ὡρισμένην ἐντάξαι ταύτην δίκαιον ἡγησάμενοι, ὡς ἂν τὴν λύμην τοῦ ἀῤῥωστήματος στήσαιμεν μὴ ποῤῥωτέρω προβῆναι. Εἰ γὰρ μηδεμία μὲν τῇ ἀρετῇ παρέψεται τιμή τε καὶ εὔκλεια, ἀκόλαστα δὲ τὰ τῆς κακίας ἀφεθείη καὶ ἀδιόρθωτα, σπάνιος μὲν ἡ τῆς καλοκἀγαθίας κτῆσις τοῖς ἀνθρώποις γενήσεται, εὔζηλωτον δὲ τῆς μοχθηρίας ἡ ἐξαπάτη φανήσεται.

Θεσπίζομεν τοίνυν διὰ τοῦδε ἡμῶν τοῦ δικαιοτάτου καὶ πανευσεβοῦς τύπου, ὡς, εἴ τις ἀπὸ τῆς δεῦρο τοιοῦτόν τι διαπρᾶξαι τολμήσειε, καὶ τῷ ῥηθέντι κακίστῳ φωραθείη ἐγκλήματι, ἀνὴρ μὲν ὢν, τήν τε προῖκα, ἣν προσεδέξατο, καὶ ἣν ὑπέσχετο προγαμιαίαν δωρεὰν, εἰς ὁλόκληρον παρὰ τῆς γυναικὸς μεθοδευθήσεται, τουτέστι μεταποιηθήσεται (2), τοῦτον τὸν τρόπον, ὥστε τὰς μὲν ὀκτὼ οὐγκίας, ἤτοι τὸ ἥμισυ [καὶ] ἕκτον κομίσασθαι τὸ τέκνον, ἢ τὰ τέκνα, ὅσαπερ ἂν εἶεν· καὶ εἰ μὲν ἡ τούτων μήτηρ

(1) σκήψεις δέ τινας κατὰ τῶν ἀνδρῶν προβαλλόμενοι κοίτην, ἐν τῷ Χειρ.
(2) ἐπεξήγησις μεταγενεστέρα.

σεμνὸν καὶ ἔνθεον αἱρουμένη βίον εὐλαβηθείη δευτέροις ὁμιλῆσαι γάμοις, τῆς τε θείας εὐμενείας παραπολαύσει, καὶ τὴν χρῆσιν ἕξει τῆς τοιαύτης ὑπάρξεως τὸν ἅπαντα τῆς ζωῆς αὐτῆς χρόνον· μετὰ δὲ τὴν αὐτῆς ἐκ τοῦδε τοῦ βίου ἄφιξιν ταύτης οἱ παῖδες μεριοῦνται ὡς πατρῷαν ἐξ ἰσότητος· εἰ δὲ παραφυλαττούσης αὐτῆς τὸν πένθιμον καιρὸν, ἤτοι τὸν δωδεκαμηνιαῖον χρόνον, δεήσει πρὸς δεύτερον ταύτην ἐλθεῖν συνοικέσιον, (ἄδειαν γὰρ αὐτῇ ὁ παρὼν δίδωσιν νόμος ὡς ἠδικημένῃ περὶ τὴν εὐνὴν,) τὴν μὲν προῖκα τὴν ἑαυτῆς καὶ τὴν πρὸ γάμου λήψεται δωρεὰν, καὶ πρὸς τὸν δεύτερον ἀπελεύσεται ἄνδρα, ἡ δὲ λοιπὴ ποσότης τῆς τοῦ προτέρου ἀνδρὸς περιουσίας, ἃς προέφημεν ὀκτὼ οὐγκίας, παρευθὺ τοῖς ἐκ τοῦ προτέρου συνοικεσίου παισὶν ἀπονεμηθήσεται· καὶ εἰ μὲν ὕπεισιν οὗτοι, ταύτης ἀπολαυέτωσαν· εἰ τεθνήξονται δὲ, ἡ τούτων κληρονομία εἰς τὴν μητέρα ἐπαναδραμεῖται, καὶ οὐδὲν τὸ παράπαν ἐξ αὐτῆς ὁ ἀθέσμως τὸν γάμον διαλύσας λήψεται πατήρ· εἰ δέ γε προτελευτήσει ἡ μήτηρ, ἀλλήλοις παραπεμπέτωσαν τὴν κληρονομίαν οἱ παῖδες· εἰ δέ γε πάντες αὐτῶν τελευτήσωσι, καὶ ἔτι περίεστιν ὁ πατὴρ, ἡ τούτων κληρονομία εἰς τοὺς μητρῴους αὐτῶν συγγενεῖς περιερχέσθω κατὰ τὴν ἔννομον τῶν βαθμῶν οἰκειότητα, καὶ μηδὲν ἐξ αὐτῆς μήτε ὁ πατὴρ, μήτε οἱ τούτου συγγενεῖς κομιζέσθωσαν. Εἰ δὲ καὶ πρὸ τῶν ἑαυτοῦ παίδων ἐτελεύτησεν ὁ πατὴρ, προαποιχομένης, ὡς ἔφημεν, δηλαδὴ τῆς αὐτῶν μητρὸς, καὶ κατόπιν τελευτήσωσιν ἅπαντες οἱ παῖδες, τηνικαῦτα αἱ τούτων ὑπάρξεις εἰς τοὺς ἑκατέρου μέρους συγγενεῖς παραπεμφθήσονται, τουτέστιν εἴς τε τοὺς πρὸς μητρὸς καὶ πρὸς πατρὸς κατὰ τὴν τῶν βαθμῶν ἐγγύτητα, ὡς προλέλεκται. Τὸ μέντοι ὑπολελειμμένον τετραούγκιον, ἤτοι τὸ τρίτον μόριον τῆς ὑποστάσεως τοῦ τὸν γάμον διαλύσαντος, ἀφεθήσεται αὐτῷ πρὸς χρῆσιν ψιλὴν, τῆς δεσποτείας προδήλως τοῖς ἐξ αὐτοῦ φυλαττομένης παισὶ, μὴ δυναμένου αὐτοῦ μηδὲ τὸ προλεχθὲν τρίτον μέρος, μήτε ἅπερ εἰς τὸ μέλλον προσκτήσεται, ἑτέροις καταλιμπάνειν κληρονόμοις καθ' οἱονδήποτε λόγον, τῶν ἑαυτοῦ περιόντων τέκνων, εἰ μήποτε εἰς ψυχικὴν αὐτοῦ σωτηρίαν συντεινούσας ἀφορμὰς παραπέμψαι βουληθείη. Εἰ γὰρ προετελεύτησαν οἱ τούτου παῖ-

δες, ἄδειαν ἐχέτω τὴν ἐγκαταλειφθεῖσαν αὐτῷ τοιαύτην ὕπαρξιν, ὡς ἂν ἐθέλειε διοικεῖν, καὶ οὐδὲν ἐξ ἀδιαθέτου κωλυθήσονται τοῦτον κληρονομεῖν οἱ ἐγγίζοντες αὐτῷ κατὰ συγγένειαν. Εἰ μὲν οὖν παῖδες ὑπάρχουσι, τοῦτον πρυτανευέσθω τὸν τρόπον ἡ αὐτοῦ περιουσία. Εἰ δέ γε ἐν τῷ μεταξὺ χρόνῳ, πρὶν ἢ τὸ τῆς ὑποθέσεως παρὰ κριταῖς ζητηθῆναι, καὶ τὴν προσήκουσαν ἔκβασιν δέξασθαι, τετύχηκε τελευτῆσαι τὸ τέκνον ἢ τὰ τέκνα, καὶ ἄπαιδες τυγχάνουσι, τότε πρὸς τῇ ἀποκαταστάσει τῆς προικὸς, καὶ τῆς προγαμιαίας δωρεᾶς, καὶ τὸ ἐξ ἀπαιδίας κάσσον δοθήσεται τῇ γυναικὶ, ὅπερ ἀπὸ τελευτῆς τοῦ ἀνδρὸς αὐτῇ ἐπωφείλετο, καὶ εἶθ' οὕτως διαιρείσθω ἡ λοιπὴ αὐτοῦ ὕπαρξις, κατὰ τὸν προϋφηγηθέντα σκοπόν· καὶ τὸ μὲν τρίτον μέρος λήψεται, ὡς προέφημεν, τὸ δέ γε ἕτερον ἥμισυ ἕκτον τοῖς πένησι διαδοθήσεται. Πρὸς τούτοις δὲ τοῖς ἐγκεκριμένοις, παραχρῆμα ἀπελαθήσεται ἐπταετεῖ ὑποβαλλόμενος ἐξορίᾳ, κωλυθήσεται δὲ εἰς δευτέρους ἀφικέσθαι γάμους, μέχρις ἂν τὸ τοῦ θανάτου πέρας εἰσδέξεται, τὸν ἐκ τοῦ παρόντος νόμου ἐπηρμένον αὐτῷ ὑφορώμενος κίνδυνον· εἰ γὰρ φανείη τοῦτο τετολμηκὼς, αὐτὸς μὲν διηνεκεῖ παραπεμπέσθω ἐξορίᾳ, παράνομος δὲ ὁ γάμος, καὶ οὐδὲ γάμος ἔστω, ἀπρόσδεκτα δὲ τὰ ἐξ αὐτοῦ τυχὸν προβήσεσθαι μέλλοντα τέκνα, μηδεμιᾶς ἀπολαύοντα προνοίας ἐκ τῆς αὐτοῦ περιουσίας. Καὶ ταῦτα μὲν, εἴπερ ἀνὴρ πέφυκεν ὁ τὴν ἀσχήμονα ταύτην μελετήσας τοῦ γάμου διάλυσιν· εἰ δὲ γυνὴ τυγχάνει, τὰς αὐτὰς κατὰ πάντα τῷ ἀνδρὶ ποινὰς ὑποστήσεται. Ἀλλὰ ταῦτα μὲν, εἴπερ εὔποροι εἶεν οἱ τὸ συνοικέσιον λύοντες, τεθεσπίκαμεν· εἰ γὰρ ἄπορόν ἐστι τὸ πρόσωπον, ὃ τὴν ἄκοσμον ταύτην καινοτομίαν εἰργάσατο, ἀντὶ μὲν τῆς προκειμένης ζημίας σφοδρῶς αἰκισθῆναι κίνδυνον (1), καὶ ἐπὶ τοῖς λοιποῖς, ὡς ὁ παρὼν διαγορεύει νόμος, κατακριθήσεται.

Καὶ ταῦτα μὲν ἡμῖν περὶ τῶν ἐκ τοῦ παναγίου βαπτίσματος τὰ ἑαυτῶν παρὰ νόμους δεξαμένων τέκνα νενομοθέτηται. Ἐπειδὴ δέ τινες ἑτέροις διαφόροις τρόποις τὰ ἑαυτῶν διαλύσαντες συνοικέσια, ἑτέρους αὖθις συνεκρότησαν γάμους, ἀναγκαῖον ἡμῖν

(1) ἴσως ἐλλείπει τὸ, ὑποστήσεται.

κατέφαίνετο, καὶ τὴν περὶ αὐτῶν σπουδαίως ποιήσασθαι ἐπιμέλειαν. Οἱ μὲν γὰρ ἀπεχθῶς πρὸς ἀλλήλους διατεθέντες, καὶ προϊόντος τοῦ χρόνου τοῦ μίσους αὐξηθέντος, μηδεμιᾶς εὐλόγου παρεμπεσούσης (1) προφάσεως, καθ' ἣν ἄνδρα ἀπὸ γυναικὸς χωρίζεσθαι οἱ εὐσεβεῖς διαγορεύουσι νόμοι, κακῇ συμφωνίᾳ τὸν ἑαυτῶν διέλυσαν γάμον, οὐ σωφροσύνης ἐρῶντες, οὐδὲ καθαριότητι βίου χαίροντες, ἀλλὰ ἀκράτητοι ἀκαθέκτοις ἐπιθυμίαις ἑαυτοὺς ἐφιέντες, καὶ τούτων ἔλεγχος ἀψευδὴς ἡ μετὰ τὴν διάζευξιν αὐτῶν ἀναστροφή· οἱ δὲ σκοπῷ εὐσεβείας κινηθέντες πρὸς τοῦτο ἀφίκοντο· καὶ εἰ μὲν ἄμφω μετὰ τὴν διαίρεσιν ἐν ἁγνείᾳ βιοῦντες διέλυσαν, οὐδὲν ἂν σκολιὸν οὐδὲ ἄχαρις ἐκ τῆς τοιαύτης διαλύσεως συμβαίνειν ἔμελλεν, ἀλλ' ἐπαινετοὶ εἶεν τῆς καλῆς τε καὶ ἀγαθῆς προαιρέσεως, τῶν φθαρτῶν τὰ ἄφθαρτα, καὶ τῶν ἐπικήρων τὰ μόνιμα καὶ διαρκῆ προελόμενοι· εἰ δὲ οὐχ οὕτως διετέθησαν, ὁ μὲν γὰρ τυχὸν τῷ μοναστηρίῳ προσέδραμεν, ἡ δέ, μὴ τηρήσασα τὴν κοίτην ἄθικτον τῷ ἀνδρί, ἑτέρῳ ἑαυτὴν κατεγγύησεν, ἢ ἐκείνη μὲν Θεῷ καθιέρωται, ὁ δὲ αἴσχιστον διεξάγει βίον, δίκαιον [καὶ] ἀρέσκον (2) Θεῷ ἡγησάμεθα, διὰ τοῦδε ἡμῶν τοῦ πανευσεβοῦς νόμου καὶ τὴν τούτου τυπῶσαι διόρθωσιν. Ὁρίζομεν τοίνυν, ὥστε ἀπὸ τοῦ παρόντος μηδένα τῶν πρὸς γάμου συνάφειαν ἀφιγμένων, καὶ τοῦτον συναινέσει (3) καθ' οἱονδήποτε λόγον διαλυσάντων, εἴτε ἀνὴρ ἐστι εἴτε γυνή, ἀποπειραθῆναι αὖθις εἰς ἕτερον ἐλθεῖν συνοικέσιον· ἀνόσιον γὰρ τοῦτο καὶ τοῦ χριστιανικωτάτου θεσμοῦ ἀλλότριον· Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα· καὶ αὖθις· Γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι, ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἡ ἀποστολικὴ παρεγγυᾷ Γραφή. Οὗ χάριν πᾶσι τρόποις ἀπείργομεν τοὺς τοιούτους πρὸς ἑτέρους φοιτῆσαι γάμους, καὶ οἵ γε τοῦτον τολμηρῶς παραβαίνοντες [τὸν] νόμον, καὶ μετὰ τὴν ἀλλήλων διάζευξιν ἕτερον ἁρμόσαι ἐπιχειροῦντες συνοικέσιον, ταῖς πρεπούσαις ὑποβληθήσονται ποιναῖς· ὁ μὲν γὰρ τοιοῦτος παράνομος διαλυθήσεται γάμος, καὶ

(1) παραπεμπεύσης, ἐν τῷ Χειρ. — (2) δικκιοῦν ἀρέσκεν, τὸ Χειρ. — (3) συνηνέσει, τὸ Χειρ.

ἀθέμιτα τὰ ἐξ αὐτοῦ προβάντα τέκνα λογισθήσονται, αὐτοὶ δὲ τῇ ἑπταετεῖ ἐξορίᾳ παραπεμφθήσονται, τὴν γʹ. μοῖραν τῆς ἑαυτῶν περιουσίας ἐν χρήσει μόνον κομιζόμενοι, τὴν δὲ κυριότητα τοῖς ἐκ νομίμων γάμων αὐτοῖς συντηροῦντες παισίν· εἰ γὰρ παῖδας οὐκ ἔχουσιν, ἢ εἶχον μὲν, ἐτελεύτησαν δὲ, ἄδειαν ἐχέτωσαν, εἰς ἃ ἂν βουληθῶσι πρόσωπα ταύτην παραπέμπειν, εἰ μήπου τις ἕτερος νόμος ὁ κωλύων φανείη· ὑπεξῃρημένων δηλαδὴ τῆς τοιαύτης φιλοτιμίας τῶν ἀθέσμως αὐτοῖς ἑνωθέντων πρὸς γάμον, καὶ τῶν ἐξ αὐτῶν παρανόμων τέκνων, ὡς προέφημεν· αἱ λοιπαὶ ἡ. οὐγκίαι, ἤτοι τὸ δίμοιρον μέρος, εἰ μὲν γνησίους ἔχουσι παῖδας, τούτοις παρανεμηθήσονται· οἵτινες, ζῶντες μὲν, τῆς τοιαύτης ἀπολαυέτωσαν περιουσίας, τελευτῶντες δὲ, εἰς τὸν ἄμεμπτον γονέα ταύτην παραπεμπέτωσαν, εἴπερ ἄρα ζῇ· εἰ δέ γε ἐτελεύτησεν, ἀλλήλων διαδεχέσθωσαν τὴν κληρονομίαν οἱ παῖδες, μηδὲν ἐξ αὐτῆς κερδαίνοντος τοῦ τῷ πταίσματι περιπεπτωκότος γονέως· μετὰ δὲ τὴν πάντων αὐτῶν ἀποβίωσιν εἰς τοὺς συγγενεῖς τοῦ ἀμέμπτου μέρους ἡ κληρονομία ἐλεύσεται· εἰ δὲ καὶ πρὸ τῶν παίδων τέθνηκεν ὁ τῷ σφάλματι περιπεπτωκὼς γονεὺς, τότε τὴν αὐτὴν περιουσίαν οἱ ἐξ ἑκατέρων τῶν μερῶν γένους νόμιμοι κληρονόμοι μεριοῦνται. Εἰ μὲν οὖν ἐκ θεμιτῶν γάμων παῖδας ἔχουσι, τοῦτον τετυπῶσθαι τὸν τρόπον· εἰ δὲ ἄπαιδες ὄντες τυγχάνουσι, πιπρασκομένης τῆς τοιᾶσδε ὑπάρξεως εἰς πτωχικὴν χωρῆσαι διάδοσιν· εἰ δὲ μετὰ τὴν τῆς ἑπταετοῦς ἐξορίας συμπλήρωσιν, μὴ σωφρονοῦντες αὖθις, καθάπερ κύων ἐπὶ τὸν ἴδιον ἔμετον ἐπανέλθωσιν, ὥστε ἑτέρους συγκροτῆσαι γάμους, διηνεκῶς ἐξοριζέσθωσαν. Καὶ περὶ μὲν τῶν κατὰ συναίνεσιν (1) διαλυσάντων, καὶ φανερῶς εἰς δεύτερα συνελθόντων συνοικέσια, ταῦτα ἡμῖν τεθέσπισται. Εἰ δέ γε μὴ φανερῶς καὶ ἀναισχύντως πρὸς γάμου κοινωνίαν ἐρχόμενοι, αἰσχρῶς δὲ καὶ ἀθέσμως φωραθῶσι βιοῦντες, πρὸς τῷ σφοδρῶς αὐτοὺς τυφθῆναι, καὶ ἐπὶ πενταετίαν ἐξοριζέσθωσαν· εἰ δὲ μετὰ ταῦτα μὴ σωφρονισθῶσιν, ἀλλ' αὖθις ἀκολασίᾳ ἑαυτοὺς ἐκδότους ποιήσωσι, διαιρείσθω ἡ τοιούτων περιουσία, καθ' ὅνπερ εἰ-

---

(1) συναίρεσιν, τὸ Χειρ.

ρήκαμεν τρόπον, καὶ τὴν μὲν τρίτην μοῖραν κομιζόμενοι διηνεκεῖ παραπεμπέσθωσαν ἐξορίᾳ· ἡ δέ γε ἑτέρα τοῦ διμοίρου ποσότης τοῖς γνησίοις αὐτῶν παισὶ δοθήσεται, καὶ κατὰ τὸν προηγηθέντα σκοπὸν ἡ τούτων κληρονομία οἰκονομηθήσεται· εἰ δὲ ἄπαιδες ὦσιν, ἐνδεῶν καὶ πενήτων γενήσεται παρανάλωμα.

Τοῖς παλαιοῖς δὲ νόμοις ἐξακολουθοῦντες, ὁρίζομεν καὶ τοῦτο· ἵνα ἀπὸ τοῦ παρόντος κεκωλυμένοι ὦσιν οἱ ἐκ τοῦ ἁγίου βαπτίσματος ἀλλήλους λαμβάνειν, τουτέστιν ὁ ἀνάδοχος τὴν ἑαυτοῦ πνευματικὴν θυγατέρα, καὶ τὴν ταύτης μητέρα, ὡσαύτως καὶ ὁ αὐτοῦ υἱός τε καὶ ἀδελφὸς, τὴν αὐτοῦ τοῦ πατρὸς ἢ καὶ ἀδελφοῦ πνευματικὴν θυγατέρα, καὶ τὴν αὐτῆς μητέρα. Εὑρίσκονται σήμερον πολλοὶ πάπποι τὰ ἑαυτῶν ἔγγονα ἐκ τοῦ ἁγίου δεχόμενοι βαπτίσματος, καὶ ὑπὸ τῆς τοιαύτης μεμφόμενοι νομοθεσίας· ὁ μὲν γαμβρὸς τῶν ἰδίων συντέκνων καὶ πενθερῶν φαίνεται ἔχων τὴν θυγατέρα, ἡ δὲ νύμφη τῶν οἰκείων, ὡς εἴρηται, πενθερῶν καὶ συντέκνων ὁμοίως ἔχουσα τὸν υἱόν (1).

Λοιπὸν, ὡς προλέλεκται, παρεγγυώμεθα περὶ τούτου πᾶσιν ὑμῖν, ἵνα οἱ γονεῖς ἀπέχωνται τοῦ δέχεσθαι ἀπὸ τοῦ ἁγίου βαπτίσματος τὰ ἑαυτῶν ἔγγονα· οὐ γὰρ λείπουσιν ἕτεροι ἴδιοι συγγενεῖς, ἢ καὶ φίλοι, οἱ μὴ κωλυόμενοι τὰ αὐτῶν ἀναδέχεσθαι τέκνα, ὡς εἴρηται, ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος.

---

(1) Τὰ ἀπὸ τοῦ, εὑρίσκενται μέχρι τέλους τοῦ παραγράφου, νεωτέρου τινὸς φαίνενται προσθήκη, ὡς καὶ τῷ Κ. Ζαχαρίᾳ δοκεῖ.

ΕΙΡΗΝΗΣ.

Α'. ΘΕΣΠΙΣΜΑ, ΗΓΟΥΝ ΝΟΜΟΘΕΣΙΑ ΕΙΡΗΝΗΣ,

Μεγάλου βασιλέως Ῥωμαίων καὶ αὐτοκράτορος, περὶ τοῦ μὴ ὀμνύειν τινὰ παραγόμενον εἰς μαρτυρίαν, καὶ ἀμφοτέρων κεφαλαίων (1).

Ἀγαθῶν ἁπάντων χορηγὸν, καὶ δοτῆρα, καὶ αἴτιον, τὸν ποιητὴν καὶ δεσπότην τῶν ὅλων Θεὸν ἐπιστάμενοι, καὶ πιστεύσαντες ἐν τῇ τῶν ἁγίων αὐτοῦ ἐντολῶν ἐκπληρώσει εὐοδοῦσθαι τὴν βασιλείαν ἡμῶν, καὶ ἐν ἀγαθοῖς προκόπτειν τὸν ἐμπιστευθέντα ἡμῖν χριστεπώνυμον λαὸν, αὐτόν τε ἐπικαλούμενοι συλλήπτορα καὶ βοηθὸν γενέσθαι ἐν πᾶσι τοῖς ὑπ' αὐτοῦ ἡμῖν ἐγχειρισθεῖσι πράγμασι, τοὔνεκα περὶ τῆς τῶν ὅρων ἐκκοπῆς κεφάλαιον ἀπάρξασθαι δεῖν ᾠήθημεν. Πᾶσι τοίνυν τοῖς οὐκ ἀνεπιστήμοσι τῶν θείων Γραφῶν ἀρίδηλον πέφυκεν, ὅτι σκιὰν ἔχων τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, ὁ διὰ Μωσέως ἐδόθη νόμος, διὰ τὸ ἀτελὲς καὶ νηπιῶδες τῶν δεξαμένων· οὐ γὰρ οἷοί τε ἦσαν αὐτὴν τὴν ἀλήθειαν ἄρτι ἀκουσθῆναι οἱ τῇ παροικίᾳ τοῦ αἰῶνος τοῦδε προστετηκότες. Ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν αὐτὸς ὁ Λόγος τοῦ Θεοῦ καὶ Θεὸς ἡμῶν παραγέγονεν εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν· πληρώσας οὖν τὸν δοθέντα πάλαι διὰ Μωσέως νόμον, καὶ φωτίσας πάντα τὰ ἔθνη τῇ ἐπιγνώσει τῆς αὐτοῦ ἀληθείας, δέδωκεν ἡμῖν ὡς τελείοις κατεπίγνωσιν τῶν τελείων αὐτοῦ νόμων τῆς αὐτοῦ

(1) Ἡ Εἰρήνη, σύζυγος Λέοντος τοῦ Δ', διῴκησε τὴν βασιλείαν πρῶτον μὲν ὡς ἐπίτροπος τοῦ υἱοῦ αὐτῆς Κωνσταντίνου, ἀπὸ τοῦ ἔτους 780 μέχρι τοῦ 790, ὅτε ἀνέλαβε τὸ σκῆπτρον ὁ υἱὸς αὐτῆς· μετὰ δὲ τὸν βίαιον αὐτοῦ θάνατον ἐβασίλευσεν ἡ Εἰρήνη, ἀπὸ τοῦ ἔτους 797 μέχρι τοῦ 802. — Τὴν Νεαρὰν ταύτην ἐξέδοτο ὁ Φρέερος ἐν τῷ Γραικο-Ῥωμαϊκῷ Νομίμῳ Μέρει Β'. σελ. 135—138 ὑπὸ τὴν ἐπιγραφὴν, Αὐτοκράτορες, Καίσαρες, Βασίλειος, Κωνσταντῖνος, καὶ Λέων, εὐσεβεῖς, ἀεισέβαστοι, πιστοὶ, εἰρηνοποιοὶ, Αὔγουστοι. Ἀλλ' ὡς ἐκ τῶν Κωδίκων 179 καὶ 192 τῆς ἐν Βενετίᾳ βιβλιοθήκης τοῦ Ἁγίου Μάρκου ἔστιν εἰκάσαι, ἡ Νεαρὰ αὕτη φαίνεται μᾶλλον ἐκδεδομένη παρὰ τῆς βασιλίσσης Εἰρήνης, ὡς καὶ ὁ Κ. Ζαχαρίας φρονεῖ. — Βλέπε καὶ Mortreuil Τόμ. Α', σελ. 352.

χάριτος. Ἐν ὑποδείγματι δὲ, ἐκ μέρους τὸ ὅλον ὑποφαίνοντες, εὐαγγελικῶς φαμέν· Ἐῤῥέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις· ἡμῖν δὲ καὶ τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἐκκόπτειν παρακελευόμενος ὁ Κύριός φησι, μήτε ὀργισθῆναι εἰκῆ· ἐκείνοις, Οὐ μοιχεύσεις· ἡμῖν, καὶ μήτε γυναικὶ ἐμβλέψαι, πρὸς τὸ ἐπιθυμῆσαι· ἐκείνοις, οὐκ ἐπιορκήσεις· ἡμῖν δὲ, οὐδὲ τὸ ὀμόσαι ὅλως, περὶ οὗ ἡμῖν ἡ παροῦσα πραγματεία πεπόνηται, διὰ τοῦ ὅρκου τίκτεσθαι τὴν ἐπιορκίαν, ἥτις ἐστὶ Θεοῦ ἄρνησις. Συνήθεια δέ τις οὐ καλὴ καὶ ἀρεστὴ Κυρίῳ, εἰπεῖν δὲ μᾶλλον, ὡς τὰ πολλὰ Ἑβραϊκὴ ἕως τοῦ νῦν κεκράτηκε, τὰς στραγγαλιὰς τῶν φιλονεικιῶν δι' ὅρκου λύεσθαι. Τοῦ γὰρ Σωτῆρος καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ καὶ τὰ πάλαι νομοθετήσαντος, διαῤῥήδην φάσκοντος, ὡς εἴρηται, μὴ ὀμόσαι ὅλως· ἑπομένως δὲ βοῶντος τοῦ θείου Ἀποστόλου Ἰακώβου, Πρὸ πάντων ἀδελφοί μου μὴ ὀμνύετε (1), ὡσαύτως δὲ καὶ τῶν ἐνδόξων καὶ μακαρίων ἡμῶν Πατέρων ἀκολούθως καὶ συμφώνως παραδεδωκότων παντὸς ὅρκου ἀπέχεσθαι, ταύτῃ τῇ θείᾳ νομοθεσίᾳ τὸν αὐχένα τοῦ κράτους ἡμῶν ὑποκύπτομεν, καὶ τὴν παρὰ ταύτην κρατήσασαν παράνομον συνήθειαν ἀποπεμπόμεθα, οὐκ εὔλογον οἰόμενοι μέσον τοῦ ἐμπιστευθέντος ἡμῖν χριστιανικωτάτου ποιμνίου τὸ τοῦ ὅρκου ἄγος ἐμπολιτεύεσθαι. Εἰ γὰρ ὁ μεγαλοφωνότατος Προφήτης βοᾷ, Ἐξολοθρευθήσονται οἱ ποιοῦντες τὸν λαόν μου ἐν λόγοις ἁμαρτάνειν (2)· πόσῳ γε μᾶλλον ἐν ὅρκῳ, ἐπεὶ καὶ αὐτὸς ὁ Μωϋσῆς, τοῖς ἀκριβῶς τὰς θείας ἐθέλουσι Γραφὰς ἐρευνᾷν, ἀναφανδὸν βοᾷ, ἀποτρέπων τὸν ὅρκον· Οὐκ ὀμεῖσθε, γάρ φησι, τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ὑμῶν ἐπὶ ματαίῳ (3). Αἱ οὖν τοῦ κόσμου τούτου στροφαὶ, καὶ τῶν πραγμάτων συμπλοκαὶ, ἐπ' ἀδίκῳ πάντως καὶ ματαίῳ εἰσὶ, κατὰ τὸν εἰπόντα σοφὸν Σολομῶντα· Τὰ πάντα ματαιότης (4)· ἡμῖν δὲ, οἷς ἔπαθλα πρόκειται εὐαγγελικῶς πολιτευομένοις ἡ τῶν οὐρανῶν βασιλεία, καὶ ἡ μετ' Ἀγγέλων διαγωγὴ, ὑψηλαὶ εἰκότως καὶ αἱ νομοθεσίαι.

Δι' ὃ θεσπίζομεν, πᾶσαν δίκην καὶ συμπλοκὴν, διὰ μαρτύρων λυομένην, ἐγγράφως τε καὶ ἀγράφως, περατοῦσθαι, ὡς

(1) Ἰακ. Ε΄, 12. — (2) Ψαλμ. [illegible] — (3) Λευϊτ. ΙΘ΄, 12. — (4) Ἐκκλησ. Α΄, 2.

ὑποτέτακται· ἐπὶ μὲν τῆς βασιλίδος ἡμῶν πόλεως, μνηστείας, προικῷα, ἐμφυτευτικὰ, ἐμπερίγραφα παντοῖα, ἀναγραφὰς ὀρφανικῶν πραγμάτων, σύμφωνα ἐφ' ἑκάστῳ πράγματι, διαλύσεις, δωρεὰς, πράσεις, ἀγορασίας, δάνεια, παραθήκας, διαθήκας τε, καὶ ἐλευθερίας, καὶ εἴ τι ἄλλο παρατυγχάνει τούτοις ἐοικὸς κεφάλαιον, προσκληθέντων ἑπτὰ ἢ πέντε, ἐπὶ δὲ διαθηκῶν, καὶ ἐλευθεριῶν καὶ μόνων, καὶ ἕως τῶν τριῶν μαρτύρων ἀξιοπίστων, ἱερέων, ἀρχόντων, στρατευομένων, εὐπορίαν ἢ ἐπιτήδευμα ἐχόντων, εὐσεβῶς δηλονότι καὶ ἐν εὐλαβείᾳ βιούντων, ἐπὶ αὐτῶν τά τε συναλλάγματα, καὶ σύμφωνα παντοῖα, καὶ τὰ ἔγγραφα προσέρχεσθαι· καὶ εἰ μὲν δύναται ὁ τὸ ἔγγραφον ποιῶν, δι' ἑαυτοῦ γράψαι, γραφέτω τὸ πᾶν, ὑπογραφόντων καὶ τῶν μαρτύρων, ἄνευ μέντοι τῶν προικῴων καὶ ἐμπεριγράφων παντοίων· ἐν ἐκείνοις γὰρ οἵ τε ταβουλάριοι, καὶ οἱ νομικοὶ, καὶ οἱ μάρτυρες κατὰ τὸ ἔθος γραφέτωσαν, τοιούτων ὑπογραφόντων μαρτύρων, οἵων προέφημεν. Τούτων δὲ οὕτως πραττομένων, ὁσάκις ἂν φιλονεικία γένηται ἐξ οἱουδήποτε μέρους, προσάγεσθαι τοὺς μάρτυρας καὶ τὰ ἔγγραφα, καὶ ἐρωτᾶσθαι αὐτοὺς περὶ τῶν ἐγγράφων, εἰ ἀληθινά εἰσι· καὶ ἐὰν συμφωνήσωσι, μάρτυρα τὸν Θεὸν ἐπικαλούμενοι, καὶ λέγοντες ἀληθινὰ εἶναι τὰ προκομισθέντα ἔγγραφα, ἀποπαύεσθαι τὴν δίκην, καὶ τὸ ἐγκείμενον τῷ προκομισθέντι ἐγγράφῳ πρόστιμον ζημιοῦσθαι τὸν τὴν ἀγωγὴν ποιησάμενον παρὰ τοῦ δικαστοῦ, καὶ παρέχεσθαι τῷ διαδίκῳ αὐτοῦ· εἰ δὲ μετὰ τελευτὴν τῶν ἐν τῷ προκομιζομένῳ χάρτῃ μαρτύρων ἡ ἀγωγὴ τῆς δίκης γένηται, καὶ οὕτως ἀποπαύεσθαι τὴν δίκην ἄνευ ζητήσεως. Εἰ δὲ ὁ τὸ ἔγγραφον ποιῆσαι ἀπαιτούμενος ἐν τοῖς προονομασθεῖσι κεφαλαίοις, ἀγράμματος ὑπάρχει, ἢ ἐκ πάθους ἀδυνάτως ἔχει τοῦ γράφειν, προτάσσειν αὐτὸν τὸν τίμιον σταυρὸν, καὶ τὰ λοιπὰ γράφεσθαι διὰ ταβουλαρίου, ἢ νομικῶν, ἢ ἑτέρων χειροχρήστων· καὶ εἰ μέν ἐστιν ἀναγκαῖον τὸ ὑπογράψαι τοὺς μάρτυρας, γενέσθω οὕτως· εἰ δὲ μήγε, διὰ τῆς σημειώσεως τῶν ὀνομάτων αὐτῶν φανεροῦσθαι αὐτούς. Καὶ τὰ μὲν ἐγγράφως πραττόμενα, γίνεσθαι οὕτως, προσκληθέντων (ὡς εἴρηται) ζ'. ἢ ε'. μαρτύρων

ἀξιοπίστων, ἐπὶ δὲ διαθηκῶν, καὶ ἐλευθεριῶν καὶ μόνων, καὶ ἕως τῶν τριῶν, ἐπὶ αὐτῶν τάς τε συναλλαγὰς καὶ σύμφωνα παντοῖα περατοῦσθαι· καὶ ὅταν συμβῇ φιλονεικίαν γίνεσθαι παρ' οἱουδήποτε μέρους, ἐπιζητεῖσθαι τοὺς εὑρεθέντας μάρτυρας· καὶ ἐὰν μὲν συμφωνήσωσι τῷ ἐνάγοντι, ἀνακρινόμενοι δὶς καὶ τρὶς παρὰ τῶν δικαστῶν, ποιείτωσαν ἔγγραφα ἐξ ἰδιοχείρου, καὶ τιθέτωσαν αὐτὰ ἐπ' Ἐκκλησίας· εἰ δὲ ἀγράμματοί εἰσι, ποιείτωσαν τοὺς τιμίους σταυρούς, καὶ τὰ λοιπὰ γραφέτωσαν διὰ χειροχρήστων, περιέχοντα ἐπὶ λέξεως οὕτως·

Ὁ δεῖνα καὶ ὁ δεῖνα, καὶ τὰ ἐπιτηδεύματα, ἢ ἀξιώματα· μάρτυς κύριος ὁ Θεὸς, καὶ ὁ ἱερὸς τόπος, ἐν ᾧ ἑστήκαμεν, καὶ τὰ ἔγγραφα προσάγομεν· ἀλήθειαν ἐμαρτυρήσαμεν, καὶ οὐκ ἐψευσάμεθα ἔν τινι· καὶ μετὰ ταύτης ἡμῶν τῆς μαρτυρίας παραστησόμεθα τῷ φοβερῷ βήματι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ἀποθείη ἡμῖν τε καὶ τοῖς τέκνοις ἡμῶν ἐν τῷ νῦν αἰῶνι ἡ ἀντάμειψις κατὰ τὴν μαρτυρίαν ἡμῶν· ἐὰν δέ ποτε ἐν καιρῷ ἢ χρόνῳ ἀποδειχθῶμεν ψευδομάρτυρες, τὴν διὰ τῆς μαρτυρίας ἡμῶν γενομένην ζημίαν ἀποκαθιστᾷν ἡμᾶς τῷ ζημιωθέντι, καὶ εἶθ' οὕτως ὑποκεῖσθαι ἡμᾶς τῇ τῶν ψευδομαρτύρων ποινῇ, κατὰ τὸ παροιμιακῶς γεγραμμένον· Μάρτυς ἄδικος οὐκ ἀτιμώρητος ἔσται κακῶν (1).

Ἐὰν δὲ διαφωνήσωσιν οἱ μάρτυρες, ἢ καὶ τὰ ἑκάτερα μέρη προσάγωσι μάρτυρας, γενέσθω ἐκλογὴ τῶν μαρτύρων παρὰ τῷ δικάζοντι· καὶ οἵτινές εἰσι πλείονες καὶ ἀξιοπιστότεροι, ποιείτωσαν, ὡς εἴρηται, ἰδιόχειρα, καὶ περατούσθω ἡ δίκη. Ταῦτα κρατείτωσαν καὶ ἐν ταῖς ἔξω πόλεσι, καὶ ἐπαρχίαις· ἄνευ μὲν τῆς τῶν ὁροθεσίων φιλονεικίας, ἣν θεσπίζομεν λύεσθαι βασταζομένων τῶν ἁγίων Εὐαγγελίων, ἢ καὶ τοῦ τιμίου σταυροῦ, παρὰ τῶν διοριζόντων μαρτύρων, καθὼς καὶ ἕως τοῦ νῦν ἐκράτησεν ἡ συνήθεια· προδήλως μὴ ὀμνυόντων αὐτῶν, ποιούντων δὲ ἀσφαλείας ἔγγραφα, ὡς προείρηται.

(1) Παροιμ. ΙΘ', 5. 9.

Β'. Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΠΕΡΙ ΤΩΝ ΑΘΕΜΙΤΩΣ Συναπτομένων ἀπὸ τρίτου γάμου καὶ ἐπέκεινα, καὶ περὶ τῶν συναπτομένων ταῖς ἰδίαις δούλαις (1).

Εἴρηται τῷ θεόπτῃ Μωϋσῇ περὶ τῶν γεγραμμένων ἐν τῇ θείᾳ Γραφῇ· Ἐπ' αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν (2). Τὰ οὖν προειρημένα ἐν τῷ 6' τίτλῳ, ὡς ἑπόμενα τῷ θείῳ Ἀποστόλῳ Παύλῳ περὶ τῶν γαμικῶς ἐνθέσμως συναπτομένων, ἕως γὰρ δευτέρου συνοικεσίου μνήμην πεποίηνται, καὶ περὶ ἑτέρου οὐδαμῶς ὡς παράνομα καὶ κτηνώδη, ἤδη τὴν κύρωσιν ἔλαβε· διὸ ὁρίζομεν παντὶ τρίτον συνοικέσιον καὶ ἐπέκεινα μὴ γίνεσθαι, ὡς ἀλλότρια τῆς θείας ἀποστολικῆς διατάξεως, καὶ ξένα τῆς χριστιανικῆς ἀγχιστείας· μήτε μὴν τὰς οἰκετικὴν τύχην λαχούσας κόρας ἀποικίζεσθαι εἰς γαμικὴν γνησιότητα, ἢ καὶ ὀνομάζεσθαι αὐτὰς συζύγους, καὶ μάλιστα τοὺς ἐν ὑπεροχῇ καὶ ἀξίᾳ ὄντας· ἐὰν γὰρ πλημμελήσῃ τις ἀπὸ τοῦ παρόντος, παράνομον εἶναι τὸ συνοικέσιον, καὶ τοὺς τικτομένους ἐκ τῶν τοιούτων γάμων παῖδας νόθους τυγχάνειν.

(1) Τὴν Νεαρὰν ταύτην ἐξέδοτο πρῶτος ὁ Κ. Ζαχαρίας (Delineatio σελ. 115). Ὁ Κ. Witte ἀποδίδει αὐτὴν Βασιλείῳ τῷ Μακεδόνι· ἀλλὰ φρονοῦμεν πιθανωτέραν τὴν τοῦ Κ. Ζαχαρίου γνώμην, ὅτι ἐξεδόθη ὑπὸ τῆς Εἰρήνης. Τοῦτο πρεσβεύει καὶ ὁ Κ. Mortreuil (Τόμ. Α'. σελ. 351), ὅπερ ἄλλως ἐκ τοῦ Κώδικος 179 τῆς βιβλιοθήκης τοῦ ἁγίου Μάρκου ἐνισχύεται. — Βλέπε καὶ τὴν ἑπομένην Νεαρὰν Βασιλείου τοῦ Μακεδόνος, καὶ Τόμον ἑνώσεως σελ. 3 τοῦ παρόντος Τόμου.

(2) Δευτερ. ΙΒ', 32.

ΒΑΣΙΛΕΙΟΥ (1).

Α'. ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Περὶ τοῦ μὴ ἐξεῖναι πρὸς τέταρτον γάμον ἐλθεῖν.

ΗΔΗ μὲν τοῖς ἀρχαίοις γέγραπται νόμος, καὶ πρός γε παρὰ τοῦ εὐσεβεστάτου Ἰουστινιανοῦ κεκύρωται, δι' οὗ καὶ μέχρι τετάρτου γάμου παρεκτείνεται τοῖς βουλομένοις τὰ συνοικέσια· ἴσως καταστοχαζομένου, ὡς τοῖς πολλοῖς εἰκὸς τοῦτο συμβαίνειν, τὸ ταχέως τὸ συνοικοῦν πρόσωπον αὐτοῖς ἀποβάλλεσθαι, ἢ καὶ νέους ἔτι τοῦτο παθεῖν, καὶ οὐδὲ ἀνθίστασθαι πρὸς τὰς τῆς φύσεως ὁρμάς· ὥστε τούτοις συμβαίνειν, τῶν σωφρόνων μὲν γάμων ἀποτρέπεσθαι, φοιτᾷν δὲ εἴς τινας μίξεις ἀπηγορευμένας. Ἐχρῆν δὲ καὶ ἡμᾶς, ὡς τῆς αὐτῆς φύσεώς τε καὶ ἀσθενείας κεκοινωνηκότας, ἐν τούτῳ τοῖς παλαιοῖς ἐμμεῖναι νόμοις· ἀλλ' ὁρῶμεν θεῖον νόμον ἡμᾶς εἴργοντα. Διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης ταῖς ἀνειμέναις τῶν ἐρώντων ἐπιθυμίαις ἐπιθεῖναι χαλινὸν βουλομένη, τοσοῦτον ἀπαγορεύει τὸ πρὸς τέταρτον συνοικέσιον ἀφικέσθαι τινά, ὥστε καὶ τοὺς εἰς τρίτον ἐλθόντας τοῖς ἐκκλησιαστικοῖς παραπέμπει κανόσιν. Ὥστε μὴν τὰ αὐτὰ δίκαια προβαίνειν καὶ ἐπὶ τοῦ τρίτου συνοικεσίου, ὁπόσα καὶ ἐπὶ τοῦ τετάρτου, ἔστω νῦν πᾶσι κατάδηλον, ὡς, εἴ τις τολμήσειε πρὸς τέταρτον γάμον, τὸν οὐ γάμον, ἐλθεῖν, οὐ μόνον ἀντ' οὐδενὸς ὁ τοιοῦτος νομιζόμενος γάμος λογισθήσεται, οὔτε οἱ ἐξ αὐτοῦ τεχθέντες παῖδες γνήσιοι γνωρισθήσονται, ἀλλὰ καὶ ταῖς ποιναῖς τῶν μεμολυσμένων τοῖς τῆς πορνείας ῥυπάσμασι καθυποβληθήσεται, ἀπ' ἀλλήλων δηλονότι τῶν τοιούτων προσώπων διϊσταμένων (2).

(1) Βασίλειος ὁ Μακεδὼν, ἐξ εὐτελοῦς μὲν καταγωγῆς, ἀλλὰ νέας δυναστείας ἀρχηγὸς, ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 867 μέχρι τοῦ ἔτους 885. Ὁ Βασίλειος ἀνύψωσε τὸ Βυζαντινὸν κράτος, νικήσας πολλάκις τοὺς Σαρακηνοὺς καὶ τοὺς Βουλγάρους, καὶ ἐνισχύσας τοὺς νόμους καὶ τὴν δικαιοσύνην. — Ἡ παροῦσα διάταξις καὶ αἱ ἑπόμεναι ἐλήφθησαν προδήλως ἐκ τοῦ Προχείρου Νόμου τοῦ αὐτοῦ βασιλέως, τοῦ ὑπὸ τοῦ Κ. Ζαχαρίου κατὰ πρῶτον δημοσιευθέντος κεφ. 22, 23, 25, 26 καὶ 27 τοῦ Δ' Τίτλου, ἃ εὕρηται καὶ παρ' Ἁρμενοπούλῳ.

(2) Ὅρα τὴν προηγουμένην Νεαρὰν τῆς Εἰρήνης.

Β'. ΠΕΡΙ ΤΟΥ ΜΗ ΕΞΕΙΝΑΙ ΠΑΛΛΑΚΗΝ ΕΧΕΙΝ.

Επειδη παρὰ τοῖς παλαιοῖς ἀνειμένην εὕρομεν τὴν κοινωνίαν τῆς παλλακῆς πρὸς τὸν βουλόμενον αὐτῇ κοινωνεῖν, οὐκ ἔδοξεν ἡμῖν ἀμνημόνευτον ἐᾶσαι ταύτην τὴν νομοθεσίαν, ἵνα μὴ καταχραίνηται ἡμῶν ἡ πολιτεία γάμοις οὐκ εὐπρεπέσιν. Ὅθεν κελεύομεν, ἀπὸ τοῦ νῦν μηδενὶ ἐξὸν ὑπάρχειν, παλλακίδα ἐν τῷ ἰδίῳ κατέχειν οἴκῳ· μικρὸν γάρ, ἢ οὐδὲν διαφέρειν τῆς πορνείας αὐτὸ νομίζομεν. Ἀλλ' εἰ βούλοιτο αὐτῇ κοινωνεῖν, γαμικὸν ποιείτω πρὸς αὐτὴν συνάλλαγμα, κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν. Εἰ μέντοι γε ἀναξίαν αὐτῷ ταύτην κρίνοιτο γυναῖκα ἔννομον κεκλῆσθαι, μηδεμίαν πρὸς αὐτὴν κατὰ συνουσίαν ἐχέτω κοινωνίαν, ἀλλὰ ταύτην ἀποδιωκέτω, καὶ λήψοιτο ἣν ἂν ἑαυτῷ κρίνοιτο λυσιτελές· εἰ δὲ σωφρόνως βιοῦν αἱρεῖται, εὐκταῖον ἡμῖν τοῦτο (1).

Γ'. ΤΙΝΕΣ ΑΝΑΓΚΑΖΟΝΤΑΙ ΓΑΜΕΙΝ Η ΜΗ.

Κατα τὰ παρ' ἡμῶν ἀρτίως εὐσεβῶς νομοθετηθέντα, ὁ ἐν σωφροσύνῃ διάγων μὴ ἀναγκαζέσθω πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιός ἐστιν· ὁ δὲ υἱὸς ὑπεξούσιος, ἀσώτως πολιτευόμενος, μὴ παραιτείσθω γάμον.

Δ'. ΜΗ ΔΕΙΝ ΛΑΘΡΑ ΓΙΝΕΣΘΑΙ ΤΑΣ *γάμων ἱερολογίας.*

Μηδεις μυστικῶς στεφανούσθω, ἀλλὰ παρόντων πλειόνων· ὁ γὰρ τοῦτο κατατολμήσας ἐργάσασθαι, σωφρονιζέσθω τιμωρούμενος, δηλονότι τοῦ ἱερέως, ὡς ἐν τοῖς ἀπρεπέσιν ἑαυτὸν παρεμβάλλοντος, τὰς ἀξίας εὐθύνας εἰσπραττομένου, κατὰ τὴν τῶν ἐκκλησιαστικῶν κανόνων διάταξιν.

---

(1) Τὰ αὐτὰ διαλαμβάνει καὶ ἡ η' Νεαρὰ Λέοντος τοῦ Σοφοῦ.

ΛΕΟΝΤΟΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ

ΠΕΡΙ ΤΟΥ, ΑΠΟ ΠΡΩΤΟΥ ΓΙΝΕΣΘΑΙ ΠΑΣΑΣ

Τὰς ἐκδόσεις. Γέγονε δὲ αὕτη ἐν ἔτει ,ςυκζ'. καὶ ἐναπετέθη τῷ ὀρφανοτροφείῳ (1).

ΠΑΣΑ κήνσευσις ἀπὸ Αὐγούστου Καίσαρος ἐκτεθεῖσα, ὑποτελεῖς πάντας τοὺς ὁμογενεῖς παρεσκεύασεν· ὅθεν καὶ τὰ δημόσια τέλη ἀνεφύησαν. Ἀπὸ οὖν τῶν τελουμένων δημοσίων ἐμφυτευτικῶν τελεσμάτων ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει, ὁ πρὸ ἡμῶν βασιλεὺς Ἰουστῖνος ἐν τῷ τῶν Κορυφαίων Ἀποστόλων εὐαγεῖ σεκρέτῳ τοῖς ὀρφανοτροφείου, σὺν ταῖς ἄλλαις αὐτοῦ δωρεαῖς, καὶ υμγ'. νομισμάτων ἐτήσιον δημόσιον τέλος προαφιέρωσεν, ἐντάξας..... ρο, κατὰ τὴν ἐναποκειμένην αὐτοῦ ἱερὰν νομοθεσίαν ἐν τῇ τοῦ Θεοῦ μεγάλῃ Ἐκκλησίᾳ, τὰ τοῦ ὀρφανοτροφείου μόνα ἀνεκποίητα εἶναι, καὶ ἐπὶ προσώποις τρισὶν ἐκδίδοσθαι. Ὕστερον δὲ πρὸς τῷ τῆς ζωῆς αὐτοῦ τέλει, καὶ τὸν τῆς δωρεᾶς τῶν υμγ' νομισμάτων χρυσόβουλλον λόγον ἐξέθετο, καὶ δι' αὐτοῦ καλῶς καὶ δικαίως τὸν περὶ τῆς κατοχῆς καὶ νομῆς χρόνον· ὃν καὶ εἰς χεῖρας λαβοῦσα ἡ γαληνότης ἡμῶν, τὰ παρ' ἐκείνου καλῶς διορισθέντα εἰς νόμον ἐξέθετο, καὶ κρατεῖν αὐτὸν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους παρεκελεύσατο. Ἔνθεν τοι καὶ διορίζεται, ἀπὸ πρώτου προσώπου εἰς πρῶτον κατέχεσθαι τὰ ἐκδιδόμενα, καὶ δεσπόζειν ἀκωλύτως, καὶ μετὰ τὴν ἐκπλήρωσιν τῶν ἀπὸ πρώτου προσώπου, εἰς πρῶτον ἀνακάμπτειν τὸν κατέχοντα, καὶ παρέχειν διπλοῦν τὸ τελούμενον ἐμφυτευτικὸν τέλος, καὶ τὴν συνήθειαν.

---

(1) Λέων ὁ Σοφὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος ἐβασίλευσαν ἀπὸ τοῦ ἔτους 886 μέχρι τοῦ ἔτους 911, κατὰ δὲ τὸ 910 προσελάβοντο κοινωνὸν τῆς βασιλείας καὶ Κωνσταντῖνον τὸν υἱὸν τοῦ Λέοντος. — Τὴν παροῦσαν Νεαρὰν, μὴ περιειλημμένην ἐν τῇ Συλλογῇ τῶν ΡΙΓ'. Νεαρῶν τοῦ Λέοντος, ἀποδίδωσιν ὁ Κ. Μορτρέλιος (Τόμ. Β'. σελ. 334) Ῥωμανῷ τῷ Λεκαπηνῷ, εἰς ὃν ἀνάγεται τὸ ἔτος ,ςυκζ'.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ (1).

Α'. ΠΕΡΙ ΤΩΝ ΕΚΟΥΣΙΩΣ ΦΟΝΕΥΟΝΤΩΝ,

Καὶ τῇ Ἐκκλησίᾳ προσφευγόντων, ὥστε αὐτοὺς μὴ δέχεσθαι.

Η ΤΟΥ Μωσέως νομοθεσία κατὰ τοῦ ἀνδροφόνου ἀποφαίνεται, ὅτι ἐκ τοῦ θυσιαστηρίου λήψῃ αὐτόν (2). Τούτῳ γοῦν τῷ νόμῳ καὶ ὁ Ῥωμαϊκὸς καὶ ἡμέτερος κατακολουθῶν, τρανῶς ἐγκελεύεται, μοιχοῖς, καὶ παρθένων ἅρπαξι, καὶ ἀνδροφόνοις, καὶ φωρσὶ, τόπον ἀσυλίας πρὸς καταφυγὴν μὴ εἶναι· ἡ γὰρ ἐκ τῶν ἱερῶν ἀσφάλεια τοῖς ἀδικουμένοις, οὐχὶ τοῖς ἀδικοῦσι δίδοται. Ἐπεὶ δὲ ὁ τοῦτο νομοθετήσας ἐν βασιλεῦσιν ἀοίδιμος Ἰουστινιανὸς, ὁ καὶ τὸν πανθαύμαςον τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας κατασκευάσας ναὸν, δέδωκε προνόμιον αὐτῷ δὴ τῷ ἱερῷ τεμένει, τόπον ἀσυλίας ἔχειν, οὐ πάντως αὐτὸς τὰ ἑαυτοῦ δι' ἀλλήλων ἀνατρέπεσθαι παρεσκεύασε. Νομοθετήσας γὰρ, μοιχοῖς, καὶ ἀνδροφόνοις, καὶ παρθένων ἅρπαξι, τόπον ἀσυλίας μὴ εἶναι, οὐδὲν ἐναντίον ὕστερον ἔφη, τοῖς τοιούτοις προσώποις εἶναι τόπον εἰπὼν ἀσυλίας, ἐν τῷ παρ' αὐτοῦ κατασκευασθέντι ναῷ· ἀλλ' οἶμαι, ὡς εἴ τις τῶν εὐσεϐῶς καὶ φιλοθέως ἐπισκοπούντων τὴν προκειμένην ὑπόθεσιν, αὐτόν τε τὸν γεγραμμένον νόμον, καὶ τὸν διορισμὸν περὶ τῆς ἀσυλίας, πρόσφορον ποιούμενος τὴν ζήτησιν, συμϐιϐάσειε, τὴν ἁρμόδιον ἂν εὕροι πρὸς τὰ συμπίπτοντα τῶν πραγμάτων ἀπόφασιν, καὶ συντηρήσει μὲν τὴν ἀσυλίαν, ἐν αἷς ὑποθέσεσι κεκανόνισται, παρόψεται δὲ ταύτην, ἔνθα μὴ δίκαιον εἶναι τόπον ἀσυλίας. Ἐπεὶ δὲ πολυσχιδὴς καθίσταταί τις ὁ τῆς μιαιφονίας τρόπος, ἢ γὰρ ἑκουσίως, καὶ ἀπὸ προνοίας, καὶ παρασκευῆς ἁμαρτάνει τις, ὡς ὁ εὐτρεπίζων ξίφος εἰς τὸ φονεῦσαι ἄνθρωπον· ἢ ἀπὸ θυμοῦ, ὡς ἐν ἐφόδῳ, ὅτε σκοπεῖται καὶ τὸ παρ' αὐτοῦ ἐπιφερόμενον ὅπλον, καὶ ἡ ἐγχείρησις· ἢ κατὰ τύχην, ὡς ἐν κυνηγεσίῳ, ῥίψας μὲν κατὰ θηρὸς τὸ βέλος,

---

(1) Κωνσταντῖνος Ζ' ὁ Πορφυρογέννητος, υἱὸς Λέοντος τοῦ Σοφοῦ, ἐϐασίλευσεν ἀπὸ τοῦ ἔτους 912 μέχρι τοῦ ἔτους 959.

(2) Ἐξόδ. ΚΑ', 14.

ἄνθρωπον δὲ ἀναιρήσας ἐξ ἀγνοίας· ἢ ἐν μάχῃ, μετὰ χειρὸς πλήξας, ἢ ἀπὸ μέθης τινὰ φονεύσας, ὅστις καὶ ἐπὶ πενταετίαν ἐξορίζεται· πρὸς τὰς τοιαύτας διαιρέσεις, καὶ τὰς κατὰ μέρος αἰτίας, ἔχομεν σαφῶς καὶ κατὰ τὸ προσῆκον καὶ τὴν ἐκ τοῦ νόμου ἀπόφασιν· καὶ ὁ μὲν κατὰ ἄγνοιαν φονεύων, οὔτε τὸν κατὰ τῶν ἀνδροφόνων δέδοικε νόμον, οὔτε ἀσυλίας χρήζει· ὥςπερ καὶ ὁ ἀπὸ τρυφῆς ἀνελὼν, καὶ ὁ μὴ ἐσχηκὼς γνώμην τοῦ φονεῦσαι, ἐὰν φονεύσῃ· ἀλλὰ ταῦτα μὲν ἐν τούτοις περιίσταται. Ἐκεῖνο δέ ἐστι τὸ πολυθρύλλητον ζήτημα, τὸ περὶ τοῦ ἐκουσίου καὶ ἐκ προαιρέσεως καὶ προθέσεως φόνου. Τοῦτον γὰρ τὸν ἑκούσιον φόνον οὔτε ἡ Μωσέως νομοθεσία συγχωρεῖσθαι ἀξιοῖ, οὔτε ἡ Ῥωμαϊκὴ, ἡ παρὰ τῶν ἁγίων Πατέρων ἀποδεχθεῖσα, οὔτε τις εὐσεβὴς λογισμὸς ἀνέχεται, τὸν κατὰ τοσοῦτον ἀδικήσαντα ἵνα καὶ ξίφος εὐτρεπίσῃ, καὶ διαμελετήσῃ τὸν τοῦ πλησίον θάνατον, καὶ τοῦτον τελέσῃ, χρήσασθαι τῇ ἐκ τοῦ ἱεροῦ βοηθείᾳ· οὐκ ἔστι τοῦτο, οὐκ ἔστι τῶν εὐσεβῶς διανοουμένων· ἀλλὰ δυνατὸν, ὡς εἴρηται, καὶ τοὺς νόμους τηρηθῆναι, καὶ φυλαχθῆναι τὸ τῆς Ἐκκλησίας προνόμιον. Ἡνίκα γὰρ ἂν ἄνθρωπος ἐκ τῆς θείας προνοίας ἐγκαταλειφθεὶς, ἀνθρώπου διαμελετήσῃ θάνατον, καὶ τοῦτον ἀπαρτίσῃ, καὶ ἀφανὴς καὶ ἀνέγκλητος γένηται ὁ παρ᾽ αὐτοῦ καταρτισθεὶς φόνος, εἰς ἑαυτὸν δὲ γενόμενος μετρήσῃ τὸ μέγεθος τοῦ τολμηθέντος πτώματος, καὶ πρὸς ἐξαγόρευσιν ὁρμήσῃ, λογίζεται δήπου, ποίῳ τρόπῳ ταύτην ἀσφαλῶς ποιήσηται· καὶ λογιζόμενος, εὑρίσκει πάντως, ὅτι τοῦ ἐρευνωμένου ἀφανοῦς θανάτου παρ᾽ αὐτοῦ ἐξαγγελλομένου φωρᾶται· καὶ φωραθεὶς ὡς ἀνδροφόνος ἐκ τοῦ νόμου, καὶ τοῦ προσφόρου ἄρχοντος, ἢ συλλαμβάνεται, ἢ καὶ διὰ ταῦτα εἰς τὸ ἱερὸν εἰσερχόμενος, καὶ τῷ ἱερεῖ προσερχόμενος, καὶ πανταχόθεν ἔχων τὸ ἀσφαλὲς, ποιεῖται τὴν ἐξαγόρευσιν, τυχὸν οἵῳ τρόπῳ, καὶ οἵᾳ μηχανῇ τὴν τοῦ φονευθέντος κατήρτισεν ἀγνοουμένην σφαγὴν, καὶ ἐπιτυγχάνει τῆς ἀφέσεως· αὕτη γὰρ καὶ ἐστιν ἀληθῶς, καὶ λέγεται ἐξομολόγησις, ἡ τοῦ κεκρυμμένου παραπτώματος αὐθαίρετος δήλωσις· ἡ δὲ περὶ τῆς φανερᾶς καὶ προδήλου πράξεως καὶ μιαιφονίας συγκατάθεσις, πῶς καὶ λεχθήσεται ὅλως ἐξομολόγησις; Ἐκ τοῦ

τοιούτου οὖν συνάγεται καὶ τηρεῖται καὶ ἡ τοῦ νόμου ἀπόφασις, καὶ ἡ τοῦ ἱεροῦ ἀσφάλεια· εἰ δὲ αὕτη [μὴ] οὕτω διορισθείη, μάχεται πάντως ἑαυτῷ ὁ τοὺς νόμους ἀθροίσας καὶ γράψας Ἰουστινιανὸς, νομοθετήσας μὲν, ἀνδροφόνοις μὴ εἶναι ἀσυλίαν· ἐν δὲ τῷ παρ' αὐτοῦ συστάντι ἱερῷ ἀσυλίαν ἔχειν λοιπὸν τοὺς ἀνδροφόνους.

Β'. ΠΕΡΙ ΤΩΝ ΕΚΟΥΣΙΩΣ ΦΟΝΕΥΟΝΤΩΝ,

Δευτέρα νομοθεσία, δεχομένη μὲν αὐτοὺς κατὰ συμπάθειαν, παρὰ δύναμιν τῆς πρώτης, ἀειφυγίᾳ δὲ, καὶ περιουσίας ἐκπτώσει καταδικάζουσα.

Ταύτα νομοθετεῖν προῃρήμεθα νῦν, τὸ μὲν αὐστηρὸν τῆς πρὸ ταύτης νομοθεσίας τῇ φιλανθρώπῳ τῶν ἐκκλησιαστικῶν θεσμῶν ἐπιτιμήσει μεταβάλλοντες, τὸ ἀπόλυτον δὲ καὶ ἄνετον τῶν ἐξαμαρτανόντων, καὶ διὰ τοῦτο καὶ πρὸς μίμησιν εὔκολον, οὐ μόνον τῷ καταδέσμῳ τῶν ἐπιτιμίων ἐξιώμενοι, ἀλλὰ καὶ τῆς προσηκούσης τῷ φονευτῇ περιουσίας μικροῦ δεῖν ἐκπτώσει· τοῖς μὲν ἀνδροφόνοις αὐτοῖς, σωτηρίαν, τῷ κοινῷ δὲ τῆς πολιτείας, τὸ μὴ πρὸς τὸν ὅμοιόν τινα ζῆλον ἐλθεῖν, κατὰ τὸ λυσιτελὲς προμηθούμενοι· ὡς ἂν δι' ἀμφοτέρων καὶ τὸ δίκαιον σώζηται, καὶ τὸ τῶν Ἐκκλησιῶν μέγα καὶ θεῖον συντηρῆται προνόμιον, καὶ τὸ πολὺ τῆς μιμήσεως ἀναστέλληται ταῖς τούτων ἀσφαλείαις. Τὰ μὲν οὖν περὶ τῆς τοῦ φονέως διαγωγῆς, καὶ τῆς εἰσέτι βιώσεως, καθὼς ἡ κανονικὴ ἀκρίβεια τυπώσει, διοικεῖσθαι κελεύομεν· ἀειφυγίᾳ δὲ αὐτὸν διὰ τῆσδε τῆς νομοθεσίας καταδικάζομεν τοῦ τόπου, καθ' ὃν γέγονεν ἡ πλημμέλεια τοῦ φονικοῦ μιάσματος, τοῦτο μὲν, κολαζούσῃ τὸν ἁμαρτήσαντα, τοῦτο δὲ, μὴ πλείονα τῆς ἀνίας καὶ τοῦ ἀλγήματος αὔξησιν τοῖς τῷ πεφονευμένῳ διαφέρουσι κατεργαζομένῃ· ἴσως δὲ καὶ ἀμφοτέρων οὐκ ἀσυμφόρως, ὡς ἂν μή ποτε τοῦ λελυπηκότος συνεχεῖ ὁράσει, καὶ τῇ τοῦ προαποβεβιωκότος μνήμῃ εἰς αὐθαίρετον ἐκδίκησιν οἱ προσήκοντες αὐτῷ παρορμώμενοι, κακῷ τὸ κακὸν ἐξιάσασθαι πειραθῶσι, καὶ διπλοῦν ἐργάσωνται τὸ πτῶμα τῆς μιαιφονίας. Ἔστω μὲν οὖν ἀειφυγίᾳ πάντως ὁ φο-

νεὺς ἐκεῖθεν καταδικαζόμενος, καὶ μηδέποτε περινοστῶν ἐκεῖ, καὶ αὐλιζόμενος ἐν τῇ γῇ, ἣ ἔχανε τὸ τοῦ ἀδίκως ἀναιρεθέντος ἀδελφοῦ ὑποδέξασθαι αἷμα. Καὶ τοῦτο πρῶτον μετὰ τὴν ἐκκλησιαστικὴν ἐπιτίμησιν τὸ κατάκριμα δεχέσθω· πρὸς τούτῳ δὲ, καὶ τῆς οἰκείας ἔκπτωσιν ὑφιστάσθω περιουσίας, οὐ τῷ δημοσίῳ προσκυρουμένης· εἰ γὰρ ὕπεστι γαμετὴ τῷ φονευτῇ, τήν τε προῖκα δεῖ καὶ τὰ οἰκεῖα πάντα κομίζεσθαι ταύτην, καὶ ἔτι τὴν πρὸ τοῦ γάμου δωρεάν· εἰ τύχῃ δὲ καὶ θεώρητρον ὑποσχεθεὶς, ἢ ἄλλο τι, καὶ τούτου πάντως ἔχειν τὴν ἀνάληψιν, καὶ τὴν κυριότητα, παίδων μὴ ὑπόντων· εἰ δὲ ὕπεισι παῖδες, τῆς χρήσεως τῶν γαμικῶν κερδῶν ἀπολαύειν αὐτὴν, πασῶν τῶν ἐπὶ τούτοις νομικῶν παρατηρήσεων συντηρουμένων· τῶν δὲ παίδων ἐκ τῆς ἄλλης πατρῴας περιουσίας τῷ τρίτῳ κληροδοτουμένων. Καὶ εἰ μὲν ὁ φονεὺς οἰκείᾳ προθέσει, ἢ τῇ τῶν κανονιζόντων αὐτὸν συμβουλίᾳ καὶ δοκιμασίᾳ πρὸς τὸν μοναχικὸν, τὸ πρότερον ἀποσκευαζόμενος μῦσος, μετέλθοι βίον, λαμβάνειν τὸ μοναστήριον τὸ τρίτον μέρος τῆς αὐτοῦ περιουσίας, τοῦ λοιποῦ τρίτου μέρους τῇ γυναικὶ καὶ τοῖς τέκνοις φυλαττομένου τοῦ τελευτήσαντος, εἰς μικρὰν παραμυθίαν τῆς ἑαυτῶν δυσκληρίας· εἰ δὲ οὐχ ὕπεισι τῷ πεφονευμένῳ παῖδες, τῇ γυναικὶ καὶ τοῖς ἀνιοῦσιν ἐξ ἴσου διαιρουμένου τοῦ τοιούτου τρίτου· γυναικὸς δὲ τοῦ βίου προαπελθούσης, καὶ παίδων ὄντων, τούτους προτιμᾶσθαι τῶν ἀνιόντων· εἰ δὲ μήτε παῖδες, μήτε γυνὴ, μήτε ἀνιόντες εἰσὶ τῷ ἀνῃρημένῳ, τοὺς ἄλλους ἐκ τοῦ νόμου καλουμένους συγγενεῖς, καὶ πρὸς τὴν δήλωσιν μὴ ῥαθυμήσαντας τοῦ ἀδικήσαντος, λαμβάνειν τὸ τρίτον. εἰ δὲ πρὸς τὸν μοναχικὸν ὁ φονεὺς μὴ μετέλθοι βίον, οὐ τὸ τρίτον, ἀλλὰ τὸ δίμοιρον τῆς ἐλευθέρας αὐτοῦ περιουσίας, κατὰ τὴν εἰρημένην διάταξιν, τῷ τοῦ πεφονευμένου κληροδοτεῖσθαι μέρει. Καὶ πρὸς τούτῳ, μηδέποτε μηδένα τοιούτῳ ἐγκλήματι ἑαλωκότα, ἢ πολιτικὴν, ἢ ἄλλην τὴν οἱανοῦν ἀρχὴν ἢ πρᾶξιν μεταχειρίζεσθαι, μηδὲ θείας ἀντιγραφῆς ἀξιούμενον· ἀλλ' εἶναι παντοίως ἀτίμους, οἷς καὶ τὸ ζῆν μόνον φιλανθρώπως συγκεχώρηται· πλὴν τοὺς μὲν περιουσίᾳ κακίας μελέτην θεμένους τὴν τοῦ πλησίον σφαγὴν, καὶ αὐτὸ τοῦτο προευτρε-

πισαμένους καὶ παρασκευασαμένους ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν ψυχῆς εἰς τὸν τοῦ ἀδελφοῦ θάνατον, πάντως ἀποκείρεσθαι, καὶ μοναχοῖς ἐγκαταλέγεσθαι· καὶ οὐ μόνον τὸν ἐπ' αὐτοῖς δοκιμασθέντα χρόνον τῆς μετανοίας, ἀλλὰ καὶ τὸν ἅπαντα τῆς ζωῆς αὐτῶν ἐν μοναστηρίῳ διοικονομεῖσθαι· τοὺς δὲ ἄλλως, ἑκουσίως μὲν ἀνῃρηκότας, προπετείᾳ δὲ καὶ συναρπαγῇ ἀλογίστου θυμοῦ, οὐ μελέτῃ καὶ προπαρασκευῇ καὶ προβουλίαις τὰ τῆς μιαιφονίας ἐπιδειξαμένους, τὴν μὲν ἀειφυγίαν πρὸς ἅπασι τοῖς ἄλλοις ὑφίστασθαι, οὐ μέντοι γε τὸν μονήρη βίον αἱρεῖσθαι καταναγκάζεσθαι· οἱ τόποι δὲ τῆς στρατείας, ἤτοι αἱ ὑπὲρ τοῦ στρατεύειν οἰκονομίαι, πρὸς τοὺς κληρονόμους αὐτοῦ παραπεμπέσθωσαν· εἰ δὲ μὴ ἔχει ὁ φονεὺς κληρονόμους, ἕτεροι τοὺς τῆς στρατείας τόπους λαμβάνοντες, καὶ εἰς τὴν στρατείαν ὑπηρετήσουσι.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΦΩΚΑ (1).

Η ΝΕΑΡΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ

Ὁλόκληρος, ἣν κατὰ τὸ ά. ἔτος τῆς αὐτοῦ βασιλείας, ἤτοι κατὰ τὴν ζ'. ἐπινέμησιν τοῦ ͵ςυοζ'. ἔτους ὑπηγόρευσε Σίμων πατρίκιος καὶ πρωτασηκρῆτις, περὶ τοῦ μὴ γίνεσθαι μοναστήρια, καὶ γηροκομεῖα, μήτε πλατύνεσθαι διὰ τῶν κτημάτων τοὺς εὐαγεῖς οἴκους.

Ο ΤΟΥ Θεοῦ Πατρὸς Λόγος πολύν τινα λόγον τῆς ἡμῶν ποιούμενος σωτηρίας, καὶ δεικνὺς ὅπως ἡμῖν ἔσται, καὶ τίνων μὲν ἀπεχομένους, ποίων δὲ δεῖ ἐχομένους ταύτης ἐπιτυχεῖν, τὸν πλοῦτον καὶ τὴν τῶν πολλῶν κτῆσιν ἐπιεικῶς πρὸς ταύτην ἔδειξεν ἐμποδίζοντα, δύσκολον εἶναι τοῖς πλουσίοις τὴν τῆς βασιλείας εἰπὼν εἴσοδον, καὶ τοσοῦτον ἀπερίττους εἶναι βουλόμενος, ὡς μὴ μόνον ῥάβδον ἡμῖν, καὶ πήραν, καὶ χιτῶνα τὸν δεύτερον, ἀλλὰ καὶ αὐτὴν φημι τὴν εἰς αὔριον ἀπαγορεῦσαι τῆς τροφῆς μέριμναν. Ἄρτι δὲ βλέπων τὴν περὶ τὰ μοναστήρια, καὶ τὰ ἱερὰ ταῦτα σεμνεῖα περιφανῆ νόσον, (νόσον γὰρ ἐγὼ τὴν ἀπληστίαν ταύτην καλῶ,) οὐκ οἶδα τίνα δὴ τοῦ κακοῦ θεραπείαν ἐπινοήσω, ἢ πῶς κολάσω τὴν ἀμετρίαν· τίσι γὰρ πειθόμενοι τῶν Πατέρων, ἢ πόθεν λαβόντες τὰς ἀφορμάς, πρὸς τοσαύτην περιττότητα, καὶ μανίας ψευδεῖς (κατὰ τὸν θεῖον φάναι Δαυΐδ) ἐξήχθησαν; γῆς πλέθρα μυρία, φιλοτίμους οἰκοδομάς, ἵππων ἀγέλας, βοῶν, καμήλων, ἄλλων κτηνῶν ἀριθμοῦ κρειττόνων, ὅσαι ὧραι κτᾶσθαι σπουδάζοντες, καὶ τὴν ὅλην μέριμναν τῆς ψυχῆς περὶ αὐτὰ κατατείνοντες, ὥστε κατ' οὐδὲν τοῦ κοσμικοῦ βίου καὶ πολλαῖς φλεγμαίνοντος ταῖς φροντίσι τὰ μοναχικὰ ταυτὶ διαφέρειν· καίτοι γε τῶν θείων λογίων ἀπεναντίας τούτοις ἡμῖν φθεγγομένων, καὶ φροντίδων

(1) Νικηφόρος ὁ Φωκᾶς ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 963 μέχρι τοῦ ἔτους 969. — Ὅρα δὲ καὶ Νεαρὰν Βασιλείου τοῦ Πορφυρογεννήτου σελ. 270 τοῦ παρόντος Τόμου, καὶ Ἑρμηνείαν τοῦ Βαλσαμῶνος εἰς τὸν Καν. Α'. τῆς ΑΒ'. συνόδου, σελ. 652 τοῦ Β'. Τόμου.

τοιούτων ἀπηλλάχθαι τὸ σύνολον διακελευομένων· Μὴ μεριμνήσητε, γάρ φησι, τί φάγητε, ἢ τί πίητε· καὶ τὸ τῶν πετεινῶν παράδειγμα εἰς ὄνειδος ἡμῖν προτιθέντων. Τί δὲ καὶ ὁ θεῖος Ἀπόστολος; Αἱ χεῖρες αὗται, φησὶν, ἐμοί τε καὶ τοῖς σὺν ἐμοὶ διηκόνησαν(1)· καί· Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα(2). Τὸν βίον ὅρα μοι τῶν θείων Πατέρων, τῶν ἐν Αἰγύπτῳ, φημὶ, τῶν ἐν Παλαιστίνῃ, τῶν ἐν Ἀλεξανδρείᾳ, τῶν ἀλλαχοῦ πολλαχοῦ γῆς λαμψάντων, καὶ τοῦτον οὕτω λιτὸν εὑρήσεις, οὕτως ἀπέριττον, ὡς σχεδὸν μόνῃ ψυχῇ ζῶντας αὐτοὺς ὑποφαίνειν, καὶ τῆς τῶν Ἀγγέλων ὥσπερ παραψαύοντας αὐλίας· ἄλλως δὲ τοῦ Χριστοῦ βιαστὴν ὑπάρχειν τὴν βασιλείαν τῶν οὐρανῶν λέγοντος, καὶ βιαστὰς ἁρπάζειν αὐτὴν (3), καὶ διὰ πολλῶν θλίψεων δεῖν ἡμᾶς εἰς αὐτὴν ἐλθεῖν (4), ὅταν ὁρῶ τοὺς πρὸς τοιοῦτον βίον χωρεῖν ἐπαγγελλομένους, καὶ τῇ ὑπαλλαγῇ τοῦ σχήματος ὥσπερ σημειουμένους τῇ πολιτείᾳ, σφόδρα τοῦ ἐπαγγέλματος καταψευδομένους, καὶ ἀντιφθεγγομένους τῷ σχήματι, οὐκ οἶδα πῶς οὐχὶ σκηνὴν καλέσω τὸ πρᾶγμα, καὶ εἰς βλασφημίαν χωροῦν ἄντικρυς τοῦ ὀνόματος εἴποιμι τοῦ Χριστοῦ. Ἐπεὶ οὖν οὔτε ἀποστολική τις, οὔτε πατρικὴ νομοθεσία, ἡ τῶν πολυπλέθρων τούτων ἀγρῶν καὶ τῶν χωρίων κτῆσις τῶν οὕτως ὑπερφυῶν, καὶ φροντίδων πλῆθος ὑπὲρ τοὺς καρποὺς γεννᾷν πεφυκότων, (πῶς γὰρ οὔ; εἴ γε τούτων μὲν ἡ σπουδὴ, τὸ συνῳδὰ πρᾶξαί τε καὶ διδάξαι ταῖς τοῦ Χριστοῦ ἐντολαῖς· ἐντολὴ δὲ Χριστοῦ, οὐχὶ ἡ τῶν ὑλικῶν κτῆσις, ἀλλ' ἐκ διαμέτρου μᾶλλον ἡ τῶν τοιούτων ἀπόκτησις· εἴπερ ἐκείνου, τὸ πωλεῖν τὰ ὑπάρχοντα, καὶ διδόναι τοῖς πτωχοῖς,) πρόδηλόν ἐστιν, ὡς οὐ φιλαρέτου ταῦτα πολιτείας, οὐδὲ ἀκριβείας, ἀλλὰ χρείας σωματικῆς μᾶλλον, πρὸς τὸ βιοτικώτερον, οἶμοι, τῶν πνευματικωτέρων ἀποκλινάντων. Ἡ χρεία δὲ τῷ χρόνῳ προῆλθεν εἰς ἀμετρίαν, ὥσπερ φιλεῖν οἶδε τὰ χείρω διὰ μικρᾶς ἀφορμῆς καὶ τῆς τυχούσης εἰς μέγα χωρεῖν. Τί τοίνυν παθόντες οἱ ἄνθρωποι πρᾶξαί τι τῶν πρὸς Θεοῦ θεραπείαν, καὶ λύσιν ἁμαρτημάτων κεκινημένοι, παρορῶσι μὲν εὔκολον οὕτως καὶ φροντίδων ἐλευθέραν τὴν τοῦ Χρι-

(1) Πράξ. Κ', 34. (2) α. Τιμόθ. ϛ', 8. (3) Ματθ. ΙΑ', 12. (4) Πράξ. ΙΔ', 22.

στοῦ ἐντολὴν, τὸ πωλοῦντας τὰ ὄντα διδόναι τοῖς πένησιν, ὥσπερ δὲ δύσκολον ταύτην ἐπίτηδες καὶ πραγματωδεστέραν ποιεῖν βουλόμενοι, καὶ φροντίδων ἐγνωκότες πλῆθος ἐπισυνάγειν, πρὸς τὸ μοναστήρια συνιστᾶν, ξενῶνάς τε, καὶ γηροκομεῖα, ἑαυτοὺς κατατείνουσιν; ὧν ἐν μὲν τοῖς προτέροις χρόνοις ἡ σύστασις, ἕως ἔτι σπάνις ἦν τῶν τοιούτων, πολὺ τὸ εὔλογον εἶχε καὶ χρησιμώτατον· (καὶ πῶς γὰρ οὐ μονιμώτερον εἴη τὸ καλὸν τῶν συνιστώντων ταῦτα, προθυμουμένων τῶν μὲν εἰς ἀνθρωπίνων σωμάτων τροφήν τε καὶ θεραπείαν, τῶν δὲ εἰς ψυχῆς ἐπιμέλειαν, καὶ ὑψηλοτέρου βίου διαγωγήν·) ἀφ' οὗ δὲ πρὸς πλῆθος ἐπιδέδωκε ταῦτα, καὶ ὑπὲρ τὴν χρείαν ἑστήκασι καὶ τὸ μέτρον, τὸ ἔτι παρορᾶν καὶ ἀφίστασθαι τοῦ κατὰ πολλὴν εὐπέτειαν ἀγαθοῦ γινομένου, καὶ πρὸς τὴν τῶν εἰρημένων σύστασιν ἀσχολεῖσθαι, πῶς ἄν τις ἀμιγὲς εἶναι κακίας τὸ ἀγαθὸν τοῦτο λογίσαιτο, καὶ μὴ τῷ σίτῳ φαίη παραμεμίχθαι καὶ τὰ ζιζάνια; μᾶλλον δὲ, πῶς οὐ κενοδοξίας εἴποι προκάλυμμα γίνεσθαι τὴν φιλοθεΐαν, ἵνα φανεροὶ πᾶσιν ὦσι τὸ καλὸν ποιοῦντες, ὥσπερ οὐκ ἀγαπῶντες, εἰ μόνους ἔχουσι μάρτυρας τοὺς παρόντας ἧς μετίασιν ἀρετῆς, ἀλλὰ μηδὲ τοῖς ἐπιγινομένοις ἀγνοεῖσθαι ταύτην βουλόμενοι; Καὶ ταῦτα, τίνες; Χριστιανοὶ, φεῦ! οἱ παντὶ τρόπῳ λανθάνειν ἐν τῇ τῶν ἀγαθῶν πράξει κεκελευσμένοι. Τοῦτο δὲ πῶς οὐκ ἄν τις ἔκδηλον εἶναι δόξειε, καὶ πολλῷ τῷ περιόντι πεπιστευμένον, ὅταν μυρίων ὄντων ἑτέρων, τῶν ὑπὸ τοῦ χρόνου πεπονηκότων, καὶ πολλῆς δεομένων χειρός τε καὶ βοηθείας, ἀμελοῦντας ἡμεῖς τοῦ εἰς ἐκεῖνα δαπανᾶν προθύμως, καὶ διορθοῦσθαι ταῦτα, καὶ συνιστᾶν, ἐπὶ τὸ καινουργεῖν ἴδια κατὰ πολλὴν φερόμεθα τὴν ὁρμὴν, ἵνα μὴ μόνον ὀνόματος ἀπολαύοιμεν κενοῦ, ἀλλὰ καὶ καθαρῶς φαίνοιτο, καὶ ἀποτεταγμένον ᾖ τὸ ἡμέτερον, ὡς καὶ τίθεσθαι τὰ ὀνόματα ἡμῶν ἐπὶ τῶν γαιῶν, κατὰ τὸν Προφήτην φάναι τὸν θεῖον. Διὰ τοῦτο καὶ πρὸς τὴν ἐργασίαν τῶν τοῦ Χριστοῦ ἐντολῶν ὑμᾶς διεγείροντες, καὶ τῆς θεομισοῦς ταύτης φιλοδοξίας τὸ κακὸν ἐκκόπτειν βουλόμενοι, καὶ σπουδάζοντες, ὅπερ ἂν ἀγαθὸν ποιῶμεν, διὰ Θεὸν μόνον ποιεῖν, καὶ μὴ συνάπτειν τούτῳ καὶ τὴν

ἀνθρωπίνην ἀρέσκειαν, ἵνα μὴ τῆς ἀντιμισθίας πάντως τῆς παρ' αὐτοῦ διαπίπτωμεν, (ἀπέχειν γὰρ ἤδη τοὺς τοιούτους ὁ θεῖος Λόγος φησὶ τὸν μισθὸν,) κελεύομεν, τοὺς εὐσεβεῖν βουλομένους, καὶ χρηστότητος καὶ φιλανθρωπίας ἔργα ἀνύειν, ἀκολούθως τῇ τοῦ Χριστοῦ πορεύεσθαι ἐντολῇ, καὶ πωλοῦντας τὰ ὑπάρχοντα διδόναι πένησιν· οὕτως γὰρ περιττοὺς ἡμᾶς εἶναι καὶ φιλοδαπάνους περὶ τὸν ἔλεον βούλεται, ὡς μὴ μόνον ὧν ἔχομεν χρημάτων τοῖς χρῄζουσι κοινωνεῖν, ἀλλὰ καὶ ταῦτα δαπανήσαντας, ἐπὶ τὴν πρᾶσιν ἑτοίμως χωρεῖν τῶν κτήσεων. Εἰ δέ τινες οὕτως εἰσὶ φιλόκαλοι καὶ μεγαλουργοὶ, (καλοῦμεν γὰρ οὕτως αὐτῶν τὸ φιλότιμον,) ὡς καὶ μοναστήρια συνιστᾷν βούλεσθαι, ξενῶνάς τε, καὶ γηροκομεῖα, ὁ κωλύσων οὐδείς· ἀλλ' ἐπεὶ πολλὰ τῶν ἐκ πολλοῦ τοῦ χρόνου γεγενημένων κεκμήκασιν ἤδη, καθάπερ εἴρηται, καὶ πρὸς τὸ μηδὲν εἶναι σχεδὸν περιέστησαν, ἐκείνων οὗτοι ἐπιμελείσθωσαν, καὶ διδότωσαν χεῖρα κειμένοις, καὶ περὶ αὐτὰ δεικνύτωσαν τὸ φιλόθεον· ἕως δ' ἂν τῶν προλαβόντων οὕτως ἐχόντων αὐτοὶ παρορῶντες, καὶ ὥςπερ ἐπ' αὐτὰ μύοντες, καὶ, εὐαγγελικῶς εἰπεῖν, ἀντιπαρερχόμενοι, πρὸς καινῶν ἑτέρων οἰκοδομίας κατατείνονται, οὔτ' ἐπαινέσω τὸ πρᾶγμα, οὔτε μὴν τὸ παράπαν ἐάσω γίνεσθαι, οὐδὲν ἕτερον ἢ κενῆς ἔρωτα δόξης, καὶ μανίαν περὶ αὐτὴν ὡμολογημένην καὶ εἰδὼς τοῦτο, καὶ ὀνομάζων. Ἐπιμελεῖσθαι δὲ τῶν προλαβόντων, καὶ βοηθείας δεομένων κελεύομεν, οὐκ ἀγροὺς παρέχοντας, οὐδὲ τόπους δή τινας, καὶ οἰκοδομὰς, (ἱκανὰ γὰρ τὰ φθάσαντα, καὶ ἅπερ ἔχοντες τυγχάνουσιν ἐξ ἀρχῆς,) ἀλλ' ἠμελημένα ταῦτα, καὶ ἀκαμῆ, καὶ ἀνέργαστα δι' ἀπορίαν κείμενα χρημάτων, ἐκεῖνοι τοὺς ἀγροὺς, οὓς ἔχουσι, καὶ τοὺς τόπους ἀπεμπολοῦντες πρὸς οὓς τῶν κοσμικῶν βούλονται, προνοίας αὐτὰ τῆς προσηκούσης καταξιούτωσαν, οἰκέτας παρέχοντες, βόας, ποίμνια, τἄλλα, ὅσα ἕτερα τῶν κτηνῶν· εἰ γὰρ αὐτοὺς ἐκείνους, οὓς ἔχομεν, ἀγροὺς καὶ τόπους παράσχοιμεν, ἐπεὶ τὰ τῶν οἴκων, καὶ τῶν Ἐκκλησιῶν, ὁ νόμος εἴργει πιπράσκεσθαι, εἰς ταυτὸν ἥξομεν τῷ προτέρῳ, καὶ τὰ κακῶς ἔχοντα καὶ πεπονηκότα καταλείψομεν ἀθεράπευτα, χρημάτων οὐκ ὄντων, οὐδὲ τῆς

χειρὸς ἐχούσης τι τῶν προεστηκότων(1), καὶ δυναμένης. Ὥστε ἀπὸ τοῦ νῦν μηδενὶ ἐξέστω, μὴ ἀγρούς, μὴ τόπους μοναστηρίοις ἢ γηροκομείοις, ἢ ξενῶσιν ὁπωσοῦν παραπέμπειν, ἀλλ' οὐδὲ μητροπόλεσιν, ἢ ἐπισκοπείοις· οὐδὲ γὰρ οὐδὲν ἐκείνοις λυσιτελεῖ. Εἰ δέ τινα τῶν φθασάντων εὐαγῶν οἴκων, ἢ μοναστηρίων, τοιαύτης φαύλης ἔτυχόν τινος χειρὸς καὶ προνοίας, ὡς ἔρημα τόπων καταλελεῖφθαι, τούτων γνώμῃ βασιλικῇ καὶ δοκιμασίᾳ ἡ τῶν ἀρκούντων κτῆσις οὐ κωλυθήσεται. Κελλία δὲ, καὶ τὰς καλουμένας λαύρας ἐν ἐρήμοις οἰκοδομεῖν, μὴ πρὸς κτήσεσι καὶ ἀγροῖς ἑτέροις ἐκτεινομένας, ἀλλὰ τῇ περιοχῇ μόνῃ τῇ ἰδίᾳ ὁριζομένας, τοσούτῳ τοὺς βουλομένους οὐκ εἴργομεν, ὅσῳ καὶ δι' ἐπαίνου μᾶλλον τὸ πρᾶγμα τίθεμεν.

Ταῦτα παραινῶν ἐγὼ, καὶ νομοθετῶν, οἶδ' ὅτι τοῖς πολλοῖς μὲν καὶ φορτικὰ λέγειν δόξω, καὶ πρὸς τὴν γνώμην αὐτῶν ἀπᾴδοντα· ὧν οὐδὲν ἐμοὶ μέλον, εἴπερ ἀρέσκειν, κατὰ τὸν Παῦλον, οὐκ ἀνθρώποις, ἀλλὰ Θεῷ βούλομαι· τοῖς δὲ νοῦν ἔχουσι καὶ φρένας, καὶ μὴ ἐξ ἐπιπολῆς ὁρᾷν ἠσκημένοις, ὡς τὸ προσπεσὸν ἁπλῶς ταραχὴν αὐτῶν ἐπάγειν τῇ διανοίᾳ, ἀλλὰ προσωτέρω χωροῦσι, καὶ συνορᾷν βάθος πραγμάτων δυναμένοις, καὶ λυσιτελῆ δόξομεν, καὶ ὠφέλιμα τοῖς τε κατὰ Θεὸν ζῶσι, καὶ τῷ κοινῷ παντὶ φθέγξασθαι.

(1) προσηκόντων A. ἐν περισελ.

ΒΑΣΙΛΕΙΟΥ (1).

[ΠΕΡΙ ΤΗΣ ΑΡΧΙΕΠΙΣΚΟΠΗΣ ΒΟΥΛΓΑΡΙΑΣ.]

Η ΠΕΡΙ τοὺς ἀγαθοὺς τῶν βασιλέων μετὰ τέλος εὐλάβεια, μέγα μὲν τὸ θεοφιλὲς ὑπεμφαίνει, πολὺ δὲ καὶ μετὰ τοῦ εὐλόγου φέρει τὸ δίκαιον· ὁμοῦ τε γὰρ εὐγνωμοσύνης ἀποφέρεται δόξαν, καὶ δεῖγμα πάντως οὐχὶ μικρὸν τοῦ πρὸς Θεὸν σεβάσματος γίνεται, εἴ γε δὴ καὶ ἐπ' αὐτὸν τὰ τῆς τιμῆς διαβαίνει τὸν αὐτοὺς βασιλεύσαντα· ὅτι δ' εἰ τῶν ἄλλων τινὶ, καὶ βασιλεῖ χρεὼν πρὸ τῶν ἄλλων, τοῖς γε δὴ τῷ χρόνῳ πλεῖστον προειληφόσι, τὸ πρεσβεῖον ἀπονέμειν κατάλληλον, ὡς ἂν εἰ τῶν ὁμολογουμένων περ ἐτύγχανεν ὂν, οὐδεμιᾶς προσδεῖται τῆς ἀποδείξεως. Ἀλλ' ἵνα γοῦν ἐντεῦθεν τὸν σκοπὸν τοῦ λόγου παραγυμνώσωμεν, φθάνει ποτὲ καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Ἰουστινιανὸς ἐκεῖνος, ὁ μὴ μόνον τὸν ἅπαντα τῆς ἀρχῆς χρόνον μέγα τὸ ἐπὶ τοῖς ἔργοις διασώσας ἐπίδοξον, ἀλλὰ καὶ τῇ μνήμῃ καταλελοιπὼς περιφανῶς διαρκοῦσαν τὴν εἰς αὐτόν γε ἥκουσαν εὔκλειαν, σπουδήν τινα προμηθείας, οὐχ ὅπως καὶ λεχθῆναι ῥᾳδίως, περὶ τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Βουλγαρίας ἐπιδειξάμενος· ἣν δὴ καὶ Πρώτην Ἰουστινιανὴν ἐκ τῆς οἰκείας κλήσεως κατωνόμασεν, ἅτε δὴ οὖν πατρίδα ταύτην λαχών· ταύτην γὰρ λόγος ἔχει τῆς σωματικῆς αὐτῷ κατάρξαι γενέσεως. Πάντα διετέλει ποιῶν, καὶ διὰ σπουδῆς μεγίστης ἐτίθετο, πῶς ἂν ἀξίως ἑαυτοῦ τὰ τροφεῖα ταύτῃ μεγαλοτελῶς ἀποτίσῃ, κἀπὶ πλεῖστον προαγάγῃ καὶ τιμῆς καὶ λαμπρότητος· ὅθεν καὶ μακρὸν ἂν εἴη καταριθμεῖν, ὁπόσον αὐτῇ παρὰ τὰς ἄλλας τὸ

---

(1) Βασίλειος, ὁ ἐκ τῶν ἐπισήμων κατὰ τῶν Βουλγάρων θριάμβων Βουλγαροκτόνος ἐπικληθεὶς, ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 975 μέχρι τοῦ ἔτους 1025.

Τὴν κατωτέρω πρῶτον ἤδη ἐκδιδομένην Νεαρὰν αὐτοῦ εὕρομεν μετὰ τῆς παρούσης ἱστορικῆς ἐκθέσεως ἐν τῷ Χειρογράφῳ νομικῷ Κώδικι τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀρχιεπισκόπου Ἀργολίδος Γερασίμου. — Ὅρα καὶ σελ. 219 τοῦ παρόντος Τόμου τὴν περὶ τῆς ἀρχιεπισκοπῆς Ἀχριδῶν διάταξιν, καὶ τὴν Σημ. ὡσαύτως Νομοκάν. Τίτλ. Α'. Κεφ. ἑ. σελ. 42—44 τοῦ Α'. Τόμου. — Παράβαλε καὶ Κεδρηνοῦ Σύνοψιν ἱστοριῶν Ἐκδ. Βόννης Τόμ. Β', σελ. 462 καὶ 468.

πρεσβεῖον ἀπέδοτο, καὶ ὅσοις αὐτὴν ἐσέμνυνε προτερήμασι, καὶ ὅσας αὖ τῶν ἐπ' ἀρχιερατεία τετιμημένων Ἐκκλησιῶν περὶ ταύτην ἀφώρισε· πλὴν ὅτι πολλ' ἄττα καὶ μεγάλα ταύτην ἀποσεμνύνας, καὶ ἅπερ ἂν βασιλέως ἔχῃ δοῦναι γνώμη φιλότιμος, ἐφ' οἷς ὁμονοοῦντα καὶ τὸν ἁγιώτατον ἐκεῖνον ἔσχε τῆς πρεσβυτέρας Ῥώμης πάπαν Βιγίλιον, ἐπὶ μᾶλλον αὐτῇ τῆς εἰς τὸ μέλλον ἐπεφρόντισε δόξης, καὶ ὅπως ἂν παραμένῃ τὰ τῆς ὑπεροχῆς παντὶ τῷ χρόνῳ διαδιδόμενα· ἔνθεν τοι καὶ χρυσοβούλλοις ταῦτα λόγοις ἐκράτυνε διατάγμασιν. Ἔμενε γοῦν ἐπιπολὺ τῆς οἰκείας δόξης ἐμφορουμένη, καὶ τῶν ἀπονενεμημένων, ὡς εἰκὸς, πρωτείων ἐπαπολαύουσα, ναὶ μὴν καὶ τὰς ἀποδοθείσας ἱερὰς ἁπάσας Ἐκκλησίας, οἷόν τινα κλῆρον εὐτυχοῦντα παντελῶς ἀμετάτρεπτον(1). Ἐπεὶ δ' ὁ τὰ πάντα συγχέων χρόνος ἄλλοτε ἄλλας ἐπεισάγει περιπτώσεις κινήσεων, οὐκ ἔμελλε μὴ καὶ τὰ κατ' αὐτὴν ἑτέρως διαθεῖναι, καὶ τῶν ἐπ' αὐτῇ μεγάλων ἀγαθῶν ἐργάσασθαι σύγχυσιν· αὐτίκα καὶ πραγμάτων πρὸς τὸ χεῖρον μεταβολὴ, καὶ τῆς πολλῆς ἐκείνης εὐκληρίας μετάβασις, καὶ ὅσα δὴ συμβαίνειν ἐπὶ τούτοις εἰκὸς ἐκ τῆς ἐπιβούλου τῶν ἐχθρῶν ἐπιθέσεως. Ὡς οὖν ἔδει καὶ αὐτὴν τῆς καιρικῆς μεταλαχεῖν ἐκείνης φορᾶς, τὸ γοῦν πλέον τῆς μεταβολῆς, ἐπὶ ταῖς ἀποκεκληρωμέναις Ἐκκλησίαις συστῆναι ταύτῃ συμβέβηκεν· ἔνθεν καὶ ταῖς μὲν, ὑπ' ἐχθροῖς ἐπεισπεσοῦσι γεγονέναι συμπέπτωκε, καὶ αὐτίκα παρ' ἐκείνων, οἱονεὶ τυράννων, ἐδουλαγωγοῦντο τῇ βίᾳ· αἱ δ' εἰς τοσοῦτον τοῦ καιροῦ τῆς δυσχερείας ἀπήλαυσαν, ὡς καὶ εἰς ἔσχατον ἀφανισμοῦ συνελαθῆναι, καὶ μηδ' ἄν τινα ῥᾳδίως ἔχειν καλεῖν αὐτὰς ἐξ ὀνόματος. Εἰσὶ δ' ἃς καὶ τῶν παρ' ἡμῖν ἱερῶν πολλαὶ μητροπόλεων, τὸν καιρὸν ἕρμαιον λογισάμεναι, καὶ ἄλλην ἄλλη διαλαβοῦσαι, τρόπον τοῦτον εἰσεποιοῦντο τὰς ἀλλοτρίας, καὶ πρὸς ἑαυτὰς αὐτίκα μεθεῖλκον, μετὰ τοῦ καιροῦ καὶ αὗται γινόμεναι, καὶ τόσῳ μᾶλλον, ὅσῳ καὶ ὁ χρόνος προϊὼν ἀσφαλὲς ἐδόκει ταύταις ἐνέχυρον· ταῖς δὲ, καὶ τὸ αὐτόνομον ἠγαπήθη, καὶ διὰ ταῦτα τῆς κοινῆς αὐτῶν μητρὸς διεσπάθησαν. Ἀλλ' οὐκ ἦν ἐπιπολὺ τὸ ἐναντίον προβαίνειν, οὐδ' ἐπὶ τοσοῦτον κατ' αὐτῆς τὸν χρό-

(1) ἴσως ἐλλείπει τὸ, διατηροῦσα.

νον νεανιεύεσθαι· τοίνυν καὶ ὡς αὖθις βασιλέως ἐδεῖτο, εἴπερ ἔμελλέ τι πράξειν τῆς περὶ αὐτὴν ἀρχαιολογίας ἐπάξιον, οἷον ἐπ' ἀγαθῷ τῷ ταύτης, ὁ τῆς εὐτυχοῦς καὶ ἀοιδίμου μνήμης βασιλεὺς ὁ Πορφυρογενὴς ἐκεῖνος ἀνεφάνη Βασίλειος, ὃς καὶ διὰ τὸ πλείστην συντριβὴν τῷ γένει τῶν Μυσῶν ἐμποιῆσαι, τὴν τοῦ Βουλγαροκτόνου κλῆσιν ἠνέγκατο. Οὗτος οὖν τήν γε τῶν πραγμάτων δυσκολίαν ἐκ μέσου ποιήσας, καὶ τὰ δυσχερῆ μεταγαγὼν πρὸς τὸ βέλτιον, καὶ τῇ ἁγιωτάτῃ ταύτῃ ἀρχιεπισκοπῇ τά τε ἄλλα πλεῖστον πρὸς τὸ ὑπερέχον τῆς τιμῆς συνεβάλετο· καὶ δὴ καὶ τῶν κατ' αὐτὴν ἱερῶν Ἐκκλησιῶν, ὡς οἷόν τ' ἦν, τὰς πλείστας ἐπανεσώσατο, ἅμα καὶ ἐφ' οἷς ἡ γνώμη πλεονέκτις ἐπ' αὐταῖς διεδείχθη, μηδεμίαν δοὺς τῷ χρόνῳ παῤῥησίαν κατ' αὐτῆς ἐνεγκεῖν, δίκαιος οὗτος δικαστὴς, ὡς ἐγῷμαι, τοῖς τῶν καλῶν ἐπιγνώμοσιν· ὅθεν καὶ βασιλικὰ θεσπίσματα διετάξατο, ἃ δὴ καὶ τοιαύτην ἔχει κατὰ ῥῆμα τὴν ἔκθεσιν.

ΠΟΛΛΩΝ ὄντων καὶ μεγάλων τῶν παρὰ τοῦ φιλανθρώπου Θεοῦ δεδωρημένων τῇ βασιλείᾳ ἡμῶν ἀγαθῶν κατὰ διαφόρους καιροὺς, καὶ ἀριθμὸν ὑπερβαινόντων, τοῦτό ἐστι παρὰ πάντα ἐξαίρετον, τὸ προσθήκην γενέσθαι τῇ Ῥωμαϊκῇ ἀρχῇ, καὶ τὴν τῶν Βουλγάρων γενέσθαι ὑπὸ ζυγὸν ἕνα. Ἐντεῦθεν οὖν καὶ τὸν εὐλαβέστατον μοναχὸν Ἰωάννην, ἀρχιεπίσκοπον Βουλγαρίας ἐκυρώσαμεν εἶναι, καὶ τὰ τῇ ἀρχιεπισκοπῇ προσήκοντα παρ' αὐτοῦ ἰθύνεσθαι. Καὶ ἐπεὶ ᾐτήσατο ὁ τοιοῦτος ἐγγράφως ἔχειν τοὺς ὀφείλοντας ταῖς Ἐκκλησίαις τῆς ἐνορίας αὐτοῦ, καὶ τῶν ἐπισκόπων αὐτοῦ, κληρικοὺς καὶ παροίκους ὑπηρετεῖν, δεδώκαμεν αὐτῷ τὸ παρὸν σιγίλλιον τῆς βασιλείας ἡμῶν· δι' οὗ παρακελευόμεθα, αὐτὸν μὲν τὸν ἀρχιεπίσκοπον ἔχειν εἰς τὰ κάστρα τῆς ἐνορίας αὐτοῦ, ἤτοι εἰς τὴν Ἀχρίδα, τὴν Πρέσπαν, τὸν Μάκρον, καὶ τὴν Κίτζαβιν, κληρικοὺς τεσσαράκοντα, καὶ παροίκους τριάκοντα· τὸν δὲ ἐπίσκοπον Καστορίας εἰς τὰ κάστρα τῆς ἐνορίας αὐτοῦ, ἤτοι εἰς αὐτὴν τὴν Καστορίαν, εἰς τὸν Κούρεστον, τὴν Κολώνην, τὴν Δεάβολιν (1), τὴν Βοῶσαν, καὶ τὸν

(1) Κεδρην. Τόμ. Β', σελ. 489 (ἐκδ. Βόνν.) καὶ ἀλλαχοῦ, Διάβολιν.

Μῶρον, κληρικοὺς τεσσαράκοντα, καὶ παροίκους τριάκοντα· εἰ τάχα καὶ περισσοτέρους εἶχε πρώην, ἀλλ' οὖν οὐ βουλόμεθα ὑπερβαίνειν τὸν ἀριθμὸν τῶν κληρικῶν, καὶ παροίκων τοῦ ἀρχιεπισκόπου· τὸν δὲ ἐπίσκοπον Γλαβινίτζης, εἰς αὐτὴν τὴν Γλαβινίτζαν, καὶ εἰς τὰ Κάνινα, καὶ εἰς Νεάνισκαν, κελεύομεν ἔχειν κληρικοὺς τεσσαράκοντα, καὶ παροίκους τεσσαράκοντα· τὸν δὲ ἐπίσκοπον Μογλαίνων, εἰς αὐτὰ τὰ Μόγλαινα, καὶ τὸν Πρόσακον, καὶ τὴν Μυρίχοβαν, καὶ τὴν Σετίνην, καὶ τὸν Ὀστροβὸν, καὶ εἰς τὰ Ζαόδρυα, κληρικοὺς δεκαπέντε, καὶ παροίκους δεκαπέντε· καὶ τὸν ἐπίσκοπον Βουτέλεως, εἰς τὴν Πελαγονίαν, καὶ εἰς τὸν Πρίλαπον, καὶ εἰς τὴν Δευρετὴν, καὶ εἰς τὸν Βελεσὸν, κληρικοὺς δεκαπέντε, καὶ παροίκους δεκαπέντε· καὶ τὸν ἐπίσκοπον Στρουμμίτζης, εἰς αὐτὴν τὴν Στρούμμιτζαν, καὶ τὸν Ῥαδόβεστον, καὶ τὸν Κονέτζην, κληρικοὺς δώδεκα, καὶ παροίκους δώδεκα· καὶ τὸν ἐπίσκοπον Μοροβίσδου, εἰς αὐτὸν τὸν Μορόβισδον, καὶ τὸν Κοζίακον, καὶ τὴν Σλαβίστην, καὶ τὴν Σθλετοβὰν, καὶ τὸν Δουκόβιτζον, καὶ τὴν Πιάνιτζαν, καὶ τὴν Μαλέσοβαν, κληρικοὺς δεκαπέντε, καὶ παροίκους δεκαπέντε· καὶ τὸν ἐπίσκοπον Βελεβουσδίου, εἰς αὐτὴν τὴν Βελέβουσδαν, καὶ τὸν Σουντίασκον, καὶ τὴν Γερμάνειαν, καὶ τὸν Τερίμερον, καὶ τὸν Στοβὸν, καὶ τὸν Κάτω Σουαδέασκον, καὶ τὰ Ῥαίλογα, κληρικοὺς δεκαπέντε, καὶ παροίκους δεκαπέντε· καὶ τὸν ἐπίσκοπον Τριαδίτζης, εἰς αὐτὴν τὴν Τριάδιτζαν, καὶ τὸν Πέρνικον,

(*ἐλλείπει τὰ λοιπά.*)

Β'. ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ,

Περὶ κτίσεως τῶν Ἐκκλησιῶν, καὶ τῶν εὐαγῶν οἴκων.

Ὑπόθεσις ἐκ τῶν Βαλσαμῶν τοῦ Ἀντιοχείας. Βασίλειος ὁ νέος τὴν Νικηφόρου τοῦ Φωκᾶ νομοθεσίαν, διοριζομένην, μὴ κατασκευάζεσθαι νεωστὶ μοναστήρια, ἢ ξενῶνας, ἢ γηροκομεῖα, διὰ νεαρᾶς ταύτης ἀναιρεῖ, ἀπολυθείσης κατὰ μῆνα Ἀπρίλιον, ἐπινεμήσεως ά. τοῦ ,ϛυϞέ. ἔτους.

Η ἐκ Θεοῦ βασιλεία ἡμῶν καὶ παρὰ μοναχῶν ἐπ' εὐλαβείᾳ καὶ ἀρετῇ μαρτυρουμένων, καὶ παρὰ πολλῶν ἄλλων ἀναμαθοῦσα τὴν περὶ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, καὶ τῶν εὐαγῶν οἴκων, παρὰ τοῦ τῆς βασιλείας ἐπιβάντος κυρίου Νικηφόρου τεθεῖσαν νομοθεσίαν, αἰτίαν καὶ ῥίζαν τῶν παρόντων γενέσθαι κακῶν, καὶ τῆς οἰκουμενικῆς ταύτης ἀνατροπῆς καὶ συγχύσεως, ὥστε μὴ πρὸς ἀδικίαν καὶ ὕβριν τῶν Ἐκκλησιῶν μόνον, καὶ τῶν εὐαγῶν οἴκων, ἀλλὰ καὶ αὐτοῦ τοῦ Θεοῦ γενομένην, ἄλλως τε δὲ καὶ ἔργῳ τοῦτο βεβαιωθεῖσα· ἐξ ὅτου γὰρ τὰ τῆς τοιαύτης ἐκράτησαν νομοθεσίας, οὐδ' ὁπωσοῦν οὐδ' ὁτιοῦν χρηστὸν ἄχρι καὶ τήμερον τῷ καθ' ἡμᾶς ἀπήντησε βίῳ, ἀλλὰ τοὐναντίον συμφορᾶς μᾶλλον ἐπέλιπεν εἶδος ὅλως οὐδέν· θεσπίζει διὰ τοῦ παρόντος εὐσεβοῦς ἐνυπογράφου χρυσοβούλλου τὸ τὴν παροῦσαν νομοθεσίαν ἀργεῖν ἀπὸ τῆς παρούσης ταύτης ἡμέρας, ἄκυρόν τε καὶ ἄπρακτον τοῦ λοιποῦ διαμένειν· ἐνεργεῖν δὲ τοὺς πρὸ ταύτης κειμένους περί τε τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, καὶ τῶν εὐαγῶν οἴκων νόμους, καὶ οὓς ὅ,τε ἀοίδιμος τῆς βασιλείας ἡμῶν πάππος, ὅ,τε πατὴρ ἐκείνου πάλιν, ὅ,τε ἐπίπαππος ἄριστά τε καὶ θεοφιλέστατα ἔθεσαν· καὶ ὥστε ἀσφαλῆ καὶ ἀμετάθετον εἶναι τὴν παροῦσαν διάταξιν, οἰκείᾳ χειρὶ ὑποσημηνάμενοι, χρυσῇ σφραγῖδι ταύτην ὑποσφραγισθῆναι διωρισάμεθα, μηνὶ Ἀπριλίῳ δ'. ἐπινεμήσεως ά. ἐν ἔτει, ,ϛυϞϛ' (2).

(1) Ὅρα καὶ Νεαρὰν Νικηφόρου τοῦ Φωκᾶ σελ. 261 τοῦ παρόντος Τόμου, καὶ ἑρμηνείαν Βαλσαμῶνος εἰς τὸν Καν. Α'. τῆς ΑΒ'. συνόδου Τόμ. Β'. σελ. 652,

(2) Τοῦτο τὸ ἔτος, οὐχὶ δὲ τὸ ἐν τῇ ἐπιγραφῇ, συνᾴδει τῇ ά. Ἰνδικτιῶνι.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ (1).

ΥΠΟΜΝΗΣΙΣ ΤΙΝΟΣ ΑΠΟ ΙΟΥΔΑΙΩΝ

Χριστιανοῦ γενομένου, περιέχουσα ὁποῖός ἐστιν ὁ ὅρκος τῶν Ἰουδαίων.

Τολμων ὁ ἀνάξιος καὶ πανευτελὴς δοῦλος τῆς κρατίστης καὶ ἁγίας σου βασιλείας δέομαι, δέσποτά μου ἅγιε. Ἐξ Ἰουδαίων ἐγενόμην ὁ δοῦλός σου, ἀπὸ τοῦ δουλικοῦ σου κάστρου Ἀτταλείας· φιλανθρωπίᾳ δὲ Θεοῦ, τοῦ μὴ ἐλθόντος καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, εἰς ἐπίγνωσιν ἦλθον τῶν ἐμῶν ἁμαρτιῶν, καὶ βάπτισμα ἅγιον διὰ μετανοίας ἐδεξάμην· εἶτα δι' εὐτυχίαν τοῦ ἐνθέου κράτους σου, ἐβάπτισα καὶ ἕτερα τρία ἀδέλφιά μου, καὶ ὑπεμνήσθη παρ' ἡμῶν ὁ τρισμακάριστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς, ὁ πατὴρ τῆς θεοσεβοῦς καὶ ἁγίας βασιλείας σου, ὡς ἂν δωρήσηται ἡμῖν τὸ Ἰουδαϊκὸν ἐκεῖνο τῶν ἡμετέρων γονέων οἴκημα, καὶ τὰ ἐν αὐτῷ ἀποκείμενα ὀλιγοστὰ πράγματα, κατασχεθέντα παρὰ τῶν Ἰουδαίων· καὶ διὰ τῆς ἀντιλήψεως τῆς ἁγίας βασιλείας αὐτοῦ εἰσηκούσθη ἡ ὑπόμνησις ἡμῶν· καὶ ἐγένετο ἡμῖν τιμία καὶ προσκυνητὴ λύσις πρὸς τὸν πράκτορα, παραδοθῆναι ἡμῖν τὸ τοιοῦτον οἴκημα. Κατὰ ταύτην οὖν τὴν πρόσταξιν, γέγονεν οὕτως· καὶ τῇ ἀντιλήψει τῆς ἁγίας βασιλείας σου γέγονε τὸ τοιοῦτον οἴκημα παρ' ἡμῶν τῶν δούλων ναὸς ἅγιος, οὕτω καλούμενος ἡ ἁγία Ἀνάστασις· καὶ μοναχούς τινας ἐν αὐτῷ κατετάξαμεν, ἐπὶ τῷ ὑπερεύχεσθαι τῆς ἁγίας σου βασιλείας, καὶ πάντων τῶν Χριστιανῶν. Ἐνεκαλέσαμεν δὲ τὸν πράκτορα καὶ περὶ τῶν ἡμετέρων πραγμάτων, ὡς ἂν ἀποδοθῶσιν ἡμῖν· καὶ ἔξαρνοι ἐγένοντο οἱ Ἰουδαῖοι· προσέταξεν οὖν ὁ πράκτωρ ἡμῖν, λυθῆναι τὴν ὑπόθεσιν ἡμῶν διὰ συκοφαντικοῦ, καὶ τελείου· καὶ ἐγὼ μὲν, ὡς Χριστιανὸς, ἵνα πληρώσω τὸν συκοφαντικόν· αὐτοὶ

(1) Κωνσταντῖνος ὁ Πορφυρογέννητος, ἀδελφὸς Βασιλείου τοῦ Βουλγαροκτόνου, ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 1025 μέχρι τοῦ ἔτους 1028.

δὲ, τὸν τέλειον· πλὴν οὐχ ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ἂν ἐγὼ δώσω αὐτοῖς ἐγγράφως· ἔστι δὲ οὕτως· ἐν πρώτοις, ἵνα ζώσηται τὴν βάτον, καὶ καβαλλικεύσῃ τὸν ἀσκὸν, καὶ ἐμβῇ εἰς τὴν θάλασσαν, καὶ πτύσῃ τὴν περιτομὴν αὐτοῦ τρίτον, λέγων οὕτως· Μὰ τὸν Βαρασῆ, Βαραᾶ, Ἀδωναΐ, Ἐλωΐ, τὸν διαπεράσαντα τὴν Ἐρυθρὰν Θάλασσαν τὸν Ἰσραὴλ ἀβρόχως, καὶ ποτίσαντα αὐτοὺς ὕδωρ ἐκ πέτρας, καὶ δόντα αὐτοῖς μάννα φαγεῖν, καὶ ὀρτυγομήτραν, εἰ καὶ αὐτοὶ ἀχάριστοι ἐγένοντο, παραιτησάμενοι τὰ τοῦ χοίρου κρέα· μὰ τὸν νόμον, ὃν δέδωκεν Ἀδωναΐ, καὶ τὸν ἐμπτυσμὸν τοῦ σώματος τῆς περιτομῆς, καὶ τὴν βάτον, ἣν τῇ ἐμαυτοῦ ὀσφύϊ περιζώννυμαι, οὐκ ἐπὶ ψεύδους ὀμνύω τὸ ὄνομα Κυρίου Σαβαώθ· εἰ δὲ ἐπὶ ψεύδους ὀμνύω, ἐπικατάρατα τὰ ἔγγονα τῆς κοιλίας μου· ψηλαφήσω ὡς ὁ τυφλὸς τοῖχον, καὶ ὡς μὴ ὑπάρχων ἔχων ὀφθαλμοὺς, πεσοῦμαι· σὺν τούτοις πᾶσιν ἀνοιξάτω ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ καταπιέτω με ὡς Δαθὰν, καὶ Ἀβειρών. Καὶ οὗτοι τὸν ὅρκον τοῦτον ἀσμένως ἐδέξαντο· εἶτα μετὰ τὸ ὀμόσαι ἐμὲ τὸν συκοφαντικὸν, οὐκ ἠθέλησαν πληρῶσαι τὸν τέλειον, ἀλλὰ δώροις τὸν πράκτορα μετελθόντες ἐξέφυγον τὸν ὅρκον. Διὰ γοῦν τοῦτο, δέομαι καὶ παρακαλῶ τὸ ἔνθεον κράτος σου, γενέσθαι μοι τιμίαν καὶ προσκυνητὴν λύσιν πρὸς τὸν κατὰ τὴν ἡμέραν πράκτορα, διοριζομένην, ἢ τὸν τοιοῦτον ὅρκον ὀμόσαι καὶ μὴ βουλομένους τοὺς Ἰουδαίους, ἢ ἀναμφιβόλως ἀποδοῦναι ἡμῖν τὰ εὐλόγως παρ' ἡμῶν ἐπιζητούμενα πράγματα· καὶ εἰ τοῦτο γένοιτο, δέσποτά μου ἅγιε, οὐ παύσομαι παρ' ὅλην μου τὴν ζωὴν τῆς ἁγίας σου βασιλείας ὑπερεύχεσθαι· ἧς, ὡς δοῦλος ἀνάξιος, τολμήσας ἐδεήθην.

ΑΝΤΙΓΡΑΦΗ ΒΑΣΙΛΙΚΗ.

ΥΠΟΔΕΙΞΟΝ τὴν παροῦσαν λύσιν τῆς βασιλείας μου, τῷ μεγαλεπιφανεστάτῳ δουκὶ τῶν Κιβυρραιωτῶν, καὶ οὗτος ἵνα μετακαλέσηται καὶ τοὺς παρὰ σοῦ διεγκαλουμένους Ἰουδαίους· καὶ, ἐὰν σοῦ τὸν συκοφαντικὸν ἐπομοσαμένου, ὡς ὑπέμνησας, οὗτοι ἀναποδίζουσι πρὸς τὸν ἐν τῇ ὑπομνήσει σου δηλούμενον τέλειον, παραπείσῃ αὐτοὺς ἢ τὸν τοιοῦτον ἀποδοῦναι τέλειον,

καθὼς ἐντὸς ἀνατάττεται, ἢ ἃ λέγεις πράγματα ἀντιστρέψαι πρὸς σέ. Τῷ μηνὶ Νοεμβρίῳ· ἐπινεμήσεως ιά. δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

ΠΑΡΕΚΒΟΛΗ ΓΕΝΟΜΕΝΗ ΠΑΡΑ ΙΟΥΔΑΙΩΝ.

Παρεξεβλήθη ἀπὸ τοῦ ἐπαρχικοῦ βιβλίου ὁ ὅρκος, ὃν ὀμνύουσιν οἱ Ἰουδαῖοι, ὁ καὶ περιέχων οὕτως· Ἐν πρώτοις, ἵνα ζώσηται τὴν βάτον, καὶ κρατήσῃ ἐν ταῖς χερσὶν αὐτοῦ τὸ μεγαλεῖον, καὶ εἴπῃ οὕτως· Εὐλογητὸς Κύριος ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ διαγαγὼν ἡμᾶς διὰ ξηρᾶς τὴν Ἐρυθρὰν Θάλασσαν, ὅτι οὐ ψεύδομαι· εἰ δὲ καὶ διαψευδόμενος εὑρεθῶ, δῴη μοι Κύριος ὁ Θεὸς τὴν λέπραν τοῦ Γιεζῆ, καὶ τοῦ Ἀμμὰ· Ἠλεὶ τοῦ ἱερέως τὴν καταδίκην· καὶ ἀνοιξάτω ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ καταπιέτω με ζῶντα, ὡς Δαθὰν καὶ Ἀβειρών.

Ἡ ὑπογραφή.

Ὁ κριτὴς τοῦ Βήλου, καὶ ἐπὶ τοῦ ἱπποδρόμου, Βασίλειος ὁ Πεκούλης, τὰ παρόντα ῥήματα τοῦ ὅρκου ἀπὸ τοῦ ἐπαρχικοῦ βιβλίου παρεκβαλών, καὶ ἰσάζοντα εὑρών, ὑπέγραψα καὶ ἐσφράγισα.

Εἶχε καὶ βοῦλλαν κάτωθεν ἀπῃωρημένην, ἔχουσαν ἐξ ἀμφοτέρων τῶν μερῶν γράμματα, οὕτως ἔχοντα·

Ἐκ τῆς σφραγῖδος ἴσθι τὸν γεγραφότα·
Κριτὴν Πεκούλην ὅς θέλει γνωριζέτω.

(1) προσηκόντων Α. ἐν περισελ.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΔΟΥΚΑ.

ΟΤΙ Ο ΒΑΣΙΛΕΥΣ ΟΥΚ ΕΧΕΙ ΕΞΟΥΣΙΑΝ
Ἀμείβειν τοὺς θρόνους (1).

Τοῦ μητροπολίτου ἐκείνου τῆς μητροπόλεως Ἀθηνῶν Κυροῦ Νικολάου τοῦ Ἁγιοθεοδωρίτου τιμηθέντος προστάξει βασιλικῇ διὰ τοῦ ἀξιώματος τοῦ ὑπερτίμου, καὶ σπουδάσαντος μεταπεσεῖν ἀπὸ τοῦ λαχόντος τόπου τὸν θρόνον αὐτοῦ, καὶ προκαθῆσθαι πάντων τῶν ἀρχιερέων διὰ τὸ βασιλικὸν ἀξίωμα, γέγονεν ἀμφιβολία μεγάλη παρά τε τῷ βασιλικῷ βήματι, καὶ παρὰ τῇ ἁγίᾳ συνόδῳ χάριν τούτου μέσον τῶν λοιπῶν ἀρχιερέων καὶ αὐτοῦ τοῦ Ἀθηνῶν. Καὶ ὁ μὲν Ἀθηνῶν ἐχρῆτο τῷ παρόντι κανόνι, διοριζομένῳ ἀκολουθεῖν τοὺς ἐπισκόπους τοῖς διοριζομένοις παρὰ τοῦ βασιλέως χάριν ἐνοριῶν (2)· καὶ τῇ κρατούσῃ συνηθείᾳ χάριν τοῦ γίνεσθαι τοὺς ἐπισκόπους μητροπολίτας διὰ βασιλικοῦ προστάγματος, καὶ οὕτω τὸν μέχρι τοῦ χθὲς ἔσχατον τόπον ἐν ἐπισκόποις ἔχοντα προκαθῆσθαι τῶν ὅλων ἐπισκόπων· ἀλλὰ μὴν καὶ ἑτέρᾳ συνηθείᾳ, τῇ ἐκχωρούσῃ τοὺς ἐπισκόπους ἀκολουθοῦντας μετὰ τοῦ βασιλέως ἱερουργεῖν παρ' ἐνορίαν, ὅταν διὰ βασιλικῆς προστάξεως ἐκχωρηθῶσι τοῦτο ποιεῖσθαι. Οἱ δὲ ἀθετοῦντες τῷ Ἀθηνῶν ἀρχιερεῖς, τῷ ζ'. κανόνι τῆς παρούσης συνόδου χρησάμενοι, καὶ ἑτέροις κανόσιν, ἀλλὰ

---

(1) Κωνσταντῖνος ὁ Δούκας ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 1059 μέχρι τοῦ ἔτους 1067. — Ἡ παροῦσα Νεαρὰ μετὰ τῆς προτεταγμένης ἱστορικῆς ἐκθέσεως, ἀνέκδοτος ἄχρι τοῦδε, ἐλήφθη ἐκ τοῦ ὑπ' ἀρ. 34 [ποτὲ 53] ἱστορικοῦ Κώδικος τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης, φύλλῳ 174, α. — Ἡ περὶ τῆς πρωτοκαθεδρίας τῶν μητροπολιτῶν τῶν ὄντων πρωτοσυγκέλλων καὶ συγκέλλων διένεξις ἤρξατο ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ τοῦ Ἀργυροῦ, τιμήσαντος συγκέλλους τρεῖς μητροπολίτας· (Κεδρην. Ἐκδ. Βόννης Τόμ. Β'. σελ. 486·) ἡ δὲ περὶ τῆς τῶν ὑπερτίμων ἐγένετο ἐπὶ τῆς βασιλείας Μανουὴλ τοῦ Κομνηνοῦ, ὡς εἰκάζεται ἐκ τοῦ ἐν τῇ ἀνωτέρῳ ἐκθέσει μνημονευομένου μητροπολίτου Ἀθηνῶν Νικολάου τοῦ Ἁγιοθεοδωρίτου, τοῦ τῷ πατριάρχῃ Λουκᾷ Χρυσοβέργῃ συγχρόνου, οὗ τὸ συνοδικὸν σημείωμα ζήτει σελ. 95 τοῦ παρόντος τόμου.

(2) Ὁ λη'. τῆς ϛ'. συνόδου, ἧς καὶ ὁ κατωτέρω μνημονευόμενος ζ'.

μην καὶ προστάγματι τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Δούκα, ἀναγράπτῳ ὄντι ἐν πίνακι παρὰ τοῖς κατηχουμένοις τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, ἔνθα αἱ σύνοδοι γίνονται, τὸ ἀμφίβολον ἔλυσαν. Τὸ δὲ τοιοῦτον βασιλικὸν πρόσταγμα ἔχει κατὰ ῥῆμα οὕτως.

Οἱ θεοφιλέστατοι μητροπολῖται ἐδεήθησαν τῆς βασιλείας μου, ἁγιώτατέ μου δέσποτα, ὅτι οἱ μητροπολῖται σύγκελλοι καὶ πρωτοσύγκελλοι πειρῶνται διὰ τῶν συγκλητικῶν τιμῶν ἀλλάξαι τοὺς σεβασμίους θρόνους. Καὶ τί ἐξουσίαν ἔχει ὁ βασιλεὺς, ἢ τὸ συγκλητικὸν ἀξίωμα ἀμείβειν θρόνους, οὓς ὁ Θεὸς διὰ τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, καὶ τῶν θεοφόρων Πατέρων ἔταξε; Τοῦ γὰρ βασιλέως ἱσταμένου μετὰ φόβου καὶ τρόμου, ἐάν ἐστιν ἄνθρωπος ὁ βασιλεὺς, καθεζομένου τοῦ ἱερέως, πῶς δύναται ὁ ἱστάμενος χαρίσασθαι τῷ καθεζομένῳ ὑψηλότερον θρόνον, καὶ ὁπότε οὐχὶ μόνον ἐπὶ τῶν μητροπολιτῶν καὶ ἀρχιεπισκόπων τοῦτο γίνεται, ἀλλὰ καὶ ἐπὶ ἱερέως πτωχοῦ ζευγηλατοῦντος, ἢ καὶ ποιμαίνοντος, ὥσπερ ἦν καὶ ὁ ἐν ἁγίοις μέγας Σπυρίδων ὁ θρυλλούμενος; Λοιπὸν ἐν μὲν τῇ Ἐκκλησίᾳ, ἔνθα καὶ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης τυγχάνει, ἔν τε συνόδοις, καὶ στάσεσι, καὶ δικαστηρίοις, ἔν τε καθέδραις, καὶ τοῖς λοιποῖς, ἕξει τὸν θρόνον ἕκαστος ὃν δέδωκεν αὐτῷ ἡ ἁγία Σοφία, ἥτις ἐστὶν ὁ Λόγος τοῦ Θεοῦ καὶ Κυρίου. Καὶ ᾧπερ δέδωκεν ἐκεῖνος θρόνον, τίς ἀφαιρήσεται ἐξ αὐτοῦ καὶ ἀποστερήσεται; Ἐν δὲ τῷ παλατίῳ ἕξει τὴν τιμὴν ἕκαστος τὴν ἐν τῇ συγκλήτῳ τυπωθεῖσαν αὐτῷ. Πίστευσον γάρ μοι ὅτι καὶ φρίκης τὸ πρᾶγμα, καὶ οὐδὲ οἱ ἁγιώτατοι μητροπολῖται πρωτοσύγκελλοι καὶ σύγκελλοι, οὐδὲ ἐμοῦ κατανεύσαντος ἀνέξονται τοῦτο ποτέ· ὅμοιοι γάρ εἰσιν ἅπαντες τῇ ὁμηγύρει τῶν ἁγίων καὶ πανενδόξων Ἀποστόλων· καὶ οὓς ἔταξεν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ἐν τῷ μυστικῷ καὶ ζωοποιῷ δείπνῳ καθεσθῆναι καὶ δειπνῆσαι, τίς δύναται ἀμεῖψαι τὴν καθέδραν ἐκείνων; Ἡ δὲ παροῦσα σήμερον, ἀντίτυπός ἐστιν ἐκείνης, ὡς ἔχω, καὶ ὡς πιστεύω. Ἀλλ᾽ οὐδὲ οἱ ἅγιοι μητροπολῖται σύγκελλοι καὶ πρωτοσύγκελλοι ἵνα τοῦτο φέρωσι βαρέως, πειθόμενοι

τῷ μεγάλῳ Παύλῳ πράξαντι καὶ διδάξαντι. «Ὅδος μὲν εἶ, τοσοῦτον ταπείνου σαυτόν· καὶ πρὸ τούτου, τοῦ δεσποτικοῦ ῥήματος διδάσκοντος πάντας ἡμᾶς τὸ, Ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται (1). Τίς εἶδε, τίς ἤκουσε τοιαύτην εὐκολίαν καὶ ὁδὸν εἰσάγουσαν εἰς ζωήν; Εἰ τοίνυν εἰς ταύτην τὴν ὁδὸν, καὶ ἐμὲ, καὶ τὴν ἁγιωσύνην σου, ἣν γινώσκω ἐγὼ, ἐδοκίμασεν, εὗρεν ἂν καθίσαντας ὅπου ἐκέλευσε, μέχρις ἂν ἔσωσεν, ὡς ἐν τῷ Βαλαὰμ ἀναγινώσκεται(2)· καὶ οὐ δεῖται πολλῆς ἐξηγήσεως, ὅτι ἐποίησαν βασιλεῖς δεικνύοντας ἑαυτοὺς μαθητὰς τοῦ Χριστοῦ. Ἐγὼ ὀλίγον ἐνέτυχον τοῖς κανόσιν, ἀλλ' εὗρον γεγραμμένον, ὅτι ὁ μὴ στοιχῶν πᾶσι τοῖς τυπωθεῖσι παρὰ τῶν ἁγίων Πατέρων, ἀναθέματι ὑποκείσθω· ἢ τίς ἐστιν οὕτω τολμητίας, καὶ ἀλαζὼν, καὶ αὐθάδης, ἵνα παρασείσῃ ἓν ῥῆμα τῶν θείων κανόνων ἐκείνων; εἰ δέ τις ἐτόλμησε καὶ τοιοῦτον, ἴσως ἠγνόησε τοὺς κανόνας, ἢ ἐπελάθετο, καὶ ἵλεως αὐτῷ γένοιτο Κύριος ὡς ἀγνοήσαντι. Ὅπερ δὲ θέλω ἐρωτῆσαι, ἀποκριθήτω μοί τις τῶν ἁπάντων. Ἐὰν γένηται μητροπολίτης λιτὸς πρωτόθρονος εἰς Καισάρειαν, καὶ ἕτερος εἰς Ἔφεσον, γένωνται δὲ σύγκελλοι εἰς Θεσσαλονίκην, ἢ Ὑδροῦντα, ἆρα προκαθίσουσι τοῦ Καισαρείας, ἢ τοῦ Ἐφέσου; Ὅμως ἂν θέλῃ τις καινοτομεῖν τὸ Θεῖον, καὶ βλασφημεῖν, καὶ ἀνατρέπειν τοὺς κανόνας τῶν ἁγίων Ἀποστόλων, καὶ θεοφόρων Πατέρων, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν. Εἰς δὲ τὸ παλάτιον ἐχέτω τὴν τιμὴν ὁ σύγκελλος, καὶ εἰς τὰ κοσμικὰ δικαστήρια.

Ἀποτεθήτω οὖν ἡ παροῦσα γραφὴ ἐν τῇ τοῦ Θεοῦ μεγάλῃ Ἐκκλησίᾳ, ὡς ἂν ᾖ δήλη καὶ εἰς τὸ ἑξῆς ἡ τοιαύτη πρόσταξις καὶ οἰκονομία τῆς βασιλείας μου, ἥτις καὶ τῇ διὰ κινναβάρεως ὑποσημασίᾳ, καὶ τῇ διὰ χρυσῆς βούλλης σφραγῖδι τυπωθεῖσα ἐξετέθη μηνὶ Μαΐῳ Ἰνδ. γ'. (3). Ζήτει ὄπισθεν εἰς τὸ ε'. στοιχεῖον καὶ κανόνα ιϐ'. τῆς δ'. συνόδου ἀνατρέποντα τοῦτο (4).

---

(1) Λουκ. ΙΔ', 11. καὶ ΙΗ', 14. — (2) Ἀριθμ. ΚΒ', καὶ ἐπ. — ϐ'. Πέτρου Β', 15. — (3) ἀπὸ Χριστοῦ 1065, ἐπὶ πατριάρχου Κωνσταντινουπόλεως Ἰωάννου τοῦ Ξιφιλίνου. — (4) Παραπομπὴ εἰς τὸ κατὰ στοιχ. Σύνταγμα τοῦ Βλάσταρη ἐν ἀρχῇ τοῦ αὐτοῦ Κώδικος εὑρισκόμενον.

ΝΙΚΗΦΟΡΟΥ.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΟΤΑΝΕΙΑΤΟΥ (1)

Χρυσόβουλλον, ἐπικυροῦν τὰς συνοδικὰς ἀποφάσεις, τὰς περὶ τῶν ἀθεμίτων γάμων, καὶ τῆς μνηστείας γεγενημένας ἐπὶ Ἰωάννου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου τοῦ Ξιφιλίνου, οὗ μετὰ θάνατον ἐπεβραβεύθη τῇ Ἐκκλησίᾳ ὁ ὑποτεταγμένος χρυσόβουλλος λόγος.

Τὸ ταῖς μεγίσταις τῶν διοικήσεων Θεὸν ἀεὶ συνέρχεσθαι, λόγος θεῖος καὶ σοφὸς ἐπεκράτυνε· καὶ οὕτω διεξάγεσθαι τὰ μείζονα τῶν πραττομένων οἴδαμεν ἅπαντες, καὶ οὐκ ἀμφιβάλλομεν· εἰ δὲ τῶν μεγίστων ἔργων τῶν ἐκ Θεοῦ καὶ ἡ τῶν ἀνθρώπων ἐστὶ ζωὴ, καὶ ἡ ἐκ τούτων παιδογόνησις, καὶ εἰς τὸν βίον ἐπαύξησις οἰκονομίᾳ γίνεται τῇ ἐξ αὐτοῦ, πολλῷ μᾶλλον ἐκ τῆς τούτου κηδεμονίας καὶ προστάξεως γνωρίζεται ὁ γάμος, ὁ τοῖς νόμοις θεμιτὸς καὶ μὴ ἐκ Θεοῦ χωριζόμενος· ὥσπερ ἄρα γε ἀλλότριός ἐστι καὶ ἐθνικὸς, ὁ τῆς αὐτοῦ προστάξεως ἀλλοτριούμενός τε καὶ διαιρούμενος. Εἰ γὰρ αὐτὸς ῥητῶς οὑτωσὶ διετράνωσέ τε καὶ ἐξεφώνησε, τοὺς ἐκ Θεοῦ συνημνωμένους παρὰ ἀνθρώπων μὴ χωρίζεσθαι, καθά φησιν ἡ εὐαγγελικὴ καὶ θεία φωνὴ (2), τίς ἂν ἀπιστήσειε μὴ κατὰ βούλησιν αὐτοῦ κωλύεσθαι τὰ ἀθέμιτα, προβαίνειν δὲ κατὰ τὴν ψῆφον αὐτοῦ κατὰ τοὺς θείους καὶ ἐκκλησιαστικοὺς κανόνας συνενούμενα τὰ μὴ κωλυόμενα; Ἢ εἴ τις ἀπαυθαδιάσαιτο πρὸς τὰ ἐκ τῆς τῶν θείων νόμων καὶ συνοδικῶν οἰκονομίας καὶ κελεύσεως ἀρίστης οἰκονομούμενα, οὐκ ἄντικρύς ἐστιν ἀντίστασις Θεοῦ καὶ ἀπόστασις τὸ πραττόμενον; Ἀλλὰ μὴ οὕτω τις μανείη, καὶ τῶν οἰκείων ἐκσταίη

(1) Νικηφόρος ὁ Βοτανειάτης ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 1078 μέχρι τοῦ ἔτους 1081. — Ὅρα τὰς διὰ τοῦ παρόντος προστάγματος ἐπικυρουμένας συνοδικὰς ἀποφάσεις σελ. 51 καὶ ἑπομ. τοῦ παρόντος τόμου. — (2) Ματθ. ΙΘ', 6. — Μάρκ. Ι', 9.

φρενῶν, ὡς ἐμπεσεῖν εἰς χεῖρας μείζονος καὶ ἀπαραιτήτου κριτοῦ, ἐκ τῆς ἀντινομίας τοῦ καλοῦ, καὶ πρὸς τὸ χεῖρον μεταφορᾶς. Εἰ γοῦν ἅπαντας ὁ θεῖος νόμος καὶ συνοδικὸς καταναγκάζει καὶ μὴ βουλομένους μεταφέρεσθαι πρὸς τὰ κρείττονα, ὡς ἂν μὴ τῆς συνόδου τῆς θείας ψήφου ἐξοστρακίζοιντο, πολλῷ γε μᾶλλον ἄξιόν ἐστι μετὰ τῆς ψηφοφορίας τῆς συνοδικῆς καὶ ἀρχιερατικῆς καὶ τὸν κρατοῦντα ἐπιψηφίζεσθαι, καὶ ὥσπερ δὴ συμπράττειν καὶ συνεδριάζειν τοῖς καλῶς παρὰ τῶν ἱερωτάτων καὶ θειοτάτων ἀρχιερέων, καὶ αὐτοῦ τοῦ πανιέρου πατριάρχου ψηφισθεῖσί τε, καὶ οἰκονομηθεῖσι καλῶς· καὶ γὰρ ἐπεὶ διὰ κρίσεως συνοδικῆς τοῦ μακαρίτου πατριάρχου κυρίου Ἰωάννου τοῦ Ξιφιλίνου γεγενημένης κατὰ τὸν Ἀπρίλλιον μῆνα τῆς παρελθούσης δ'. ἰνδικτιῶνος, ἔτι τε καὶ τῶν τότε ἐνδημούντων κατὰ τὴν βασιλεύουσαν ἱερωτάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων, ἀνέμαθεν ἡ βασιλεία μου, ὅτι συνοδικῶς ἐκρίθη τὰ περὶ τῶν ἀθεμίτων γάμων, πῶς τε ὀφείλουσιν οἱ κεκωλυμένοι κατὰ τοὺς θείους κανόνας καὶ νόμους ἀναχαιτίζεσθαι, καὶ πῶς προβαίνειν οἱ κατὰ νόμους γινόμενοι, καὶ μὴ συνοδικῶς κωλυόμενοι, καὶ ὑπεμνήσθη τούτου ἕνεκεν ἡ βασιλεία μου, ὥστε ἐπικυρωθῆναι παρ' αὐτῆς τὴν τοιαύτην κρίσιν, ὡς ἂν μὴ παρά τινος κατὰ φόβον τυχόν, ἢ δόλον, ἢ τρόπον ἄλλον οὐκ ἐπαινετὸν ἀνατρέποιτο, καὶ ἦν τὸ πρᾶγμα θεῖον καὶ εὐσεβές· ἐπήκουσε τῆς τῶν αἰτουμένων αἰτήσεως, καὶ ἐπεκράτυνε βασιλικῶς τὰ τῷ Θεῷ ἀρέσκοντα, καὶ κατὰ τοῦτο καὶ τῇ θείᾳ καὶ ἁγίᾳ συνόδῳ συνδόξαντα, ὡς ἂν τὰ πάλαι πεπραγμένα καλῶς, ἐκ καινῆς κακῶς μὴ ἀναμοχλεύοιντο, καὶ ἀκίνητα (1) μετακινοῖντο, καὶ, ὡς εἰπεῖν, ἀνίερα γίνοιντο. Διορίζεται γὰρ ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου, τὴν γενομένην πατριαρχικὴν καὶ συνοδικὴν κρίσιν βεβαίαν εἶναι, καὶ μὴ παρά τινος ἄχρι καὶ ψιλοῦ τοῦ λόγου τολμᾶσθαι ἀνακρίνεσθαί τε καὶ ἀνατρέπεσθαι· αὐτόχρημα γὰρ ὁ ἀντιπίπτων ταύτῃ τῇ θείᾳ καὶ συνοδικῇ κρίσει τῆς ἡμετέρας πίστεως προσανατρέπει τοὺς οἴακας, καὶ ἀναθέματι καθυποβέβληται, καὶ ἀποκήρυκτος παρὰ

(1) ὡς εὐκίνητα, Α. ἴγ περισελ.

τῆς μεγάλης Ἐκκλησίας ἀποκαθίσταται, καὶ ἀντιπράττων τοῖς κανόσι, καὶ ἀνατρέπων τούτους καὶ διασαλεύων, ἀπάνθρωπός τε καὶ παρανομώτατος. Καὶ γὰρ ἐπισφραγίζουσα ἡ βασιλεία μου τὰ κεκριμένα καλῶς καὶ οἰκονομηθέντα συνοδικῶς, καὶ τὸ παρὸν ἐξέθετο χρυσόβουλλον, εἰς ἐπικύρωσίν τε καὶ στερεότητα ὑποσημηναμένη ἐν αὐτῷ δι' ἐρυθρῶν γραμμάτων, καὶ διὰ τούτων τὴν ἀλήθειαν φανωτέραν ὑπαγορεύουσα, κορωνὴν ὥσπερ δή τινα χρυσῆν, τὴν ἀληθῶς σφραγίδα τούτῳ ἀπαιωρήσασα, ἐν ἔτει τῷ ,ϛφπή, τῆς παρούσης τρίτης ἰνδικτιῶνος, τοῦ Ἰανουαρίου μηνὸς, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

ΑΛΕΞΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ(1).

Α'. ΠΕΡΙ ΤΟΥ ΚΑΝΟΝΙΚΟΥ,

Καὶ τῶν διδομένων συνηθειῶν ὑπὲρ χειροτονίας, καὶ ἱερολογίας γάμου, καὶ περὶ τοῦ ἀερικοῦ, καὶ πάντων τῶν ψυχικῶν, χρυσόβουλλον τυπικὸν ἐκτεθειμένον κατὰ μῆνα Σεπτέμβριον, τῆς θ'. ἐπινεμήσεως (2).

Ο ΚΑΤΑ καιροὺς θεοφιλὴς ἑκάστης χώρας ἐπίσκοπος, ἐκεῖνα λήψεται ὑπὲρ κανονικοῦ αὐτοῦ ἀπὸ τῶν ἐντοπίων αὐτοῦ, τὰ ῥητῶς ἐν τῷ χρυσοβούλλῳ τυπικῷ τοῦ μακαρίτου θείου τῆς βασιλείας μου διειλημμένα, ἅπαξ τοῦ ἐνιαυτοῦ· ἤγουν, ἀπὸ μὲν τῆς χώρας τῆς ἐχούσης καπνοὺς λ', νόμισμα ἓν χρυσοῦν τῆς προτιμωμένης χαραγῆς τῆς βασιλείας μου, ἀργυρᾶ, β', κριὸν ἕνα, κριθαρίου μόδια ς', οἴνου μέτρα ς', ἀλεύρου μόδια ἕξ, καὶ ὀρνίθια λ'. ἀπὸ δὲ τοῦ ἔχοντος κ'. καπνοὺς χωρίου, τὸ δίμοιρον τοῦ νομίσματος καὶ τῶν β' ἀργυρῶν, ἀργυρᾶ ι'. μέσαρνον ἕν, κριθαρίου μόδια δ'. οἴνου μέτρα δ'. ἀλεύρου μόδια δ'. καὶ ὀρνίθια κ'. ἀπὸ δὲ τοῦ ἔχοντος δέκα καπνοὺς χωρίου, ἀργυρᾶ ε, ἀρνίον ἕν, κριθαρίου μόδια β', οἴνου μέτρα β', ἀλεύρου μόδια β', καὶ ὀρνίθια ι'. Καὶ ἐπὶ τῶν χειροτονιῶν δὲ τῶν ἱερέων, ὁ παλαιὸς ἐνεργήσει τύπος, καθὼς τὸ αὐτὸ διέξεισι τυπικὸν χρυσόβουλλον, καὶ ὁ κατὰ χώραν ἐπίσκοπος τὰ ἑπτὰ μόνον ὁμοίως λήψεται χρυσᾶ· ἓν μὲν, ὅτε ποιεῖ τοῦτον λιτὸν παπᾶν, ἤτοι ἀναγνώστην· τρία δὲ, ὅτε χειροτονεῖ τοῦτον διάκονον· καὶ ἕτερα τρία, ὅτε

(1) Ἀλέξιος ὁ Κομνηνὸς, ὁ Ἰσαακίου τοῦ Κομνηνοῦ ἀνεψιὸς, ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 1081 μέχρι τοῦ ἔτους 1118. Ἐπὶ τῆς βασιλείας αὐτοῦ τε καὶ τῶν ἀμέσων αὐτοῦ, διαδόχων Κομνηνῶν, τὸ Βυζαντινὸν κράτος ἤκμασε καὶ ἐδοξάσθη. Ἐπ' αὐτοῦ ἐγένοντο καὶ οἱ πρῶτοι σταυροφορικοὶ πόλεμοι. — (2) Τὸ παρὸν χρυσόβουλλον ἐπεκυρώθη διὰ συνοδικοῦ ψηφίσματος Νικολάου τοῦ Γραμματικοῦ, ὃ ζήτει σελ. 60 τοῦ παρόντος τόμου. — Ὅρα δὲ περὶ τοῦ κανονικοῦ καὶ Νεαρὰν Ἰσαακίου τοῦ Κομνηνοῦ παρὰ Βαλσαμῶνι, ἐν Νομοκάν. Φωτίου Τίτλ. Α'. Κεφ. λδ'. (Τόμ. Α'. σελ. 75) κυρωθεῖσαν διὰ συνοδικοῦ ψηφίσματος Μιχαὴλ τοῦ Κηρουλαρίου, ὡς ἀναφέρεται ἐν σχολίῳ τῆς δ'. ἐπιγραφῆς τῆς Ἐπιτομῆς τῶν κανόνων. ἀπὸ Ἁρμενοπούλου.

τελειοῖ τοῦτον ἱερέα. Καὶ κατὰ τὸ τυπικὸν τοῦ μακαρίτου βασιλέως τοῦ Μονομάχου, διορίζεται ἡ βασιλεία μου, ἵνα ὅταν τινὲς τῶν ὑπὸ τὴν ἐνορίαν τῶν κατὰ χώραν ἐπισκόπων, νόμῳ γάμου νομίμοις γυναιξὶ συνάπτωνται, ἀναλαμβάνεται ὁ ἐπίσκοπος ἐξ αὐτῶν, ἀπὸ μὲν τοῦ γαμβροῦ, νόμισμα ἓν χρυσοῦν· ἀπὸ δὲ τῆς νύμφης, πανίου πήχεις ιβ', καθὼς ἄρα καὶ ἐκ παλαιοῦ τετύπωται. Ἀλλὰ καὶ περὶ τοῦ ἀερικοῦ, εἰ μὲν γένηται πταῖσμα παρὰ δύο ἱερωμένων, ἢ κληρικοπαροίκων, ἵνα κανονίζωνται καὶ σωφρονίζωνται παρὰ τοῦ ἀρχιεπισκόπου αὐτῶν, ἢ τοῦ ἐπισκόπου, κατὰ τὸν ἱερὸν κανόνα, ἢ χρήματα ἀπαιτῶνται, ἢ καὶ κολάζωνται· εἰ δὲ τὸ ἓν μέρος τῶν κοσμικῶν ἐστιν, ἵνα κρίνωνται παρ' ἀμφοτέρων, τοῦ τε ἀρχιερέως, καὶ τοῦ κατὰ χώραν πράκτορος· καὶ εἰ μὲν τὸ πταῖσμα παρὰ τοῦ ἱερέως εὑρίσκεται, ἵνα ἀποστέλληται παρὰ τοῦ πράκτορος εἰς τὸν ἀρχιερέα, καὶ παρ' ἐκείνου ἵνα κανονίζηται καὶ σωφρονίζηται· εἰ δὲ ἐκ τοῦ κοσμικοῦ γένηται, ἵνα σωφρονίζηται καὶ ἀπαιτῆται παρὰ τοῦ κατὰ χώραν πράκτορος. Τὰ μέντοι ψυχικὰ ἅπαντα, καὶ αὐτὰ δὴ τὰ συνοικέσια, παρὰ τῶν ἀρχιεπισκόπων καὶ ἐπισκόπων ὀφείλουσι κρίνεσθαί τε καὶ ἐκβιβάζεσθαι (1).

Β'. ΠΕΡΙ ΤΩΝ ΙΕΡΩΝ ΣΚΕΥΩΝ,

Καὶ τοῦ μὴ ἄλλοτέ ποτε ταῦτα κοινωθῆναι.

Οἱ πονήρως τοῦ σώματος ἔχοντες, καὶ θεραπείας ἰασίμου δεόμενοι, αὐτὸ μὲν τοῦτο εἰδότες, ὅτι κάμνουσι, καὶ τῆς νόσου ἐπαισθανόμενοι, μᾶλλόν εἰσιν ἰάσιμοι τοῖς θεραπευταῖς· οἱ δὲ πρὸς τὸ μέγεθος τῆς νόσου ἀναισθητοῦντες, καὶ οὐδ' ὅτι νοσοῦσι γινώσκοντες, ἑαυτοῖς καὶ τοῖς ἰατροῖς παρέχουσι πράγματα· αὐτὸ δὴ τοῦτο κἂν τοῖς ψυχικοῖς ἐστι κατιδεῖν ἀῤῥωστήμασι. Καὶ τῶν ἁμαρτανόντων ἡμῶν, οἱ μὲν, εἰς βάθος κακῶν ἐμπεσόντες καταφρονοῦμεν, καὶ τῷ μεγέθει τῶν ἀνομημάτων ὑπερνικώμενοι, οὐδ' ὅτι ἁμαρτάνομεν αἰσθανόμεθα, εἰς φύσιν πολλάκις τῆς πονηρᾶς ἕξεως μεταπιπτούσης·

---

(1) Ὅρα καὶ Βαλσαμ. ἐν Τίτλ. Θ'. Κεφ. Α'. τοῦ Νομοκάν. σελ. 165 τοῦ Α'. Τόμου· καὶ Ιστφὰν Ἡρακλείου σελ. 225 τοῦ παρόντος Τόμου.

οἷς δέ τι Θεὸς ἐπιλάμπει σωτήριον φῶς, καὶ μὴ πάντη τὸ διανοητικὸν τῇ κάτω ἰλύϊ συγκέχυται, μηδὲ τῇ πλινθείᾳ ὁ νοῦς καθάπαξ δουλεύειν βιάζεται, ἔστι τούτοις καὶ ἀνανεῦσαι τοῦ πτώματος, καὶ Θεοῦ πολλάκις κατὰ τὸ ἑκούσιον ὀλισθήσασιν, ἐπαναδραμεῖν εἰς ἐκεῖνον ἐθελουσίῳ ἀναζητήσει τοῦ κρείττονος· ὅπερ δὴ κἂν τῇ βασιλείᾳ ἡμῶν συμβέβηκεν ἀτεχνῶς. Ἐπεὶ γὰρ αἱ ποικίλαι καὶ πολυμερεῖς τῶν πραγμάτων περιστάσεις, καὶ ἡ πανταχόθεν μὲν τῶν δημοσίων προσόδων ἐκκένωσις, ἁπανταχόθεν δὲ τῶν ἐξόδων ἡ ἀναστόμωσις, τοῦ κράτους ἡμῶν συνέχον τὴν γαληνότητα, καὶ ἅμα τῷ τῆς βασιλείου ἐπιβῆναι ἀρχῆς, κατόπιν εὐθὺς αἱ περιστάσεις ἐπηκουλήθησαν, κἀντεῦθεν ὑπ' ἀμηχανίας, καὶ τοῦ μὴ τοῖς συμπεσοῦσιν ἔχειν ὅ,τι καὶ χρήσαιτο, τῶν ἱερῶν ἔγνω καὶ θείων ἅψασθαι κειμηλίων, καὶ τούτοις τὸ τῆς χρείας ἐνδέον παραμυθήσασθαι· τουτὶ μὲν τὸ ἔργον ἐν πολλαῖς τῶν ἁγίων Ἐκκλησιῶν διεπράξατο, καὶ πολλὰ τῶν ἀναθημάτων εἰς δημοσίας ἔστρεψε χρείας, οὐχ ὕβρει καὶ περιφρονήσει Θεοῦ, οὐδ' ὀλιγωρίᾳ τῶν εὐαγῶς αὐτῷ ἀνατεθέντων, (ἀπείη γὰρ τοῦτο πάσης χριστιανικωτάτης ψυχῆς,) ἀλλὰ καιροῦ περιστάσει, καὶ λογισμῷ ἁπτομένῳ μέσως τοῦ πράγματος· ᾠήθη γὰρ ἡ καρδία τῆς βασιλείας μου, μηδέν τι ἐντεῦθεν ὀργίζεσθαι τὸν Θεὸν, ὅπου μὴ πονηρὰ συνείδησις προκατακρίνει τὸν πράττοντα. Ἐπεὶ δὲ καὶ εἴ τι που ἐν τοῖς βασιλείοις ὑπόλοιπον ἦν, κατειργάσθη μὲν κἀκεῖνο καὶ ἀνηλώθη, ἐχώρησε δὲ εἰς μηδὲν δέον τὰ ἀπὸ τῶν ἁγίων περιελθόντα Ἐκκλησιῶν· καὶ πᾶσα μὲν ἡ προτέρα βουλὴ ἐπὶ ταῖς περιεχούσαις τὴν Ῥωμανίαν στενοχωρίαις εἰς τοὐναντίον περιηνέχθη, πολλαχόθεν δὲ τὸ κέρας ὑψώθη τῶν ἐπανισταμένων ἡμῖν, καὶ τὸ τῆς βασιλείας ἤδη σκάφος πεσεῖν ὑποβρύχιον κινδυνεύει, εἰ μὴ ἡ παναλκὴς δύναμις τοῦ Θεοῦ, οἷς οἶδε κρίμασιν αὐτοῦ ἀντιλήψεται, καὶ εἰς αὔραν στήσει τὴν καταιγίδα· ἔδοξε τῇ βασιλείᾳ ἡμῶν ἐπιμελέστερον ἀνιχνεύσασθαι, καὶ πολυπραγμονῆσαι, τί δή ποτε ἄρα ἐστὶ τὸ ἐπὶ τοσοῦτον κινῆσαν τὴν ὀργὴν τοῦ Θεοῦ; καὶ τὸ ἀπότομον τοῦ θυμοῦ αὐτοῦ καθ' ἡμῶν παροξῦναν· ἀμέλει καὶ συνεσκέψατο πνευματικοῖς καὶ θείοις ἀνδράσι περὶ

τοῦ πράγματος· καὶ ἐπεὶ ἔμαθε παρ' αὐτῶν, οὐ φαῦλον εἶναι παραίτιον τοῦ θείου μηνίματος, ἅψασθαι ὅλως ἡμᾶς τῶν εὐαγῶν καὶ θείων τοῦ Θεοῦ κειμηλίων, κἂν μὴ ἀπὸ πονηρᾶς τοῦτο καρδίας πέπρακταί τε καὶ τετελεσιούργηται, ὅτι μηδὲ τὰ θεῖα κοινοῦσθαι τῶν ἐνδεχομένων ὅλως ἐστὶ, μηδὲ τὰ εἰς χεῖρας παρατεθέντα Θεοῦ, ἐξ ἐκείνων αὖθις ἀνταφαιρεῖσθαι, καὶ εἰς ἑτέρας χρείας καταβιβάζεσθαί τε καὶ στρέφεσθαι· δεῖν ἔγνω, ἅμα μὲν τὴν μέλλουσαν ὁρμὴν ἀναστεῖλαι τοῦ κακοῦ, ἵνα μηκέτι τὸ ἀπὸ τοῦδε παρὰ Χριστιανοῖς βασιλεῦσι πάροδον εὕρῃ ποτὲ, ἅμα δὲ καὶ τὰ προδιελθόντα, καθόσον σθένος, ἰάσασθαι· οὐκοῦν καὶ ἐξομολογουμένη ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων ἡ βασιλεία μου, καὶ τὴν συγχώρησιν ἐν οἷς ἔδρασεν ἀβουλήτως ἐκ μέσης ἀνακαλουμένη ψυχῆς, παρεγγυᾶται καὶ ἐν ἐπηκόῳ Θεοῦ κατατίθεται, πάντα τὰ ἀπὸ τῆς αὐτοκρατορίας αὐτῆς καὶ ἄχρι τῆς δεῦρο τῶν ἱερῶν Ἐκκλησιῶν ἀφαιρεθέντα, καὶ εἰς τὰς τοῦ δημοσίου χρείας στραφέντα, ἀποκαταστήσεσθαι αὖθις παρὰ τοῦ κράτους αὐτῆς ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ, μετὰ τὴν τῆς κοσμικῆς καταιγίδος κατάπτωσιν, καὶ τὴν τῆς βασιλείας εἰς τὸ κρεῖττον ἀποκατάστασιν· ὡς γὰρ ἴδιον χρέος αὐτὰ ἀναδέχεται, καὶ ὀφειλέτης εἶναι ταῖς ἁγίαις Ἐκκλησίαις οὐκ ἀπαναίνεται· εἰς δέ γε τὸν ἐσόμενον ἀπὸ τοῦδε χρόνον, ἑαυτῇ τε καὶ πᾶσι τοῖς μετ' αὐτὴν Χριστιανοῖς βασιλεῦσι διὰ τῆς παρούσης χρυσοβούλλου γραφῆς τὸν ἀπὸ Θεοῦ δεσμὸν ἐπιτίθησι, μηκέτι τολμῆσαι ἅψασθαι ἱερῶν, κἂν πᾶσα ἀνάγκη βιάζηται, μὴ χεῖρας ἀνάγνους ἐπαφεῖναι τοῖς ἱεροῖς, μὴ βεβηλῶσαι τὰ θεῖα κειμήλια, διὰ τῆς εἰς δημοσίας ἐξόδους τούτων περιαγωγῆς· μέσον δὲ Θεοῦ καὶ ἀνθρώπων φραγμοῦ τεθέντος, ὃν οὐ παρελεύσεται εὐσεβής, ἄνθρωποι μὲν, τοῖς ἡμετέροις χρησόμεθα, Θεὸς δὲ, τὰ ἀνατεθέντα αὐτῷ ἕξει ἀκίνητα, καὶ πάντολμος χεὶρ τούτων οὐχ ἅψεται· καὶ εἴ τις, Δέσποτα καὶ Θεὲ, τὸ ἀπὸ τοῦδε χεῖρας τολμήσει ἐπιβαλεῖν τοῖς προαφιερωθεῖσιν, ἢ καὶ ἐσαῦθις ἀνατεθησομένοις ἱεροῖς καὶ θείοις κειμηλίοις, καὶ ἐπίπλοις, καὶ σκεύεσι, ταῖς ἁγίαις καὶ σεπταῖς Ἐκκλησίαις σου, μὴ ἴδοι φῶς ἐν ἡμέρᾳ ἐπισκοπῆς σου, μὴ ἀνατείλοι ἥλιος ἐπ'

αὐτὸν πρωϊνὸν, μὴ τύχοι μήτε ἐνταῦθα τῆς σῆς βοηθείας, μήτε ἐκεῖθεν τῆς θείας σου ἀντιλήψεως· ἀλλὰ πανταχόθεν ἔσται ἀπερισκόπητός σοι καὶ ἀπεριφρούρητος. Μόνον ἵλαθι νῦν, βασιλεῦ, τῇ κληρονομίᾳ σου· στῆσον τὴν καθ' ἡμῶν δικαίαν ὀργήν σου, καὶ ἡμαρτηκόσι, καὶ νῦν εἰς σὲ ἐπιστρέφουσι, συγγνωμόνησον· ὅτι πᾶσαι αἱ ἁμαρτίαι ἡμῶν τῇ ἀβύσσῳ παραμετρούμεναι τοῦ ἐλέους σου, ὡσεὶ κοτύλη φαίνονται ὕδατος πρὸς ὅλον θαλάττης μέγεθος. Οὕτως οὖν ἐξομολογοῦμαι ἐνώπιόν σου, Δέσποτα, τὸ πλῆθος τῶν ἁμαρτιῶν μου, καὶ οὕτω τὴν σὴν ἐπικαλοῦμαι σωστικωτάτην ἀντίληψιν, καὶ ἐκ βαθέων ψυχῆς ἀφιστάμενος τοῦ εἰσέτι ἅψασθαί τι τῶν ἱερῶν, κἂν πᾶσά με ἀνάγκη πρὸς τοῦτο καλῇ, χρεωστεῖν δὲ καὶ τὰ προαναληφθέντα κατατιθέμενος. Ἐπὶ τούτοις γὰρ καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐξεθέμην, ἁπάσαις ταῖς Ἐκκλησίαις σου ἀσφαλὲς φυλακτήριον, ἵν' ὁ ἀπὸ τοῦδε τολμήσων τῶν ἱερῶν τινὸς κειμηλίων παράψασθαι, ὡς ἄντικρυς ἱερόσυλος παρὰ σοὶ καὶ τοῖς εὐσεβοῦσιν ἀνθρώποις λογίζηται. Γεγενημένον κατὰ τὸν Αὔγουστον μῆνα, τῆς έ. Ἰνδικτιῶνος, ἐν ἔτει τῷ ,ςφϞ'. ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Γ'. [ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ.]

ΥΠΟΜΝΗΣΙΣ ΤΟΥ ΚΟΥΡΟΠΑΛΑΤΟΥ

Καὶ μεγάλου Δρουγγαρίου τῆς Βίγλης, Ἰωάννου τοῦ Θρακησίου, μετὰ τὴν περὶ μνηστείας νεαρὰν γενομένη πρὸς τὸν αὐτὸν βασιλέα κύριον Ἀλέξιον περί τινος ἀμφιβολίας ἐπὶ ταύτῃ ἀναφυείσης (1).

ΔΕΣΠΟΤΑ ΜΟΥ ἅγιε, προσώπων τινῶν μνηστείας γάμων ἐπὶ παισὶν ἰδίοις συστησαμένων, εἶτα ἀπαρεσθέντων πρὸς τὰ συναλλάγματα, καὶ πειρωμένων λῦσαι τὰ τῆς μνηστείας συμβόλαια, δεχθέντων τε τῆς ἁγίας βασιλείας σου, καὶ τῷ δικαστηρίῳ τοῦ ἱπποδρόμου παραπεμφθέντων, καὶ ἐπειγομένων τὰ ἐγ-

(1) Ὅρα τὴν περὶ μνηστείας Νεαρὰν τοῦ Ἀλεξίου, εἰς ἣν ἀναφέρεται ἡ παροῦσα, παρὰ Βαλσαμῶνι εἰς Νομοκάν. Τίτλ. ΙΓ'. Κεφ. Β'. Τόμ. Α'. σελ. 284.

κείμενα τοῖς τῶν μνηστειῶν συμβολαίοις πρόστιμα δοῦναι, καὶ διαῤῥῆξαι τὰς μνηστείας· τῶν δὲ, ἀπεναντίας μαχομένων, ἄλυτα ταῦτα δεῖν εἶναι, καὶ μὴ ὡς τὸ πρότερον προστίμου δόσει διαῤῥήγνυσθαι, καὶ τὸ νεαρὸν θέσπισμα τῆς βασιλείας σου προβαλλομένων εἰς βοήθειαν, τὸ περὶ μνηστείας πρό τινος καιροῦ ἐκφωνηθὲν, ὅπερ ἀπὸ τῶν παλαιῶν νόμων ἀποστὰν, δέδωκε τὴν μνηστείαν μὴ ἄλλως τελεῖσθαι, εἰ μὴ ὁ ἄῤῥην τὸν τεσσαρεσκαιδέκατον χρόνον τῆς ἡλικίας ὑπερβῇ, τὸν δωδέκατον δὲ ἡ θήλεια, τῆς εἰωθυίας εὐχῆς ἐπὶ τῇ μνηστείᾳ τότε ἐπιτελεῖσθαι ὀφειλούσης, μετὰ καὶ τῶν ἄλλων συνήθων παρατηρήσεων, φαμὲν δὴ, τοῦ ἀῤῥαβῶνος, καὶ τοῦ φιλήματος, ὥς που καὶ τῷ ἀοιδίμῳ βασιλεῖ κυρίῳ Λέοντι τῷ φιλοσόφῳ νενομοθέτηται, καὶ μετὰ βραχὺ διάλειμμα χρόνου, ἢ καὶ ἱκανὸν ἴσως, καθὼς ἂν δόξῃ τοῖς συναλλάττουσι, προβαίνειν τὸν γάμον, καὶ μὴ κατὰ τὴν αὐτὴν συμπίπτειν ἡμέραν τε καὶ ὥραν· διεσχίσθη τὸ δικαστήριον εἰς διαφόρους γνώμας· τοῖς μὲν γὰρ δοκεῖ δέον εἶναι τὰ πρόστιμα δίδοσθαι, καὶ λύεσθαι τὰς μνηστείας, προβαλλομένοις, ὡς εἰ τοῦτο μὴ προβαίνει, τί ἂν διοίσει γάμος μνηστείας, εἴπερ καὶ τὸ τοῦ γάμου πρεσβεῖον ἔχει καὶ ἡ μνηστεία· καὶ μᾶλλον, ὅτι καὶ ὁ ἀῤῥαβὼν φύσιν ἔχει τοιαύτην, ὡς ὁ νόμος φησὶν, ἵνα εἰ μὲν ὁ δεδωκὼς μὴ πληροῖ τὰ συνδόξαντα, ἐκπίπτῃ τῶν δεδομένων· εἰ δὲ ὁ λαβὼν, ἀντιστρέφῃ ταῦτα εἰς τὸ διπλοῦν· τοῖς δὲ, ἐξ ἐναντίας ἀλύτους μένειν τὰς μνηστείας νομίζεται, φάσκουσι μὴ προσήκειν τὰ μετὰ τὸν ἐντελῆ χρόνον τῶν νέων συνδόξαντα τοῖς γονεῦσι, συναινέσει καὶ αὐτῶν, καὶ ἱεραῖς εὐχαῖς ἐπισφραγισθέντα, δόσει προστίμου διαλύεσθαι· τοῦτο γὰρ πρέπον εἶναι τελεῖσθαι, ὁπηνίκα δεσμὸς προβῇ μόνος, ἢ καὶ μνηστεία μετὰ τὸν ἑπταετῆ χρόνον ἀποτελεσθῇ κατὰ τὸν παλαιὸν τύπον· ἣν οὐδὲ μνηστείαν εἶναι, ὁ τῆς βασιλείας σου νόμος ἀποφαίνεται. Οὕτω δὴ καὶ τοῦ δικαστηρίου σχισθέντος, ἀναφέρω τῇ ἁγίᾳ βασιλείᾳ σου ὁ ἀνάξιος δοῦλος αὐτῆς, ἐρωτῶν ὁποτέρᾳ δεῖ τῶν γνωμῶν προστεθῆναι· φαίνεται γὰρ ἑκάτερον μέρος εὐλογοφανῆ προτεινόμενον· καὶ ἑρμηνείαν λαβεῖν ἐξαιτῶ διὰ προσκυνητῆς ἀντιγραφῆς, σαφῶς καὶ καθαρῶς λυούσης τὸ ἀμφισβήτημα·

νόμου γὰρ τάξιν ἐπέχειν μέλλει εἰς τὸ μετέπειτα, καὶ δεῖ πάντως εὐκρινεστάτην εἶναι καὶ καθαρὰν τὴν ἀπόφασιν, ἵνα μὴ καὶ αὖθις ἐς ὕστερον ζυγομαχῆται. Καὶ περὶ μὲν τῆς σπεύσεως τῇ ἁγίᾳ βασιλείᾳ σου δόξει πάντως φιλανθρωπότερον· ἐγὼ δὲ τολμηρῶς ἀναφέρω καὶ περὶ τοῦ χρόνου· ὑπολαμβάνω γὰρ ὁ ἀνάξιος δοῦλός σου, ὡς οὐκ ἔστι δίκαιον τῷ αὐτῷ χρόνῳ τὴν μνηστείαν καὶ τὸν γάμον μετρεῖσθαι, ἀλλὰ μικρόν τι γέρας κἂν τῷ χρόνῳ τὸν γάμον ἀποφέρεσθαι, καὶ διαφέρειν μνηστείας· τὴν δὲ μνηστείαν, ὑπόβασιν ἔχειν ἐν τούτῳ· καὶ γὰρ δὴ καὶ μάλα λυσιτελήσειν οἶμαι τοῦτο τῷ πολιτεύματι· οἱ γὰρ γονεῖς τῇ πρὸς τὰ ἑαυτῶν τέκνα φιλοστοργίᾳ κρατούμενοι, καὶ σπεύδοντες ὡς τάχιστα τὴν τούτων ποιῆσαι πρόνοιαν, καὶ ἀμεριμνῆσαι, ὑπὸ τοῦ χρόνου δὲ κωλυόμενοι, δυσφόρως καὶ βαρέως φέρουσιν. Εἰσὶ δὲ οἳ καὶ ἐξ ὀλιγωρίας καὶ χρόνων καταψεύδονται, εἰς ἐπιορκίας διὰ φιλοτεκνίαν συνελαυνόμενοι· ὅπερ εἰ περιαιρεθῇ, καὶ ἐλάττωσιν ὁ τῆς μνηστείας δέξεται χρόνος, ἥ τε ἐξ ὀλιγωρίας ἀθυμία τῶν γονέων ἐξιαθήσεται, καὶ τὰ ἐκ ταύτης ἐπισυμβαίνειν ὑποπτευόμενα κακὰ, ψεῦδος, καὶ ἐπιορκία, ἀναστολὴν τὴν προσήκουσαν δέξονται, καὶ ἡ ἁγία βασιλεία σου δόξαν καὶ μεγαλοπρέπειαν καὶ κλέος καρπώσεται ἄῤῥητον, καὶ εὐχὰς ἀδιαλείπτους καὶ ἐκτενεῖς, τὰ λυσιτελῆ τοῖς ὑπηκόοις ἀεὶ πραγματευομένη, καὶ ἐπωφελῆ, καὶ σωτήρια.

Ὡς δοῦλος ἀνάξιος τολμήσας ἀνήνεγκα.

ΛΥΣΙΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ, ΚΥΡΙΟΥ ΑΛΕΞΙΟΥ,

Ἐπικυροῦσα τὴν προγεγονυῖαν παρ' αὐτοῦ Νεαρὰν περὶ τοῦ γάμου, καὶ ἄλυτον μένειν ἐπιτάττουσα τὴν μεθ' ἱερολογίας προβαίνουσαν μνηστείαν.

Εἰ μηδὲν ἄλλο ἡ βασιλεία ἢ ἔννομος ἐπιστασία ἐστί· νόμοι δὲ, οἱ τὴν πολιτείαν τηροῦντες ἀδιαλώβητον, πόῤῥω που ἀπωθοῦντες καὶ ἐκδιώκοντες τὰ τὸ πολίτευμα καταβλάπτοντα, ἀνεῖται δὲ καὶ τὸ νομοθετεῖν βασιλεῦσιν· ἔργον ἄρα βασιλικὸν, πρὸς τὸ κοινῇ τῇ πολιτείᾳ συμφέρον, τήν τε τῶν νόμων ἔκθεσιν παρὰ

τῶν κρατούντων ἀποτελεῖσθαι, καὶ τὴν τῶν λειπόντων πρὸς ὁλοκληρίας ἐκπλήρωσιν, καὶ διευκρίνησιν τῶν ἀσαφῶς ἐγκειμένων οἷς τε αὐτοὶ νενομοθετήκασι, καὶ οἷς προτεθεσπισμένοις ἐνέτυχον, παρὰ τούτων ἐκτίθεσθαι. Κατὰ ταῦτα καὶ ἡ βασιλεία ἡμῶν κατὰ τὸν Ἰούνιον μῆνα τῆς παρελθούσης ζ'. ἐπινεμήσεως, τοῦ ,ϛφϞβ' ἔτους, νομοθεσίαν διανομοθετήσασα, καὶ τῷ νεαρῷ θεσπίσματι τοῦ φιλοσοφωτάτου κυρίου Λέοντος καὶ βασιλέως ἐπιστηριζομένη, διοριζομένῳ ἱερὰν εὐλογίαν ἐπιτελουμένην ἔχειν παρ' ἑαυτῇ· τὴν πρώτην τῶν συμβαλλόντων συναρμογὴν, ἤγουν αὐτὴν τὴν μνηστείαν, καὶ καιρὸν ὡρισμένον, ὃν δή που καὶ πρὸς γαμικὴν συζυγίαν ἀρκούντως ἔχειν ὁ παλαιὸς νόμος διατεθεσμοθέτηκε· διετυπώσατο, ἐκείνας εἶναι κυρίως μνηστείας, καὶ ἀτεχνῶς ἰσοδυναμούσας γάμῳ, ὅσαι καὶ τὸν χρόνον, ὃν ἡ τοῦ βασιλέως, κυρίου Λέοντος θεσμοθεσία ὡρίσατο, ἀκέραιον ἔσχον παρ' ἑαυταῖς, καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν, καὶ ἐπὶ τούτων τῶν μνηστειῶν τὴν ἐπὶ τῶν γάμων τοῦ συνοδικοῦ τόμου κρατεῖν παρατήρησιν· καθὰ καὶ ἡ ἐπὶ τοῦ μακαρίτου πατριάρχου, κυρίου Ἰωάννου τοῦ Ξιφιλίνου, ἐκ συνοδικῆς διασκέψεως ἐκτεθεῖσα σημείωσις ἀπεφήνατο, ᾗ καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κύριος Νικηφόρος ὁ Βοτανειάτης τὸ κῦρος εὑρίσκεται χαρισάμενος(1). Διαῤῥήδην γὰρ αὕτη καὶ ἐπὶ τῆς μνηστείας ἀποφαίνεται, δύο ἀδελφοὺς ἐξαδέλφας δύο πρώτας μὴ κατὰ συναρμογὴν μνηστείας ἐπάγεσθαι, μήτε μὴν τὰ ἐν τῷ συνοδικῷ τόμῳ ἐπὶ τῶν γάμων κεκωλυμένα πρόσωπα, ἐπὶ ταῖς τοιαύταις μνηστείαις πρὸς ἄλληλα συναλλάττειν συγκεχωρῆσθαι· μᾶλλον μὲν οὖν καὶ τῶν τοιουτοτρόπως συστησαμένων τὴν μνηστείαν προσώπων, θανάτῳ τυχὸν ἑνὸς τῶν μερῶν τῆς μνηστείας διαλυθείσης, τὸ περιλιμπανόμενον πρόσωπον μνηστείαν ἄλλην κωλυθήσεται συστῆσαι πρὸς ἐκεῖνο τὸ πρόσωπον, πρὸς ὃ, εἰ καὶ κοινωνία γάμου προεβεβήκει αὐτῷ ἐπὶ τῷ τετελευτηκότι προσώπῳ, συμβαλεῖν οὐκ ἠδύνατο· καὶ κατὰ τὰ ἐν ταύτῃ παρὰ τῆς βασιλείας μου περὶ τούτων διατυπωθέντα πολιτεύεσθαι τοὺς ὑπὸ τὴν ἡμετέραν ὀρθόδοξον καὶ χριστιανικὴν πολιτείαν, διετυπώσατο· μηδ' ὅλως τε μνηστείαν ἀποτελεῖσθαι ποτὲ, ἢ τὸ τῆς

(1) Ὅρα σελ. 51 καὶ 277 τοῦ παρόντος Τόμου.

μνηστείας ὄνομα κυρίως ἀποκεκληρῶσθαι τῷ πραττομένῳ, εἰ μὴ καὶ τὴν ἱερὰν εὐλογίαν ἐπιτελουμένην ἔχει παρ' ἑαυτῇ, καὶ τὸν ὡρισμένον τῇ γαμικῇ συζυγίᾳ καιρόν· τὰς γὰρ ἄλλως γινομένας, οὐ μνηστείας κυρίως, ἀλλά γε ἀρεσκείας ἀνθρώπων δι' ἐπερωτήσεως κατησφαλισμένας λογίζεσθαι τὸ ὑπήκοον, καὶ ὡς τοιαῦτα τὸ ἐνεργὸν ἀποφέρεσθαι, καὶ τὴν παλαιὰν νομοθεσίαν ἔχειν ἐπὶ τούτοις τὸ πάγιον· καὶ ταῦτα μὲν τῇ βασιλείᾳ μου πεφροντισμένως τῷ τότε διαθεσμοθετηθέντα.

Ἐπεὶ δὲ μή τι περὶ τῆς τοιαύτης μνηστείας, εἴτε προστίμων ἔσται δόσεσιν ἀναλυομένη, εἴτε καὶ εἰς τὸ ἀναλλοίωτόν τε καὶ ἀμετάτρεπτον (ἅτε Θεοῦ κρατύνοντος) περιίσταται, διωρίσατό τε καὶ διετύπωσε· νῦν εὐλόγου τῆς σῆς ὑπομνήσεως ἀναφανείσης αὐτῇ, τὰ ἐνδέοντα τῇ δηλωθείσῃ νεαρᾷ νομοθεσίᾳ τὸ ἡμέτερον κράτος προστίθησι, καὶ διορίζεται, τὰς τοιαύτας μνηστείας, αἳ κυρίως μνηστεῖαι τυγχάνουσιν, ἀμετακινήτους τε διαμένειν καὶ ἀδιασπτώτους, καὶ τὸ ὅλον ἀλύτους, ἅτε Θεοῦ μέσον τῶν συναπτομένων εἰσαγομένου, καὶ τὴν πρώτην προσεμπεδοῦντός τε καὶ κρατύνοντος τοῦ βίου συναρμογὴν διὰ τῶν ἱεροτελουμένων εὐχῶν· καὶ οὐδέποτε αὗται ταῖς τῶν προστίμων ἀναλυθήσονται δόσεσιν· οὐδὲ γὰρ οὐδὲ ταῦτα ἀπόγε τοῦ νῦν ἐν τοῖς μέσον τῶν συναλλαττόντων γινομένοις συμβολαίοις ἐγγραφήσονται. Ὅτε μὲν γὰρ προστίμοις κατησφαλίζοντο, νόμοις ἐνεκρατύνοντο, ταῦτά τε ἐνεγράφοντο, καὶ τῇ δόσει τούτων ἐξησθένουν καὶ διελύοντο· νῦν δὲ, ὁπότε καὶ Θεὸς ὁ συνάπτων τὰ διεστῶτα ταύτας κρατύνει καὶ ἐμπεδοῖ, ἄλυτοι (1) πάντως διαμενοῦσιν, εἰ μήγε τελείου γάμου δοίημεν τὴν αὐτῶν λύσιν τελουμένην λογίζεσθαι· ὡς τελείου γὰρ γάμου λύσιν διαπραττόμενοι οἱ τοιαύτην λῦσαι μνηστείαν ἐπιχειρήσαντες δόξουσιν. Οὕτως οὖν εὐλόγως καὶ τὰ κεκωλυμένα συγγενικὰ πρόσωπα πρὸς τὴν μνηστὴν, ἢ καὶ τὰς τῆς μνηστῆς ἀδελφὰς, γαμικὴν ἀποτελεῖν συζυγίαν, ἢ καὶ μνηστείας, τὰς πρώτας τῶν συμβαλλόντων συναρμογὰς, πρὸς τὰ τοιαῦτα ἀναχαιτισθήσονται συναλλάγματα· ὁ μέντοι γάμος κατὰ τὸν νενομισμένον καιρὸν τοῖς τε παλαιοῖς καὶ νεαρωτέροις νόμοις, καὶ τῇ

(1) οὐκ ἄλυτοι Α· ἐν περιγεγρ.

παρ' ἡμῶν ἐκτεθείσῃ νεαρᾷ νομοθεσίᾳ, συντηρηθήσεται μετὰ τῶν συνήθων τούτῳ παρατηρήσεων· καὶ οὐκ ἐξέσται τινὶ τῶν ὑπὸ τὴν πολιτείαν ἁπάντων, παρὰ τὰ διηγορευμένα τῇ παρούσῃ τοῦ κράτους ἡμῶν διατάξει τι διαπράττεσθαι· εἰ μή γε βασιλεὺς (οἷα πολλὰ πολλάκις συμβαίνει) κατ' οἰκονομίαν τινὰ τήν τε μνηστείαν, καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευομένοις ἔνδον τῶν διορισθέντων ἐπιψηφιεῖται ἐτῶν· ἔξεστι γὰρ τοῖς ἐκ Θεοῦ τὴν οἰκονομίαν τῶν κοσμικῶν ἐγκεχειρισμένοις πραγμάτων, ὑπερτέρως ἢ κατὰ νόμους οἰκονομεῖν, κατ' αὐτὸν φάναι τὸν φιλοσοφώτατον βασιλέα, καὶ τὰς παλαιοτέρας νομοθεσίας. Ἐξέσται τοίνυν τοῦτο τοῖς βασιλεῦσι, πρὸς τὸ ἔλαττον συνάγειν καὶ συστέλλειν κατ' οἰκονομίαν, ὅτε καὶ βούλοιντο, καὶ τήν τε μνηστείαν ἑκατέραν, (ἤγουν τήν τε κατὰ τὸν παλαιὸν νόμον, μὴ ἐλάττονα τῶν ἑπτὰ ἐτῶν ἐκτελεῖσθαι τετυπωμένην, ἥτις καὶ ἀτελὴς μνηστεία λέγεται καὶ λελόγισται, τήν τε μετὰ ἱεροτελεστίας κατὰ τὴν τοῦ φιλοσοφωτάτου βασιλέως κυρίου Λέοντος νομοθεσίαν συνισταμένην, καὶ ἐντελῆ μνηστείαν τυγχάνουσαν, ἅτε καὶ τὸν χρόνον σύνδρομον ἔχουσαν,) καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευομένοις, ἤγουν τὸν τέλειον γάμον, ἔνδον τῶν νενομισμένων αὐτοῖς καιρῶν περιγράφειν, προτεθεσπισμένῃ καὶ ταύτῃ τῇ νομοθεσίᾳ παρὰ τοῦ φιλοσοφωτάτου βασιλέως προτυγχανούσῃ· τὸ γὰρ τήν τε μνηστείαν, καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευομένοις ἔνδον τῶν διορισθέντων ἐτῶν παρὰ τοῦ βασιλέως ἐπιψηφίζεσθαι, ἐκείνῳ νενομοθέτηται· εἰ δ' οὐκ ἔστι μνηστεία τελεία, ἥτις μὴ ταῖς ἐπὶ τοῖς μνήστροις εὐχαῖς τὴν βεβαίωσιν ἀπενέγκατο, μηδὲ τὸν νενομισμένον τοῖς γάμοις καιρὸν συνεπόμενον κέκτηται, ὁ τοῖς μνηστευομένοις τὴν ἐξ ἱερολογίας τῆς ἐπὶ τῷ γάμῳ τελουμένης συνάρμοσιν ἐπιψηφιζόμενος, τοῖς τελείοις ταύτην καὶ μὴ τελείοις ἐπιψηφίζεται πάντως μνήστορσι· καὶ ταῦτα μὲν τοῖς βασιλεῦσι κατ' οἰκονομίαν ἐκτελεσθήσεταί τινα.

Οὐ μέντοι γε καὶ τὴν φυσικὴν τούτοις συνέλευσιν ἐπαφήσουσιν, ἀλλά γε ταύτης ἐξωθήσονται τούς τε διὰ τῆς μνηστείας ἱεροτελεσθησομένους, καὶ τοὺς τὴν διὰ τῆς θείας ἐπῳδῆς τῶν ἐπὶ τῷ γάμῳ τελουμένων εὐχῶν συνάρμοσιν δεχομένους, ἐντὸς

τῶν τῇ δηλωθείσῃ μνηστείᾳ καὶ τῷ γάμῳ ἀπονενεμημένων καιρῶν, κατά τε τοὺς παλαιοὺς νόμους, κατά τε τὰς νεαρὰς τοῦ φιλοσοφωτάτου βασιλέως νομοθεσίας· τότε γὰρ ἡ φυσικὴ τούτοις ἄνετος συνέλευσις ἐαθήσεται, ὁπότε καὶ ἀρχῆθεν νενόμισται· ἤγουν τοῦ μὲν ἄῤῥενος ὑπὲρ τοὺς δεκατέσσαρας διατρέχοντος χρόνους, τῆς δὲ θηλείας τὸν δωδέκατον ὑπερβάσης ἐνιαυτόν· ἕως δ' ἂν ἢ ἀμφότεροι, ἢ θάτερος τῆς νενομισμένης τῶν χρόνων κατόπιν τρέχει ποσότητος, οὐκ ἐνδοθήσεται τούτοις τὸ περὶ τὴν φυσικὴν συνέλευσιν ἄνετον, τῶν γονέων ἀπαιτουμένων περὶ τὴν τούτων φυλακὴν μὴ ἀμελῶς καὶ ῥᾳθύμως διακεῖσθαι· ὡς ἂν μὴ παρὰ τὸν καθήκοντα καὶ ἀρχῆθεν ἀφορισθέντα τῇ φυσικῇ συνελεύσει καιρὸν οὗτοι πρὸς ἀλλήλους συνέλθοιεν· εἰ γὰρ παρὰ τὴν τούτων ῥᾳθυμίαν τοῦτο διαπραχθήσεται, ὅ,τε διαπραξάμενος, καὶ οἱ τούτου γονεῖς ὑποπεσοῦνται τοῖς ἐκ νόμων ἀποκειμένοις ἐπιτιμίοις, τοῖς παρθένον ἐκτὸς τῶν νενομισμένων καιρῶν τοῖς γάμοις διαφθείρουσιν. Ἀλλὰ κἂν εἴ ποτε βασιλεὺς κατ' οἰκονομίαν τινὰ τόν τε τῶν μνηστειῶν καὶ τῶν γάμων ὑποτέμῃ χρόνον, καὶ συμβῇ πρὸ τῆς εὐλογίας τῶν γάμων, καὶ πρὸ τῶν στεφάνων, μετὰ τὴν ἐξ ἱερῶν εὐχῶν τελεσθεῖσαν μνηστείαν, θανάτῳ τοὺς μνηστευθέντας διατμηθῆναι, τὸ περιλιμπανόμενον πρόσωπον κωλυθήσεται συναλλάξαι γάμον πρὸς ἃ συναλλάττειν κεκώλυται παρὰ τῆς προῤῥηθείσης συνοδικῆς διασκέψεως· οὐκ ἔσται γὰρ τοῖς περιλιμπανομένοις ἐπ' ἀδείας, πρὸς τὰ τοιαῦτα εἰσέρχεσθαι πρόσωπα, ὅτι μὴ ὁ χρόνος τῆς τελείας μνηστείας εὑρίσκεται σύνδρομος· τὰ γὰρ κατ' οἰκονομίαν ἐκτελεσθέντα βασιλικὴν, αὐτῷ τούτῳ τὴν οἰκονομίαν ἀντὶ τοῦ χρόνου φέρουσιν ἐπαρήγουσαν· ἐκ γὰρ νόμων τοῖς βασιλεῦσιν, ὡς πολλάκις εἴρηται, τὸ νομοθετεῖν καὶ οἰκονομεῖν συγκεχώρηται· εἰ γὰρ καὶ ἐν ἀτελεῖ τῷ χρόνῳ ἥ τε μνηστεία καὶ ὁ γάμος γενήσονται, ἀλλά γε πρὸς τὰ τοιαῦτα συναλλάττειν τούτους καὶ ὁ τέλειος γάμος, καὶ ἡ τελεία ἱεροτελουμένη μνηστεία οὐ συγχωρεῖ· καὶ ταῦτα κρατήσουσι καὶ ἐπὶ τούτοις τοῖς ὡς τελείοις λογιζομένοις, καὶ τελείοις γινομένοις, ἅπερ καὶ ἐπὶ τοῖς ἄνευ βασιλικῆς οἰκονομίας γινομένοις τελείοις γάμοις κρατεῖ. Τῆς γοῦν προεκφωνηθείσης κατὰ τὸν Ἰούνιον μῆνα, τῆς ζ'. ἐπινεμήσεως, τοῦ ,ϛφϙβ' ἔτους

διατάξεως κατὰ πάντα τὰ ἐν αὐτῇ τυπωθέντα ἰσχυούσης ἀπαραθραύστως· οὐ γὰρ κατά τι παρὰ τῆς νῦν νομοθεσίας διαλελώβηται, ἀλλὰ μᾶλλον ἀναπληροῦται, καὶ ἐπὶ τὴν ὁλοκληρίαν προσεπανάγεται· καὶ ἅπερ νῦν διὰ τῆς παρούσης καὶ εἰς τὸ διηνεκὲς ὀφειλούσης ἰσχύειν νομοθεσίας ἡ ἡμετέρα διετύπωσε γαληνότης, πᾶσι παντοίως κατάδηλα σπεῦσον γενέσθαι, μεγαλεπιφανέστατε Κουροπαλάτα, καὶ μεγάλε Δρουγγάριε τῆς Βίγλης· ὥστε μηδένα ἀγνοεῖν τῶν ὑπὸ τὴν πολιτείαν τὴν ἡμετέραν τὰ ὑπὲρ λυσιτελείας αὐτῶν παρ᾽ ἡμῶν διαθεσμοθετηθέντα τε καὶ νομοθετηθέντα· ἅπαν γὰρ τὸ χριστιανικώτατον πλήρωμα τῆς παρούσης νομοθεσίας ἐπαπολαύειν βουλόμεθα, ὡς ἂν μή τις τῶν ἁπάντων ἄγνοιάν ποτε προβάληται τοῦ τοιούτου θεσμοθετήματος, διαβοηθῆναι ὀφείλοντος παρὰ σοῦ εἴς τε πάντα τὰ δικαστήρια, καὶ εἰς πάσας τὰς ὑπὸ τὸ ἡμέτερον κράτος ἐπαρχίας, καὶ τοὺς τῶν ἐν αὐταῖς ἁπασῶν Ἐκκλησιῶν προεδρεύοντας, καὶ τηρουμένου παρὰ παντὸς τοῦ χριστιανικοῦ πολιτεύματος· γεγενημένου κατὰ τὸν Μάρτιον μῆνα, τῆς παρούσης ιέ. ἐπινεμήσεως, τοῦ ͵ςχ᾽ ἔτους. Πλὴν εἰ καὶ ἄλυτοι πάντως αἱ μετὰ ἱεροτελεστίας τελούμεναι μνηστεῖαι διαμένειν ὀφείλουσιν, οὐ πάντως καὶ τῶν γάμων ἐπέκεινα ἄλυτοι διατηρηθήσονται· ἀλλ᾽ αἷς αἰτίαις οὗτοι τὴν διάλυσιν ἐπιδέχονται, ταῖς αὐταῖς καὶ αὗται διαλυθήσονται. Τῷ μηνὶ Μαρτίῳ, ἐπινεμήσεως ιέ, δι᾽ ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

Δ᾽. ΝΕΑΡΑ ΝΟΜΟΘΕΣΙΑ ΤΟΥ ΒΑΣΙΛΕΩΣ

Κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, διατυποῦσα τὰ περὶ τῶν ψήφων, καὶ ὁποίους δεῖ εἶναι τοὺς πανταχοῦ ἀρχιερεῖς, πρὸς δὲ καὶ τοὺς ἱερεῖς ἐν ταῖς ἐπαρχίαις, καὶ ταῖς μητροπόλεσι, καὶ ταῖς ἐπισκοπαῖς (1).

Ἁγιώτατέ μου δέσποτα, καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος· εἰ καὶ ἀφρονέστερός εἰμι πάντων, ἀλλά γε ἐπὶ τῇ ὑποθέσει τῆς Ἐκκλησίας μὴ ὡς ἄφρονά με λογίσησθε· ἥψατο γὰρ τῆς καρ-

(1) Τὴν Νεαρὰν ταύτην, ἣν ἐξέδοτο πρὸ ἡμῶν ὁ Κοτιλέριος, Ecclesiæ Græcæ Monumenta Τόμ. Β᾽. σελ. 178, ἀναφέρει ὁ Βαλσαμὼν εἰς Καν. ΙΘ᾽, τῆς ἐν Τρούλλῳ συνόδου. Ὅρα Τόμ. Β᾽. σελ. 348.

δίας μου ὁ τῆς Ἐκκλησίας ἤδη ὑφορώμενος κίνδυνος· ἰδοὺ γὰρ κινδυνεύουσιν αἱ ψυχαὶ τῶν ὀρθοδόξων, καὶ μᾶλλον τῶν ἁπλουστέρων· ἐπεὶ κεφαλή ἐστι τῶν ὀρθοδόξων ὁ ἱερατικὸς σύλλογος, καὶ καλῶς μὲν ἔχοντος αὐτοῦ, ὅλον τὸ σῶμα, καὶ πάντα τὰ μέλη αὐτοῦ πρὸς ἀξίαν ἄγονται· τούτου δὲ πάλιν νοσήσαντος, καὶ τὸ σῶμα πᾶν πρὸς παντελῆ ὄλεθρον ἀφορᾷ. Ἰδοὺ τοίνυν κινδυνεύει ὁ Χριστιανισμὸς, τῆς ἐκκλησιαστικῆς καταστάσεως ἐπὶ τὸ ἔλαττον καθεκάστην ὑποχωρούσης, καὶ Θεὸς παροργίζεται, χαίρει δὲ ὁ παμπόνηρος καὶ μισόκαλος δαίμων, ὁ τοῖς ἀγαθοῖς ἀεὶ βασκαίνων.

Αἴτιον δὲ τῆς τοιαύτης ἀτοπίας οὐδὲν ἄλλο ἐστὶν ἢ χρονία ῥᾳθυμία καὶ ἀμέλεια, ἐκ μακροῦ μὲν ἀρξαμένη, προϊοῦσα δὲ μέχρι καὶ νῦν· αὕτη γὰρ παρεσκεύασε τὸ κακὸν τοῦτο ἤδη καὶ ὡς νόμον εἶναί τινα· καὶ πράττεται οὐχ ὡς κακὸν, ἀλλ' ὡς ἀγαθὸν καὶ σωτήριον, εἰ καὶ ὀλέθριον πάντη ἐστίν· ὀλέθριον, οὐχὶ σώμασιν, οὔτε εἰς χρηματικὴν ζημίαν ἀφορῶν, ἀλλὰ ψυχικὴν, καὶ εἰς ἀπώλειαν Χριστιανῶν καταντῶν. Ποίαν οὖν ἀπολογίαν ποιήσομεν ἐν ἡμέρᾳ κρίσεως τῷ δημιουργῷ καὶ πλάστῃ Θεῷ, οἵ τε βασιλεῖς καὶ ἀρχιερεῖς, εἴπερ Χριστιανοὺς ἀνθρώπους παραλαβόντες, παραδιδόαμεν τούτους τῷ Σατανᾷ, διὰ θελήματα πάντως ἀνθρώπινα, πρόσκαιρον ἔχοντα, καὶ οὐδὲ πρόσκαιρον, ἀλλ' ἐπὶ βραχύτατον πάνυ χρόνον διαρκοῦσαν τὴν θεραπείαν τῶν τε τὰς ψήφους καὶ τὰς χειροτονίας ποιούντων, καὶ τῶν προχειριζομένων παρ' αὐτῶν, οὐ μόνον εἰς τὴν ἀρχιερωσύνην, ἀλλὰ καὶ εἰς τὸν ἄλλον τῆς ἱερωσύνης κατάλογον;

Οὐχ ἕξομεν πάντως ἀπολογίαν τινὰ, εἰ μὴ διεγερθῶμεν πάντες, καὶ διόρθωσιν τοῦ κακοῦ ποιησόμεθα, ἀνακαινίζοντες τὸ καταφρονηθὲν καλὸν, τὸ ἀσυγκρίτως μεῖζον πάντων τῶν καλῶν· τὸ οἰκειοῦν ἡμᾶς δηλονότι τῷ Θεῷ, τὸ διὰ χρονίας ἤδη ἀμαυρούμενον ἀμελείας· Θεοῦ γὰρ χάριτι πάντες Χριστιανοί ἐσμεν, οἵ τε βασιλεῖς, οἱ ἀρχιερεῖς, ὁ ἱερατικὸς ἅπας σύλλογος, καὶ ὁ λαὸς, ἔτι συνεχόμενοι καὶ συνδεόμενοι ἐν τῇ πίστει διὰ τῶν μακαρίων ἐκείνων ἀρχιερέων, καὶ διδασκάλων, καὶ τῶν λοιπῶν θεοφόρων Πατέρων, καὶ τῆς τε σῆς ἁγιότητος, καὶ

τινων ἐκ τῆς νῦν ἀρχιερατικῆς ὁμηγύρεως, τῷ λόγῳ καὶ ἀρετῇ τοὺς ἄλλους ὑπερβαλλόντων.

Λοιπὸν οὖν δεῖ ἡμᾶς, ὡς Χριστιανοὺς, Θεοῦ χάριτι τὴν ἀναζήτησιν τοῦ καλοῦ ποιῆσαι· τὸ γὰρ ἐμποδίζον οὐκ ἔστιν, ὡς εἰ μὴ οὕτω γένηται, καὶ τὸ πρᾶγμα διόρθωσιν δέξηται· συμφέροι ἂν ἡμῖν πάντως τὸ δεθῆναι περὶ τὸν τράχηλον ἑκάστου μύλον ὀνικὸν, καὶ ῥιφῆναι εἰς τὴν θάλασσαν (1)· ἁρμόσοι δὲ ἂν ἐφ' ἡμῖν καὶ τὸ, Καλὸν ἦν εἰ οὐκ ἐγεννήθημεν(2)· καὶ θρήνου γενήσεται ἄξιον τοῦτο, καὶ θρήνου οὐ πηγαῖς δακρύων, ἀλλὰ κρουνοῖς αἱμάτων συμπληρουμένου· περὶ τούτου καὶ μονονοὺ τὸν θρῆνον ποιήσασθαι, ὥσπερ οἱ ἐν σκάφεσιν ὄντες, καὶ ἐν μέσῳ πελάγους χειμαζόμενοι, καὶ πηδάλια μὴ ἔχοντες, καὶ ἄλλως φυγεῖν τὸν ἐπηρτημένον κίνδυνον μὴ δυνάμενοι, πρὸς μόνον δὲ Θεὸν ἀφορῶντες ἐλεεινῶς, καὶ παρὰ τούτου τὴν ἑαυτῶν ἐξαιτούμενοι σωτηρίαν.

Εἰ τοῦτο οὕτως ἐπιγνωσόμεθα, πάντως ὁ φιλάνθρωπος Θεὸς τὴν ὁδηγίαν πρὸς τὴν διόρθωσιν τοῦ κακοῦ παρέξει τοῖς τε ἀρχιερεῦσι, καὶ πᾶσι τοῖς ἕως τοῦ νῦν ἴσως ἀγνοήσασι τὸ καλὸν, ὡς ἂν τὸ πρὸ χρόνων τινῶν ἐξ ἀμελείας ἀμαυρωθὲν ἀγαθὸν ἀνακαινισθῇ νῦν ἄνευ ὑπερθέσεώς τινος· ὅπως θεραπευθῇ ὁ Θεὸς, διορθουμένης τῆς ἐκκλησιαστικῆς καὶ χριστιανικῆς καταστάσεως, κατὰ τὰς παραδόσεις τῶν θείων καὶ κορυφαίων Ἀποστόλων, καὶ τῶν μετ' αὐτοὺς ἁγίων καὶ θεοφόρων Πατέρων, ἣν ἡ χρονία ἡμῶν ῥᾳθυμία διέφθειρε.

Καὶ οὐδὲν θαυμαστὸν ἂν, εἰ καὶ τὸ ἀγαθὸν τοῦτο καὶ σωτήριον ἔργον, ὅπερ αὐτοὶ οἱ μαθηταὶ τοῦ Κυρίου τῇ τῶν πιστῶν Ἐκκλησίᾳ παρέδωκαν, καὶ μετ' ἐκείνους οἱ λοιποὶ ἅγιοι Πατέρες, ὁ χρόνος διέφθειρεν· ἄνθρωποι γὰρ φθαρτοὶ ὄντες, καὶ τοῖς ὑλικοῖς πράγμασι καθ' ἑκάστην ἐνασχολούμενοι, πρὸς ταῦτα κρημνιζόμεθα· θολοῦσι γὰρ τὰ αἰσθητὰ, ταῦτα καὶ ἡ περὶ αὐτὰ σχέσις τοὺς λογισμοὺς τῶν ἀνθρώπων, καὶ σπανίως εὑρίσκεται ὁ τοῖς θείοις ἀεὶ ἐνασχολούμενος πράγμασι, καὶ ταῦτα μόνα ζητῶν, καὶ τὸν ἔσω ἄνθρωπον καθ' ἑκάστην ανα-

(1) Λουκ. ΙΖ', 2. — (2) Ματθ. ΚΣΤ', 24.

ψηλαφῶν καὶ ἀνακαθαίρων· καὶ διὰ τοῦτο καὶ τὸ κάλλιστον τοῦτο ἔργον καὶ θεῖον, ὃ τὴν εὐσέβειαν ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐκ Θεοῦ παρέχει, τελείως κατεφρονήθη, καὶ καθ' ἑκάστην ἐλάττωσιν δέχεται, ὡς μικροῦ δεῖν καὶ εἰς παντελῆ φθορὰν καταντῆσαι, καὶ ὡς οὐδὲν λογισθῆναι.

Οὐκ ἔστι γὰρ ἀναζήτησις τοῦ ὀρθοδόξου κηρύγματος, οὐκ ἔστιν ἔφεσις τῆς καταλήψεως τούτου, ἀλλ' ὡς ἐν σκότει πάντες σχεδὸν διαπορευόμεθα· κινδυνεύομεν πάντες ὁμοῦ οἵ τε τοῦ ἀρχιερατικοῦ καταλόγου, τοῦ μοναχικοῦ, καὶ τοῦ λαϊκοῦ, καὶ εἰς χάος ἐζοφωμένον καὶ ἀχανὲς κατακρημνιζόμεθα· ἡ δὲ τοῦ ἀληθινοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν πρὸς τὸν αὐτοῦ Πατέρα παράκλησις περὶ τῶν Ἀποστόλων, ἀλλὰ καὶ περὶ πάντων τῶν πιστευόντων εἰς ἐκεῖνον διὰ τοῦ λόγου αὐτῶν, ἀπρακτεῖ. Πῶς γὰρ πιστεύουσι διὰ τοῦ λόγου τῶν Ἀποστόλων εἰς ἐκεῖνον αἱ τῶν ἀνθρώπων ψυχαὶ ἀδίδακτοι καὶ ἀμύητοι τοῦ τῆς εὐσεβείας μυστηρίου καταλιμπανόμεναι; Ὡς γὰρ τὸ κρυβὲν ἐν Εὐαγγελίοις τάλαντον (1), οὕτω σχεδὸν τὸ ὀρθόδοξον δόγμα κρύπτεται νῦν, καὶ κρυπτόμενον οὐκ ἀναζητεῖται, ἀλλὰ τὸ μεῖζον τοῦτο τῶν ἄλλων ἁπάντων ἀσυγκρίτως, δεύτερον παρὰ πᾶσι σχεδὸν λογίζεται.

Καὶ γὰρ ἐάν τις ἀτιμότερόν τι καὶ ἔσχατον ὧν ἔχει ἀπολέσῃ, πολλὴν τὴν ἀναζήτησιν ποιεῖται καὶ τὴν ἔρευναν, καὶ φίλους συγκαλεῖ πρὸς βοήθειαν ἵνα τὸ ἀπολόμενον εὕρῃ, καὶ εὑρὼν αὐτὸ χαίρει· τοῦτο δὲ τὸ μέγιστον χρῆμα, τὸ τῆς εὐσεβείας δηλονότι μυστήριον, ὃ αὐτὸς ὁ ἀληθινὸς Χριστὸς καὶ Θεὸς ἡμῶν τοῖς ἰδίοις παρέδωκε μαθηταῖς, λέγων αὐτοῖς, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη (2), καὶ τὰ ἑξῆς, ἀπολόμενον, τί οὐκ ἀναζητοῦμεν μετὰ σπουδῆς ὑπερβαλλούσης, καὶ ζεούσης καρδίας, (αὐτοῦ γὰρ τοῦ ἀληθινοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ὑστερούμεθα, εἰ τοῦ τῆς εὐσεβείας μυστηρίου καταφρονήσομεν,) καὶ οὐχὶ πάντες ὁμοῦ σπουδῇ μεγίστῃ τὴν ἀναζήτησιν αὐτοῦ ποιησόμεθα, δάκρυα χέοντες ἐξ ὀδυνηρᾶς καρδίας, καὶ τὸν Θεὸν ἐξαιτούμενοι, ἵνα ἐκεῖνος πάλιν φανερωθῇ τοῖς νοητοῖς ἡμῶν.

(1) Ματθ. ΚΕ', 18. — (2) Ματθ. ΚΗ', 19.

ὀφθαλμοῖς; ἅμα γὰρ τῷ θελῆσαι ἡμᾶς, γενήσεται τοῦτο· οὕτως ἐστὶ φιλάνθρωπος, καὶ ἐλεήμων, καὶ τὴν σωτηρίαν ἡμῶν διψῶν, ὥστε οὐ μακρὰν ἡμῶν ἐστιν, ἀλλ' ἐγγύς· πάρεστι γὰρ, καὶ ἀναζητεῖ ἡμᾶς, καθὼς αὐτὸς εἶπεν, ὅτι ἡ βασιλεία τῶν οὐρανῶν καὶ ἐντὸς ἡμῶν ἐστιν, ἐὰν καὶ ἡμεῖς βουλώμεθα.(1)

Πῶς δὲ γενήσεται ἡ διόρθωσις τῆς ἐκκλησιαστικῆς καταστάσεως; Οἱ ἔμβαθμοι κληρικοὶ τῆς μεγάλης Ἐκκλησίας εἰσὶν εὐαρίθμητοι, οἵτινες καὶ ῥόγας λαμβάνουσιν· οἱ δὲ περισσοὶ, ἀπογεγραμμένοι μὲν ὑπάρχουσι, καὶ δουλεύουσι τῇ Ἐκκλησίᾳ, οὐ λαμβάνουσι δέ τι, ἀλλ' ἐλπίδι καὶ μόνῃ τρέφονται προκοπῆς· καὶ εἰ καὶ πάντες ἄξιοι πάσης ἱερωσύνης ἐμαρτυρήθησαν, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ τινὲς τῶν τε ἐμβάθμων, καὶ τῶν περισσῶν ἴσως τοιοῦτοι οὐκ εἰσίν· ἀλλὰ τὸν μὲν ἐνάρετον βίον ἴσως ἵνα ἔχωσιν, ὡς ὀφειλόμενον πᾶσι τοῖς Χριστιανοῖς φυλάττειν τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ μᾶλλον τοῖς ἱερωμένοις· ἀλλά γε ὁ διδασκαλικὸς λόγος οὐκ ἔστι παρὰ τοῖς πολλοῖς· καὶ ἴσως τοῦτο καὶ ἐπί τισι τῶν ἱερωμένων εὑρεθήσεται.

Οἱ μὲν οὖν ἔχοντες καὶ τὸν ἐπαινετὸν βίον, καὶ τὸν διδασκαλικὸν λόγον, ἔμβαθμοί τε ὁμοίως καὶ περισσοὶ, ἐπεὶ καὶ οὗτοι κἀκεῖνοι τὴν ἐκκλησιαστικὴν ὑπηρεσίαν πληροῦσι, καὶ προκοπτέτωσαν εἴς τε τὴν ἀρχιερωσύνην, καὶ τὰ ἀρχοντίκια, καθὼς εἰρήσεται, ἀκωλύτως· οἱ δέ γε λοιποὶ ἀγωνιζέσθωσαν μετ' ἐπιμελείας ὅτι πολλῆς, ἵνα καὶ τὸν βίον ἐπὶ τὸ κρεῖττον ῥυθμίζωσι, καὶ τὸν διδασκαλικὸν λόγον καρπίζωνται· τότε δὲ τῆς ἐν τῇ ἐκκλησιαστικῇ τάξει προκοπῆς τυγχανέτωσαν ἕκαστος τούτων, ὅτε ἄξιον κατ' ἀμφότερα ἑαυτὸν ἀπεργάσεται· εἰ γὰρ καὶ ἐμαρτυρήθη ἄξιος πάσης ἱερωσύνης, καὶ διὰ τοῦτο τῇ Ἐκκλησίᾳ προσιερώθη, ἀλλὰ τῷ μὲν ψευδῶς μαρτυρήσαντι μέμψις προστριβήτεται· ἡ δὲ τοιαύτη μαρτυρία τῷ μὴ ἔχοντι τὸν διδασκαλικὸν λόγον σὺν τῷ ἀνεπιλήπτῳ, οὐ βοηθήσει ὅσον τέως εἰς τὴν ἐπὶ τοὺς μείζονας βαθμοὺς πρόοδον· οὔτε γὰρ τὸν διδασκαλίας δεόμενον ὠφελήσει πάντως ἡ μαρτυρία τοῦ προσμαρτυρήσαντος τὴν τοῦ διδακτικοῦ δύναμιν τῷ ταύτης

(1) Λουκ. ΙΖ', 21.

ἀμετόχῳ, οὔτε τῷ μαρτυρηθέντι ἀρκέσαι πρὸς τὸ ἀναδέξασθαι βαθμὸν διδασκαλικόν.

Τί οὖν οἰκονομήσει ἐπὶ τούτοις ἡ ἱερὰ καὶ ἁγία σύνοδος ; Τοὺς μὴ καλῶς μαρτυρηθέντας ἐξώσει οὗ ἔτυχεν ἕκαστος βαθμοῦ ; ἀλλὰ τοῦτο λύπην ἐντίθησι ταῖς ψυχαῖς τῶν ἤδη ἀφιερωθέντων τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Ἀποδεξάσθω οὖν ἡ ἱερὰ καὶ ἁγία σύνοδος, καὶ πρὸ πάντων ἡ ἁγιωσύνη σου τοῦ ἁγιωτάτου μου δεσπότου καὶ κοινοῦ πατρὸς καὶ διδασκάλου τῆς οἰκουμένης, τὸ πρόθυμον τῶν ἤδη καθιερωθέντων, καὶ τὸ θέλειν αὐτοὺς ὁλοψύχως ὑπηρετεῖν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, καὶ τὸ ἐλλεῖπον τούτοις ἀναπληρωθήτω παρὰ τῆς σῆς ἁγιότητος, σπουδὴν ὑπερβάλλουσαν ἐνδεικνυμένης· ἡ δὲ σπουδὴ ἔσται τοιαύτη καλῶς ἐχούσης τῆς ἁγιωσύνης σου, ὡς τὸ καλὸν κρεῖττον πάντως βουλομένης.

Πρὸ μὲν παντὸς ἄλλου ἀδνούμιον κοινὸν γενέσθω τῶν ὅλων, τῶν τε ἤδη κατηρτισμένων ἀξίων κατ' ἄμφω, λόγον τε δηλονότι καὶ βίον, καὶ τῶν ἴσως κατά τι τούτων λειπομένων. Τὸ δὲ τοιοῦτον ἀδνούμιον, μὴ ἁπλῶς καὶ ὡς ἔτυχε γένηται, ἀλλὰ μετὰ ἐρεύνης μεγίστης, ἐρεύνης προηγουμένης τοῦ ἐν ἑκάστῳ διδασκαλικοῦ λόγου καὶ τοῦ χρηστοῦ ἤθους· καὶ τὸν μὲν ἔχοντα καὶ ἦθος χρηστὸν, καὶ λόγον διδασκαλικὸν, σημειωθήτω ἡ ἁγιωσύνη σου, ὡς ἐξῃρημένον τῶν ἄλλων· τούτῳ γὰρ τῷ τρόπῳ καὶ ὁ μήπω καταρτισθεὶς καταρτισθήσεται, ζήλῳ τοῦ ἤδη σημειωθέντος καὶ τῶν ἄλλων προκριθέντος.

Ἐπεὶ δὲ ἤδη ἄνωθεν εἴπομεν δεῖν ἀποδεκτέαν λογισθῆναι τὴν προθυμίαν τῶν μὴ τοιούτων, ὅτι προθύμως ἔχουσι προσκαρτερεῖν τῇ δουλείᾳ τῆς Ἐκκλησίας, παραγγελθήτωσαν οὗτοι, ὡς ἂν τοῦ λοιποῦ ἐπιμελῶνται καὶ λόγου, καὶ ἀρετῆς· καὶ οὕτως ἐν γνώσει γινόμενοι τοῦ συνοίσοντος διὰ τῆς σῆς χρηστῆς ὁμιλίας, καὶ ἐπιφωνητικῆς παραγγελίας, τὸ πρόθυμον αὐτῶν ἅπαν καταχενώσουσιν εἰς τὸ μαθεῖν ἀκριβῶς καὶ τὰ θεῖα διδάγματα ἕκαστον, καὶ πρὸς τὸ χρηστότερον τὸν βίον ἑαυτῶν καταστήσασθαι, καὶ ἄξιον ἑαυτὸν ἀπαρτίσαι πάσης ἱερωσύνης, καὶ οὕτως ἀποδεῖξαι τὴν ὑπὲρ αὐτοῦ μαρτυρίαν ἔργοις αὐτοῖς βεβαίαν.

Καὶ μὴ ἅπαξ ἡ ἐπιφωνητικὴ αὕτη ὁμιλία τε καὶ παραγγελία γένηται, ἀλλὰ καὶ πολλάκις γινέσθω· καὶ ἀπαιτείσθω ἕκαστος παρὰ τῆς σῆς ἁγιότητος, τί μετὰ τὰς ἐπιφωνητικὰς παραγγελίας ἐκαρπώσατο· καὶ ὁ καρπὸν εὐθαλέστερον τῶν ἄλλων προσενεγκών, ἀποδεκτὸς παρὰ τῆς σῆς ἁγιότητος λογιζέσθω, καὶ ἐγκρινέσθω, καὶ μείζονος παρὰ τοὺς ἄλλους τιμῆς ἀξιούσθω, ὅτι ηὐπείθησεν οὗτος τῷ Κυριακῷ παραγγέλματι· αὐτὸς γὰρ εἶπεν ὁ Κύριος· Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται(1)· καὶ ὁ τοιοῦτος ἐπεὶ ἐζήτησεν εὗρεν, ᾔτησε καὶ ἔλαβεν, ἔκρουσε καὶ ἠνοίγη αὐτῷ. Τὸν οὖν ἐκ Θεοῦ λαβόντα τοιαύτην τιμὴν διὰ τῆς οἰκείας σπουδῆς, δεῖ καὶ τὴν ἁγιωσύνην σου τῆς προσηκούσης τιμῆς ἀξιοῦν, καὶ τῇ βασιλείᾳ μου γνωρίσαι μᾶλλον αὐτὸν, ἵνα καὶ αὕτη πρὸς αὐτὸν τὴν προσήκουσαν κατὰ τὸ δυνατὸν τιμὴν ἐπιδείξηται· καὶ ὁ τοιοῦτος γνώριμος γενήσεται πάσῃ τῇ Ἐκκλησίᾳ, εἰς ὠφέλειαν οὐχ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ἄλλων πολλῶν· μεταδίδοται γὰρ τὸ ἀγαθόν· ποῖον; πρᾶξις καὶ λόγος, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

Εἰ δέ τις, ὅπερ οὐ δοκεῖ τῇ βασιλείᾳ μου, τοσοῦτον γέγονε ῥάθυμος, ὥστε μηδὲ μετὰ παραγγελίαν, μηδὲ μετὰ χρόνον καρπώσασθαί τι καλὸν, μενέτω ἑαυτὸν αἰτιώμενος· καὶ μᾶλλον αὖθις μετὰ χρόνον τινὰ ἐπιφωνηθήτω, ὡς, εἰ καὶ ἔτι τῇ αὐτοῦ ῥαθυμίᾳ ἐμμείνῃ, καὶ τοῦ ἱερατικοῦ καταλόγου παντελῶς ἐκπεσεῖται. Τοῦτο δὲ οὐ περὶ τῶν ἐσχάτως γεγηρακότων, καὶ τὰς αἰσθήσεις ἤδη ἀσθενησάντων, λέγει ἡ βασιλεία μου· τοὺς τοιούτους γὰρ ὁ χρόνος ἀξιοῖ συγγνώμης, ὅσον ἐπὶ τῷ μὴ ἐκπεσεῖν τοῦ οἰκείου βαθμοῦ, διὰ τὸ μὴ ἀπαρτισθῆναι κατὰ τὸν διδασκαλικὸν λόγον· ὅμως μέν τοι καὶ αὐτοὶ βελτίους γενήσονται, εἰ δυνατῶς ἔχουσι γνῶναι· τέως γοῦν οὐκ ἐκδιωχθήσονται τῶν οἰκείων βαθμῶν· οἱ δὲ δυνάμενοι καὶ μὴ ἐπιμελόμενοι, ἑαυτοὺς ἐκδιώξουσι μετὰ τὸν προσήκοντα χρόνον, εἰ ἀδιόρθωτοι μείνωσι· καὶ ἔκτοτε ἑαυτοὺς αἰτιάσθωσαν, καὶ

(1) Ματθ. Ζ', 7. 8.

μήτε τὴν βασιλείαν μου, μήτε τὴν σὴν ἁγιότητα, μήτε τὴν ἱερὰν καὶ ἁγίαν σύνοδον· καιρὸς γὰρ ὑφαπλοῦται αὐτοῖς ὁ προσήκων, καὶ πρόφασιν, εἰ βούλοιντο βελτιωθῆναι, οὐκ ἔχουσι.

Καὶ ταῦτα μὲν περὶ τοῦ νῦν ὄντος πληρώματος τῆς Ἐκκλησίας. Ἡ δὲ ἐκ τῶν ἔξωθεν εἰς τὸν κλῆρον εἰσαγωγὴ, ἀπό γε τοῦ νῦν σχολασάτω, ἕως ἂν ὁ κλῆρος εἰς τὸν ὡρισμένον ἀριθμὸν περιστῇ. Εἰσὶ δὲ ὀφφίκια ἕτερα ἐκκλησιαστικήν τινα ὑπουργίαν ἔχοντα, καὶ εἰ κελεύει ἡ ὑμετέρα ἁγιωσύνη. τασσέσθωσαν εἰς αὐτὰ οἱ παρά τινων προσαγόμενοι· καὶ, εἰ βούλονται ἱερωθῆναι, ἀγωνιζέσθωσαν πεῖράν τε λαμβάνειν τῶν θείων διδαγμάτων πάντων, ὡς οἱ θεῖοι κανόνες διαγορεύουσι, καὶ βίου ἐπιμελεῖσθαι χρηστοῦ καὶ ἀνεπιλήπτου. Καὶ ὅταν τις τούτων ἄξιος σὺν Θεῷ γένηται πάσης ἱερωσύνης, τότε καὶ μαρτυρείσθω, καὶ εἰσαγέσθω εἰς τὸν κλῆρον τῆς Ἐκκλησίας, καὶ τῆς προκοπῆς ἀξιούσθω κατὰ τάξιν.

Πλὴν εἰ καὶ σχολάσαι τὴν ἔξωθεν εἰς τὸν κλῆρον εἰσαγωγὴν, ἄχρις ἂν εἰς τὸν ὡρισμένον περιστῇ ἀριθμὸν, ἡ βασιλεία μου προετρέψατο ἀνωτέρω, ἀλλ' εἴ τις ἐγνωσμένος καὶ μεμαρτυρημένος ἀνὴρ ἐπί τε τῇ κατὰ λόγον καὶ ἀρετὴν δοκιμότητι βούλεται καθιερωθῆναι, ἢ καὶ σπουδάζων τις περὶ τὸ καλὸν, καὶ ἀμφοτέρων τῶν εἰρημένων, λόγου καὶ βίου ἐναρέτου, ἐπιμελόμενος, τοὺς τοιούτους οὐκ ἀπαγορεύει καὶ παραδέχεσθαι, καὶ καθιεροῦσθαι τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ.

Τί οὖν βούλεται ἡ ὑμετέρα ἁγιότης καὶ περὶ τῶν λειπόντων ἐμβάθμων κληρικῶν, καὶ περὶ τῆς εἰς τοὺς τόπους ἐκείνων προκοπῆς τῶν περισσῶν; Ἔστι γάρ τις καθ' ὑπόθεσιν ἔσχατος μὲν τῷ βαθμῷ, ἄξιος δὲ πάσης ἱερωσύνης κατά τε λόγον, καὶ βίον. Ἔλειψεν ἔμβαθμός τις τοῦ ἱερατικοῦ καταλόγου, τίς ἀντ' ἐκείνου ταχθήσεται; Ὁ μήπω ἄξιος πάσης ἱερωσύνης γενόμενος, τὸν δὲ πρῶτον ἔχων βαθμὸν, ἢ ὁ ἔσχατος τῷ βαθμῷ, ἄξιος δὲ τῷ λόγῳ, καὶ τῇ πράξει, εἰς τὸν τοῦ λείψαντος ἐμβάθμου τόπον ταχθήσεται; Ὁ ἀπὸ τοῦ βαθμοῦ βοηθούμενος, ὑστερεῖται τῆς ῥόγας, ἧς ὁ βαθμὸς αὐτὸν ἀξιοῖ, καὶ λυπηθήσεται. Πῶς οὖν παραφυλάξομεν καὶ τούτου τὸ ἄλυπον, καὶ τοῦ ἀξίου μὴ καταφρονήσομεν; Ἀμφότερα γὰρ ἀναγκαῖα, καὶ τὸν κοπιάσαντα

μὴ στερηθῆναι τῆς ῥόγας αὐτοῦ, καὶ τὸν ἄξιον μὴ παροραθῆναι· ἀτιμάζεται γὰρ τὸ καλὸν, καὶ γίνεται τὰ ἀτιμώτερα τιμιώτερα, κἀντεῦθεν καταφρονεῖται τὸ καλόν.

Ἡ μὲν οὖν εἰς τὴν ῥόγαν προκοπὴ γενέσθω κατὰ τὸν ἑκάστου βαθμόν. Οἱ δὲ ἀξιόλογοι κατά τε λόγον καὶ πρᾶξιν εἰσαγέσθωσαν εἰς τὴν τῆς διδασκαλίας διακονίαν, καὶ διὰ τῶν διδασκάλων προβαινέσθωσαν εἰς τὰ ἀρχοντίκια. Ἀφορισθήτω δὲ τοῖς διδασκάλοις καὶ τὸ προσῆκον σιτηρέσιον· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, καθὼς γέγραπται(1)· ἐργάτης δὲ μὴ τυγχάνων μισθοῦ τοῦ προσήκοντος, δοκεῖ ἀδικεῖσθαι· καὶ δοκῶν ἀδικεῖσθαι, παθαίνεται ἴσως τὸν λογισμὸν ὡς ἄνθρωπος, κἀντεῦθεν καὶ περὶ τὴν γνῶσιν ῥαθυμότερος γίνεται· καὶ ἐμποδιζόμενος, πῶς μετ' ἐπιμελείας τὴν διδασκαλίαν ποιήσεται, μὴ μετ' ἐπιμελείας δὲ τὴν διδασκαλίαν ποιούμενος, πῶς μεταδώσει τῆς ἐκ ταύτης ὠφελείας τῷ λαῷ; Καὶ λοιπὸν ἀπομένει ἡ διδασκαλία τοῦ ὀρθοῦ δόγματος, καὶ τοῦ χρηστοῦ ἤθους ἀμετάδοτος ταῖς τῶν ἀνθρώπων ψυχαῖς· καὶ τὸ ἐκ τούτου κακὸν ὑμεῖς οἱ ἀρχιερεῖς κρειττόνως γινώσκετε.

Τυποῖ δὲ τοῖς διδασκάλοις καὶ ἡ βασιλεία μου, ὡς ὑπὲρ πάντων τὸν ἀγῶνα ὑποδυομένοις, σιτηρέσιον ἤγουν ἑκάστῳ αὐτῶν ἀνὰ νομισμάτων λίτρας τρεῖς, καὶ ἀνὰ σίτου μοδίους πεντήκοντα, εἰς περισσοτέραν παρηγορίαν αὐτῶν; ὥστε καλῶς μεταδιδόναι τούτους τῷ λαῷ τοῦ ὀρθοδόξου δόγματος, καὶ τῆς χρηστῆς πολιτείας· καὶ ὅσοι μὲν τῶν τοιούτων διδασκάλων, ἔχοντες δηλονότι βίον ἐνάρετον, καὶ τὴν τοῦ διδασκαλικοῦ λόγου δύναμιν, προθυμοῦνται γενέσθαι ἱερεῖς, γενέσθωσαν· καὶ ἐχέτωσαν μὲν οὗτοι τιμὴν ἔν τε ταῖς εἰσόδοις, καὶ ἐν ταῖς καθέδραις, ἐμβαθμιοι μὲν ὄντες, κατὰ τοὺς οἰκείους βαθμοὺς, περισσοὶ δὲ, εὐθὺς μετὰ τοὺς ἐμβάθμους, τῶν ἄλλων δηλονότι περισσῶν προτιμώμενοι; ὡς ἐκπροσωποῦντες τῷ μεγάλῳ ἀρχιερεῖ· ἀκούομεν γὰρ τὸν πληροῦντα τὸν τόπον τούτου μεγίστην ἀεὶ ἔχειν τιμὴν, καὶ οὐδεὶς πρὸς τοῦτο δυνήσεται ἀντειπεῖν.

Ἐπιβλεπέτωσαν δὲ καὶ τὰς γειτονίας μὴ μόνον διδάσκοντες τὸν λαὸν, καὶ ὑποτιθέντες ἅπασι τὸ καλὸν, ἀλλὰ καὶ τοὺς ἴσως

(1) Λουκ. Ι', 7.

διαβεβλημένου βίου εὑρισκομένους ἀναστέλλοντες, ποτὲ μὲν διὰ συμβουλῆς, ὡς τὴν τοῦ λόγου δύναμιν ἔχοντες, ποτὲ δὲ δι' ἀναφορᾶς αὐτῶν εἰς τὸν ἁγιώτατον πατριάρχην, ἐκείνου δὲ εἰς τὴν βασιλείαν μου, ἢ καὶ τοὺς τὰς ἐν τῇ μεγαλοπόλει διοικοῦντας ἀρχάς, ὅτε καὶ χειρὸς δηλονότι, καὶ ἐξουσίας δεῖται τὸ πρᾶγμα πολιτικῆς. Δεῖ δὲ αὐτοὺς ἐπισκέπτεσθαι τὸν λαόν, καὶ ἵνα πάντες γνωρίμους ἔχωσι τοὺς πνευματικοὺς Πατέρας αὐτῶν, ἵνα μὴ ἀντὶ ποιμένων λύκοι εὑρεθῶσί τινες τοὺς λογισμοὺς τῶν ἀνθρώπων ἀναδεχόμενοι· οἱ δὲ αὐτοὶ διδάσκαλοι, οὐ μόνον ὡς τὸ ἀξιόπιστον ἔχοντες, τοῖς λαϊκοῖς τὴν ὠφέλειαν παρέξουσιν, ἀλλὰ καὶ τοῖς μοναχοῖς· δεῖται γὰρ καὶ τῶν κατ' αὐτοὺς ἔνια διορθώσεως.

Μηδεὶς δὲ τῶν οὕτως ἀξίων διδασκάλων ἀπρόθυμος ἔστω εἰς τὸ γενέσθαι ἱερεύς, καὶ οὕτως μεταδιδόναι τῷ λαῷ τοῦ διδασκαλικοῦ λόγου κατὰ προτροπὴν τοῦ μεγίστου ἀρχιερέως, ἀλλὰ μᾶλλον προθυμείσθω εἰς τοῦτο, ὡς κατὰ τὴν ἀκολουθίαν τῆς ἐκκλησιαστικῆς εὐταξίας γινόμενον· εἰ γὰρ καὶ κατὰ τὸ ἀνθρώπινον ἔδοξε νῦν ἔχειν ὑπόπτωσίν τινα ἡ ἱερωσύνη, πλὴν οὐχ οὕτως ἔχει καὶ ἡ ἀλήθεια· τῇ δὲ παραλόγῳ συνηθείᾳ πάντως ἀκολουθῶν τις, κρίνει τὴν τιμὴν ἀτιμίαν. Τίς γὰρ τῶν εὖ φρονούντων οὐκ ἐπιγινώσκει τὸν ὑψηλότερον βαθμὸν τοῦ ἱερατικοῦ καταλόγου, ὅτι, ὥσπερ ὁ ἀρχιερεὺς μείζων ἐπὶ τοῦ ἱερέως, οὕτω καὶ ὁ ἱερεὺς τοῦ διακόνου· κἂν πρωτοδιάκονός τις εἴη, πρῶτος μὲν τῶν διακόνων ἐστίν, ἔσχατος δὲ τοῦ ἐσχάτου τῶν ἱερέων· ὁ μὲν γὰρ ἱερεὺς συνεδριάζει τῷ ἀρχιερεῖ, ὁ δὲ παρέστηκε, καὶ ὑπηρετεῖ· λοιπὸν προθύμως καὶ ἄξιος διάκονος εἰς τὸ πρεσβυτερεῖον εἰσελεύσεται.

Ἀπονέμει δὲ τοῖς τοιούτοις διδασκάλοις τοῖς γενομένοις ἱερεῦσιν ἡ βασιλεία μου καὶ μεῖζον τὸ σιτηρέσιον, ἤγουν ἑκάστῳ "νομισμάτων· οἱ δὲ μὴ προθυμούμενοι ἔτι τὸ τῆς ἱερωσύνης ὑψηλὸν ἀξίωμα δέξασθαι, καὶ ἐν διακόνοις ὄντες, ἀναδεχέσθωσαν τὴν τῆς διδασκαλίας διακονίαν, ἱκανοὶ δηλονότι κατά τε λόγον ὄντες καὶ ἀρετήν· λήψονται δὲ οὗτοι τὴν ἀνωτέρω εἰρημένην παραμυθίαν τοῦ κόπου αὐτῶν ἐν ταῖς στάσεσι, καὶ ἐν ταῖς εἰσόδοις τοὺς οἰκείους βαθμοὺς καὶ τόπους ἔχοντες. Οἱ ὀφείλοντες δὲ προ-

χειρίζεσθαι διδάσκαλοι, κατ' ἐπιλογὴν ὀφείλουσι προχειρίζεσθαι, ἵνα καὶ τὸν διδασκαλικὸν λόγον ἀκέραιον, καὶ τὸν βίον ἔχωσιν ἀνεπίληπτον· εἰ γὰρ ὁ ἄξιος παροράται, καὶ ὁ ἀνάξιος προβιβάζεται, κρίμα προξενεῖ τοῦτο τῷ προκρίναντι μὲν τὸν ἀνάξιον, παρορῶντι δὲ τὸν ἄξιον, καὶ ζημίαν ψυχικὴν ἀφόρητον οἷς ὁ μὴ ἄξιος διδάσκαλος ἐφίσταται· διδάσκαλον γὰρ ἡ βασιλεία μου τὸν ἄξιον, ὡς ἄνωθεν εἴρηται, ὀνομάζει τε καὶ τυποῖ, τὸν κρείττονα δηλονότι τῶν ἄλλων, οὐ μὴν τὸν μὴ τοιοῦτον.

Ἵνα δὲ εἴη εὐπορία τῶν ἀξίων καὶ ἀπὸ τῶν λαϊκῶν, καὶ ἀπὸ τῶν μοναχῶν, ἐὰν εὑρεθῇ τις ἔχων καὶ τὸν διδασκαλικὸν λόγον, καὶ τὸν ἀνεπίληπτον βίον, ὥστε μὴ κωλύεσθαι εἰς ἱερωσύνην, καλείσθω καὶ προχειριζέσθω, ὅτε ἀξιολογώτερος δηλονότι ἐστὶ, τῶν τῆς Ἐκκλησίας· τῷ γε μὴν μοναχῷ οὐδὲν οὔτε περὶ καθέδρας, οὔτε περὶ στάσεως ἢ εἰσόδου διοίσει. Εἴποι δὲ ἄν τις ἴσως περὶ τῶν κεκληρωμένων ἤδη, μήπω δὲ κατηρτισμένων κατά τε λόγον καὶ πρᾶξιν, ὡς παρὰ τοὺς θείους κανόνας ἡ Ἐκκλησία τούτους ἔτι νῦν παραδέχεται· ἀλλὰ σκοπησάτω, ὅτι τὸ ἐκ μακρῶν χρόνων γινόμενον, κἀντεῦθεν ὡς ἔθος κρατῆσαν, εἰ καὶ παράλογον, ὡς ἀπεναντίας τοῖς θείοις κανόσι γινόμενον, εἰσδέξεται τὴν διόρθωσιν δι' οἰκονομίας ἀρίστης τὸ ἄλυπον πᾶσι περιποιουμένης· οὐκ ἄρα τοῦ εἰκότος ἀπᾴδουσα δόξειεν ἂν ἡ οἰκονομία· οὐ γὰρ τὸ παράλογον δεχόμεθα, οὔτε μὴν τοῦτο προτρεπόμεθα γίνεσθαι, ἀλλὰ μᾶλλον τὸ μὴ καλῶς γινόμενον ἐπιτρέπει διορθωθῆναι ἡ βασιλεία μου· ἐθέλει γὰρ, εἰ καὶ μὴ ἐν τοῖς ἄλλοις καλοῖς, ἀλλ' ἐν τούτῳ γοῦν τῷ ἀναγκαιοτάτῳ, ὡς εἰς τὴν εὐσέβειαν ἀφορῶντι, σύμβουλος καὶ συνεργὸς ὑμῖν γενέσθαι εἰς ἐκπλήρωσιν τοῦ ἀγαθοῦ.

Ἐπὶ τούτοις ἀναγνωσθήτω καὶ τὸ τοῦ νομοκάνονος βιβλίον ἅπαν ἐνώπιον τῆς ἱερᾶς καὶ ἁγίας συνόδου· καὶ ἀπὸ τῶν παραθεωρουμένων νῦν θείων κανόνων οἱ μὲν πρὸς εὐσέβειαν ὁρῶντες, καί τι συστατικὸν τοῦ ὀρθοῦ δόγματος παραδιδόντες ἡμῖν, παντὶ τρόπῳ ἀνανεωθέντες, τηρείσθωσαν· οἱ δὲ λοιποὶ παρεκβληθέντες δοθήτωσαν καὶ τῇ βασιλείᾳ μου, ἵνα κοινῇ τῇ ἡμετέρᾳ ἁγιότητι περὶ τούτων συνδιασκεψαμένη, τὸ δέον οἰκονομήσῃ. Πρὸς τοῖς ἄλλοις δὲ, καὶ τὸν περὶ τῶν μοναχῶν τῶν ἐν ταῖς ῥύμαις καὶ ταῖς τριόδοις περινοστούντων ἀνακαινισθέντα δεῖ συντηρεῖσθαι·

Ταῦτα οὐκ εἰκῇ καὶ μάτην ἡ βασιλεία μου ἔγραψεν· οὐδὲ ὥστε μένειν ἐν λόγοις καὶ γράμμασιν, ἀλλὰ πρὸς ἔργον τέλειον· ἔργον δὲ τέλειόν ἐστιν, ὅταν τὸ παραλόγως γινόμενον διόρθωσιν δέξηται. Δοκεῖ δὲ τῇ βασιλείᾳ μου, μᾶλλον δὲ, εἰ καὶ τολμηρὸς ὁ λόγος, κατάληψιν ἔχει αὕτη τελείαν, ὅτι Θεὸς διανέστη ἐπὶ ταύτῃ τῇ ὑποθέσει, καὶ γενέσθαι τὴν διόρθωσιν ηὐδόκησε τοῦ κακοῦ, καὶ τοσοῦτον ἑαυτὸν δι' ἡμᾶς καὶ νῦν ἐταπείνωσεν, ὥστε καὶ παρακαλεῖν ἡμᾶς ὑπὲρ τῆς ἰδίας ποίμνης, δι' ἣν καὶ ἐνηνθρώπησε, καὶ σαρκὶ ἔπαθε, καὶ τὸ ἴδιον αἷμα ἐξέχεε, καὶ θάνατον ὑπέστη τὸν ἐπονείδιστον, καὶ μὴ διανισταμένοις πρὸς τὸ καλὸν, ἀλλὰ τῇ αὐτῶν ῥαθυμίᾳ ἐμμένουσι, καὶ τὰ φρικωδέστατα ἀπειλεῖν.

Οὐκοῦν οὐδὲ ἡ βασιλεία μου ἀνέξεται ὅλως ἔτι παρεκτανθῆναι τὴν διόρθωσιν τῆς ἐκκλησιαστικῆς καταστάσεως· ἀλλὰ τοῖς ἐμποδίζουσι τοῦ λοιποῦ πρὸς τὸ ταύτην κατορθωθῆναι, κανονικὴ εὐθύνη ἐπενεχθήσεται· καὶ μηδεὶς ὑπολάβῃ κατὰ πάθος λέγειν τὴν βασιλείαν μου ταῦτα· οὐκ ἔχει γὰρ Θεοῦ χάριτι πρός τινα ἔχθραν· οὐδένα μισεῖ, οὐδένα κατακρίνει· ἀλλὰ πρὸς τοῦτο μόνον παθαίνεται τὸ γινόμενον· καὶ οὐκ ἀνέχεται ὁρᾷν τὴν ἐκκλησιαστικὴν καὶ χριστιανικὴν κατάστασιν καταλυομένην.

Μακάριος δὲ εἶ, ἁγιώτατέ μου δέσποτα, καὶ ἔτι μακαριώτερος ἀναδειχθήσῃ, εἰ μετὰ τῶν ἄλλων, ὧν κατώρθωσας, καὶ ταῦτα, ἃ ἀνωτέρω γέγραφα, ἀποτελέσεις. Καὶ ὑμεῖς, θεοφιλέστατοι ἀρχιερεῖς, ὁμοίως μακάριοί ἐστε, εἰ κἀνταῦθα τῷ ἁγιωτάτῳ πατριάρχῃ καὶ ἀρχιποίμενι ὑμῶν, ὡς εἰκὸς, συνεργήσετε, τὸ ὑμέτερον ἀνεπισφαλῶς ἐν ταῖς ψήφοις πληροῦντες, καὶ πάντα ταῦτα καὶ ἐν ταῖς ὑμετέραις ἐπαρχίαις κατορθώσετε· οὐ γὰρ ἐν τῇ μεγαλοπόλει μόνον, ἀλλὰ καὶ ἐν πάσαις ταῖς ὑπὸ τὴν τῶν Ῥωμαίων ἐπικράτειαν χώραις βούλεται ἡ βασιλεία μου ταῦτα κρατεῖν τε καὶ ἐνεργεῖν, καὶ νόμον κοινὸν καὶ θέσπισμα τὴν παροῦσαν γραφὴν ἐκτίθεται· οὐ καινόν τι ἐπὶ τοῖς ἐκκλησιαστικοῖς καὶ ἱερατικοῖς παρεισάγουσα πράγμασιν, ἀλλὰ τὰ τοῖς θείοις Ἀποστόλοις, καὶ τοῖς ἱεροῖς Πατράσιν ὁρισθέντα τε καὶ κανονισθέντα, ἀμελείᾳ δὲ παραθεωρηθέντα, καὶ ἤδη σχεδὸν τελείως ἀγνοηθέντα ἀνανεοῦσά τε καὶ κρατύνουσα.

Καὶ ἴστω πᾶς τοῦ λοιποῦ, ὡς, ὅστις ἂν ἔτι ἐναντίον τι τούτοις ἐν τῇ ὑπ' αὐτὸν ἐνορίᾳ ἐν ψήφῳ, ἢ χειροτονίᾳ, ἢ ἑτέρᾳ σφραγίδι ἐκκλησιαστικοῦ βαθμοῦ οἱουδήτινος διαπράξηται, ἀσυμπαθῶς τῇ ἐκ τῶν θείων κανόνων εὐθύνῃ ὑποπεσεῖται. Δεῖ δὲ καὶ ἀξιολόγους ἱερεῖς ἐγκαθιδρυνθῆναι ταῖς τῶν χωρίων καθολικαῖς ἐκκλησίαις, ὡς ἂν αὐτοὶ πάλιν οἱ ἱερεῖς φωτίζωσι τὸν λαὸν, καὶ τοῦ ὀρθοδόξου κηρύγματος πᾶσι μεταδιδώασιν. Ἴσως δὲ οὐκ εὐπορήσετε τοιούτων ἀνθρώπων ἐξ ἀρχῆς, ἀλλ' ἐπιμεληθέντες καθ' ὑπερβολὴν, τάχιον καταστήσετε ἀνθρώπους ἀξίους τοῦ μεταδιδόναι καὶ ἑτέροις τοῦ ἀγαθοῦ, καὶ διαφωτίζειν τὸ ὀρθόδοξον κήρυγμα· σκοπητέον γὰρ δι' ἣν αἰτίαν οἱ Ἀπόστολοι τὴν οἰκουμένην περιέτρεχον· δι' οὐδὲν ἕτερον πάντως, ἢ διὰ τὸ μεταδιδόναι τοῦ ὀρθοῦ κηρύγματος παντὶ τῷ λαῷ.

Δεῖ τοίνυν καὶ τοὺς ἀρχιερεῖς τὴν ἐκείνων τιμὴν διαδεξαμένους, ἕκαστον ἐν τῇ ὑπ' αὐτὸν ἐνορίᾳ ὁμοίως ποιεῖν· ἐπεὶ οὐδὲ πρὸς ὕβριν τοῦτό ἐστι τοῦ ἀρχιερέως, ἀλλὰ μᾶλλον καὶ εἰς μεγίστην τιμὴν, ὅταν καὶ εἰς κατάλυμα πένητος εἰσέλθῃ, καὶ τὰ κατ' αὐτὸν ἐρευνήσῃ, καὶ πρὸς θεοσέβειαν αὐτὸν ἀναγάγῃ· μιμητὴς γὰρ γίνεται ὁ τοιοῦτος ἀρχιερεὺς τῶν μαθητῶν τοῦ Χριστοῦ, καὶ αὐτοῦ τοῦ Χριστοῦ, καὶ ἐν τούτοις μᾶλλον πληροῖ τὰ τοῦ ἀρχιερατικοῦ ἀξιώματος. Ἀλλὰ καὶ τὸ κανονικὸν διὰ τοῦτο ἀφωρίσθη τοῖς ἀρχιερεῦσιν, ἵνα διερχόμενος ἕκαστος, καὶ διδάσκων, ἐξ αὐτοῦ διατρέφηται. Γνωριζέτω οὖν πᾶς ἀρχιερεὺς, ὅτι πρὸς κόπον ἀπεδύσατο τὸ τοιοῦτον πνευματικὸν, καὶ ὀφείλει τοῦτο ἐκπληροῦν, καθὼς καὶ οἱ μακαριστοὶ ἐκεῖνοι Πατέρες, καὶ αὐτοὶ οἱ θεῖοι Ἀπόστολοι διὰ βίου ἐποίουν.

Εἰ γὰρ σκοπήσετε καλῶς οἱ ἀρχιερεῖς, καὶ ἐννοήσετε, ὅτι διὰ παράβασιν μιᾶς ἐντολῆς, ἣν παρέβησαν οἱ πρωτόπλαστοι, παρεδόθημεν ἅμα ἐκείνοις τῷ θανάτῳ καὶ τῇ φθορᾷ, καὶ εἰ μὴ διὰ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς ἀπολυτρώσεως τῶν ἁμαρτιῶν ἡμῶν, καὶ τῆς ἀναστάσεως ἐτύχομεν, πάντες ὁμοῦ ἀπωλόμεθα· καὶ ὅτι διὰ τοῦτο ἐδέησεν αὐτὸν τὸν Κύριον, εὐδοκίᾳ τοῦ Πατρὸς, καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος ἐνανθρωπῆσαι, καὶ σάρκα φορέσαι, καὶ σαρκὶ παθεῖν, καὶ ἀποθανεῖν, ἵνα ἐξέληται ἡμᾶς τῆς φθορᾶς, εἰς ἣν κατεκρίθημεν.

Εἰ ταῦτα οὖν ἐπιγνῶτε, καὶ εἰς οἷον κακὸν συνελαύνεται ὁ ἀρχιερεὺς μὴ διαδιδοὺς τὸ ὀρθόδοξον κήρυγμα τῇ ὑπ' αὐτὸν ποίμνῃ, οὐδέποτε κόπον ἡγήσεταί τις ὑμῶν τὸ, αὐτὸς δι' ἑαυτοῦ διέρχεσθαι πᾶσαν τὴν ὑπ' αὐτὸν ἐνορίαν συνεχέστερον, καὶ διδάσκειν τὴν πρὸς τὸν Θεὸν καθαρὰν πίστιν, καὶ τὸν σεμνὸν βίον, ἀλλ' ὁ κόπος οὗτος μᾶλλον ἀνάπαυσις αὐτῷ λογισθήσεται, ὡς καὶ ἀνάπαυσιν τῇ ἑαυτοῦ ψυχῇ καὶ τοῦ οἰκείου λαοῦ προξενῶν· τὸ γὰρ ὀφειλόμενον πληροῖ· ἐπειδὴ καὶ λόγους διδόναι μέλλει πάντως ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως ὑπὲρ τοῦ ὑπ' αὐτὸν λογικοῦ ποιμνίου.

Τί δὲ ὁ ἴσως μὴ βουληθεὶς ἐπιμελήσεσθαι ἀρχιερεὺς τῆς τοιαύτης ὑποθέσεως διανοήσεται, ἢ ποίαν πρόφασιν ἕξει εἰς τὸ ἀναβολῇ δοῦναι τὸ πρᾶγμα καὶ ὑπερθέσει; Ἑτέραν πάλιν ἐνανθρώπησιν τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ προσδοκήσει γενέσθαι; Τοῦτο οὐδὲ ἐπὶ λογισμὸν ἀνθρώπου ἀναβήσεται· ἀλλ' ἐλεύσεται πάντως ὁ ἀληθινὸς Χριστὸς καὶ Θεὸς ἡμῶν ἀποδώσων ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Λοιπὸν οὐ δεῖται ἀναβολῆς, οὐδὲ ὑπερθέσεως ἡ παροῦσα ὑπόθεσις.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ

ΧΡΥΣΟΒΟΥΛΛΟΝ ΔΙΟΡΙΖΟΜΕΝΟΝ,

Μηδέν τι ἀπαιτεῖν τὸν πράκτορα ἀπὸ Ἐκκλησίας χηρευούσης τοῦ ἐπισκόπου αὐτῆς (1).

Καὶ τί δὲ ἄλλο τῇ βασιλείᾳ μου προὐργιαίτερον ἢ περισπουδαστότερον, ἢ τὸ τὰς Ἐκκλησίας ἀνωτέρας διατηρεῖσθαι πάσης ἐπηρείας τε καὶ κακώσεως, καὶ μηδὲ τὴν οἱανοῦν βλάβην ἢ ζημίαν ὑφίστασθαι; Διὰ ταῦτα οὐδὲ τὸ νῦν εἰς ἀκοὰς τῆς ἡμῶν ἐλθὸν γαληνότητος, ἀδιόρθωτον ἀπολειφθῆναι ἠθέλησεν. Ἀνηγγέλθη γὰρ ἡμῖν, ὥς τινες τῶν κατὰ χώρας ἀρχόντων, ἅμα τῷ ἀποβιῶναι τοὺς ἀρχιερεῖς, ἀφαιροῦνται πάντα τὰ εὑρισκόμενα ἐν τῷ ἐπισκοπείῳ, εἴτε εἴδη εἰσί τινα καὶ πράγματα, ἢ πολλάκις χρήματα εὑρεθεῖεν, ἑρμαίῳ ἐντετυχηκέναι οἰόμενοι, τῇ τελευτῇ τοῦ ἀρχιερέως· τῇ δὲ ἀληθείᾳ, τῶν μὴ ἐφειμένων αὐτοῖς κατατολμῶντες, καὶ ἐξιδιούμενοι τὰ ἀλλότρια· τινὲς δὲ διὰ τῶν ἐξυπηρετούντων αὐτοῖς τὰ τῶν Ἐκκλησιῶν ἀφαιρούμενοι, ἐξάντεις ἑαυτοὺς τῷ δοκεῖν καθιστῶσι τοῦ ἀτόπου τούτου ἐγχειρήματος. Ἀναστέλλουσα γοῦν τὴν τοιαύτην παράλογον πρᾶξιν ἡ βασιλεία μου, καὶ τὸ τοιοῦτον τῆς πλεονεξίας εἶδος ἀναχαιτίζουσα, διορίζεται διὰ τοῦ παρόντος νεαροῦ θεσπίσματος, μηδένα τοῦ λοιποῦ τῶν ἀρχόντων ἑκάστης ἐπαρχίας, μετὰ τελευτὴν τοῦ ἐπαρχεώτου μητροπολίτου, ἢ ἀρχιεπισκόπου, ἢ ἐπισκόπου, ἀναλαμβάνεσθαι ἀπὸ τῶν ὄντων ἐν τῇ μητροπόλει, ἢ ἐν τῇ ἀρχιεπισκοπῇ, ἢ ἐν τοῖς ὑπ' αὐτὰς προαστείοις, ἢ χωρίοις, ἢ ἀγριδίοις, ἢ μοναστηρίοις, ἢ νομίσματα, ἢ εἴδη τινὰ, ἢ πράγματα, ἢ ζῶα, ἢ ἕτερά τινα διαφέροντα αὐτοῖς· ἀλλὰ μηδὲ ὅλως ἐκεῖσε εἰσέρχεσθαι, μήτε αὐτοὺς, μήτε τοὺς ἐξυπηρετοῦντας αὐτοῖς. Αὐτοὶ μὲν γὰρ οἱ τῶν χωρῶν ἀρ-

(1) Ἰωάννης ὁ Κομνηνὸς, ἢ Καλοϊωάννης, στρατηγὸς ἄριστος, στεφθεὶς βασιλεὺς τὸ ἔτος 1092, ἐβασίλευσε μόνος ἀπὸ τοῦ ἔτους 1118, ὅτε ἀπεβίωσεν ὁ πατὴρ αὐτοῦ Ἀλέξιος, μέχρι τοῦ ἔτους 1143. Ὅρα καὶ Καν. ΛΕ. τῆς ς΄. σελ. 383 τοῦ Β΄. Τόμου, καὶ τὴν ἐν τῇ ἐπ' αὐτοῦ ἐξηγήσει τοῦ Βαλσαμῶνος Νεαρὰν Μανουὴλ τοῦ Κομνηνοῦ.

χοντες ἢ ἀπερχόμενοι, ἢ ἀποςέλλοντές τινας, καὶ ἀναλαμβανόμενοι ἢ ἀπὸ τοῦ ἐπισκοπείου, ἢ ἀπὸ τῶν προαςείων καὶ μοναςηρίων εἴδη τινὰ, ἢ πράγματα, ἢ νομίσματα, ἢ ζῶα, καταθήσουσι πρὸς τὴν Ἐκκλησίαν, ᾗ ὑπόκειται ἡ τοῦτο παθοῦσα ἐπισκοπὴ, ἢ ἀρχιεπισκοπὴ, ἢ μητρόπολις, νομισμάτων λίτρας ιϐ΄. ὀφειλούσας ἀποδίδοσθαι ἀπροφασίστως πρὸς τὴν ζημιωθεῖσαν Ἐκκλησίαν, πρὸς τῷ καὶ τὴν ἐκ τῆς βασιλείας ἡμῶν ἐπισπάσασθαι ἀγανάκτησιν. Εἰ δέ τις τῶν ἐξυπηρετούντων αὐτοῖς τοιοῦτόν τι διαπράξεται, κἂν ἀξιωματικὸς εἴη, πρῶτον μὲν ὡς παραβάτης τοῦ ἡμετέρου προςάγματος διὰ δαρμοῦ σωφρονισθήσεται καὶ κουρᾶς· ἔπειτα δὲ καὶ λόγῳ ποινῆς ἀπαιτηθήσεται λίτρας νομισμάτων ἕξ. Εἰ δὲ καὶ τῶν ἐκ τῆς τοιαύτης ἐπισκοπῆς κληρικῶν τις, ὡς ὑφελόμενός τινα τῶν τῆς Ἐκκλησίας πραγμάτων φωραθείη (τολμᾶσθαι γὰρ δὴ καὶ τοιαῦτα πολλὰ παρὰ τῶν κληρικῶν ἡ βασιλεία μου ἀνεδιδάχθη), διορίζεται, καὶ τούτους μετὰ ἀκριβῆ ἔλεγχον, καὶ τῆς ἀληθείας κατάληψιν, τοῦ οἰκείου ἐκπίπτειν βαθμοῦ, ὡς τὰ τῷ Θεῷ ἀνατεθειμένα ἀφαιρουμένους, καὶ ἱεροσύλους ἄντικρυς λογιζομένους. Οὐκ ἐξέσται τοίνυν ἀπὸ τοῦ παρόντος οὔτε κριταῖς, οὔτε ἀναγραφεῦσιν, οὔτε πράκτορσιν, οὔτε δουξὶν, οὔτε στρατηγοῖς, οὔτε προνοηταῖς, οὔτε ἄλλοις τισὶ δημοσιακὰς δουλείας ἐγκεχειρισμένοις, μετὰ τελευτὴν τῶν ἀρχιερέων παραβάλλειν ὅλως τοῖς ἐπισκοπείοις, ἢ τοῖς διαφέρουσιν αὐτοῖς ἀκινήτοις, ἢ μοναςηρίοις, καὶ ἀφαιρεῖσθαί τι τὸ σύνολον ἐξ αὐτῶν· οὔτε μὴν προφάσει δημοσιακῶν τελεσμάτων εἰσέρχεσθαι εἰς τὰ τῆς Ἐκκλησίας δίκαια, καὶ ἀφαιρεῖσθαι ἃ βούλονται. Ἀλλὰ καὶ εἴ τι παρὰ τῆς ἀρχιεπισκοπῆς χρεωστεῖται τῷ δημοσίῳ, μετακλήτους γίνεσθαι τοὺς κληρικούς· καὶ εἰ πρόδηλον καὶ ἀναμφίβολον τὸ παρὰ τοῦ δημοσίου ἐπιζητούμενον ἀπὸ τοῦ μέρους τῆς Ἐκκλησίας φανείη, τοὺς κληρικοὺς τοῦτο ἀπὸ τῶν τῆς Ἐκκλησίας προσόδων διδόναι πρὸς τὸν δημόσιον· μὴ μέντοι ἐπ᾽ ἀδείας ἔχειν τὸν πράκτορα διὰ τὴν τοιαύτην αἰτίαν περιπολεύειν εἰς τὰ προάστεια, καὶ ἀφαιρεῖσθαι ἃ βούλεται· ὁ δὲ προχειρισθησόμενος ἀρχιερεὺς τῶν τῆς Ἐκκλησίας ἀντιλήψεται δικαίων. Εἶχε τὸ, μηνὶ Ἀπριλλίῳ, ἐπινεμήσεως ϐ΄. δι᾽ ἐρυθρῶν γραμμάτων τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως πορφυρογεννήτου, κυρίου Ἰωάννου τοῦ Κομνηνοῦ· καὶ ἡ διὰ κηροῦ συνήθης σφραγίς.

ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ (1).

Α'. ΣΗΜΕΙΩΜΑ ΤΗΣ ΚΑΘΑΙΡΕΣΕΩΣ

Τοῦ γεγονότος πατριάρχου Κωνσταντινουπόλεως Κοσμᾶ τοῦ Ἀττικοῦ, ὁμόφρονος ἀποδειχθέντος τῷ Βογομήλῳ Νίφωνι. Ταῦτα παρεκβληθέντα, καὶ συνήθως πιστωθέντα ἐπεδόθη ἔτει ,ςχνε', μηνὶ καὶ Ἰνδικτιῶνος τοῖς προγεγραμμένοις. Μηνὶ Φευρουαρίῳ κς', ἡμέρᾳ τετάρτῃ, Ἰνδικτιῶνος δεκάτης (2).

ΠΡΟΚΑΘΗΜΕΝΟΥ ἐν τῷ παλατίῳ τῶν Βλαχερνῶν τοῦ κρατίστου καὶ θεοστέπτου ἁγίου ἡμῶν βασιλέως καὶ αὐτοκράτορος, κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ, παρισταμένων τοῦ πανευτυχεστάτου καίσαρος κυρίου Ἰωάννου· τοῦ πανυπερσεβεστάτου κυρίου Στεφάνου τοῦ Κοντοστεφάνου· τοῦ σεβαστοϋπερτάτου κυρίου Κωνσταντίνου τοῦ Ἀγγέλου· τῶν ἐξαδέλφων τοῦ κρατίστου, καὶ ἁγίου ἡμῶν βασιλέως, τοῦ κυρίου Ἀλεξίου τοῦ υἱοῦ τῆς πορφυρογεννήτου καὶ καισαρίσσης κυρίας Ἄννης, τοῦ κυρίου Ἀλεξίου, καὶ τοῦ κυρίου Ἀνδρονίκου, τῶν καὶ υἱῶν τῆς πορφυρογεννήτου κυρίας Μαρίας, αὐταδέλφης αὐτῆς· τοῦ πανσεβεστάτου σεβαστοῦ, καὶ μεγάλου δρουγγαρίου κυρίου Κωνσταντίνου τοῦ Κομνηνοῦ· τοῦ πανσεβεστάτου σεβαστοῦ δικαιοδότου καὶ ἐπάρχου κυρίου Ἰωάννου τοῦ Ταρωνίτου, τοῦ μεγάλου ἐπιφανεστάτου κοιαίστορος καὶ κριτοῦ τοῦ Βήλου κυρίου Βασιλείου

(1) Μανουὴλ ὁ Κομνηνὸς, υἱὸς Ἰωάννου τοῦ Κομνηνοῦ, ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 1143 μέχρι τοῦ ἔτους 1180. — (2) Τὸ παρὸν σημείωμα ἐλήφθη ἐκ τοῦ συγγράμματος Λέοντος τοῦ Ἀλλατίου De Ecclesiæ occidentalis et orientalis perpetua consensione σελ. 683—686· εὕρηται δὲ καὶ ἐν τῇ Συλλογῇ τῶν ἱερῶν Συνόδων τοῦ Μηλίου (ἐν Παρισίοις 1761). Ἐν ἀμφοτέραις ταύταις ταῖς ἐκδόσεσιν ἀναγινώσκεται ,ςχνβ', ἀντὶ ,ςχνέ, ὡς ἐνταῦθα διωρθώθη, ἅτε δὴ τούτου μόνου τοῦ ἔτους συμπίπτοντος τῇ δεκάτῃ Ἰνδικτιῶνι, καὶ τῇ καὶ ἀλλαχόθεν βεβαιουμένῃ ἐποχῇ τῆς ἀπὸ τοῦ πατριαρχικοῦ θρόνου ἀποβολῆς Κοσμᾶ τοῦ Ἀττικοῦ, πατριαρχεύσαντος μῆνας δέκα μετὰ Μιχαὴλ τὸν Ὀξείτην. Βλέπε Κίνναμον, βιβλ. Β'. κεφ. 10, καὶ Νικήταν Χωνειάτην, βιβλ. Β'. σελ. 105 κατὰ τὴν Ἐκδ. Βόννης.

τοῦ Πεκούλου, τοῦ κριτοῦ τοῦ Βήλου Ἰωάννου τοῦ Ἀλωπεκοῦ καὶ ἑτέρων οὐκ ὀλίγων τῆς συγκλήτου, καὶ τῶν πολιτικῶν δικαστῶν, συμπαρισταμένων αὐτοῖς καὶ τῶν ἐκκλησιαστικῶν ἀρχόντων.

Εἰ δὲ καὶ ἀνδρὶ παγὶς ἰσχυρὰ τὰ ἴδια χείλη, καὶ λόγοις οἰκείου στόματος ἁλίσκεται ἕκαστος (1), ὁ ἐπὶ βήματος καὶ ταῦτα βασιλικοῦ, παρισταμένης μὲν τῆς συγκλήτου, συμπαρισταμένης δὲ καὶ τῆς ἱερᾶς καὶ θείας συνόδου, οὐ μόνον δὲ ἀλλὰ καὶ ἑτέρου πλήθους πολυαρίθμου, τὰ ἐφ' οἷς παρ' ἄλλων ἠτιᾶτο, αὐτὸς δι ἑαυτοῦ καταθέμενος, καὶ οὕτως ἔχειν τὸ ἀληθὲς συνομολογήσας, ὡς οἱ ἀπαγγείλαντες τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ τὰ κατ' αὐτὸν διηγήσαντο, πῶς οὐχὶ καὶ ἀφεύκτως (2) τοῖς τε χείλεσι τοῖς οἰκείοις ἐμπεδωθήσεται, καὶ δικαίως τοῖς τούτων λόγοις, ὥς τισιν ἀῤῥήκτοις πέδαις περισφιγχθήσεται; Τοιοῦτο δὴ καὶ περὶ τὸν πατριάρχην τῆσδε τῆς βασιλίδος τῶν πόλεων Κοσμᾶν συμβέβηκε σήμερον. Τῶν τινες γὰρ ἱερωτάτων ἀρχιερέων οὐ μικρῶς ἐπὶ τούτῳ σκανδαλισθέντες ἐφ' οἷς ἑώρων αὐτὸν [κοινωνοῦντα] (3) ἀνθρώπῳ πρὸ καιροῦ τινος συνοδικῶς ἀποβεβλημένῳ, ὡς ἑτερόφρονι, καὶ ἀλλότρια τῆς καθολικῆς Ἐκκλησίας ὑφηγουμένῳ τε καὶ διδάσκοντι, καθὼς τὰ ἐπὶ τούτῳ προβάντα συνοδικῶς διέξεισι σημειώματα (4), τῷ καταράτῳ δὴ τούτῳ καὶ ἀμονάχῳ λέγομεν Νίφωνι, ὃν καὶ ἐς τοσοῦτον ἡ τηνικαῦτα συναχθεῖσα ἱερὰ ἀπεκήρυξε σύνοδος, ὡς καὶ ἀπρόϊτον εἶναι, καὶ πᾶσιν ἁπαξαπλῶς ἀκοινώνητον μέχρι λόγου ψιλοῦ, καὶ προσρήσεως· περισσὸν γὰρ τὸ λέγειν περὶ συνεστιάσεώς τε αὐτοῦ, καὶ εὐχῆς, καὶ τῶν ἄλλων, ἐφ' οἷς κοινωνεῖν ἀλλήλοις εἰώθαμεν. Διὰ γοῦν ταῦτα σκανδαλισθέντες, ὡς εἴπομεν, ὅτι περ ἀπρὶξ ἑώρων αὐτοῦ τὸν τοιοῦτον ἀντιποιούμενον, καὶ οὐκ ἐν ὁμιλίαις μόνον, καὶ καθ' ἑαυτὸν συνελεύσεσιν, ἀλλὰ καὶ μυρίοις ἄλλοις συγκοινωνοῦντα αὐτῷ, προσῆλθόν τε τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, καὶ ὡς οὐ μικρῶς ἐπὶ τοῖς γινομένοις δεινοπαθοῦντες, τῇ πανευσεβεῖ αὐτοῦ βασιλείᾳ τὰ

(1) Παροιμ. Ϛ', 2. — (2) ἀφυγεύτως, παρ' Ἀλλατίῳ. — (3) προσετέθη ἐξ εἰκασίας. — (4) Ζήτει τὰ σημειώματα ταῦτα σελ. 88 καὶ ἑπομ. τοῦ παρόντος Τόμου.

τοιαῦτα πάντα ἀνήγγειλεν. Ὡς γοῦν οἷος οὗτος διάπυρος τῷ ὄντι καὶ ζηλωτὴς πρὸς εὐσέβειαν μὴ τοιοῦτον εἶναι ἐν τῇ Ἐκκλησίᾳ ὅλως ἀνεχόμενος σκάνδαλον, αὐτόν τε τὸν πατριάρχην, καὶ τοὺς ἐνδημοῦντας πάντας ἡμᾶς συνεκαλέσατο σήμερον, καὶ ἤρξατο τάχα τὰ κατ' αὐτὸν εἰς τὸ μέσον λαλεῖσθαί τε καὶ ἐξετάζεσθαι· ὁ τῆς ἀληθείας Θεὸς, μεθ' ὅσης ἰδὼν, ὡς ἔοικε, συντριβῆς τε ψυχῆς, καὶ πρὸς αὐτὸν παρακλήσεως ὁ θεοστεφὴς ἡμῶν αὐτοκράτωρ τὴν τοῦ παρόντος ἐπεποίητο ζήτησιν, αὐτὸν τοῦτον τῇ ἐντέχνῳ τούτου καὶ ἐπιστημοναρχικῇ σοφίᾳ ἐρωτηθέντα, ἐκκαλύψαι τὰ κατ' αὐτὸν καὶ χωρίς τινος πεποίηκεν ἐξελέγχοντος. Ὡς γὰρ ἠρωτήθη παρὰ τοῦ βασιλέως αὐτοῦ ὁποῖον ἄρα ἔχει τὸν Νίφωνα, ἀνερυθριάστως οὕτω, καὶ γυμνῇ τῇ κεφαλῇ, ὅπερ λέγεται, μὴ αἱρετικὸν ἔχειν τοῦτον ἀπεστομάτισεν, ἀλλ' ὀρθόδοξον. Οὕτω γοῦν τοῦ κεφαλαίου δευτέρου τούτου ἐξελεγχθέντος, καὶ προφανῶς ἐναντίου τοῦ πατριάρχου τοῖς συνοδικῶς διεγνωσμένοις ἀποδειχθέντος, περιττὸν ἡμεῖς κρίναντες ἅμα καὶ αὐτῷ τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, ὡς καὶ αὐτῷ συνδιαγνωμονοῦντι ἡμῖν μετὰ καὶ αὐτῆς τῆς συγκλήτου, τὸ περὶ αὐτοῦ πολυπραγμονεῖν, ὅπως τε τὰ συνοδικὰ σημειώματα ἡγεῖται ὡς οὐδὲν, καὶ τοῦ οἰκείου μόνου θελήματος ἀντέχεταί τε καὶ περιέχεται, καὶ ὅπως σήμερον εἰς κοινὸν ἁπάντων ἐπήκοον Λὼτ ἑαυτὸν ὄντα μόνον ἐν Σοδόμοις ὠνόμασε, πάντες ὁμοῦ κατέγνωμεν καὶ αὐτοῦ, ὡς ὁμοφρονοῦντος τῷ ἀποβλήτῳ καὶ Βογομήλῳ Νίφωνι, καὶ κατ' αὐτὰ ἐκεῖνα τὰ σημειώματα ἀπόβλητον καὶ ἀνάξιον εἶναι τοῦτον τῆς ἀρχιερατικῆς ἀξίας ἀπεφηνάμεθα. Ταῦτα παρεκβληθέντα καὶ βεβαιωθέντα ταῖς ὑπογραφαῖς τῶν κάτωθεν δηλουμένων, ἐπεδόθη μηνὶ καὶ Ἰνδικτιῶνος τοῖς προγεγραμμένοις, ἔτει ,ςχνε'.

ΑΙ ΥΠΟΓΡΑΦΑΙ.

Κωνσταντῖνος ὁ εὐτελὴς ἀρχιεπίσκοπος τῆς μητροπόλεως Καισαρείας Καππαδοκίας ὑπέγραψα.

Ἰωάννης ἀρχιεπίσκοπος Ἐφέσου, καὶ ἔξαρχος πάσης Ἀσίας, ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Κυζίκου Θεόφιλος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Νικομηδείας Ἰωάννης ὁρ. ὑπέγραψα.

Ὁ μητροπολίτης Χαλκηδόνος Ἰωάννης ὁρίσας ὑπέγραψα.

Ὁ μητροπολίτης Κλαυδιουπόλεως Γρηγόριος ὁρ. ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Λαοδικείας Βασίλειος ὁρ. ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Μύρων Θεόδωρος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Λαρίσσης Γεώργιος ὁρ. ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Ῥόδου Νικηφόρος ὁρίσας ὑπέγραψα.

Ὁ μητροπολίτης Κερασοῦντος Πέτρος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Δρίστρας Λέων ὁρίσας ὑπέγραψα.

Κωνσταντῖνος ὁ εὐτελὴς μητροπολίτης Χριστιανουπόλεως ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Βιζύης ὁρίσας ὑπέγραψα.

Λέων ὁ εὐτελὴς ἀρχιεπίσκοπος Παρίου ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Καραβιζύης Γρηγόριος ὁ Γαμαλᾶς ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Γοτθίας Κωνσταντῖνος ὁρ. ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Ἡρακλείας Πέτρος ὁρίσας ὑπέγραψα.

Ἰωάννης παραχωρήσει Θεοῦ μητροπολίτης τῶν Σάρδεων ὁρίσας ὑπέγραψα.

Ὁ μητροπολίτης Νικαίας Λέων ὁρίσας ὑπέγραψα.

Βασίλειος ὁ εὐτελὴς μητροπολίτης Τυάνων Καππαδοκίας ὁρίσας ὑπέγραψα.

Ὁ Καισαρείας τῆς νέας Νικηφόρος ὁρίσας ὑπέγραψα τόνδε τὸν τόμον.

Ὁ εὐτελὴς μητροπολίτης Ἀντιοχείας τῆς Πισιδίας Μιχαὴλ ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἐπίσκοπος τῆς τῶν Νικοπολιτῶν Ἐκκλησίας Νικόλαος ὁρίσας ὑπέγραψα.

Ὁ τῆς ἁγιωτάτης μητροπόλεως Τραϊανουπόλεως εὐτελὴς μητροπολίτης Νικηφόρος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Ἀμάστριδος Κωνσταντῖνος ὁρ. ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Ἀπαμείας Γεώργιος ὁρ. ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Μεθύμνης Γεώργιος ὁρ. ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Μεσήνης Ἰωάννης ὁρ. ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Ἀρκαδιουπόλεως Νικόλαος ὁρίσας ὑπέγραψα.

Γεώργιος εὐτελὴς ἀρχιεπίσκοπος Κίου ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Χερσῶνος Θεοφάνης ὁρίσας ὑπέγραψα.

Β'. ΠΡΟΣΤΑΓΜΑ ΒΑΣΙΛΙΚΟΝ,

Διαλῦον καὶ ἀνατρέπον τὸ προβὰν ἑβδόμου ἐξ αἵματος βαθμοῦ συνοικέσιον, κωλῦον δὲ γενέσθαι, μὴ γεγονός(1).

Τῆς τῶν θείων καὶ ἱερῶν κανόνων καὶ νῦν φροντίζοντες συντηρήσεως, ὅ,τε ἁγιώτατός μου δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης, καὶ ἡ τῶν τοῦ Χριστοῦ ἀρχιερέων ὁμήγυρις, ἀλλὰ καὶ τὴν κρατοῦσαν ἐν ταῖς συνοδικαῖς περὶ κοινῶν ὑποθέσεων πράξεσι διατηροῦντες συνήθειαν, ἀνενεγκεῖν καὶ πρὸς τὴν ἡμῶν εὐσεβῆ βασιλείαν τὰ παρ' αὐτῶν διαγνωσθέντα καὶ ὀρθοδοτηθέντα καλῶς ἐβουλεύσαντο, ἐφ' οἷς συνοδικὴ προὐτέθη συζήτησις, εἰ χρὴ τοὺς ἐκ τοῦ ἑβδόμου βαθμοῦ ἐξ αἵματος, τὴν τῆς συγγενείας μὲν εἰδότας ἐγγύτητα, περιέργως δὲ ὅμως μὴ πρὸς ἐρώτησιν τῆς Ἐκκλησίας τὸ γενησόμενον ἄγοντας, καὶ οὕτω γαμικὸν συνιστῶντας συνάλλαγμα, μένειν μὲν ἀδιασπάστους, ἐπιτιμίαις δὲ καθυπάγεσθαι· εἴτε μὴν ἀπ' ἀλλήλων τοὺς οὕτω κακουργοῦντας διΐστασθαι. Καὶ γοῦν τὸν ἐκτεθέντα περὶ τούτου τόμον τῷ ἡμετέρῳ κράτει προκεκομίκασι, τὸ ἐπιστημοναρχικὸν τῆς ἡμῶν βασιλείας παραφυλαττόμενοι δίκαιον, καὶ πυθέσθαι καὶ ταύτης προῃρετίσαντο, εἰ καὶ κατὰ γνώμην αὐτῆς τὰ κυρωθέντα συμβαίνει· τῶν γὰρ ἀναγκαιοτάτων εἶναι τοῦτο διενοήσαντο κάλλιστά τε καὶ εὐλογώτατα· οὗτοι μὲν γὰρ τὴν ἐκ τοῦ τοιούτου βαθμοῦ ἐν γάμῳ συζυγίαν πάντη διεκωλύσαντο, καὶ μηδὲ τὴν ἀρχὴν προβαίνειν ἐθεσμοθέτησαν, οὐ μόνον κἂν πρὸς ἐρώτησιν ἔλθῃ τῆς Ἐκκλησίας, ἀλλὰ καὶ πρὸ τῆς ἐρωτήσεως εἰς ἔργον ἀποβᾶσαν, αὖθις διαιρεῖσθαι καὶ διατέμνεσθαι, ἅτε καὶ φύσει, καὶ θείῳ νόμῳ προσπταίουσαν· δίχα μέντοι τῶν μέχρι τότε φθα-

---

(1) Ὅρα καὶ τὸ συνοδικὸν σημείωμα τοῦ πατριάρχου Λουκᾶ τοῦ Χρυσοβέργη σελ. 95 τοῦ παρόντος Τόμου.

σάντων ἐκτελεσθῆναι γάμων ἐκ τοῦ τοιούτου βαθμοῦ· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοὺς τολμήσαντας παρὰ τὴν συνοδικὴν ταύτην κύρωσιν διαπράξασθαι, μετὰ τῆς διασπάσεως καὶ ἀφορισμῷ καθυπάγεσθαι· καὶ τοὺς ἐκείνοις δὲ συναινέσαντας, τῆς κανονικῆς πειρᾶσθαι δριμύτητος· ἀλλὰ καὶ τοὺς ἱερολογήσαντας καθαιρέσει καθυποβάλλεσθαι· ἐπεὶ δὲ πολλὰ πολλάκις προβαίνουσι συναλλάγματα μετὰ τῶν ἐκ βασιλέων γένους, καὶ τῶν ἄλλων εὐγενεστάτων καὶ περιδόξων ἐν ἀξιώμασι, καὶ τῶν ἐξ ἀλλοδαπῶν χωρῶν, ὧν ῥῆγες καὶ πρίγκιπες ἄρχουσι, μεταγομένων προσώπων ἐπὶ τὴν βασιλίδα τῶν πόλεων, ἅπερ οὐκ ἄνευ τῆς τοῦ ἡμετέρου κράτους κελεύσεως συντελεῖσθαι πάντως πεφύκασιν, ἐν εἰδήσει γενέσθαι καὶ τὴν ἡμῶν βασιλείαν τῶν συνοδικῶς κυρωθέντων περὶ τοῦ τοιούτου ἀναγκαίου ζητήματος ἦν δικαιότατον, ἵνα μὴ κατὰ λήθην ἴσως ἄθεσμόν τι τοιοῦτον συμβαίη συνάλλαγμα, καὶ τοῖς ἱεροῖς κανόσι, καὶ τοῖς νομικοῖς ἀνακόλουθον διατάγμασιν, ἐν πόλει καὶ ταῦτα ταύτῃ, πασῶν μὲν προκαθημένῃ τῷ τῆς αὐτοκρατορίας στέμματί τε καὶ διαδήματι, νόμοις δὲ κατὰ πᾶν διεξαγομένῃ, καὶ εἰς κοινὸν προκειμένῃ τῆς εὐνομίας πᾶσιν ὑπόδειγμα. Τοιγάρτοι καὶ ἡ βασιλεία ἡμῶν τὴν συνοδικὴν ταύτην ἐπὶ τῷ ζητηθέντι ἀπόκρισιν, εἴτ', ἀληθὲς εἰπεῖν, ὁροθέτησιν, ὡς ἑπομένως τοῖς θείοις κανόσι καὶ τοῖς ἀποστολικοῖς ἐκτεθεῖσαν νόμοις, ἐπέκρινε, καὶ κρατεῖν εἰς τὸ ἑξῆς, καὶ ἀμετατρέπτως ἔχειν εἰς τὸ διηνεκὲς διορίζεται, τῆς αὐτῆς κοινωνοῦσα γνώμης ἐπὶ τῇ λύσει τοῦ προκειμένου ζητήματος, τῷ τε ἁγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ ἱερᾷ καὶ θείᾳ συνόδῳ. Εἰ γὰρ ἐπὶ τῶν ἐξ ἀγχιστείας συναλλαγμάτων ἔστιν ἃ τοῖς νόμοις κωλύονται τῆς εὐπρεπείας χάριν, καὶ τοῦ μὴ συγχέεσθαι τὰ ὀνόματα, πολλῷ μᾶλλον τοῦτ' ἂν ἐνταῦθα παῤῥησιάσαιτο, ἔνθα καὶ τὸ ἀπρεπὲς μετὰ τῆς τῶν ὀνομάτων συγχύσεως, ἀλλὰ δὴ καὶ ἡ τοῦ συγγενοῦς αἵματος ἀλογωτάτη σύγκρασις καὶ ἀνάχυσις. Ἵνα τί καὶ δεήσει τοῖς ἐγγυτέρω καὶ καθ' αἷμα συνημμένοις, ἐπιμιξίας ἑτέρας καὶ συνενώσεως; ἐκείνοις γὰρ πάντως χρῆναι τὸν σύνδεσμον καὶ τὴν τῶν γάμων συνάφειαν πραγματεύεσθαι, οἷς καὶ ἡ πηγαία τοῦ αἵματος πρόοδος πολλαχῶς μερισθεῖσα καὶ διαιρεθεῖσα, πоῤῥωτέρω διεστηκυῖα γνωρίζεται, εἰς ὄγδοον βαθ-

μὸν περιστᾶσα, κἀκεῖθεν μᾶλλον αὖθις τὴν αὐτῆς ἀπόστασιν προσεπαύξουσα. Οὕτω δὴ προθεμένη τῇ συνοδικῇ περὶ τοῦ ῥηθέντος ζητήματος ἐπικρίσει ἡ εὐσεβὴς ἡμῶν βασιλεία τὸ παρὸν ἐννομώτατον ἀπολέλυκε θέσπισμα, ὀφεῖλον τῷ τε ἱερῷ χαρτοφυλακείῳ τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας ἐναποτεθῆναι, καὶ πᾶσι τοῖς δημοσιακοῖς ἀρχείοις ἐπιγνωσθῆναι, καὶ ἔχειν εἰς τὸ ἀπέραντον τὸ ἰσχυρόν τε καὶ ἀναλλοίωτον. Τὸ, μηνὶ Ἀπριλλίῳ, ἐπινεμήσεως ιδʹ, δι' ἐρυθρῶν γραμμάτων τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου· καὶ ἡ διὰ κηροῦ συνήθης σφραγίς· τὸ, διὰ τοῦ λογοθέτου τοῦ δρόμου, τοῦ Ἁγιοθεοδωρίτου Μιχαήλ· καὶ τὸ, κατετέθη ἐν τοῖς δυσὶ μεγάλοις σεκρέτοις, κατὰ μῆνα Μάϊον.

ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΑΓΓΕΛΟΥ (1).

Α'. ΣΗΜΕΙΩΜΑ ΒΑΣΙΛΙΚΟΝ,

Ἀκυροῦν τὰς γινομένας ψήφους ἀπουσίᾳ τινὸς τῶν τῇ μεγάλῃ πόλει ἐνδημούντων ἀρχιερέων· διοριζόμενον δὲ καὶ εἰς τὸ ἑξῆς μὴ ἄλλως γίνεσθαι ψῆφον, εἰ μὴ πάντες οἱ ἐν τῇ μεγάλῃ πόλει ἐνδημοῦντες ἀρχιερεῖς μετακληθῶσι, καὶ ἢ παρουσιάσουσι, ἢ δώσουσι γνώμας· μηνὶ Σεπτεμβρίῳ ι', ἡμέρᾳ δ', ἐπινεμήσεως ε'.

Ὁ ΜΗ ἐλέγχων, φησὶν ἡ Γραφὴ, τὴν ἁμαρτίαν τοῦ ἀδελφοῦ αὐτοῦ, ὡς ὁ τὸν ἰὸν ἀφεὶς τῷ δηχθέντι ὑπὸ ἰοβόλου(2). Πρὸς τί δὲ ταῦτα παρὰ τῆς βασιλείας μου τῷ τοῦ λόγου προθύρῳ προβέβληται; προϊὼν ὁ λόγος δηλώσει σαφέστατα. Καὶ γὰρ τοῦ ἱερωτάτου μητροπολίτου Κυζίκου ὑπομνήσαντος πρότριτα τὸ κράτος ἡμῶν, ὡς ἔστιν οὗ τινα παρὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας, καὶ τοὺς φιλευσεβεῖς νόμους προβαίνουσιν ἐν ταῖς συνοδικαῖς τῶν συναδελφῶν αὐτοῦ συνελεύσεσι, καὶ παρακληθέντος τηρηθῆναι ταῦτα παρὰ τῷ τῆς βασιλείας μου βήματι, συνάμα τῷ ἁγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ, ὡς καὶ τὴν τοῦ ἐπιστημονάρχου τῆς Ἐκκλησίας τάξιν λαχούσης τῆς βασιλείας μου, παρὰ τοῦ ταύτην χρίσαντός τε καὶ βασιλεύσαντος, καὶ ἐφειμένον ἐχούσης διορθοῦσθαι τὰ παρὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας ἴσως γινόμενα· οὔμενουν καὶ ἀπεώσατο καὶ ἡ βασιλεία μου τὴν τοῦ μητροπολίτου ἱκέσιον δέησιν, καὶ εἴασεν ἀδιαίτητον· διὸ καὶ μετακαλεσαμένη τὴν σήμερον τὸν ἁγιώτατόν μου δεσπότην καὶ οἰκουμενικὸν πατριάρχην, ἀλλὰ καὶ τοὺς ἑτέρους ἁγιωτάτους πατριάρχας, τόν τε τῆς θεουπόλεως Ἀντιοχείας, καὶ τὸν Ἱεροσολύμων, ναὶ μὴν καὶ τοὺς ἐνδημοῦντας τῇ μεγάλῃ πόλει ἀρχιερεῖς, ἀπήτησε τὸν διαληφθέντα μητροπολίτην Κυζίκου, πα-

(1) Ἰσαὰκ ὁ Ἄγγελος, ἔγγονος ἐκ θυγατρὸς Ἀλεξίου τοῦ Κομνηνοῦ, ἀναγορευθεὶς βασιλεὺς ἐν ἔτει 1185, ἐξεθρονίσθη ὑπὸ τοῦ ἰδίου ἀδελφοῦ τῷ 1195· ἀνεκτήσατο δὲ τὴν βασιλικὴν ἀρχὴν ἐν ἔτει 1203 συνδρομῇ τῶν Λατίνων. Ἐφονεύθη μετ' ὀλίγους μῆνας ὑπὸ τοῦ τυράννου Ἀλεξίου τοῦ ἐπικληθέντος Μουρτζούφλου.

ρόντα καὶ αὐτὸν ἐν ἐπηκόῳ τοῦ φιλοθέου τούτου χοροστασίου, εἰπεῖν καὶ προθέσθαι ὃ βούλεται. Ὁ δὲ καὶ πάλιν μηδὲν ὑποστειλάμενος, ἐκεῖνα ταῦτα προέθετο, ἅπερ καὶ πρὸς τὴν βασιλείαν μου πρότριτα ἀνήνεγκε, τὸ τοὺς ἱεροὺς καὶ θείους δηλαδὴ κανόνας καὶ νόμους ἔν τισι παραθεωρεῖσθαι καὶ παραβαίνεσθαι. Καὶ εὐθὺς πρὸ τῶν ἄλλων προέθετο, ὅτι Ἐκκλησιῶν χηρευουσῶν, καὶ ψήφων γινομένων αὐτῶν, οὐ συγκαλοῦνται ἐπὶ ταῖς γενησομέναις ψήφοις ἅπαντες οἱ ἐνδημοῦντες τῇ μεγάλῃ πόλει ἀρχιερεῖς, ἀλλὰ καὶ ἄτερ τῆς τινων συλλειτουργῶν καὶ συναδελφῶν μετακλήσεως, τὰ τῆς ψήφου παρὰ κανόνας προβαίνει, ὁποῖον δή τι γέγονε καὶ ἐπὶ ταῖς ψήφοις τῶν ῥηθησομένων Ἐκκλησιῶν· καὶ προΐσχετο, ὡς ἐπὶ τῇ ψήφῳ μὲν τῆς τε Κλαυδιουπόλεως, καὶ τῆς Μαρωνείας, οὐδόλως ἠξίωται λόγου παρὰ τῶν ψηφισαμένων ταύτας συναδελφῶν τούτου καὶ συλλειτουργῶν, οὐδὲ μετεκλήθη πρὸς τὴν ψῆφον παρά τινος, καὶ ταῦτα τῇ μεγάλῃ πόλει ἐνδημῶν, καὶ τῶν συνοδικῶν δικαστηρίων μὴ ἀπολιμπανόμενος, καὶ τῶν λοιπῶν συνελεύσεων· ἐπὶ δὲ ταῖς ψήφοις τῶν ἑτέρων τριῶν Ἐκκλησιῶν, Δυῤῥαχίου, Μιλήτου, καὶ Χριστιανουπόλεως, δοθείσης τούτῳ εἰδήσεως, καὶ αὐτοῦ ποιησαμένου ἀπόλογον, καὶ ἐνδειξαμένου φανερῶς ἀποπεφασμένον τὸ τούτῳ δυσαρεστούμενον, καὶ τὸ μέσον αὐτοῦ τε καὶ τῆς ἀδελφότητος διὰ τὴν περιφρόνησιν σκάνδαλον, καὶ οἷον ἀπαιτοῦντος τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν, οἱ τούτου συναδελφοὶ παρὰ φαῦλον ἔθεντο καὶ ἀπεῤῥάπισαν τὴν ἀπόκρισιν· καὶ ἀποσχοινίσαντες ἑαυτούς, χωρὶς τῆς αὐτοῦ παρουσίας καὶ ἑτέρας τινὸς ὑπομνήσεως, κἀπὶ ταύταις ταῖς Ἐκκλησίαις τοὺς δοκοῦντας αὐτοῖς ἐψηφίσαντο· ὅτι γοῦν οἱ θεῖοι καὶ ἱεροὶ κανόνες τὰς τοιαύτας ψήφους ἀποδοκιμάζοντες μεμισήκασι, προτίθησι τέως τὰ περὶ τούτου, καὶ τοὺς κανόνας παρακλητεύει ἀναγινώσκεσθαι, οἵτινες καὶ παρ' αὐτοῦ ἐκδοθέντες ἐπὶ τοῦ μέσου, κατὰ ῥῆμα ὑπανεγνώσθησαν· ὧν ὁ μὲν εἷς, τέταρτος ἦν κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ά. συνόδου, οὕτω διεξιών· Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συνηγμένους, συμψήφων γινομένων καὶ τῶν ἀπόν-

των, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ· ὁ δὲ ἕτερος κανὼν ἦν καὶ αὐτὸς ιθ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου, διαλαμβάνων οὕτως αὐτολεξεί· Ἐπίσκοπον μὴ χειροτονεῖσθαι δίχα συνόδου καὶ παρουσίας τοῦ ἐν τῇ μητροπόλει τῆς ἐπαρχίας· τούτου δὲ παρόντος ἐξάπαντος, βέλτιον μὲν συνεῖναι αὐτῷ πάντας τοὺς ἐν τῇ ἐπαρχίᾳ συλλειτουργοὺς, καὶ προσήκει δι' ἐπιστολῶν τοὺς ἐν τῇ μητροπόλει συγκαλεῖν· καὶ εἰ μὲν ἀπαντῷεν πάντες, βέλτιον· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, τούς γε πλείους ἐξάπαντος παρεῖναι δεῖ, ἢ διὰ γραμμάτων ὁμοψήφους γενέσθαι· καὶ οὕτω μετὰ τῆς τῶν πλειόνων ἤτοι παρουσίας, ἢ ψήφου, γίνεσθαι τὴν κατάστασιν· εἰ δὲ ἄλλως παρὰ τὰ ὡρισμένα γίνοιτο, μηδὲν ἰσχύειν τὴν χειροτονίαν· εἰ δὲ κατὰ τὸν ὡρισμένον κανόνα γίνοιτο ἡ κατάστασις, ἀντιλέγοιεν δέ τινες δι' οἰκείαν φιλονεικίαν, κρατεῖν τὴν τῶν πλειόνων ψῆφον. Ταῦτα τοῦ ἱερωτάτου μητροπολίτου Κυζίκου προβαλλομένου, οἱ ἀντικαθιστάμενοι τούτῳ ἀρχιερεῖς, καὶ πρὸ τῶν ἄλλων ὁ Ἐφέσου, ὁ Ἰκονίου, καὶ ὁ Ἀβύδου, μὴ ἀληθεύειν τὸν Κυζίκου προΐσχοντο, ἐφ' οἷς καὶ προέθετο τὸ μὴ μετακληθῆναι δηλονότι καὶ αὐτὸν ἐπὶ ταῖς ψήφοις τῶν ῥηθεισῶν Ἐκκλησιῶν. Αὐτὸς γάρ, φησιν, ὁ Ἰκονίου, γάμου γεγονότος ἐπὶ ἐξαδέλφῃ τοῦ ῥεφερενδαρίου, εὑρὼν ἐκεῖσε μετακληθέντα καὶ τὸν Κυζίκου, δέδωκε τούτῳ εἴδησιν τῆς γενησομένης ψήφου τῇ ἐπιούσῃ ἐπί τε τῇ Κλαυδιουπόλει, καὶ τῇ Μαρωνείᾳ· ἐπὶ δὲ ταῖς λοιπαῖς ψήφοις τῶν ἑτέρων Ἐκκλησιῶν, καὶ ἐγγράφως γενέσθαι διετείνοντο τὴν τούτου μετάκλησιν. Καὶ εἰς παράστασιν τῆς βεβαιολογίας αὐτῶν, καὶ σημείωμα ἐνεφάνιζον τοῦ πατριαρχικοῦ νοταρίου, Στεφάνου τοῦ Ναρσίτου, γεγονὸς κατὰ τὴν κγ'. τοῦ Αὐγούστου, τῆς πρὸ μικροῦ διελθούσης δ'. ἐπινεμήσεως, ὃ καὶ ἀναγνωσθὲν ἐπὶ λέξεως εἶχεν οὕτως· Μηνὶ Αὐγούστῳ κγ'. ἡμέρᾳ ζ'. ἐπινεμήσεως δ'. ἐπὶ παρουσίᾳ τοῦ εὐλαβοῦς ἐπισκοπειανοῦ κυροῦ Κωνσταντίνου τοῦ Χειρομάχου, Θεοδώρου τοῦ Φιαλίτου, καὶ Μιχαὴλ τοῦ Χαμούλη, ὁρισθέντες παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, εἰδῆσαι καὶ τοῦ τιμιωτάτου χαρ-

τοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας κυροῦ Εὐσταθίου τοῦ Χανδρηνοῦ, μετακαλέσασθαι τὸν πανιερώτατον μητροπολίτην Κυζίκου κυρὸν Ἰωάννην ἀνελθεῖν κατὰ τὴν αὔριον εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ παρουσιάσαι ἐπὶ ταῖς μελλούσαις γενέσθαι ψήφοις τῶν χηρευουσῶν ἁγιωτάτων Ἐκκλησιῶν, ἢ γνώμην ἐκθέσθαι, καὶ ἀναδιδάξαι τοῦτον, ὡς, εἰ μὴ οὕτω ποιήσει, μέλλουσιν αἱ τοιαῦται ψῆφοι προβῆναι καὶ ἀπουσίᾳ αὐτοῦ, διὰ τὸ περὶ τούτων μηνυθῆναι αὐτὸν διαφόρως καὶ παρὰ τοῦ εὐλαβοῦς ἐπισκοπειανοῦ κυροῦ Κωνσταντίνου τοῦ Χειρομάχου, καὶ μὴ θελῆσαι τὰ τούτου μηνύματα ἐκπληρῶσαι, ἀφικόμεθα τὴν σήμερον ἐν τοῖς κελλίοις τοῦ ῥηθέντος πανιερωτάτου μητροπολίτου, τοῖς διακειμένοις πλησίον καὶ σύνεγγυς τῆς σεβασμίας μονῆς τοῦ Στουδίου, καὶ ἐντυχόντες τούτῳ ἐκεῖσε ἐπὶ κλίνης κειμένῳ, ὡς ἀῤῥώστως ἔχοντι, εἴπομεν πρὸς αὐτὸν καθὼς παρὰ τῆς πατριαρχικῆς καὶ θείας μεγαλειότητος ὡρίσθημεν, ὅσα ὁ λόγος ἀνωτέρω ἐδήλωσε, παρεγγυησάμενοι τούτῳ, ὡς, εἴπερ ἴσως οὐ θελήσει οὗτος ἢ παρουσιάσαι κατὰ τὴν αὔριον εἰς τὰς γενησομένας, ὡς εἴρηται, ψήφους τῶν χηρευουσῶν ἁγιωτάτων Ἐκκλησιῶν, ἢ γνώμην ἐπὶ ταύταις ἐκθεῖναι, προβήσονται αὗται καὶ ἀπουσίᾳ αὐτοῦ. Ὁ δὲ πρὸς ἡμᾶς ἀπεκρίθη ταῦτα· Ὡς καὶ ἄλλοτε προέβησαν ψῆφοι Ἐκκλησιῶν παρὰ τῶν τοιούτου συναδελφῶν ἄνευ παρουσίας αὐτοῦ καὶ γνώμης, τοῦτο γοῦν γενέσθω παρ' αὐτῶν καὶ ἐπὶ ταῖς νῦν χηρευούσαις Ἐκκλησίαις· οὐ γὰρ δύναται ἀνελθεῖν εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ παρουσιάσαι ἐπὶ ταῖς ψήφοις, διὰ τὸ δεινῶς νοσηλεύεσθαι. Πολλὰ γοῦν παρακληθεὶς παρ' ἡμῶν κἂν γνώμην ἐκθέσθαι, οὐδὲ τοῦτο ποιῆσαι ἠθέλησεν. Εἰς δήλωσιν οὖν τούτων τὴν παροῦσαν σημείωσιν ἐξεθέμεθα, ἣν παρεκβαλόντες, καὶ συνήθως πιστωσάμενοι, ἐπιδεδώκαμεν μηνὶ καὶ ἐπινεμήσει τοῖς προγεγραμμένοις. Ὁ εὐτελὴς διάκονος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, καὶ πατριαρχικὸς νοτάριος, Στέφανος ὁ Ναρσίτης.

Τοῖς οὖν ῥήμασι τοῦ τοιούτου σημειώματος ἀποχρώμενοι οἱ τοῦ Κυζίκου ἀντίθετοι, ἔλεγον ἐν πάσαις ταῖς ψήφοις μετάκλητον γενέσθαι καὶ τὸν Κυζίκου· καὶ αὐτοὺς μὲν τὸ οἰκεῖον

ποιήσασθαι, τοῦτον δὲ μὴ θελῆσαι παρουσιάσαι· προστιθέμενος, ὅτι καὶ ἐπισκοπειανοὶ κατ' ἐπιτροπὴν τοῦ θεοφιλεστάτου χαρτοφύλακος κατὰ τὸ ἔθος ἀπεστάλησαν εἰς τὰ, ἐν οἷς καταμένει, κελλία ὁ Κυζίκου, ἔνθα καὶ ὁ πατριαρχικὸς νοτάριος ἐπὶ τῇ δευτέρᾳ ψήφῳ ἐπιδεδήμηκεν, ὡς διείληπται, καὶ μετεκαλέσαντο τοῦτον κατὰ τὸ σύνηθες εἰς τὰς προβησομένας παρ' αὐτῶν ψήφους· οἵ τινες ἐλθόντες πρῶτον μὲν εἰς τὸν ἁγιώτατόν μου δεσπότην καὶ οἰκουμενικὸν πατριάρχην, εἶθ' οὕτω καὶ πρὸς αὐτοὺς, εἶπον μὴ ἐφευρεῖν τοῦτον ἐν τοῖς αὐτοῦ κελλίοις, μαθεῖν δὲ, ὅτι ἔν τινι τῆς πόλεως προστατείῳ διάγει. Ἀλλὰ καὶ πρὸς ταῦτα ὁ Κυζίκου γενναιότερον ἀντικατέστη τοῖς τοιούτοις συλλειτουργοῖς, πρὸς μὲν τὸν τοῦ Ἰκονίου λόγον προσθέμενος, ὡς οὐδέποτε τοιαύτη πρόσκλησις ἐκ τοῦ περιήκοντος περὶ ψήφου πρὸς μητροπολίτην γέγονε παρὰ συναδελφοῦ αὐτοῦ, εἴ γε καὶ δοίη τις τοῦτο γενέσθαι· ἀλλὰ παρὰ τῶν συνήθως στελλομένων εἰς τὴν τῆς ψήφου μετάκλησιν, κυρίας τυπουμένης τῆς ἐπὶ τῇ ψήφῳ ἡμέρας, καὶ παρὰ τοῦ χαρτοφύλακος στελλομένων τῶν μηνυτῶν, καὶ οὕτω τῶν μηνυθέντων ἢ αὐτοπροσώπως παρουσιαζόντων, ἢ διὰ γραμμάτων ὁμοψήφων γινομένων, ἢ καὶ ἀντιγνωμονούντων, δήλης πάντως γινομένης τῷ ψηφοφορικῷ τῆς ἐγγράφου γνώμης αὐτῶν, καὶ διὰ τῶν γραμμάτων παρεῖναι δοκούντων καὶ τῶν ἀπόντων. Ἐπεὶ οὖν, φησὶ, πρὸ μιᾶς τῆς ἐπὶ τῇ ψήφῳ κυρίας, κατὰ τὸν τοῦ Ἰκονίου λόγον, τῇ μεγάλῃ πόλει παρῆν, καὶ ἑξῆς ταῖς μετὰ τὴν ψῆφον ἡμέραις, πῶς ποτε ἄρα καὶ πιστευτέοι οἱ λέγοντες μὴ παρεῖναι τοῦτον τῇ μεγάλῃ πόλει κατὰ τὸν τῆς ψήφου καιρόν; καὶ ἐζήτει προκομισθῆναι καὶ τὸ ψηφηφορικὸν, καὶ ἀναθεωρηθῆναι τοῦτο, εἰ ἄρα εὕρηται ἐγγεγραμμένα τὰ παρὰ τῶν συναδελφῶν αὐτοῦ προτεινόμενα. Κἂν μὲν οὖν αὐτὸς, φησὶ, καὶ μόνος τῶν ψήφων ἀπελιμπάνετο, ἴσως ἂν εἶχε λόγον τὰ προβαλλόμενα· ἐπεὶ δὲ καὶ ἕτεροι σὺν αὐτῷ μητροπολῖται ἀπελείφθησαν τῆς ψήφου τῶν ψηφισθεισῶν Ἐκκλησιῶν, καὶ οὐδὲ αὐτοὶ μετεκλήθησαν, φαίνονται προφανῶς ταῖς ἀληθείαις ἐναντιούμενοι οἱ ἀντίθετοι. Πρὸς μέντοι τὰ τοῦ σημειώματος ῥήματα, αὐτὰ καὶ πάλιν τὰ ἀνωτέρω διαληφθέντα προέθετο, ὅτι περ αὐτὸς

μὴ θέλων τὸ ὑποκνίζον τὴν τούτου ψυχὴν σκάνδαλον ἀνημέρωτον ἐπικρύπτειν, καὶ ἐν τῷ μετακλητικῷ σημειώματι τὴν αἰτίαν ἐξέφηνε, ζητῶν τὴν διόρθωσιν ἐφ' οἷς ἀγανακτικώτερος γέγονεν· οἱ δὲ ψηφισάμενοι, παραγκωνισάμενοι τὸν τούτου ἀπόλογον, τὴν ψῆφον κατὰ τὸ δόξαν αὐτοῖς αὐτόνομον πεποιήκασιν. Ἐπὶ τούτοις παρὼν καὶ ὁ πρωτόθρονος Καισαρείας ἀνέκραξε καὶ αὐτὸς λέγων, ὡς οὐδὲν οὗτος, ἀφ' οὗ καιροῦ κεχειροτόνηται ἀρχιερεὺς, εἰς ψῆφον ἀνελθεῖν μετεκλήθη, καὶ ταῦτα τριῶν Ἐκκλησιῶν ψηφισθεισῶν, Δυῤῥαχίου, Μελήτου, καὶ Χριστιανουπόλεως· ἀλλ' οὐδὲ τὴν σήμερον ἐδόθη τούτῳ παρά τινος εἴδησις τῆς πρὸς τὴν βασιλείαν μου τῶν μητροπολιτῶν συνελεύσεως· αὐτὸς δὲ οἴκοθεν κινηθεὶς, συνεισῆλθε τοῖς λοιποῖς ἀρχιερεῦσιν εἰς τὸ βῆμα τῆς βασιλείας μου. Καὶ ὁ Λευκάδος δὲ, συνῳδὰ τῷ Καισαρείας ἐφθέγγετο, καρδιαλγῶν ἐφ' οἷς οὐκ ἠξίωτο λόγου ἐπὶ ταῖς ψήφοις τῶν ῥηθεισῶν τριῶν Ἐκκλησιῶν· οὗ χάριν, ὡς μὴ ἀνελθὼν, οὐδὲ ὁμόψηφος γέγονε τοῖς ψηφισαμένοις αὐτάς. Ἀλλὰ καὶ ὁ Καρίας εἰσελθὼν εἶπεν, ὡς συνελθόντων αὐτῶν ἐπὶ τῷ ποιήσασθαι ψήφους τῶν χηρευουσῶν ἁγιωτάτων Ἐκκλησιῶν, ἐπεί τινας τῶν ἐνδημούντων ἀρχιερέων τῇ βασιλευούσῃ οὐκ εἶδε παρουσιάζοντας, ἤρετο, εἰ γνῶμαι τούτων εἰσίν. Ἤκουσε δὲ, ὡς ὁ Κυζίκου, παρὰ τοῦ Ναρσίτου διαμηνυθεὶς παρουσιάσαι ἐπὶ ταῖς μελλούσαις προβῆναι ψήφοις, ἔφησε, καὶ ἄλλοτε τῇ αὐτοῦ ἀπουσίᾳ τοιαύτας ψήφους γενέσθαι, οὐ καινὸν δὲ καὶ αὖθις τοῦτο πραχθῆναι· οὐκ ἀγαθὴν οὖν ἔμφασιν αὐτὸς κατανοῶν ἔχειν ταῦτα τὰ ῥήματα, τῶν ἀδυνάτων εἶπεν εἶναι προβῆναι ψήφους τὴν σήμερον· καὶ μάλιστα ὅτι καὶ ἕτεροι τῶν ἀδελφῶν ἀποδημοῦσιν, ἤγουν ὅ, τε πρωτόθρονος, ὁ Χαλκηδόνος, καὶ ὁ Λευκάδος· ἠκολούθουν δὲ αὐτῷ καί τινες τῶν μητροπολιτῶν, ὅ,τε Μηθύμνης, ὁ Ναζιανζοῦ, ὁ Παροναξίας, καὶ ἕτεροι· ἀλλ' ὑπερίσχυσαν, φησὶν, οἱ ἄλλως λέγοντες, καὶ τὰ τῶν ψήφων προέβαινον· οὓς λόγους τοῦ Καρίας ᾠκειοῦντο ὡς ἀληθεῖς, παρόντες ὁ Μηθύμνης, ὁ Ναζιανζοῦ, καὶ ὁ Παροναξίας· ἦσαν οὖν τὰ μέρη ἐν τούτοις ἀντιπαλαμώμενά τε ἀλλήλοις καὶ ἐναντιούμενα. Ἡ γοῦν βασιλεία μου ἐπιστατικώτερον προσχοῦσα τοῖς παρὰ τῶν μερῶν προτ

τεθεῖσι, καὶ μὴ θέλουσα παραθραύεσθαι καὶ τοὺς ἐκκλησιαστικοὺς θεσμούς, καὶ τὰς ἀποστολικὰς καὶ συνοδικὰς παραδόσεις, καὶ τοὺς ἱεροὺς κανόνας αὐτῶν, καὶ καταλαβοῦσα μηδέν τι ἐνδύναμον δικαιολογήσασθαι τοὺς ἀντιδίκους τῷ Κυζίκου συναδελφοὺς τούτου καὶ συλλειτουργούς, ἀλλὰ παρὰ τὰ διωρισμένα τοῖς διαληφθεῖσιν ἱεροῖς κανόσι καὶ τῷ ἀρχαιοπαραδότῳ τῆς μεγάλης Ἐκκλησίας ἔθει ἐπὶ ταῖς ψήφοις προβῆναι τὰς ψήφους τῶν ῥηθεισῶν Ἐκκλησιῶν, τῆς Κλαυδιουπόλεως, τῆς Μαρωνείας, τοῦ Δυῤῥαχίου, τῆς Μιλήτου, καὶ τῆς Χριστιανουπόλεως, ἀκολούθως τούτοις διέγνω καὶ ἀπεφήνατο, συνδιαγνωμονησάντων τῇ βασιλείᾳ μου καὶ τῶν ἁγιωτάτων πατριαρχῶν, μηδὲν ἰσχύειν τὴν χειροτονίαν καὶ τὰς ψήφους τῶν οὕτω ψηφισθέντων, ὡς εἴρηται, ἀλλ' ὡς μηδὲ γεγονυίας λογισθῆναι, καὶ τὴν γεγονυῖαν χειροτονίαν τοῦ χειροτονηθέντος Μαρωνείας, καθὼς ὁ ἄνωθεν καταστρωθεὶς ιθ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου διαλαμβάνει κανών, λέγων ῥητῶς οὑτωσί· Εἰ δὲ ἄλλως παρὰ τὰ διωρισμένα γίνοιτο, μηδὲν ἰσχύειν τὴν χειροτονίαν, ἀλλ' ἑτέρας ψήφους γενέσθαι ἐπὶ ταῖς ῥηθείσαις Ἐκκλησίαις, ἐφ' αἷς αἱ ψῆφοι καὶ αἱ χειροτονίαι παρὰ κανόνας προέβησαν, ὡς διείληπται. Καὶ γοῦν τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς θεσπίζει τὸ κράτος ἡμῶν, ἐκ τοῦ ἀπαραιτήτου πάντας τοὺς ἐν τῇ μεγάλῃ πόλει ἀρχιερεῖς συγκαλεῖσθαι, καὶ ἢ παρεῖναι τοὺς πάντας ἐπὶ ταύταις, εἰ δυνατόν, ἢ διὰ γραμμάτων ὁμοψήφους γίνεσθαι, καὶ μὴ παίζειν ἐν οὐ παικτοῖς· ἀλλ' ἐκείνους προτιμᾶσθαι τῶν ἄλλων πάθους ἐκτός, οὓς μετὰ τοῦ λόγου καὶ βίος κοσμεῖ ἀνεπίληπτος· ἤ, τοῦ λόγου σκάζοντος ἴσως, οἷς ὁ μακρὸς χρόνος, καὶ τὸ περὶ τὴν Ἐκκλησίαν πολύπονον, τὸ ἐνδέον ἀποχαρίζεται· οὕτω γὰρ ἂν αἱ ψῆφοι θεαρέστως γίνοιντο, καὶ οὐκ ἐπὶ κρίματι καὶ κινδύνῳ τῆς τῶν ψηφιζομένων καὶ ψηφηφορούντων ψυχῆς. Οἱ μέντοι παρουσιάσαντες μητροπολῖται ἦσαν οὗτοι· ὁ Καισαρείας, ὁ Ἐφέσου, ὁ Κυζίκου, ὁ Σίδης, ὁ Ἀμασείας, ὁ Νεοκαισαρείας, ὁ Καρίας, ὁ Λαοδικείας, ὁ Ἰκονίου, ὁ Συλαίου, ὁ Ἱεραπόλεως, ὁ Εὐχαΐτων, ὁ Κερασοῦντος, ὁ Ἀβύδου, ὁ Λαρίσσης, ὁ Κορίνθου, ὁ Μηθύμνης, ὁ Παροναξίας, ὁ Προικοννήσου, ὁ Ἡρακλέος, ὁ Λευκάδος, ὁ Γαρέλλης, ὁ Ναζιανζοῦ,

Β'. ΠΕΡΙ ΤΟΥ ΑΠΟΚΕΙΡΕΣΘΑΙ

Τὰς τῶν ὑποψηφίων ἀρχιερέων γυναῖκας, ἀπολυθὲν κατὰ τὴν κ'. τοῦ Σεπτεμβρίου μηνὸς, ἡμέρᾳ τετάρτῃ, ἐπινεμήσεως πέμπτης (1).

Η ΕΝΝΟΜΟΣ τοῦ βασιλέως ἀπόφασις οὐκ ἀκίνδυνος τοῖς παρανομοῦσι φανήσεται· ὡς γὰρ ὄμφακες ὀδοῦσι, καὶ καπνὸς ὄμμασι βλαβερὸν, οὕτω καὶ παρανομία τοῖς χρωμένοις αὐτῇ. Πρὸς τί δέ μοι καὶ ἀφορᾷ τὸ τοῦ λόγου προαύλιον; Ὁ ἱερώτατος μητροπολίτης Κυζίκου, καὶ τὴν σήμερον εὑρίσκων τὴν βασιλείαν μου θεμιστεύουσαν, συνεδριαζόντων αὐτῇ τοῦ τε ἁγιωτάτου μου δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τῶν ἑτέρων ἁγιωτάτων πατριαρχῶν, τοῦ θεουπόλεως Ἀντιοχείας, καὶ τοῦ Ἱεροσολύμων, μηδὲ τῶν ἐν τῇ μεγάλῃ πόλει ἐνδημούντων ἱερωτάτων ἀρχιερέων ἀπολιμπανομένων, ὧν τὸ πρὸς ὄνομα διαληφθήσεται κάτωθεν, πρόεθετο· ὅτι τινὲς τῶν εἰς μητροπόλεις, ἢ ἀρχιεπισκοπὰς ψηφισθέντων καὶ χειροτονουμένων, πρὸ τῆς χειροτονίας ἔχοντες γαμετὰς, αὐτοὶ μὲν τὸ καταξιωθῆναι τοῦ χρίσματος τῆς ἀρχιερωσύνης οὐκ ἀπηνήναντο· αἱ δὲ σύνοικοι τούτων τὸν αὐτὸν καὶ πάλιν κοσμικώτερον σχηματισμὸν ἀμφιέννυνται, ἀνυποστόλως ταῖς οἰκίαις ἐνδιατρίβουσαι, ἐν αἷς κατῴκουν τὸ πρότερον, καὶ οὔτε γυναικείοις μοναστηρίοις εἰσήχθησαν, ἀλλ' οὐδὲ τῷ Θεῷ ἑαυτὰς ἀφιέρωσαν, καὶ τὸν μονήρη βίον ἠσπάσαντο· καὶ ταῦτα, τῶν ἱερῶν καὶ θείων κανόνων ῥητῶς ἐγκελευομένων, τοὺς χειροτονηθέντας ἀρχιερεῖς ἐκ παντὸς τρόπου τῶν πρὸ τῆς χειροτονίας συζευχθεισῶν αὐτοῖς ἀπέχεσθαι νομίμων γαμετῶν· ὅτι μὴ ἐξ ἐπιτάγματος, ἀλλ' αὐθαιρέτῳ γνώμῃ ἕκαστον τῶν τοιούτων προσώπων εἰς Ἐκκλησίαν ψηφισθὲν, ἢ τὴν ἀποχὴν καὶ τὸ ἀγάμητον οἰκειώσαιτ' ἂν, διὰ τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα, ἢ τὴν ἀμίαντον συνάφειαν διὰ τὸ τοῦ γάμου προέλοιτο τίμιον· καὶ ταῦτα λέγων, καὶ κανόνων διαφόρων ἐμέμνητο, ὧν καὶ εἷς ὁ ΜΗ'. ἣν τῆς ς'. συνόδου, ταυτὶ κατὰ ῥῆμα διαλαμβάνων· Ἡ τοῦ πρὸς ἐπισκοπῆς προεδρίαν ἀναγομένου γυνὴ, κατὰ κοινὴν συμφωνίαν

---

(1) Τὸ παρὸν σημείωμα μνημονεύεται παρὰ Βαλσαμῶνι ἐπὶ τοῦ ΜΗ'. κανόνος τῆς ς'. συνόδου (Τόμ. Β'. σελ. 420 καὶ 421).

τοῦ ἰδίου ἀνδρὸς προδιαζευχθεῖσα, μετὰ τὴν ἐπ' αὐτῷ τῆς ἐπισκοπῆς χειροτονίαν ἐν μοναστηρίῳ εἰσίτω πόῤῥω τῆς τοῦ ἐπισκοπείου καταγωγῆς ᾠκοδομημένῳ, καὶ τῆς τοῦ ἐπισκόπου προνοίας ἀπολαυέτω· εἰ δὲ καὶ ἀξία φανείη, πρὸς τὸ τῆς διακονίας ἀναβιβαζέσθω ἀξίωμα. Ἀναγνωσθέντος οὖν τοῦ τοιούτου κανόνος, ἡ βασιλεία μου μέγιστα τὰ ἐν τοῖς ἀνθρώποις δῶρα Θεοῦ παρὰ τῆς ἄνωθεν φιλανθρωπίας γινώσκουσα, καὶ τὸ τῆς βασιλείας, καὶ τὸ τῆς ἱερωσύνης θεόσδοτον χρίσμα καὶ ἀξίωμα, ἐκ μιᾶς τῆς αὐτῆς ἀεννάου πηγῆς ἑκάτερα προϊόντα, καὶ τὸν ἀνθρώπινον βίον κατακοσμοῦντά τε καὶ πιαίνοντα, καὶ μηδὲν οὕτω περισπούδαστον ἔχουσα, ὡς τὴν τῶν ἱερέων σεμνότητα, οἵτινες [εἰς] χεῖρας ἐγκαταστάντες τῇ βασιλείῳ καὶ θείᾳ περιωπῇ, ὑπὲρ παντὸς τοῦ φιλοχρίστου πληρώματος τὸν Θεὸν ἱκετεύουσι, καὶ ὡς ἱεραί τινες ἄγκυραι τὸ τῆς βασιλικῆς ἐπικρατείας ἐρείδουσιν, ἐπὰν καὶ μάθοι τοὺς κανόνας παραθεωρεῖσθαι καὶ παραθραύεσθαι ἐπὶ τῆς εὐνομίας καὶ ταῦτα τοῦ κράτους ἡμῶν, ὡς καὶ ἔτι μὴ διαζευχθέντων τῶν χειροτονηθέντων ἀρχιερέων, ἀλλὰ καὶ συνοικεῖν ἀνεχομένων ταῖς αὐτῶν γαμεταῖς, οὐ μικρῶς ἔπαθε τὴν ψυχήν. Ταύτῃ τοι καὶ στυγνόν τι καὶ ἄχαρι τῷ θεοφιλεστάτῳ χαρτοφύλακι προσβλεψαμένη ἡ βασιλεία μου, παρ' αὐτὰ διωρίσατο, προτρεψαμένων τοῦτο καὶ τῶν ἁγιωτάτων πατριαρχῶν, ἐν γυναικείοις μοναστηρίοις ἀνυπερθέτως εἰσαγαγεῖν τὰς πρὸ τῆς χειροτονίας συναφθείσας γαμετὰς τοῖς χειροτονηθεῖσιν ἀρχιερεῦσι, πόῤῥω τῆς τῶν ἀρχιερέων ᾠκοδομημένοις καταμονῆς, καὶ ἀποκείρεσθαι ταύτας, καὶ κανονικῶς κατὰ μοναχὰς διάγειν ἑκάστην αὐτῶν ἐν ᾗ μονῇ καὶ τὴν τρίχα ἀπέθετο· ἤ, μὴ βουλομένων τῶν γυναικῶν ἑκουσίως τὴν ἀπόκαρσιν δέξασθαι, τοὺς πρὸ τῆς χειροτονίας συναφθέντας αὐταῖς ἀπογεγυμνωμένους εἶναι τοῦ ἀρχιερατικοῦ θρόνου καὶ ἀξιώματος, καὶ ἑτέρους ἀντ' αὐτῶν ἐπὶ ταῖς λαχούσαις αὐτοὺς ψηφίζεσθαι· καὶ τὸ ἀπὸ τοῦδε μὴ ἄλλως χειροτονεῖσθαι τὸν πρὸ τῆς χειροτονίας νόμιμον ἔχοντα γαμετήν, εἰ μὴ διαζευχθεῖεν ἑκάτεροι, κατὰ κοινὴν τῶν συνεύνων ἔγγραφον συμφωνίαν τε καὶ ἀρέσκειαν, καὶ ἡ γυνὴ τὸν μονήρη βίον ἀσπάσεται· καὶ οὕτω τὰ τῆς χειροτονίας προβαίνειν κατὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας

ἀσκανδάλιστα, καὶ ἀπρόσκοπα, καὶ μώμου παντὸς ἀπεξενωμένα τῆς ἱερατικῆς καταστάσεως. Ἦσαν δὲ τῷ βήματι τῆς βασιλείας μου ἐπὶ τούτοις συνεδριάζοντες ἀρχιερεῖς, ὁ Καισαρείας, ὁ Ἐφέσου, ὁ Κυζίκου, καὶ ἕτεροι οὐκ ὀλίγοι.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΑΤΑΤΖΗ.

ΧΡΥΣΟΒΟΥΛΛΟΝ ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΒΑΣΙΛΕΩΣ,

Τοῦ κοσμοποθήτου κυροῦ Ἰωάννου Δούκα τοῦ Βατάτζη(1).

ΕΣΟΝΤΑΙ οἱ Λευῖται ἐμοί, τῷ ἱεροφάντῃ Μωσεῖ πάλαι χρηματίζει Θεός· οὓς δὲ τῶν ἄλλων ἀποτεμὼν Θεός, οἰκειότερον ἑαυτῷ προσαφοσιοῖ, καὶ εἰς σκοποὺς τοῦ ἰδίου κλήρου τούτους ἐγκαθιστᾷ, πηλίκης καὶ τῆς ἐξ ἀνθρώπων αὐτοὺς τιμῆς ἀπολαύειν χρή, καὶ γέρας ἔχειν ἐξαίρετον, μήτοι γε τὸν τῇδε διαζῶντας βίον, ἀλλὰ καὶ εἰς Θεὸν μετασκηνωμένους, καὶ τῶν καθ' ἡμᾶς ἀπαίροντας, δεῖγμα, μὴ μόνον τὸν βίον τούτων εἶναι περιφανῆ, ἀλλὰ καὶ αὐτὴν τὴν πρὸς Θεὸν ἐκδημίαν ἔνδοξον καὶ περίοπτον; Τεκμήριον ἐναργές, αὐτὸ τὸ ὑψηλὸν ὄρος, ἐν ᾧ Μωσῆς μετὰ τοῦ ἀρχιερέως ἐντέταλται τὴν ἀναδρομὴν ποιήσασθαι· Ἀνάβηθι, γάρ φησιν, εἰς τὸ ὄρος σύ, καὶ Ἀαρὼν ὁ ἀδελφός σου, καὶ ἔκδυσον Ἀαρὼν τὴν στολὴν αὐτοῦ· καὶ Ἀαρὼν ἀποθανὼν προστεθήτω ἐκεῖ (2)· ἐπίσημοι γάρ, καὶ ἐφ' ὕψους, καὶ ἡ τοῦ Ἐλεάζαρ χρίσις, καὶ ἡ τοῦ Ἀαρὼν ἐκδημία. Ὁπόσην δὲ καὶ ἡ βασιλεία μου πρὸς τοὺς ἀρχιερεῖς τὴν μετ' αἰδοῦς εὐσχημοσύνην ἐνδείκνυται, καὶ ὅπως αὐτοῖς, καὶ μετὰ πόσης προσφέρηται τῆς τιμῆς, οὐ μόνον οἴδασιν οἱ τῇ βασιλείᾳ μου πλησιάζοντες, ἀλλὰ καὶ ὁ πολὺς λαὸς οὐκ ἠγνόησεν. Ἀλλὰ τῶν ἀρχιερατευσάντων ἔστιν τῶν μητροπόλεων καὶ ἐπισκοπῶν ἐν σιωπῇ γεγονότων, ἣν ὁ φυσικὸς ἀποτελεῖ θάνατος, ἐπὰν ἡ ψυχὴ τὸ σῶμα λιποῦσα πρὸς τὸν οὐράνιον νυμφίον ἀναδράμῃ πτερυξαμένη, οἱ τὰς χρηματικὰς ἐνεργοῦντες δουλείας ἐν ταῖς χώραις τῆς βασιλείας μου, ἐρήμην ἐφευρηκότες τοῦ ἀντιφερομένου τούτοις, ἐπιλαμβάνονται τῶν τηνικαῦτα ὑπολελειμμένων ταῖς Ἐκκλησίαις, καὶ παρασυλῶσιν αὐτά, προφάσεις ἐν ἁμαρτίαις προφασιζόμενοι, ὅτι ὑπὲρ τῆς

---

(1) Ἰωάννης Δούκας ὁ Βατάτζης ἐβασίλευσεν ἐν Νικαίᾳ μετὰ τὴν ὑπὸ τῶν Λατίνων ἅλωσιν τῆς βασιλίδος, ἀπὸ τοῦ ἔτους 1222 μέχρι τοῦ ἔτους 1255. — Βλέπε καὶ σημείωμα τοῦ Χρυσοβέργη σελ. 98, καὶ Νεαρὰν Ἰωάννου τοῦ Κομνηνοῦ σελ. 305 τοῦ παρόντος Τόμου. — (2) Ἀριθμ. Κ', 26.

συλλογῆς αὐτὸ ποιοῦσι τῶν ἐκ κοινοῦ ἐράνων, ἀνηκόντων ταῖς κοσμικαῖς ἐξόδοις τε καὶ ὑπηρεσίαις· καὶ τοιουτοτρόπως οὐ μόνον ἐπιτρίβεται ῥύπος τοῖς τετελευτηκόσιν, ἐφ' οἷς ἄντικρυς καὶ ὁ ψαλμῳδὸς διὰ τῆς λύρας τοῦ Πνεύματος τὸν ἐπιτάφιον ὕμνον πλέκει θειότερον· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ(1)· ἀλλὰ καὶ τὰ θεῖα τεμένη στυγνάζειν οἱονεὶ δοκεῖ, περιηρημένα καὶ περικεκομμένα τὴν ἐπικοσμοῦσαν αὐτὰ λαμπρότητα ἔκ τε φωταψίας, καὶ ἑτέρας ὑπηρεσίας, ἡ πρὸς τὸ πάνυ ἐνδεὴς ἀντιπεριΐσταται, τῆς δαπάνης ἐκλιπούσης, ἣν αἱ ἀφειδεῖς τῶν πρακτόρων σεσυλήκασι χεῖρες. Ἡ γοῦν βασιλεία μου, ἀθέμιτον εἶναι τοῦτο λογιζομένη, διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς, ἐπὰν εἴς τινα τῶν μητροπολιτῶν καὶ τῶν ἐπισκόπων ἐπισυμβῇ θάνατος, μὴ πόδα παραβάλλειν ὅλως τοὺς κατὰ καιρὸν δοῦκας οἱουδήτινος θέματος, ἢ τινὰ τῶν ὑπ' αὐτοὺς πρακτόρων, ἐν τοῖς κελλίοις τῶν τετελευτηκότων ἀρχιερέων, μητροπολιτῶν δηλονότι καὶ ἐπισκόπων, καὶ τὸ οἱονδήτι ἐκεῖθεν ἀναλαμβάνεσθαι, ἢ τοὺς ἐκεῖσε προσκαθημένους τε καὶ παρευρεθέντας προσγενεῖς αὐτῶν, ἢ τοὺς εἰς ὑπηρεσίαν ἀποτεταγμένους τοῖς ῥηθεῖσιν ἀρχιερεῦσι κατακρατεῖν, καὶ ἕλκειν εἰς δόσιν νομισμάτων, καὶ τὸ οἱονδήτι ἀπὸ τούτων ἀναλαμβάνεσθαι· ἀποτραπήσεται καὶ πᾶς ἐκεῖθεν διασειστὴς τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου· τὰ δὲ παρευρεθέντα ἐν τοῖς κελλίοις τῶν ἀρχιερέων, ἄν τε βιβλία ὦσιν, ἄν τε ζωαρκῆ εἴδη, ἄν τε ζῶα, καὶ ἕτερά τινα χρειώδη, παρακελεύεται ἡ βασιλεία μου, παραλαμβάνειν αὐτὰ τὸν ἐφ' ἑκάστῃ Ἐκκλησίᾳ οἰκονόμον ἐνώπιον τοῦ κλήρου παντὸς, καὶ οἰκονομεῖν, ὥστε ἀνελλιπῶς καὶ θεοφιλῶς γίνεσθαι πᾶσαν τὴν ἐκκλησιαστικὴν οἰκονομίαν τε καὶ κατάστασιν, μέχρις ἂν ἕτερος ἐνδημήσῃ ἀρχιερεύς. Ἐπὶ τούτῳ γὰρ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐγεγόνει πάσαις ταῖς ἐν τῇ χώρᾳ ταύτῃ μητροπόλεσι καὶ ἐπισκοπαῖς εἰς ἀσφάλειαν αἰωνίζουσαν· ἀπολυθεὶς κατὰ τὸν Δεκέμβριον μῆνα, τῆς β'. ἐπινεμήσεως, τοῦ ,ςψλζ'. ἔτους, ἐν ᾧ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

---

(1) Ψαλμ. ΡΙΕ, ϛ.

ΜΙΧΑΗΛ ΤΟΥ ΠΑΛΑΙΟΛΟΓΟΥ(1).

Α'. ΟΡΙΣΜΟΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ (2) ΤΟΥ ΚΟΜΝΗΝΟΥ

ΠΡΟΣ ΤΟΝ ΣΚΟΥΤΑΡΙΩΤΗΝ ΓΕΓΟΝΟΤΑ ΚΥΖΙΚΟΥ.

Ὁρισμὸς προσκυνητὸς τοῦ κραταιοῦ καὶ θεοστεφοῦς ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅτε με τῷ τοῦ δικαιοφύλακος ἐτίμησεν ἀξιώματι.

Μιμειται καὶ Μωϋσῆν ἐκεῖνον ἡ βασιλεία μου τὸν δημαγωγὸν, καὶ πρὸς τὸν τῆς νομοθεσίας ἐκείνου ζῆλον, ὡς ἐφικτὸν, ἀπευθύνεται· ὡς γὰρ ἐκεῖνος τὸν δακτύλῳ Θεοῦ γραφέντα νόμον ἐγχειρισθεὶς, διὰ τοῦ Ἀαρὼν σεμνυνομένου τὸ τηνικαῦτα τῷ ἱερατικῷ ἀξιώματι, τῷ Ἰσραηλιτικῷ λαῷ διεπόρθμευε, κατὰ ταῦτα καὶ ἡ βασιλεία μου τὸ παντὸς τιμώμενον τῆς βασιλείας χρῆμα λαβοῦσα παρὰ Θεοῦ, ἣν ἔννομον ἀρχὴν οἱ πάλαι ὡρίσαντο, κἀντεῦθεν οὖσα νόμος ἔμψυχος ἀτεχνῶς, ὡς καὶ τὸ δόξαν ταύτῃ καθάπερ νόμον γραπτὸν καὶ λέγεσθαι, καὶ πιστεύεσθαι, τὸν ἐντιμότατον ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κῦρ Θεόδωρον διάκονον τὸν Σκουταριώτην, ἄνδρα

(1) Μιχαὴλ ὁ Παλαιολόγος ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 1261 μέχρι τοῦ ἔτους 1282. Ἐπὶ τῶν ἡμερῶν αὐτοῦ ἀνεκτήσαντο οἱ ἡμέτεροι τὴν Κωνσταντινούπολιν, ἀποβληθέντων τῶν Λατίνων τῇ 25 Ἰουλίου 1261. — Τοὺς ἑξῆς τρεῖς ἀνεκδότους ὁρισμοὺς ἐλάβομεν ἐκ τοῦ χειρογράφου τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀρχιεπισκόπου Ἀργολίδος Γερασίμου. Ἀλλ' ἡ ἐπιγραφὴ αὐτῶν προφανῶς ἐφθαρμένη, παραλειφθέντων τῶν κυρίων ὀνομάτων τοῦ ἐκδόντος αὐτοὺς βασιλέως Μιχαὴλ τοῦ Παλαιολόγου, τοῦ καὶ Κομνηνοῦ προσεπιλεγομένου· ὁ γὰρ ἐν αὐτοῖς μνημονευόμενος Θεόδωρος ὁ Σκουταριώτης ἐνεδίδυτο τὸ τοῦ δικαιοφύλακος ἀξίωμα ἐπὶ τοῦ διαληφθέντος αὐτοκράτορος καὶ τοῦ πατριάρχου Ἰωσὴφ, ὡς ἀναφέρεται παρὰ Γεωργίῳ τῷ Παχυμέρει, Μιχαὴλ Παλαιολόγος Βιβλ. Ε', κεφ. 22. Ἐπὶ δὲ τοῦ διαδεξαμένου τὸν Ἰωσὴφ Ἰωάννου τοῦ Βέκκου ἐτιμήθη μητροπολίτης Κυζίκου, πεμφθεὶς ὑπὸ τοῦ Μιχαὴλ τορος πρέσβυς πρὸς τὸν πάπαν, ὡς βεβαιοῦται ἐξ ἐπιστολῆς τοῦ αὐτοκράτορος τούτου, παρατιθεμένης λατινιστὶ παρ' Ἀλλατίῳ de Consensu Βιβλ. Β', κεφ. 15. Οὐ πολλῷ δὲ μετὰ τὸν θάνατον τοῦ αὐτοκράτορος Μιχαὴλ ὁ Σκουταριώτης Θεόδωρος καθῃρέθη δι' ὅσα πρὸς τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν διεπράξατο· (Γεώργ. Παχυμέρης, Ἀνδρόνικος Παλαιολόγος, Βιβλ. Α'. κεφ. 17.)

θροῦσα κατὰ τὴν παλαμηφορουμένην Θεῷ καρδίαν αὐτῆς, καὶ πρὸς ταῖς ἄλλαις λογικαῖς ἐπιστήμαις καὶ τοὺς λόγους ἀκριβῶς μελετήσαντα, καὶ τῷ ἱερῷ καὶ θείῳ καταλόγῳ ἐμπρέποντα, τῇ τοῦ δικαιοφύλακος ἀξίᾳ τιμᾷ· χρεὼν γὰρ τὸν ἔκ τε θείων καὶ ἀποστολικῶν κανόνων, ἔκ τε τῶν νόμων, οὓς σοφοὶ ἄνδρες ἐξέθεντο, γνῶσιν ἐς τὰ μάλιστα συλλεξάμενον, καὶ τῷ δικαιοφυλακικῷ ἐνσεμνύνεσθαι ἀξιώματι. Ὅθεν καὶ διορίζεται ἡ βασιλεία μου, διὰ τῆς παρούσης αὐτῆς προστάξεως, διενεργεῖσθαι παρὰ τοῦ διαληφθέντος ἐντιμοτάτου ἐν πατριαρχικοῖς ἄρχουσιν ἐπὶ τῶν δεήσεων κὺρ Θεοδώρου διακόνου τοῦ Σκουταριώτου τὸ δικαιοφυλακικὸν ὀφφίκιον μετὰ πάντων τῶν απονενεμημένων αὐτῷ δικαίων, καὶ καθὼς ἐνηργεῖτο καὶ παρὰ τῶν πάλαι κεκτημένων αὐτὸ, καὶ τῆς αὐτῆς ἐκείνης μετέχειν τοῦτον τιμῆς τε, καὶ τάξεως, ἔν τε καθέδραις, στάσεσι, καὶ πᾶσιν ἄλλοις, καὶ ἐν τῷ εὐαγεῖ κλήρῳ τῆς βασιλείας μου, πάσας τε τὰς ἀνέκαθεν προσαρμοσθείσας τῷ τοιούτῳ ὀφφικίῳ κρίσεις διεξάγειν, καὶ περατοῦν. Ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις δι' ἀσφάλειαν.

Εἶχε τὸ, μηνὶ Μαΐῳ, ἰνδικτιῶνος ιγ' (1), διὰ τῆς βασιλικῆς καὶ θείας χειρός.

ΕΤΕΡΟΝ ΠΡΟΣΤΑΓΜΑ ΣΕΠΤΟΝ

Τοῦ κοσμοποθήτου, κραταιοῦ, καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δι' οὗ μοι καὶ τόπος ἀπεδόθη κἂν τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ τοῦ Θεοῦ ἀνάλογος, εἰ καὶ διά τά τινων ἀπρεπῆ σκάνδαλα, καὶ τὴν ἐν τῷ χορῷ τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἄφιλον στάσιν ἀπέκλινα, τὴν εἰρήνην αἱρετισάμενος· μετ' οὐ πολὺ δὲ καὶ σακελλίου ἐσφραγίσθην, καὶ τὸν τόπον τοῦ σακελλίου ἀπέλαβον.

ΑΓΙΩΤΑΤΕ ΜΟΥ δέσποτα, καὶ οἰκουμενικὲ πατριάρχα· οἶδεν ἡ ἁγιωσύνησου, ὡς ἀνεδέξατο ἡ βασιλεία μου τὸν τιμιώτατον δικαιοφύλακα κὺρ Θεόδωρον διάκονον τὸν Σκουταριώτην, καὶ οἵας καὶ πόσης αὐτὸν ἀξιοῖ προσπαθείας, καὶ οἰκειώσεως, τῆς

(1) Ἡ παροῦσα ιγ', ἰνδικτιὼν συμπίπτει τῷ Σωτηρίῳ ἔτει 1270.

τε περὶ τὰ θεῖα γνώσεως αὐτοῦ χάριν, καὶ τῆς περὶ τὰ πράγματα προσούσης τούτῳ εἰδημοσύνης, καὶ ἀρετῆς. Ἐπεὶ οὖν οὕτως αὐτὸν ἀνεδέξατο, καὶ οὕτως ἔχει τοῦτον ἡ βασιλεία μου, καὶ τοιούτῳ ἀξιώματι κατεκόσμησεν, οὐ δέον πάντως τὸ μὴ καὶ παρὰ τῆς ἁγιωσύνης σου καὶ τῆς τῶν συγκλητικῶν αὐτὸν ἀναλόγως μετέχειν τιμῆς τε καὶ τάξεως ἔν τε τῷ ἐκκλησιαστικῷ ὀφφικίῳ, κἂν ταῖς καθέδραις, καὶ στάσεσι· χρεὼν γὰρ τόν, ὃν ἡ βασιλεία μου κατὰ λόγον τιμᾷ, καὶ παρὰ τῆς ἁγιωσύνης σου κατ᾽ ἴσον τιμᾶσθαι, καὶ τὸν ἐν τῇ βασιλείᾳ, κἂν τῇ συγκλήτῳ τίμιον, καὶ παρὰ τῇ Ἐκκλησίᾳ σου, καὶ τῷ κλήρῳ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας τιμῆς καταξιοῦσθαι τῆς κρείττονος· εἴ περ ἐπιστημονάρχης, σὺν Θεῷ φάναι, τῆς Ἐκκλησίας σου ἡ βασιλεία μου, καὶ κατὰ κρίσιν οἰκονομεῖ τοὺς λόγους αὐτῆς· πρὸς τύπον δὲ τῶν βασιλικῶν, καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὀφφικίων παρὰ τῶν ἀοιδίμων καὶ φιλευσεβῶν βασιλέων ἐτάχθησαν, καθὼς κἂν τῷ θείῳ ἰδίῳ τοῦ πρώτου τῶν Χριστιανῶν βασιλέως, μεγάλου καὶ ἁγίου Κωνσταντίνου, ὃ πρὸς τὸν μακάριον ἐξέθετο Σίλβεστρον, οὐκ ἀσαφῶς, ἀλλ᾽ ἄριστα τεθέσπισται· ἐφ᾽ ᾧ καὶ ὀφεῖλον τῷ πρωτοτύπῳ ἐπακολουθεῖν τὰ πρὸς μίμησιν. Διά τοι τοῦτο καὶ οἰκονομήσαιτο ἡ ἁγιωσύνη σου ἔχειν ἀπὸ τοῦ νῦν τὸν τοιοῦτον δικαιοφύλακα κἂν τῇ τοῦ Θεοῦ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ ὀφφίκιον τῶν προβαθμίων καὶ ὑψηλῶν, καὶ ὡς τῷ κλήρῳ τῆς ἁγιωτάτης μεγάλης τοῦ Θεοῦ Ἐκκλησίας καταλεγόμενον ἵστασθαι, καὶ προκόπτειν μετὰ τὸν νῦν τιμιώτατον πρωτέκδικον τὸν Γεμιστόν, ἕνα καὶ αὐτὸν ἀπὸ τῶν ἐξωκατακοίλων ἀπό γε τῆς σήμερον γνωριζόμενον· ἄτοπον γὰρ τὸν ἐν καθέδραις ταῖς μείζοσι, καὶ προβαθμιαιτέραις τῶν ἐκκλησιαστικῶν Ἁγιοσοφιτῶν ἀρχόντων, ὡς τὸ εἰκός, συντιμώμενον, μὴ κἂν τῇ ἐκκλησιαστικῇ στάσει, καὶ προκοπῇ τὸν προσήκοντα τόπον ἔχειν, καὶ τοῖς ἐξωκατακοίλοις συνίστασθαι, καὶ τῆς αὐτῆς συμμετέχειν τούτων τιμῆς τε καὶ προκοπῆς. Ἡ μὲν οὖν βασιλεία μου ἤδη τὰ περὶ τούτου παρεδήλωσε τῇ ἁγιωσύνῃ σου, ᾗ καὶ ἔργον ἔσται πρὸς ἔργον ἀγαγεῖν, καὶ πληρῶσαι τὸ τοιοῦτον τῆς βασιλείας μου θέλημα, ὡς θεάρεστόν τε καὶ δίκαιον· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν πρόσταγ-

μα τῆς βασιλείας μου ἀπελύθη, ὀφεῖλον ἀντιστραφῆναι τῷ τιμιωτάτῳ δικαιοφύλακι κὺρ Θεοδώρῳ διακόνῳ τῷ Σχουταριώτῃ δι' ἀσφάλειαν.

Μηνὶ Μαΐῳ, Ἰνδικτιῶνος ιγ'.

ΠΡΟΣΤΑΓΜΑ ΠΡΟΣ ΤΟΝ ΚΥΖΙΚΟΥ μητροπολίτην.

Η ΒΑΣΙΛΕΙΑ ΜΟΥ πρὸς τὴν πρῴην εὔκλειαν πρὸς τὰς χρυσᾶς ἐκείνας ἔννας καὶ εὐημερίας τάς τε πόλεις, καὶ χώρας, καὶ τὰς τοῦ Θεοῦ Ἐκκλησίας ἐπαναγαγεῖν ἐθέλουσα, καὶ ἀναβιοῦν τὰ τῷ μακρῷ χρόνῳ γηράσαντα, καὶ εἰς ζῆλον τῶν προβεβασιλευκότων τῆς Ῥωμανίας ἀγαθῶν βασιλέων καὶ μεγαλουργῶν ἀνατρέχουσα, καὶ τὰ ἐκείνων ἔργα μεγαλουργὰ ἅμα δὲ καὶ θεῖα καὶ ἔνσεμνα ἐπειγομένη ἀνανεοῦν, καὶ τὰ ἀπονενεμημένα ἀνέκαθεν τοῖς ἀρχιερεῦσι τῆς λαμπρᾶς τῆς Κυζίκου πόλεως ἐπίσημα τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυζίκου ἐχαρίσατο, τὸ κεκτῆσθαι τοῦτον δηλονότι τὸ ἐμπρέπον ὑπέρτιμον τοῖς θεσπεσίοις ἀρχιερεῦσί τε καὶ [μητροπολίταις] ἀξίωμα, καὶ τὸ σάκκον καὶ πολυσαύριον ἐν ταῖς θείαις μυσαγωγίαις τοῦτον ἀμπίσχεσθαι, καὶ λαμπαδοῦχον προτρέχειν αὐτοῦ ἀνὰ πᾶσαν τὴν αὐτῆς ἐνορίαν(1). Ἐφ' ᾧ καὶ διορίζεται ἡ βασιλεία μου, ὑπέρτιμον λέγεσθαι καὶ ὀνομάζεσθαι τὸν διαληφθέντα μητροπολίτην Κυζίκου, καὶ πᾶν τὸ ἀνέκαθεν προσαρμόσαν τῷ τοιούτῳ ἀξιώματι σέμνωμα ἔχειν κατὰ τὴν ἐπὶ τούτῳ συνήθειαν· ἐνδιδύσκεσθαι δὲ τοῦτον καὶ σάκκον, καὶ πολυσταύριον ἐν ταῖς θείαις καὶ ἱεραῖς μυσταγωγίαις, καὶ λαμπάδα φαίνουσαν ἔμπροσθεν τούτου προάγεσθαι πᾶσαν τὴν ἐνορίαν· φῶς γὰρ εἶναι τοῦ κόσμου τοὺς μαθητὰς αὐτοῦ, Χριστὸς ἀπεφήνατο (2)· Φαίνει δὲ καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ, ὁ ἠγαπημένος αὐτῷ φησι μαθητής (3). Κατὰ τοὺς Κυριακοὺς οὖν μαθητάς, καὶ τοὺς ὑπὸ τὴν ὑπήκοον τῆς βασιλείας μου πᾶσαν γῆν ἀρχιερεῖς πεφωτισμένους εἶναι θέλουσα, καὶ ἐν τῷ σκότει τοῦ βίου τούτου παμφαέστατα διὰ τῆς ἀρετῆς αὐτῶν φαίνειν βουλομένη, (ὡς ἀπὸ μιᾶς γάρ τινος

---

(1) ὅρα Μελέτην Βαλσαμῶνος περὶ τῶν πατριαρχικῶν προνομίων. Τόμ. Δ'. σελ. 512. — (2) Ματθ. Ε', 14. — (3) Ἰω. Α', 5.

φυρανομήκους κλίμακος τῶν ὑπηρετῶν τοῦ Λόγου καὶ μαθητῶν τὸ μέγα τῆς ἀρχιερωσύνης χρῆμα καὶ πρᾶγμα καὶ ἐς αὐτοὺς καταβέβηκεν), εἰκότως καὶ φῶς τοῦ ἱερωτάτου αὐτοῦ μητροπολίτου Κυζίκου προπορεύεσθαι κέκρικε, καὶ τὰ ἄλλα δὲ ἐπίσημα αὐτῷ ἐδωρήσατο διὰ τῆς παρούσης αὐτῆς προστάξεως· ἥτις καὶ γεγονυῖα ἐπεδόθη αὐτῷ, ὀφείλουσα ἐπιγνωσθῆναι καὶ τοῖς τοῦ ἱεροῦ χαρτοφύλακος χαρτίοις τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας.

Εἶχε τὸ, μηνὶ, καὶ Ἰνδικτιῶνος, δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρός.

ΑΔΗΛΟΥ ΒΑΣΙΛΕΩΣ.

ιδ΄. ΟΡΙΣΜΟΣ ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΒΑΣΙΛΕΩΣ (1)

ὃν ἐποίησε διὰ τὸ θεοβάδιστον ὄρος τὸ Σίναιον.

Εἰ δὲ καὶ ἀνδράσι (2) τῶν περιδεξίως εἰς ὑπηρεσίαν τῆς βασιλείας ἐχόντων, κατὰ στρατηγῆσαι, ἢ πόλεων διοικήσεις ἐγχειρισθῆναι, ἢ λαοὺς ὁδηγῆσαι, ἢ καὶ ἄλλ' ἄττα τοιαῦτα πράττειν δεομένοις, τῷ κράτει τῆς τῶν Ῥωμαίων ἀρχῆς φαινόμενα χρήσιμα, τιμὴν ἐπιμετρεῖν τὴν προσήκουσαν ὅσοι εὐγνωμόνως εἰσηγοῦνται, δίκαιοι ἂν εἶεν τὰ τῆς ὑποθήκης τούτων βλέπειν τὸ πέρας ἐπιδεχόμενα· ἀνδράσι σεμνοῖς καὶ βίῳ, καὶ τρόπῳ, καὶ Θεῷ πλησιάζουσιν, οὐχ ὅσα τῶν εἰς τὰ ἐκτὸς συντεινόντων, ἀλλὰ κρείττω καὶ εἰς ψυχὴν αὐτὴν παραπέμποντα τὴν ὠφέλειαν, μᾶλλον δὲ καὶ ταῦτο κἀκεῖνο περιποιούμενα τούτοις, ἐκ τῆς ἄνωθεν δεξιᾶς προβαλλομένοις τοῖς αὐτοκράτορσι, πῶς οὐκ ἂν εἴη τῶν καθηκόντων ἐπικλινὲς ὠτίον βραβεύειν, καὶ εἰς τὸ τέλος ἄγειν ἅπερ αἰτήσαιντο; Εἰ δὲ καὶ ἄλλως τῇ δεήσει τιμᾶται τὸ εὔλογον, οὐχ ὅπως διὰ τὴν τούτων παράκλησιν, ἀλλ' ἤδη καὶ καθ' αὐτὸ τὸ πρᾶγμα ἀξίως ἔχει γενέσθαι, τηνικαῦτα καὶ μᾶλλον ταῖς αἰτήσεσι τούτων ἐπινευτέον τοὺς ἄνακτας, καὶ παρεκτέον ἅπερ ἐθέλοιεν, ἵν' εἶεν οὐ μόνον αὐ-

(1) Ἐν τῷ Χειρογράφῳ Γ., ὅθεν ἐλήφθη ὁ μέχρι τοῦδε ἀνέκδοτος οὗτος ὁρισμὸς, προστίθεται ἐνταῦθα τὸ, Ἰουστινιανοῦ, κατὰ γραφικὴν πιθανῶς παραφθορὰν τοῦ ὀνόματος, Κομνηνοῦ· ἀλλ' ὁ ὁρισμὸς οὗτος ἀνάγεται εἴτε εἰς βασιλέα τινὰ τοῦ τῶν Κομνηνῶν γένους, εἴτε εἴς τινα τοῦ τῶν Παλαιολόγων, τῶν ἀεὶ καὶ τοῦτο τὸ ἐπώνυμον προσλαμβανόντων· τὸ γὰρ δι' αὐτοῦ ἀπονεμόμενον τῷ Σιναίου ἀξίωμα τοῦ ὑπερτίμου οὐκ ἦν ἐν χρήσει ἐπὶ τοῦ Ἰουστινιανοῦ· ἀναφαίνεται δὲ ἰδίως ἐπὶ τῶν Κομνηνῶν ἡ ἐπὶ τῶν τοῦ κλήρου χρῆσις αὐτοῦ. — Βλέπε καὶ σελ. 111 τοῦ παρόντος Τόμου. — (2) Ἡ καθ' ἡμετέραν εἰκασίαν ἐπιδιορθωθεῖσα ἀρχὴ τοῦ ὁρισμοῦ τούτου ἀναγινώσκεται ἐν Χειρ. Γ. οὕτως· Εἰ δὲ καὶ ἀνδράσι τῶν περιδεξίοις εἰς ὑπηρετῶν βασιλείας ἀρχόντων καταστρατηγῆσαι, [ὀρεγομένων, ἐν περισσ.] ἢ πόλεων διοικήσεις ἐγχειρισθῆναι, ἢ λαοὺς ὁδηγῆσαι, ἢ ἄλλ' ἄττα τοιαῦτα πράττειν δεομένοις, τῷ κράτει τῆς τῶν Ῥωμαίων ἀρχῆς φαινόμενα χρήσιμα, τιμὴν ἐπιμετρεῖ τὴν προσήκουσαν· [τῶν δ' ὑπηκόων, ἐν περισσ.] ὅσοι εὐγνώμονες εἰσηγούμενοι, δίκαιοι ἂν εἶεν κτλ.

τοῖς, ἀλλὰ καὶ τῷ δικαίῳ κατὰ τὸ εἰκὸς χαριζόμενοι. Τοῦτο καὶ ἄρτι τῇ βασιλείᾳ μου πάρεστιν ἰδεῖν ἐκτελούμενον, δωρουμένῃ τοῖς ἐν τῷ ὄρει Σινᾷ τιμὴν τὴν ὑπέρτιμον· τοῦτο μὲν δι' ἱκετείαν, ἣν ἐποιήσατο πρός με ὁ Πτολεμαΐδος μητροπολίτης, ὁ ἱερώτατος, καὶ ὑπέρτιμος· οὐ γὰρ ἔκρινα ὅλως ἄξιον μὴ πειθηνίους τούτῳ δοῦναι τὰς ἀκοάς, εὔλογα αἰτουμένῳ, καὶ ἃ μὴ τετελεσμένα τῷ δικαίῳ τὴν ζημίαν προεξένησε· τοῦτο δέ, καὶ τὸ ἄλλως ἡγεῖσθαι τὸ τοιοῦτον ὄρος αἰδέσιμον, καὶ τιμῆς ἁπάσης ἐπαπολαύειν δίκαιον ὄν, καὶ νομίζειν μᾶλλον τιμᾶσθαι τὴν βασιλείαν μου ἐκ τῆς πρὸς τοῦτο τιμῆς, ἐπεὶ καὶ δοξάζειν οἶδε Θεὸς τοὺς τοῦτον δοξάζοντας· ὄρος γὰρ τοῦτο ὑπερηρμένον τῶν καθ' ἡμᾶς, ὄρος θεῖον, κατὰ τὸν Ἀββακοὺμ, δασὺ καὶ κατάσκιον ταῖς τῶν ἀρετῶν ἐργασίαις, καὶ ἀρεταῖς παντοίαις κατάκοσμον· εἰ δὲ καὶ ἁγιάσματος τόπον καλέσαι τις βούλεται, καὶ οἶκον τοῦ θείου Ἰακὼβ, προσφυὲς μὲν τὸ πρᾶγμα, καὶ τῆς ἀληθείας ἄκρως ἐχόμενον· κἂν τις θεωρείη τρανώτερον, πλήρης ὁ θεῖος οἶκος οὗτος δόξης πολλῆς· πλὴν ἔσται κἀν τοῖς ἐσχάτοις τούτοις καιροῖς μέρος δόξης ἀπονενεμημένον τούτῳ παρὰ τῆς βασιλείας μου· οὕτω καὶ ἣν εἶχε πάλαι ἴδοι τις ἂν ἐπὶ τὸ μεῖζον κατὰ τὸν Προφήτην προκόπτουσαν. Ταῦτα τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα βούλεται· τιμᾷ γὰρ ἡ βασιλεία μου τὸν κατὰ καιροὺς τῶν ἐν τῷ Σινᾷ προστησόμενον τῶν ὑπερτίμων τῷ ἀξιώματι, καὶ διορίζεται συναριθμεῖσθαι τρίτος τοῖς οὕτω τετιμημένοις ἐν ἅπασι, καὶ συντιμᾶσθαι ἐν ταῖς προόδοις, καθέδραις, στάσεσί τε, καὶ συνελεύσεσιν· ἀμφιέννυσθαι δὲ καὶ ἄμφια, ὁποῖα καὶ τῶν ἀρχιερέων ὁπόσοι τὴν τοιαύτην τιμὴν ἐκ τῶν ἔκαθεν χρόνων καὶ νῦν ἀπέλαβον, τἄλλα τε πάντα, ὅσα τούτοις, καὶ τούτῳ προσέσται, κατὰ μηδὲν ἐλαττούμενα· ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου κατὰ μῆνα Ἰούλιον, ἰνδικτιῶνος ιδ'. Εἶχε δὲ καὶ διὰ ἐρυθρῶν γραμμάτων τῆς θείας καὶ βασιλικῆς χειρός.

ΑΝΔΡΟΝΙΚΟΥ (1).

ΧΡΥΣΟΒΟΥΛΛΟΝ ΠΑΡΑ ΤΟΥ ΓΑΛΗΝΟΤΑΤΟΥ

Ἐν βασιλεῦσι καὶ ἀηττήτου Ἀνδρονίκου, αὐτοκράτορος Ῥωμαίων, πρὸς τὸν ἁγιώτατον Μητροπολίτην Μονεμβασίας, καὶ τοὺς αὐτοῦ διαδόχους (2).

Κἂν εἰ μήπω πρότερον ἔφθη πλεῖστα δὴ παραπλήσια γενέσθαι βασιλεῦσί τε καὶ ἄλλοις, καὶ οὐχ ἧττον ἡμῖν, καὶ νομισθῆναι τοῦ λοιποῦ γίγνεσθαι, ἴσως ἂν ἴσως ἥ γε νῦν αὕτη παροῦσά τε καὶ προτεθειμένη τῇ βασιλείᾳ μου πρᾶξις ἐφεῦρε τὸν τοιούτου καλοῦ τύπον· ἀμέλει καὶ ἐφ' ἑαυτῇ κείμενον ἄν, μᾶλλον ἐρεῖν, δι' ἑαυτὴν ἐκαίνισε πάντως, ἀρχὴν οὕτω λαβόντα καλλίστην, πρὸς τὸν ἑξῆς ἔπειτα χρόνον ἐνεργῆ δείκνυσθαι· οὕτω πολὺ πάντοθεν ἔχει τὸ πεῖθον αὕτη καὶ καταναγκάζειν εὔλογον. Τὸ γὰρ δὴ κατὰ τὴν Πελοπόννησον περιώνυμον ἄστυ Μονεμβασίας ἔστι μὲν ὡς ἀληθῶς τῶν κατ' αὐτὴν δὴ πάντων μακρῷ προέχον, καὶ τὰ πρῶτα δὴ σαφῶς ἁπάντων φερόμενον, ὡς μηδένα μηδενὶ τῶν ταύτῃ γε ἄλλων λείπεσθαι ξυγχωροῦν· νέον μὲν ἐπιεικῶς ὄνομα καὶ κλέος, καὶ οὐ πόρρωθεν τῶν ὄπισθεν χρόνων ἧκον, μυρίας δὲ ὅμως καὶ παμμήκεις τὰς εὐφημίας, καὶ πανταχοῦ πομπεῦον, ὡς εἴ τι καὶ ἄλλο τῶν ἐπιφανῶν καὶ περιδόξων ἀκούειν, οὐκ ἐπὶ μόνης τῆς βασιλικῆς ἡγεμονίας τῆς

(1) Ἀνδρόνικος ὁ γέρων ὁ Παλαιολόγος ἐβασίλευσεν ἀπὸ τοῦ ἔτους 1268 μετὰ τοῦ πατρὸς αὐτοῦ Μιχαὴλ τοῦ Παλαιολόγου, μετὰ δὲ τὸν θάνατον τοῦ πατρὸς αὐτοῦ, ἀπὸ τοῦ ἔτους 1282, μέχρι τοῦ ἔτους 1328. — Τὸ παρὸν χρυσόβουλλον μνημονευόμενον ὑπὸ τοῦ Φραντζῆ Βιβλ. Δ', κεφ. ιϛ', καὶ κατὰ λάθος ἀποδιδόμενον ὑπὸ τοῦ Κ. Μορτρειλίου (Τόμ. 3, σελ. 190) Ἀνδρονίκῳ τῷ νέῳ, ἐκδίδεται πρῶτον ἤδη ἐκ τοῦ ἐν τῇ Ἐθνικῇ Βιβλιοθήκῃ Ἀθηνῶν σωζομένου πρωτοτύπου αὐτοῦ. Σημείωσαι ὅτι ἡ ἐν τῷ κειμένῳ τοῦ Χρυσοβούλλου ἀπαντωμένη λέξις λόγος, μετὰ τὸ, Χρυσόβουλλος, γέγραπται δι' ἐρυθρῶν γραμμάτων, ὡς καὶ ἐν τῇ χρονολογίᾳ αἱ λέξεις, ἰουνίου, τὸ τέλος τῆς λέξεως ἐνισταμένης καὶ τὸ, ἕκτης (Ἰνδικτιῶνος,) καὶ ἡ βασιλικὴ ὑπογραφή. Ἡ δὲ ἄλλοτε ἀπῃωρημένη σφραγὶς οὐ σώζεται. — (2) Ἡ ἐπιγραφὴ αὕτη εὕρηται ἐν τῷ Βορβωνείῳ Κώδικι, φύλλ. 62—65, ὡς μαρτυρεῖ ὁ Κ. Mortreuil, du Droit Byzantin, Τόμ. 3, σελ. 190. Ἴσως δι' αὐτοῦ ἀποκαταστῶσί ποτε τὰ ἐν τῷ πρωτοτύπῳ ἐξίτηλα χωρία

ἡμετέρας, ἀλλὰ καὶ σχεδὸν τῆς ἀλλοτρίας ἁπάσης. Καὶ γὰρ δὴ τά τε ἄλλα κοσμεῖ τὸ ἄστυ, καὶ θέσεως εὐκαιρία, καὶ πρὸς ἀσφάλειαν ἐρυμνότης, καὶ πλῆθος μάλιστα οἰκητόρων καὶ πολυολβία, καὶ πολιτείας εὐγένεια, καὶ τεχνῶν ἀσκήσεις, καὶ ἀγορᾶς δαψίλεια πάντων πᾶσα· εὐεμπορώτατόν τε, εἰ δή τι καὶ ἄλλο, μάλιστα, πρὸς ἅπαντα πλοῦν καὶ θαλάσσης ἅπαντα μέρη θέσεως εὖ ἔχον. Καὶ τοίνυν πολὺ τὸ τῶν οἰκούντων ἐνταῦθα ἱκανόπλοον καὶ θαλαττουργὸν, ῥωμαλαιότης τε, καὶ φρόνημα δραστικόν τε καὶ ἔμπρακτον, καὶ, τὸ κάλλιστον τῶν ἄλλων μάλιστα, ἡ πρὸς τὴν βασιλείαν μου ἐνεργός τε καὶ ἄτρεπτος παντάπασιν εὔνοια, καὶ ἡ πρὸς τὸ γένος ἀναφορά τε καὶ κοινωνία πάντων ἀνάλωτος καιρῶν τε καὶ πραγμάτων, εὖ τε καὶ ἄλλως ἐχόντων, ἐν πολλοῖς ἤδη τῶν προλαβόντων χρόνων τὴν πεῖραν δοῦσα, καὶ τὸ πιστὸν καθάπερ ἄλλοτε ἐγνωσμένη. Καὶ τὰ μὲν τοῦ ἄστεος, ὡς ἐν ὀλίγοις, οὕτω, φεύγοντι τῷ λόγῳ τὸ μῆκος. Ξυλλαγχάνει (1) δ' ἔτι καὶ τοῦτο νῦν εἶναι θαυμάσιον οἷον, ὅτι τῆς κατ' αὐτὸ πάντως ἁγιωτάτης Ἐκκλησίας προέστη ἀρτίως πάντων ἄριστος, πολὺς τοῖς κατὰ Θεὸν ἐκ νέου πάνυ τοι καὶ ἐς γῆρας ἠδ * (2) τοῦτο νῦν ἤδη καμάτοις ἐγκαρτερήσας, καὶ κατακεκοσμημένος εἰς ἄκρον τῆς μακαρίας *αὐτῆς βιοτῆς, ἀτρέπτως ἐς τοσοῦτον τῆς ἐξ ἀρχῆς ἐνστάσεως, καὶ παντάπασιν ἀνενδότως, καὶ ὥσπερ εἴ τις νέος θερμῶς ἅπτοιτο, καὶ μὴ παρὰ* καὶ μὴν πλεῖστον ὅσον ὑπὸ τῆς οὕτω χρονίου καὶ πολυετοῦς καὶ βιαίου σφόδρα τε * βιώσεως καὶ σωματικῆς δαπανήσεως, καὶ πρὸς* (3) καὶ σφόδρα ἐκτετηγμένος οὐ τῷ γήρᾳ μᾶλλον, ἢ τοῖς γε τοιούτοις πόνοις, ἔτι θαυμαστῶς ἐμμένει, καὶ διακαρτερεῖ τὴν ἐξ ἀρχῆς ἀκλινῆ γνώμην, καὶ ὥσπερ νῦν μᾶλλον ἐπειγόμενος καὶ σπουδάζων δῆλός ἐστιν, ἀλλ' οὐχ ὡς ἂν ἤδη τοσοῦτο προλαβὼν καταστῆναι ἤδη πως ἀσφαλεῖ ἐν λιμένι καὶ γαλήνῃ· ἀμέλει καὶ τῆς περὶ τὸ ἀγαθὸν τοσαύτης ἕξεως, καὶ σφόδρα ὑπ' ἀμφοῖν, τοῦ τε πανσέμνου τοῦδε γήρως, ὡς εἴρηται, καὶ τῶν τοσούτων καμάτων, καὶ ἀσκητι-

(1) Ἡ λέξις αὕτη δυσανάγνωστος ἐν τῷ Χειρογράφῳ. — (2) τὰ λοιπὰ δυσανάγνωστα ἐν τῷ Χειρογράφῳ. — (3) δυσανάγνωστα.

κῶν ἱδρώτων τὸ σῶμα κατακαμπτόμενος, οὐκ ἔπειθ' ὅμως κάμπτεται(1) τὴν καλλίστην ταύτην γνώμην, οὐδὲ χαλᾷ κατὰ βραχὺ καὶ τῶν τόνων οὐκ ἐνδίδωσιν, οὐδὲ νικᾶται τὸ φρόνημα· ἀλλὰ τὸ μὲν σῶμα ἥττηται ἤδη, καὶ νῶτα δίδωσί τε, καὶ τρέπεται ἐπὶ τοσούτων τῶν προλαβόντων καὶ πόνων, καὶ χρόνων, ὁ λογισμὸς δὲ ἀήττητος, κόρον οὐκ ἔχειν οὐδέ πω τῶν καλῶν ἀξιοῖ, οἷα δὴ ἐπὶ πάντων γίγνεται, καὶ μόνον τὸν ἐπὶ τούτοις ἔρον ἀδαπάνητόν τε καὶ παντάπασιν ἀκάμπτόν τε καὶ ἀνεπίστροφον οἴεται δεῖν εἶναι. Ταῦτ' ἄρα, καὶ τοσαύτην καὶ ἐπὶ τοσούτοις ἤδη τοῖς ἔτεσι συλλεξάμενος τὴν πνευματικὴν, ὡς ἔφην, κατάστασιν, καὶ προειληφὼς οὕτω πάνυ τοι πόῤῥω καὶ καταπεράνας εὖ μάλα τελεσιουργὸν τοῦ βίου τὴν πρόθεσιν ἀσφαλῶς τε καὶ γενικῶς, ὡς καὶ τοῦ βίου τοῦδε, καὶ τῆς ὑψηλῆς ταυτησὶ παιδείας παράδειγμα καὶ τύπος ἔμψυχος περιπολεῖν, ὡς ἀληθῶς δὲ καὶ εἶναι, καὶ τοῖς πολλοῖς ὑπειλῆφθαι οὐκ ἀγαπᾷ τοῦ λοιποῦ· ὁ δὲ διὰ παντὸς ἐν τοῖς αὐτοῖς ἔχει, καὶ ὥσπερ οἱ πλείους καὶ βελτίους μὲν οὖν τῶν εἰσαγωγῇ χρωμένων, νῦν εἶναι δὴ καὶ χθὲς καὶ πρότριτα καὶ αὐτὸς ἀεὶ παρασκευάζεται, καὶ ἔοικεν ὥσπερ ἀγωνιζομένῳ, καὶ δεδιότι, καὶ προσδραμεῖν σπουδάζοντι, καταγυμναζόμενος τὸν ἅπαντα χρόνον, καὶ κατατρύχων ἀπέραντα κάμνων τὸ σῶμα πόνοις ἀνενδότοις, ἀσιτίαις τε, καὶ ἀγρυπνίαις, καὶ στάσεσι συντόνοις, καὶ τίνι τῶν εἰθισμένων καὶ καλλίστων ἀγώνων οὔ; Καὶ νομίμως, μᾶλλον δὲ, καὶ πλέον ἢ τέως νομίζεται τοῖς καλῶς ἠργμένοις, καὶ περὶ τὸν πνευματικὸν δρόμον ἀκμάζουσιν, αὐτὸς ἔτι πω καὶ νῦν ἐπὶ τοσούτων τῶν ἐτῶν κατατεινόμενος. Καὶ μὴν καὶ τ' ἄλλα κατὰ τὸ ἦθος ἅπαντα τοῦ θαυμασίου τοῦδε ποιμένος ἀναλογεῖ τε καὶ συμβαίνει πρός ταῦτά τε καὶ πρὸς ἄλληλα, οἷον ἡ τῆς ἀγάπης πρὸς ἅπαντας ἐλευθεριότης, τὸ ἀόργητον θαυμάσιον οἷον, τὸ φίλοικτον, ἡ τῆς ψυχῆς γαλήνη, τὸ μήτε λογισμοῖς, μήτε λόγοις μήτ' οἴεσθαι, μήτε λέγειν περὶ ὁτιοῦν φλαῦρον οὐδὲν, ἀλλὰ περὶ πάντων καὶ βούλεσθαι, καὶ δοκεῖν, καὶ λέγειν πάντ' ἀγαθὰ, ἐκ τῶν οἴκοι

(1) κάμπεται, ἐν τῷ Χειρογράφῳ.

θησαυρῶν αὐτοῦ τὸ πιστὸν ἔχοντα. Καὶ τ' ἄλλα μὲν, καθόλου συνελεῖν, ἅπαντα, ὧν μεγίστης ὄντως Ἐκκλησίας καὶ πολυθρέμμονος ἀρχιερεῖ καὶ ποιμένι δεῖ, καὶ ἔστιν ἐργωδέστατον ὁμοῦ καὶ σφόδρα σπάνιον ἐνὶ ξυλλαχεῖν, ὥσπερ ἐπ' αὐτῷ δὴ προδήλως, περὶ οὗ νῦν ὁ λόγος ἐστίν· καὶ μηκύνειν, ὡς ἔοικεν, οὐ δεῖ περαιτέρω, πλὴν ὅπερ ἄνωθεν ὁ λόγος ξυνεωραμένος ἀπεφήνατο. Τοσαῦτα δὴ τά τε τοῦ ἀνδρὸς κατὰ Θεὸν εὐδοκιμήματα, καὶ τὸ τῆς πολιτείας καὶ τοῦ βίου περιφανὲς καὶ ὑπερηρμένον, καὶ σχεδὸν ἀπαράμιλλον· καὶ τοῦγε τῆς ὑπ' αὐτὸν Ἐκκλησίας ἄστερος αὖθις τὰ προσόντα, παντοῖα καλά· ὥςε κἂν μόνα δῆτα ἴσως κινῆσαι ταῦτα τὴν βασιλείαν μου, πρὸς τὸ μεταποιῆσαι καὶ προβιβάσαι τὴν τοιαύτην ὑπ' αὐτὸν ἁγιωτάτην Ἐκκλησίαν εἰς κρείττω τινὰ καὶ ὑψηλοτέραν κατάστασιν, καὶ ἀξίαν, καὶ βαθμὸν ὑπερκείμενον, κἂν μήπω πρότερον, ὡς εἴρηται, τοιαῦτα παραπλήσια καὶ γεγένητο, καὶ νενόμιστο γίγνεσθαι· καὶ ταῦτ' ἴσως, ἥπερ ἔφην, ἱκανῶς ἂν εἶχεν ἀφορμήν τε δοῦναι καὶ ὑποφῆναι τὸν ἐν τούτοις τύπον καὶ νόμον· ὃ δῆτα καὶ παραπλήσι' ἄττα ἴσως ἕτερα πρότερον, ὡς ἔοικε, καὶ εἴργασται, καὶ τὴν ἐν τούτοις ἀρχὴν δέδωκεν. Ἐπεὶ δὲ ὅ,τε περὶ τούτων βασίλειος νόμος(1) προλαβὼν, ὡς ἔφην, ἐπαίρει καὶ δίδωσι, καὶ αὐτὰ δὴ ταῦτα, ἅπερ εἴρηται, σφόδρα κινεῖ, σὺν Θεῷ δ' εἰρήσθω, καὶ τὸ τῆς ἡμετέρας βασιλείας φιλόκαλον τὸ πλεῖστον ἐν τούτῳ μάλιστα συναίρεται, καὶ ἡ περὶ τὰ κάλλιστα καὶ θεοφιλῆ τῶν ἔργων χάριτι τοῦ Θεοῦ καὶ προμήθεια ταύτης συνιδεῖν τὰ δέοντα καὶ βουλεῦσαι, καὶ προθυμία τε καὶ σπουδὴ μάλα ἐνεργὸν ἐκτελέσαι τε καὶ περᾶναι· ἐκ πάντων ἄρα τούτων, τὸ καινίσαι τι πρὸς τὸ κρεῖττον, καὶ προβιβάσαι τὰ τῆς ἁγιωτάτης Ἐκκλησίας Μονεμβασίας ἐδοκιμάσθη τῇ βασιλείᾳ μου. Καὶ τοίνυν, φθάνει μὲν ἤδη πρότερον προθεσπίσασα, καὶ βαθμόν τινα τῶν ὑψηλοτέρων ἔχειν ταύτην δὴ τὴν ἁγιωτάτην μητρόπολιν, καὶ τόπον τινὰ Ἐκκλησίας ἑτέρας καὶ τάξιν προσεσβεσμένης καὶ ὡσπερεὶ παρελθούσης· οὐ μὴν ἀλλὰ, καὶ μεγίστης ἐνορίας ἐξαρχίαν τε καὶ ἐπισκοπὴν

(1) Ζήτει Νεαρὰν Ἀλεξίου παρὰ Βαλσαμ. εἰς Καν. λή. τῆς ς'. Τόμ. Β', σελ. 397.

εὐλόγως διαταξαμένη τε καὶ προσηκόντως. Ἐπεὶ δὲ αὐτὰ δὴ ταῦτα καὶ χρυσοβούλλῳ βεβαιωθῆναι, καὶ τὸ πιστὸν λαβεῖν καὶ ἄτρεπτον ἐξητήσατο ὁ ἀνωτέρω εἰρημένος ἱερώτατος τῆς τοιαύτης Ἐκκλησίας ἀρχιερατικῶς προϊστάμενος, ἡ βασιλεία μου καὶ τὰ τῆς τοιαύτης αἰτήσεως προσεδέξατο, καὶ πρὸς πέρας ἀγαγεῖν ηὐδόκησε. Καὶ τοίνυν τὸν παρόντα χρυσόβουλλον ΛΟΓΟΝ αὐτῆς ἀπολύει, δι' οὗ καὶ βούλεται σὺν Θεῷ, καὶ εὐδοκεῖ, καὶ θεσπίζει, τόν τε, ὡς εἴρηται, νῦν προϊστάμενον ἀρχιερατικῶς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Μονεμβασίας, καὶ τοὺς καθεξῆς τὸν αὐτῆς διαδεξομένους θρόνον, ἐπαπολαύειν τῆς ἀνηκούσης τῷ τοῦ Σίδης θρόνῳ τιμῆς ἐν ἅπασι, καθέδραις τε δηλαδὴ, καὶ προελεύσεσί τε, καὶ στάσεσι, γραφαῖς τε, καὶ ὅλως τοῖς ἐθίμοις ἔργοις ἀρχιερατικοῖς, καὶ λειτουργήμασιν ἅπασι· φορεῖν δὲ καὶ σάκκον ἐν ταῖς θείαις ἱεροτελεστίαις, ὁμοίως δὲ καὶ διβάμπουλον (1), καὶ ἁπλῶς πάντα τὰ ἐκείνης προνόμιά τε καὶ δίκαια ἔχειν· ἔξαρχον τοῦτον μόνον εἶναί τε καὶ λέγεσθαι πάσης δὴ τῆς Πελοποννήσου τὸν τῆς τοιαύτης ἁγιωτάτης ἀρχιερατικῶς Ἐκκλησίας προϊστάμενον, καὶ τῆς ἐντεῦθεν τιμῆς ἀπολαύοντα, ᾗ δὴ καὶ τοῖς ἄλλοις εἴθισται τῶν ἱερωτάτων ἀρχιερέων, τοῖς ἠξιωμένοις διαφόρως ἐξαρχεύειν θεμάτων τε καὶ χωρῶν. Ὡσαύτως δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο θεσπίζει, καὶ παρακελεύεται, πάντας δηλαδὴ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ἔν τε φήμαις καὶ γραφαῖς, παναγιώτατον προσαγορεύειν, καὶ ὀνομάζεσθαι, αὐτὸν δὲ πάλιν ἐν τοῖς σημειώμασι καὶ γράμμασιν Ἰνδικτιῶνα ἐμφαίνειν πρὸς αὐτοὺς, καὶ πρὸς πᾶσαν τὴν αὐτοῦ ἐπαρχίαν ἀνθ' ἑτέρας ὑποσημάνσεως. Ἐπεὶ δὲ ἔφθασαν προστεθῆναι πρότερον τῇ τοιαύτῃ ἁγιωτάτῃ μητροπόλει καὶ ἐπισκοπαὶ αὗται, ἡ τῆς Κυνουρίας (2), ἡ τοῦ Ἕλους, ἡ τῆς Μαΐνης, ἡ τοῦ Ῥέοντος, καὶ ἡ τοῦ Ζεμενοῦ, προσβεβαιοῖ μὲν προηγουμένως καὶ προσεδράζει ταύτας αὐτῇ καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου ΛΟΓΟΥ αὐτῆς ἡ βασιλεία μου· καὶ θεσπίζει, καὶ διατάττεται καὶ εἰς τὸ ἑξῆς ὑπ' αὐτὴν εἶναι, καθὼς εὑρίσκονται μέχρι καὶ ἐς τὸ νῦν. Ἔτι μέντοι δι' αὐτοῦ δὴ τούτου τὸ φιλότιμον προσεπαύξουσά

(1) ὅρα Μελέτην Βαλσαμῶνος περὶ τῶν πατριαρχικῶν προνομίων Τόμ. Δ'. σελ. 542, ἰδίως 546. — (2) Κυθουρίας, ἐν τῷ χειρογράφῳ.

τε ταύτῃ καὶ προσεπιτείνουσα εὐδοκεῖ καὶ παρακελεύεται ὑπ' αὐτὴν εἶναι καὶ ἑτέρας ἐπισκοπὰς ταύτας· ἤγουν τὴν τῆς Κορώνης, τὴν τῆς Μεθώνης, καὶ τὴν τῆς Ἀνδρούσης, καὶ ὑποκεῖσθαι ὁμοίως καὶ ταύτας τῇ αὐτῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ τῆς Μονεμβασίας, ὡς καὶ τὰς ἄλλας, ὡς ἄρα μητροπόλει αὐτῶν, καὶ δέχεσθαι εἰς ἀρχιερεῖς ἑαυτῶν, οὓς ἂν ὁ ἐν τῇ εἰρημένῃ ἁγιωτάτῃ μητροπόλει εὑρισκόμενος ἀρχιερεὺς χειροτονῆσαι διακρίνοι καὶ ἐγκαταστῆσαι ἐπ' αὐταῖς.

Ἡ δὲ τῆς ἐπαρχίας ταύτης περίοδος, ὡς ἐν τύπῳ περιγραφικῷ, ἔχει οὕτω. Πρῶτον μὲν οὖν Ἐπίδαυρος ἀρχαία, ἡ καλουμένη Λιμηρά· μετὰ δὲ ταύτην, ἐπὶ ἑώαν προϊόντι, ὁ Ζάραξ· προελθόντι δὲ ἀπὸ Ζάρακος παρὰ τὴν θάλατταν πόλισμά τι (1) ἡ Κυπαρισσία· εἶτα ναὸς τοῦ Ἁγίου Λεωνίδου· μετὰ δὲ τὸ τοῦ ἁγίου θεῖον τέμενος, τὸ καλούμενον Ἄςρος· ἐπαναβάντι δὲ, κώμη ἡ καλουμένη Κας άνιτζα· μετὰ δὲ ταύτην (2) ἀπέρχεται καὶ εἰς ἑτέραν κώμην λεγόμενα Ζίντζινα· εἶτα εἰς ναὸν τῶν ἁγίων Ἀναργύρων· ἔπειτα εἰς τὰς Ἅλως τὰς ἀρχαίας, καὶ εἰς τὸ Ξηρὸν Φρέαρ, μεθ' ὃ κατέρχεται εἰς ναὸν τοῦ ἁγίου Εὐθυμίου· εἶθ' οὕτως εἰς τὴν σεβασμίαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ ἁγίου Γεωργίου, καὶ ἐπικεκλημένην τοῦ Λυκοβουνοῦ· ἀπὸ δὴ ταύτης τῆς σεβασμίας μονῆς διέρχεται διὰ τοῦ πεδίου, καὶ καταντᾷ εἰς τὴν ἀπέναντι θείαν μονὴν τῆς ὑπεραγίας Θεοτόκου, τὴν εἰς ὄνομα τιμωμένην καὶ αὐτὴν τῆς Ἐλεούσης, οὖσαν πλησίον τῆς κώμης τοῦ Ἀρκασᾶ· εἶτα ἀπέρχεται εἰς ἑτέραν κώμην ὀνομαζομένην [Σοχὰ] (3) πρὸς τοῖς ποσὶ τοῦ ὄρους τοῦ Ταϋγέτου· κἀκεῖθεν ἀνέρχεται εἰς τὴν τούτου κορυφὴν, ἔνθα ἦν καὶ εὐκτήριον τοῦ Προφήτου Ἠλιοῦ, ἐπικεκλημένον Πενταδάκτυλον· καὶ πάλιν κατέρχεται κατὰ δεξιὰν εἰς εὐκτήριον ἕτερον τοῦ αὐτοῦ Προφήτου Ἠλιοῦ, ὃ ἐπίκειται πρὸς τῷ τέλει τῆς κοιλάδος καὶ φάραγγος τῆς σκληρᾶς καὶ δυσβάτου, ἐν ᾧ καὶ ὕδωρ ῥεῖ· μετὰ δὲ τὸ εἰρημένον εὐκτήριον, αὖθις κατὰ δεξιὸν μέρος τῷ καταβαίνοντι, εἰσὶ ταῦτα τὰ λεχθησόμενα χωρία τε καὶ πολίσματα· Λυῤῥάχιον,

(1) ἐξ εἰκασίας ἐτέθη, καθὸ δυσαναγνώστου τοῦ πρώτου μέρους τῆς λέξεως. — (2) ἐξ εἰκασίας, ὡς δυσανάγνωστον. — (3) τὸ ὄνομα τοῦτο δυσανάγνωστον ἐν τῷ Χειρογράφῳ.

πόλις ἀρχαία οὕτω καλουμένη· μετὰ δὲ ταῦτα κατέρχεται εἰς τὸν σωρὸν τῆς ὀνομαζομένης γραός· εἶτα διέρχεται τῆς βασιλικῆς ὁδοῦ, καὶ καταντᾷ εἰς τοὺς Χοιρολάκκους· ἔπειτα ἀνέρχεται εἰς τὴν Βουλκάνην, καὶ διέρχεται εἰς τοῦ Βοῦ (1) τὴν λεγομένην Ὀπήν· εἶθ' οὕτως εἰς τὸ ὄρος τὸ Ὄρθιον, καὶ κατέρχεται εἰς τὴν Πύλον, τὸν καλούμενον Ἀβαρῖνον, ἐν ᾧ καὶ λιμὴν μέγας. Πάντα ταῦτα, καὶ ὅσα οἱ εἰρημένοι τόποι πρός γε τὰ νότια μέρη περικυκλοῦσι καὶ διορίζουσιν, οὗτός ἐστιν, ὡς εἴρηται, ὁ τῆς ἐπαρχίας περιοδικὸς τύπος, ὡς ἐν συνόψει, τῆς ἁγιωτάτης μητροπόλεως Μονεμβασίας, ἄνευ τῶν δύο ἐπισκοπῶν τῆς Κυνουρίας, καὶ τῆς Ζεμενᾶς. Πλὴν, εἰ καὶ ἀρτίως εὑρίσκονταί τινες τῶν εἰρημένων ἁγιωτάτων ἐπισκοπῶν εἰς τὸ μέρος τῶν Λατίνων, ἀλλ' οὖν καὶ νῦν, καὶ ὁπηνίκα Θεὸς εὐδοκήσῃ ἐπανελθεῖν καὶ ἀνασωθῆναι αὖθις ταύτας εἰς τὸ μέρος τῆς βασιλείας, ὑπὸ τὴν τοιαύτην ἔσονται ἁγιωτάτην μητρόπολιν Μονεμβασίας, ἐπ' ἀδείας τε ἕξει μετὰ τοῦ ἀνήκοντος ἀρχιερεῦσι δικαίου ὁ ταύτης δὴ προϊστάμενος χειροτονεῖν ἐπισκόπους ἐν αὐταῖς, ὡς καὶ ἐν ταῖς εἰρημέναις ἑτέραις ἐπισκοπαῖς. Οὕτω γὰρ δὴ περὶ τούτων καὶ δεδοκίμακεν ἡ βασιλεία μου, καὶ διὰ τῆς δεδομένης ταύτης χάριτι τοῦ Χριστοῦ περὶ τῶν τοιούτων ἐννόμου καὶ θείας ὄντως ἀδείας τε καὶ ἐξουσίας παρεκελεύσατο, προηγουμένως μὲν δηλαδὴ, ὡς εἴρηται, τὸν τόπον ἔχειν τῆς προεσβεσμένης καὶ πρὸ χρόνων ἀπολομένης Ἐκκλησίας Σίδης τὸν ταύτης δὴ τῆς ἁγιωτάτης μητροπόλεως Μονεμβασίας ἀρχιερατικῶς προϊστάμενον, καὶ τῆς τῷ τοιούτῳ θρόνῳ ἀνηκούσης, ὡς δεδήλωται, πάντη τε καὶ πάσης καὶ διὰ πάντων ἀπολαύειν τιμῆς· ἔτι γε μὴν καὶ ἐξαρχεύειν ἁπάσης τῆς Πελοποννήσου· πρὸς δ' ἄρα τούτῳ ἔχειν καὶ τὰς ἄλλας εὐεργεσίας, ὡς ἀνωτέρω εἴρηται, ὡσαύτως καὶ τὰς ὑπ' αὐτὸν διαληφθείσας ἐπισκοπὰς, ἅς τε δηλαδὴ πρότερον

(1) Ἀμφίβολος ἡ λέξις. — Μετὰ τὴν ἐκτύπωσιν τοῦ προηγουμένου φύλλου, ὑπεμνήσθημεν ὅτι τὸ Χρυσόβουλλον τοῦτο ἐξεδόθη ἐν τῷ Δ'. τόμῳ τῆς Νέας Πανδώρας (φυλλαδίῳ πέ. τοῦ ἔτους 1853) σελ. 338, ὅπου ἡ λέξις αὕτη ἀναγινώσκεται, τὸ βουνόν. — Σημειωτέον ἐνταῦθα, ὅτι ἀντὶ τῶν λέξεων, καὶ μεγίστης ἐνορίας ἐξαρχίαν τε καὶ ἐπισκοπὴν, τοῦ τελευταίου στίχου τῆς σελίδος 336, ἐν τῇ Νέᾳ Πανδώρᾳ ἀναγινώσκεται, καὶ μεγίστην ἐνορίαν, ἐξαρχίαν τε καὶ ἐπισκοπὰς, ὅπερ δοκεῖ ὀρθότερον.

ὑποτεταγμένας εἶχε, καὶ ἃς νῦν ἐπιλοίπους προσεκύρωσεν ἡ βασιλεία μου, καὶ κατ' ὄνομα καὶ περιγραφικῶς πᾶσαι δεδήλωνται. Εἰς γὰρ τὴν περὶ τούτων ἁπάντων βεβαίωσιν, ἀσφάλειάν τε, καὶ διαμονὴν ἄτρεπτον, ὥστε διὰ παντὸς *(1) αὐτῷ στέργειν, καὶ μὴ μετὰ βραχὺ μετατραπῆναι, καὶ μεταβολὴν ἡντιναοῦν ἐπ' αὐτοῖς συμβῆναι, καὶ ὁ παρὼν χρυσόβουλλος ΛΟΓΟΣ τῆς βασιλείας μου ἐπεβραβεύθη καὶ ἐπεχορηγήθη τῷ τε νῦν ἱερωτάτῳ μητροπολίτῃ τῆς τοιαύτης ἁγιωτάτης Ἐκκλησίας Μονεμβασίας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Πελοποννήσου, καὶ τὸν τόπον ἔχοντι τοῦ Σίδης, ἀλλὰ δὴ καὶ τοῖς μετ' αὐτὸν διαδεξομένοις τὸν αὐτὸν θρόνον. Ἀπολυθεὶς κατὰ μῆνα Ἰούνιον τῆς ἐνεςαΜΕΝΗΣ ΕΚΤΗΣ Ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοςοῦ ἔτους(2), ἐν ᾧ καὶ τὸ ἡμέτερον θεοσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† ΑΝΔΡΟΝΙΚΟΣ ΕΝ ΧΡΙΣΤῼ Τῼ ΘΕῼ ΠΙΣΤΟΣ ΒΑΣΙΛΕΥΣ ΚΑΙ ΑΥΤΟΚΡΑΤΩΡ ΡΩΜΑΙΩΝ ΔΟΥΚΑΣ ΑΓΓΕΛΟΣ ΚΟΜΝΗΝΟΣ Ο ΠΑΛΑΙΟΛΟΓΟΣ.

(1) χωρίον ἐξίτηλον ἐν τῷ χειρογράφῳ. — (2) μετὰ τὴν λέξιν ὀκτακοσιοστοῦ, ὑπάρχει κενὸν ἐν τῷ Χρυσοβούλλῳ, ἐξαλειφθείσης πιθανῶς τῆς λέξεως πρώτου. Σημειωτέον δὲ ὅτι ἡ ἕκτη Ἰνδικτιὼν συμπίπτει πρὸς τὸ ,ςωά ἔτος.

ἈΠΟΚΡΙΣΕΙΣ, ἘΠΙΣΤΟΛΑΙ,

ΨΗΦΟΙ, ἘΠΙΛΥΣΕΙΣ

ΚΑΙ ὙΠΟΜΝΗΜΑΤΑ

ΠΕΡΙ

ΔΙΑΦΟΡΩΝ ΚΑΝΟΝΙΚΩΝ ὙΠΟΘΕΣΕΩΝ.

ΕΥΣΤΑΘΙΟΥ (1).

ΕΥΣΤΑΘΙΟΥ ΠΑΤΡΙΚΙΟΥ ΤΟΥ ῬΩΜΑΙΟΥ

Ὑπόμνημα περὶ δύο ἐξαδέλφων λαβόντων δύο ἐξαδέλφας.

Ἐπεβαλετο μὲν Νικήτας ὁ τὴν ἐπωνυμίαν Βοθυρίτης, μεγάλης λύπης πρόξενος γενέσθαι τῷ Νικολάῳ, καὶ τῆς δικαίως αὐτῷ καὶ νομίμως συναφθείσης ἀποστερῆσαι τοῦτον γυναικὸς, καὶ ἀδίωτον αὐτῷ τὸν βίον εἰς τὰ ἑξῆς ἀπεργάσασθαι· τομὴ γὰρ σωμάτων κατὰ νόμον θεῖον εἰς ἓν συγκραθέντων, λίαν ὀδυνηρόν τε καὶ ἀπευκταῖον ἀνθρώποις νοῦν ἔχουσιν. Ἀντέστησαν δὲ νόμοι τῷ ἀναιδεῖ ἐγχειρήματι, ὥσπερ ὑπηρέταις ἡμῖν χρώμενοι, λογικαῖς ῥάβδοις τῶν ἐπηρεαστῶν τὴν ἄλογον ὁρμὴν ἀνείργουσιν. Ἀμίλλης οὖν προτεθείσης τοῖς ἀντιθέτοις, ἠκριβώθη τὰ τῆς συγγενείας τῶν συναφθέντων, καὶ τὰ αἴτια τῶν εἰσαγομένων κωλυμάτων ἀδρανῆ πρὸς τὴν τοῦ γάμου διάῤῥηξιν ἠλέγχθη, καὶ ἄτονα. Ἔχει δὲ ὧδε τὰ τῆς πλοκῆς.

Καλὴ τοὔνομα, καὶ Ἄννα, ἑτεροθαλεῖς ἀδελφαὶ δύο· τῇ μὲν υἱὸς, Κοσμᾶς· τῇ δὲ θυγάτριον, Εὐδοκία: συγγενείας μὲν αὕτη σχέσις μία. Ἑτέρα δ' ἄλλων, μὴ κατὰ γένος τούτοις τὸ πα-

---

(1) Εὐστάθιος ὁ Ῥωμαῖος, Πατρίκιος καὶ Μάγιστρος, διάσημος νομικὸς, ἤκμασεν ἐν Βυζαντίῳ περὶ τὸ τέλος τοῦ δεκάτου καὶ τὰς ἀρχὰς τοῦ ἑνδεκάτου αἰῶνος. Τὰ συγγράμματα τοῦ Εὐσταθίου ἀναφέρονται συνεχῶς ἔν τε τοῖς σχολίοις τῶν βασιλικῶν, καὶ ἐν ἄλλαις νομικαῖς συλλογαῖς, ἰδίως ἐν τῇ Ἑξαβίβλῳ τοῦ Ἀρμενοπούλου, τοῦ τὴν λύσιν οὐκ ὀλίγων νομικῶν ζητημάτων ἐκ τοῦ συγγράμματος τοῦ Εὐσταθίου, ἡ Πεῖρα, ἀρυομένου. Τούτῳ ἀποδίδοται καὶ ἡ περὶ ὑποβόλου ἀνέκδοτος πραγματεία, ὡς καὶ τὸ παρὸν ὑπόμνημα.

ράπαν προσηκόντων, τοιάδε, Μιτζὴ καὶ Ἄννα, ἀμφιθαλεῖς ἀδελφαὶ τυγχάνουσαι, γεννῶσιν Ἄννα μὲν Νικόλαον, Μιτζὴ δὲ Μαρίαν· καὶ συγγενείας ὄνομα τοῖς τούτων παισὶ, τὸ τῆς ἀνεψιότητος, ἤγουν ἐξαδελφότητος. Μνηστεύονται τοίνυν τῷ Κοσμᾷ τὴν Μαρίαν οἱ τούτου γονεῖς. Βραχὺ τὸ ἐν μέσῳ, καὶ τοῦ Κοσμᾶ θανόντος, λύεται ἡ μνηστεία. Εἶθ' αὖθις Νικόλαος, ὃν ὁ λόγος φθάσας τῆς Μαρίας ἐξάδελφον ἔδειξε, συνέρχεται νόμῳ γάμου Εὐδοκίᾳ τῇ τοῦ τελευτήσαντος ἐξαδέλφῃ Κοσμᾶ· καὶ τοῦτον τὸν γάμον διασπαράττειν αὐθαδῶς ὁ Νικήτας ἐπεχείρει, κατηγορῶν τοῦ Νικολάου, ὡς τὴν ἐξ ἑτεροθαλοῦς σειρᾶς ἐξαδέλφην τοῦ Κοσμᾶ γήμαντος, ὃς μνηστὴρ μόνον ὑπῆρξε τῆς Μαρίας, τῆς αὐτοῦ δὴ τοῦ Νικολάου ἐξαδέλφης· ὡς εἶναι τὸ κατηγόρημα, ὅτι δυοῖν ἐξαδέλφοιν πρὸς δύο ἐξαδέλφας ἑτεροθαλεῖς συνέλευσις γέγονε· καὶ ἡ μὲν ἐμνηστεύσατο, ὁ δὲ Νικόλαος τὴν Εὐδοκίαν ἐγήματο. Ἔστι τοίνυν τὸ τοιοῦτον συνοικέσιον κωλύματος παντὸς ἀνώτερον, μήτε νόμου, μήθ' ἱεροῦ κανόνος τὴν τοιαύτην ὑπὸ μέμψιν ἄγοντος συζυγίαν. Ὁ γὰρ ἐκφωνηθεὶς τόμος παρὰ Σισινίου τοῦ μακαρίτου πατριάρχου(1), δύο ἀδελφῶν γάμον πρὸς δύο πρώτας ἐξαδέλφας ἀποκηρύττει, καὶ δύο ἀδελφῶν, πρὸς θείαν καὶ ἀνεψιάν· παρὰ τοῦτο δὲ, οὐδὲν ἕτερον ἐκφωνεῖ. Τὸ γοῦν κωλυθὲν μόνον ἐκ τοῦ πολιτεύματος ἐλαύνειν δεῖ, ὡς ἄγος ἤδη τῷ κανονίσματι νομισθέν· τὸ δὲ μὴ περιεχόμενον τῷ κανόνι, ἐατέον ἀνεπηρέαστον. Φησὶ γὰρ ὁ νόμος· Ἐπὶ τῶν ἀνιόντων καὶ κατιόντων, εἰς ἀπέραντον ὁ γάμος κεκώλυται· ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ἔστι τις κώλυσις(2). Τὸ δὲ, τὶς, πρὸς τὸ ἀπέραντον ἀντιδιαστέλλεται, μερικὴν ἐπεισάγον τὴν κώλυσιν, ἐκτεινομένην ἄχρι προσώπων τινῶν ὡρισμένων τοῖς νόμοις καὶ τοῖς κανόσιν· ὥστε πάλαι τῶν ἀδελφῶν συναπτομένων ταῖς πρώταις ἐξαδέλφαις, τελέως ἀνεπιτίμητον ἦν τὸ γαμεῖν ἀδελφοὺς δύο, ἑτερογενεῖς δισεξαδέλφας δύο, καὶ ἐξαδέλφους δύο, ἐξαδέλφας δύο· οἷς γὰρ τὸ ἐγγύτερον πράττειν ἐξῆν, τούτοις τὸ μακρότερον ἀπεριέργαστον ἦν. Τοῦ δὲ δὴ κανόνος τὸ μὲν ἐγγίζον κωλύσαντος, τοῦ δὲ ποῤῥωτέρω μηδεμίαν μνήμην ποιησαμένου, τίς ἂν ὑγιαίνων τὸν νοῦν ἐνδοιά-

(1) Ζήτει αὐτὸν σελ. 11 τοῦ παρόντος Τόμου. — (2) ς', 8', Βασιλικ. ΚΗ', ἐν

τῆ περὶ τοῦ κεκωλυμένου; Οὐ γὰρ χάσμασι μεγάλοις διεστήκασιν αἱ τῶν ἐκ πλαγίου συγγένειαι, ἀλλ' ἑνὶ μόνῳ βαθμῷ τὸ κεκωλυμένον ἐκ τοῦ συγκεχωρημένου διαστέλλεται. Σκοπῶμεν δὲ οὕτω. Κωλύονται πρὸς γάμου συνέλευσιν, ὡς ὁ νόμος καὶ ὁ νεαρὸς κανών φασιν, ἀδελφοί, ἐξάδελφοι, καὶ οἱ ἐκ τούτων τικτόμενοι παῖδες καὶ μόνον. Τοῖς δὲ τρίτοις ἐξαδέλφοις ῥητῶς ὁ γάμος συγκεχώρηται. Καὶ ὁ νόμος, Ἡ γραφεῖσα, φησίν, ὑπὸ αἵρεσιν παρὰ τῆς μητρὸς κληρονόμος τὴν, ἐὰν τῷ τρισεξαδέλφῳ γαμηθῇ, πληρούτω πάντως τὴν αἵρεσιν· οὐ γὰρ αἰσχρός ἐστιν ὁ γάμος, εἰμὴ ἄρα ἐκεῖνος ἐμποδίζοι (1). Τίς οὖν ἡ διαφορά; Ἀπὸ πατρὸς τὸ ἐκ τῆς γονῆς αἷμα εἰς δύο σχισθὲν ἀδελφάς, εἶθ' ἑξῆς εἰς τοὺς τούτων παῖδας, πῶς οὐ πορρωτέρω πρόεισιν; Ἆρα φαίη τις ἂν τέλεον ἀπαμβλύνεσθαι τοῦτο καὶ λήγειν; Καὶ τίς ὁ λόγος; ἢ δῆλον, ὅτι νομοθέτου φωνὴ τὸν ὅρον ἐπήξατο. Ἔοικε γάρ, ὡς ἀπεσκόπευσεν ὁ σοφὸς πρὸς ἄλλα τε πολλὰ παραδείγματα, καὶ δὴ καὶ τὸ τῆς μαγνήτιδος λίθου· τὸ μὲν γὰρ πρώτως ψαῦον αὐτῆς σιδήριον, βεβαιότερον ἐγκρατεῖται· τὸ δὲ τούτου θίγον, ἧττον· καὶ τὰ ἐφεξῆς πρὸς αὐτὸ ἐκκρεμάμενα ἁλίσκεται μέν, ἀλλ' ἀκροθιγῶς καὶ χαλαρῶς, ἅτε τῆς ὁλκῆς οὐκέθ' ὁμοίως ἐφικέσθαι καὶ τῶν πόῤῥω δυναμένης, καὶ περισφίγγειν. Καὶ τοῖς τοιούτοις τῆς φύσεως καταστοχασάμενος, τὴν μὲν τῶν δισεξαδέλφων συγγένειαν, ἀνεπίδεκτον γάμου ὡρίσατο, τῷ δὲ τρίτῳ βαθμῷ τῆς ἐξαδελφότητος ἀφῆκε τὴν συνοίκησιν. Ὁ μὲν γὰρ δισεξάδελφος ἀκριβούμενος τὴν πρὸς τὸν δισεξάδελφον αὐτοῦ συγγένειαν, καὶ διάλειμμα μέσον εὑρίσκων, οὐκ ἔχον σύνδεσμον ὑπὸ τῶν νόμων, οὑτωσὶ διδάσκεται ἰχνηλατεῖν τὸ γένος. Δεῖ γὰρ ζητοῦντας ἡμᾶς συγγένειαν, μὴ εὐθὺς τρέχειν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιῆσαι τὴν ἀνάβασιν ἐπὶ τοὺς ἀνιόντας, μέχρις οὗ ἐπιστῶμεν ἐκείνῳ τῷ αἰτίῳ τῆς γεννήσεως τοῦ ἐκ πλαγίου· εἶτα τοῦτο εὑρόντας, κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον, καὶ οὕτω πάσας ἀριθμεῖν τὰς γεννήσεις. Εἰ γάρ τίς σε, φησίν, ἐρωτήσει· Ὁ ἀδελφός σου πόστου σοί ἐστι βαθμοῦ; λέγε, δευτέρου· διατί; Ἀνέρχου πρὸς

(1) λ'. Βασιλικ. ΛΕ', 12.

τὸν πατέρα· ἰδοὺ, μία γέννησις ἀπὸ τοῦ πατρὸς εἰς σὲ, ἕνα βαθμὸν ἀπετέλεσεν· εἶτα, ἐπειδὴ εὗρες τὸ αἴτιον τῆς γεννήσεως πρόσωπον, κάτελθε πρὸς τὸν ἀδελφὸν, προστιθεὶς ἐνταῦθα δευτέραν γέννησιν· ἰδοὺ, δύο γενήσεις, δύο βαθμοὺς ἀπετέλεσαν. Πάλιν, ἄν τις ἐρωτᾷ· Ὁ θεῖος πόστου ἐστὶ βαθμοῦ; λέγε, τρίτου· ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ τὸν πατέρα, καὶ λέγειν· Ἐμὲ ἐγέννησεν ὁ πατὴρ, τὸν πατέρα, ὁ πάππος· ἰδοὺ δύο γεννήσεις· ὁ αὐτὸς πάππος, τὸν ἐμὸν θεῖον· ἰδοὺ τρεῖς γεννήσεις ἀπετέλεσαν τρεῖς βαθμούς· ὥστε τρίτου μοί ἐστι βαθμοῦ ὁ θεῖος. Οὕτω καὶ ἐπὶ τῶν ἑξῆς τῷ αὐτῷ προσέχων κανόνι, δύναμαι καταλαβεῖν τοὺς βαθμοὺς, ὅτι τε καὶ οἱ ἐξάδελφοι τέταρτον ἔχουσι συγγενείας βαθμὸν, καὶ οἱ δισεξάδελφοι, ἕκτον, καὶ μαθεῖν ἀκριβῶς, ὡς μέχρι τούτου στῆναι δεῖν ᾠήθη ὁ νομοθέτης· τοῖς δὲ ἐκ τῶν δισεξαδέλφων γεννωμένοις δυσὶ προσώποις οὐκ ἀπείρηκε τὸν γάμον, εἰς ὄγδοον ἀπεξενωμένοις βαθμόν· ὃ δὴ συνιδὼν καὶ ὁ κανονίσας πατριάρχης, καὶ τὸν νόμον ὡς θεμέλιόν τε καὶ κρηπῖδα τῷ αὐτῷ κανονίσματι ἐπιστήσας, τοὺς τῶν ἀδελφῶν μόνους γάμους ἐξηκριβώσατο πρὸς πρώτας ἐξαδέλφας· τοῖς δὲ ἑξῆς οὐκ ἐπήγαγε βαθμοῖς μέμψιν. Καὶ γὰρ οὕτως ἔχει· Ὁ ἀδελφὸς δευτέρου βαθμοῦ τὸν ἀδελφὸν εἰδὼς, ἐξ ἀνάγκης καὶ τὴν αὐτοῦ γαμετὴν ἀδελφὴν ἡγήσεται, ἰσχναῖς ἐπινοίαις διὰ τὴν ἐντολὴν ἑνῶν τὴν φαινομένην τῶν σωμάτων διαίρεσιν, ἃ μήτε τοῖς αὐτοῖς ἀρκεῖται βρώμασιν, οὔθ' ὁμοίως διαπέπλασται, οὔτε χρόνους τοὺς αὐτοὺς ζῶσιν, οὔτε τοῖς αὐτοῖς ὡσεπίπαν στοιχοῦσι βουλεύμασιν· ἀλλὰ καὶ πολλάκις ῥᾷον διαιροῦνται ἤπερ ἑνοῦνται, ὁμοζυγεῖν ὁμαλῶς οὐχ ὑπομένοντες· καὶ τούτων μυρία τὰ παραδείγματα. Οὐκοῦν λεπτῶς συνάφειάν τινα καὶ συμπεριχώρησιν τῶν δύο ψυχῶν ἐπινοήσας, ἀδελφὴν αὐτοῦ ὁ σύγγονος ὑπολήψεται· ἀλλ' ἀδηγῷ τῷ νόμῳ χρώμενος, τὴν μὲν ἀδελφὴν αὐτῆς, ὡς δευτέρου μὲν βαθμοῦ πρὸς αὐτὴν, τετάρτου δὲ πρὸς αὐτὸν, καὶ τὴν θείαν, ὡς τρίτου μὲν βαθμοῦ πρὸς ἐκείνην, πρὸς αὐτὸν δὲ πέμπτου, καὶ τὴν ἐξαδέλφην τέταρτον τηροῦσαν βαθμὸν, πρὸς αὐτὸν δ' ἕκτον, φυγῇ φεύξεται, καὶ οὐ γαμήσει· τῇ δὲ δισεξαδέλφῃ ταύτης ἀσφαλῶς ἁρμοσθήσεται, ἀπὸ μὲν τῆς νύμφης δυσὶ διέχων βαθμοῖς, ἀπὸ δὲ τῆς δισεξαδέλφης αὐτῆς τῷ ὀγδόῳ βαθ-

μῷ, ὅστις βαθμὸς πρὸς γάμου κοινωνίαν ἀκώλυτος. Ὁ δ' αὐτὸς λόγος καὶ τῶν πρώτων ἐξαδέλφων τοὺς γάμους ἀκωλύτους παρίστησιν· ὁ γὰρ ἐξάδελφος τέταρτον ἐπέχων πρὸς τὸν ἐξάδελφον βαθμὸν, εἶτα τῆς γαμετῆς αὐτοῦ τὴν συγγένειαν πολυπραγμονῶν, καὶ τὴν ἐκείνης ἐξαδέλφην ὁμοίως εὑρίσκει τετάρτου βαθμοῦ· καὶ πάσας ἀριθμῶν πρὸς ἑαυτὸν τὰς γεννήσεις, ὀγδόῳ περιτυγχάνει βαθμῷ. Οὕτω καὶ νόμοις, καὶ τῷ ἱερῷ κανόνι, ἐπιτιμήσει τὰ τοιαῦτα τῶν συνοικεσίων οὐχ ὑποβάλλεται· καὶ οὕτως ἡ ἄνωθεν ἀναπλεκομένη τοῦ γένους σειρὰ, τῷ τετάρτῳ καὶ ἕκτῳ βαθμῷ λύεται πρὸς τὸν τῆς ἐξαδέλφης ἀνδράδελφον, ἢ ἐξάδελφον τοῦ ταύτης ἀνδρός· οὐδὲ γὰρ τῶν ἐνδεχομένων, ὥσπερ τὸν ἄνδρα, οὕτω δὴ καὶ τὸν τούτου ἀδελφὸν τυπῶσαι σάρκα μίαν μετὰ τῆς νύμφης, καὶ δι' ἐπινοίας συνάψαι, καὶ ταῦτα θέσθαι μωμητῶς κατὰ τὸ συναγόμενον. Εἰ γὰρ ὁ ἀδελφὸς δευτέρου ἐστὶ βαθμοῦ, πῶς οὐδενὸς ἀποστήσεται βαθμοῦ τῆς νύμφης ὁ διὰ μέσου τοῦ ἀδελφοῦ ταύτῃ προσοικειούμενος, ἀλλ' εἷς ἔσται μετ' αὐτῆς, καὶ ἀπ' αὐτῆς ἄρξεται τὴν συγγένειαν ἀριθμεῖν παρὰ τὴν τοῦ νόμου δύναμιν, ὅς φησιν, Οἱ ἐκ πλαγίου πρῶτον βαθμὸν οὐκ ἔχουσιν, ἀλλ' ἀπὸ δευτέρου ἄρχονται (1); Τὸ δ' αὐτὸ κἀπὶ τοῦ ἐξαδέλφου λέγειν ἀκόλουθον· ὁ γὰρ ἐξάδελφος τέσσαρσιν ἀποδιεστὼς βαθμοῖς τοῦ ἐξαδέλφου, τὴν αὐτὴν ἕξει καὶ πρὸς τὴν τοῦ ἐξαδέλφου γαμετὴν ἀπόστασιν, καὶ τὴν ἐξαδέλφην αὐτῆς, ὡς τετάρτου βαθμοῦ, ἀσφαλῶς ἄξεται, εἰς τὸν ὄγδοον ἀποκεχωρισμένην τόπον. Ἐπεὶ γὰρ τοῖς τῆς αὐτῆς γονῆς καὶ ῥίζης ἀλλήλοις κεκοινωνηκόσι προσώποις, ἤγουν τοῖς παισὶ τῶν δισεξαδέλφων διὰ τὸ ἀπεσχοινισμένον τοῦ ὀγδόου βαθμοῦ ὁ γάμος οὐκ ἀπηγόρευται, τίς ἂν ὀρθῶς εἴποι τὸν ἐξ ἀγχιστείας συγγενῆ, οἰκειότερον εἶναι τοῦ ἐξ αἵματος, καὶ πρὸς τοὺς πορρωτέρω ἀπελαύνεσθαι ὅρους; Οὐδεὶς οἶμαι νοῦν ἔχων. Ταῦτα δὲ καὶ ὁ πατριάρχης συνεπιλογισάμενος, μόνον τὸν τῶν ἀδελφῶν πρὸς τὰς πρώτας ἐξαδέλφας γάμον ῥητῶς ἐκφωνεῖ κωλύειν, τὰ ἑξῆς παριστῶν ἀκώλυτα εἶναι· καὶ γὰρ τὴν σύγχυσιν τῶν συγγενικῶν ὀνομάτων διεξιὼν φησι, τοὺς αὐτοὺς καὶ ἀδελφοὺς ὀνομάζεσθαι, καὶ συγγάμβρους· καὶ τοὺς ἐκ τούτων

(1) α, Βασιλικ. ΜΗ, 3.

φύντας, ἀπὸ μὲν τῶν πατέρων, πρώτους ἐξαδέλφους, ἀπὸ δὲ τῶν μητέρων, τρίτους· ἅπερ ὀνόματα, ἀδελφῶν συνερχομένων ἐξαδέλφαις πρώταις, ἀποτελεῖται. Ἐπὶ τούτοις καὶ δι' ἑτέρων σαφῶς ἀποφαίνεται, μηδὲν τούτου τοῦ βαθμοῦ πολυπραγμονεῖν· ἔλαττον γὰρ καὶ τελευταῖον ἁμάρτημα, τὴν ἀπηγορευμένην καλεῖ συνάφειαν, ἣν καὶ ἀποσκορακίζει, διὰ τὸ μὴ τολμᾶσθαι τὰ μείζονα· καὶ παραδείγματα τίθησι, τὴν ἐπιθυμίαν μὲν ἀσφαλίζεσθαι, διὰ τοὺς οἰστρηλατουμένους πρὸς ἀκρατεῖς μίξεις καὶ ἀῤῥητοποιΐας, καὶ τἄλλα, ὅσα γεννᾷν οἶδεν ἐπιθυμία· τὸν δὲ θυμόν, διὰ τὰ ἐντεῦθεν φυόμενα μυρία κακά, καὶ τὰς μιαιφονίας· καί φησιν· Οἱ τοίνυν δύο ἐξαδέλφας ἀγόμενοι ἀδελφοί, ἅπαξ τῷ μεγίστῳ περιπαρέντες κακῷ, καὶ πρὸς τὰ μείζονα τῶν ἀτοπημάτων ἑτοίμως χωρήσουσι· τῆς δὲ ἐλάττονος ἁμαρτίας ἐκκοπτομένης, φειδώ τις τῶν μειζόνων ἔσται· ὥστε ὁ τῶν ἀδελφῶν γάμος πρὸς τὰς πρώτας ἐξαδέλφας, διὰ τὰς ἐγγυτέρας συγγενείας, ἀλλ' οὐ διὰ τὰς μακροτέρας κεκώλυται· ἔλαττον γὰρ ἁμάρτημα τοῦτο δέδοκται τῷ κανόνι εἰς τοὺς ἐξ ἀγχιστείας γάμους· τοῦ δὲ ἐλάττονος πῶς ἂν ἔλαττον ἐπιζητήσωμεν; Ἀσυλλόγιστον τοῦτο, καὶ πάσης ἀλλότριον διαιρέσεως, καὶ τῷ κανόνι μαχόμενον· ὃς γὰρ τοῦ ἧττονος μακρὰν σοβεῖται, συναπεσόβηται καὶ τοῦ μείζονος· ᾧ δὲ τὸ μεῖζον οὐκ ἔξεστι, τούτῳ πάντως οὐδὲ τὸ ἧττον. Ταῦτα δ' ἡμῖν οὐκ ἐκ τῆς διαλεκτικῆς εἴληπται, ἀλλ' ἐκ τῆς ἀληθοῦς καὶ ἀπαραλογίστου νομικῆς· ᾧ γάρ, φησι, τὸ μεῖζον ἔξεστι, καὶ τὸ ἧττον ἔξεστιν (1)· ὡς τῆς ἀντιστροφῆς δήλης, ὅτι ᾧ τὸ ἧττον ἔξεστι, τούτῳ καὶ τὸ μεῖζον οὐ πάντως. Οὕτως ἡμῖν ἀπὸ τῶν νόμων τὰ λήμματα κεχορήγηται, οὐδὲν κομψὸν ἢ γλαφυρὸν περὶ τὸν λόγον ἐπιτηδεύουσιν εἰς ἀκοῆς καταγοήτευσιν, ἀλλὰ τούτου μόνον φροντίζουσιν, ὅπως ἀπεριέργως ὁ λόγος ῥέων, διδασκαλικώτερον τὰ τῆς τέχνης ἀφηγῆται, καὶ μηδὲν τῶν σπουδαίων διαφύγῃ τὸν συνετὸν ἀκροατήν. Οὐ μὴν ἀλλ' οὐδὲ σύγχυσις ὀνομάτων συγγενικῶν ἐν τοῖς ἑξῆς βαθμοῖς ἐπὶ τῶν τικτομένων ἀναφαίνεται· καὶ τοῦτο παραστήσει μὲν ὁ λόγος σαφῶς ὑποβαίνων· ἀλλὰ μικρόν τι προσδια-

(1) κά. Βασιλικ. Β', 8. — (2) ά. 9. Βασιλικ. ΚΗ', 5.

λαβεῖν ἀναγκαῖον, καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἁρμοδιώτατον. Ἤρετό τις τὸν μέγαν Βασίλειον, εἰ ἐξὸν αὐτῷ τὴν ἀδελφὴν ἀγαγέσθαι τῆς γαμετῆς· ὁ δὲ δι' ἐπιστολῆς πάντοθεν τὸν τοιοῦτον γάμον ἀπελέγξας ἀθέμιτον, καὶ ὥσπερ ἐπιδαψιλευόμενος ταῖς ἀποδείξεσι, καὶ τὴν ἐντεῦθεν συμβαίνουσαν τῶν συγγενικῶν ὀνομάτων σύγχυσιν παριστῶν, οὕτω φησίν· Ἐκ ποίας συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; Ἀδελφοὺς αὐτῶν ἀλλήλων, ἢ ἀνεψιοὺς προσεροῦσιν; ἀμφότερα γὰρ αὐτοῖς ἁρμόσει διὰ τὴν σύγχυσιν(1). Ἦν δὲ οὐ μόνον ὁ τοιοῦτος γάμος καὶ ὑπὸ τῶν νόμων κεκωλυμένος, ἀλλὰ καὶ τὰ ἐλαφρότερα τούτου, διεξιόντων οὑτωσί· « Τὴν τοῦ πατρός μου, ἢ τοῦ ἀδελφοῦ μου » μνηστὴν, οὐ δύναμαι λαμβάνειν, κἂν γαμεταὶ αὐτῶν οὐ γεγό» νασιν· ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχουσιν(2). » Ὁρᾷν ὥρα, ὅσα τὰ βραχέα ταυτὶ συμπεριέλαβε ῥήματα. Εἰ γὰρ τῇ τοῦ ἀδελφοῦ μνηστῇ γάμῳ προσομιλεῖν οὐκ ἐνὸν, ὁ αὐτὸς κἀκείνῃ προσαρμόττει λόγος, ὅτι τῷ τοῦ μνηστῆρος αὐτῆς ἀδελφῷ γενέσθαι σὰρξ μία οὐ συγκεχώρηται· τουτέστιν, οὐ δύναται δυοῖν ἀδελφοῖν, τὸν μὲν ἐσχηκέναι μνηστῆρα, τὸν δὲ ἄνδρα· εἰ δὲ τοῦθ' οὕτως ἔχον ἐστὶν, εὔδηλον τὸ ἑξῆς· ὡς οὐθ' ὁ μνηστὴρ τῆς μνηστευθείσης αὐτῷ τὴν ἀδελφὴν γαμήσει, ἵνα μὴ τῆς μὲν μνήστωρ, τῆς δὲ γαμέτης ἀναφανῇ· τούτων δὲ ἀνωμολογημένων, ἀσύγγνωστον τὸ μεῖζον κακόν· οὐ γὰρ ὁ αὐτὸς ἀδελφὰς δύο, γαμετὰς ποιήσει ποτέ. Οὕτω μὲν οὖν τὸ συμβάλλον τοῖς νόμοις ἐθέσπισεν ὁ πολὺς τὰ θεῖα, οὐ τὰς ἑρμηνείας ἐν τάξει νόμων εἰσφέρων, ἀλλὰ τὸν μὲν θεματισμὸν τοῦ προβλήματος ἀποπεμπόμενος καὶ ἀποκρίνων, τὰ δ' ἐξ αὐτοῦ φυόμενα οὐκ ἐπαινῶν. Παρόμοιόν τι καὶ τῆς θεολόγου φωνῆς εὑρίσκεται. Τὸ γὰρ μὴ δεῖν κατὰ πᾶσαν αἰτίαν ἀπελαύνειν τὴν σύζυγον μελετῶν ὁ μέγας, μέμνηται καὶ πολιτικῶν νόμων, καὶ κατὰ λέξιν οὕτω φησί· » Τί δήποτε τὸ μὲν θῆλυ ἐκόλασαν, τὸ δ' » ἄῤῥεν ἐπέτρεψαν; καὶ γυνὴ μὲν κακῶς βουλευσαμένη περὶ » κοίτην ἀνδρὸς μοιχᾶται, καὶ πικρὰ ἐνταῦθα τῶν νόμων τὰ » ἐπιτίμια· ἀνὴρ δὲ καταπορνεύων γυναικὸς, ἀνεύθυνος; Οὐ δέ» χομαι ταύτην τὴν νομοθεσίαν· οὐκ ἐπαινῶ τὴν συνήθειαν·

(1) Καν. πζ΄. Βασιλείου. — (2) ά. 9 Βασιλικ. ΚΗ. 5.

κάνδρες ἦσαν οἱ νομοθετοῦντες· διὰ τοῦτο κατὰ γυναικῶν ἡ ἐνομοθεσία· ἐπεὶ καὶ τοῖς πατράσιν ὑπὸ ἐξουσίαν δεδώκασι τὰ τέκνα· τὸ δ' ἀσθενὲς ἀθεράπευτον εἴασαν. » Σκεπτέον καὶ παρατηρητέον, ὡς διὰ τουτωνὶ τῶν ῥημάτων οὐκ ἠμείφθησαν οἱ νόμοι, ἀλλὰ μέχρι καὶ σήμερον ἐνεργοί εἰσιν, ἰθύνοντες τὸ πολίτευμα, καὶ κολάζοντες μὲν τὴν μοιχάδα, τιμωρούμενοι δὲ καὶ τὸν ταύτῃ συνδιαφθειρόμενον ἄνδρα. Οὐ γὰρ ἐπ' ἀναιρέσει τῶν νόμων ἐνεστήσατο τὸν λόγον ὁ θεηγόρος, ἀλλὰ τοῦ μὲν βιβλίου ὁ σκοπὸς ἕτερος, ὡς ἐφόλκιον δέ τι ἡ τοῦ λόγου χρεία καὶ τούτους ἐπεσύρατο· ἀμέλει καὶ μεμενήκασι μὲν τὸ ἴδιον ἔχοντες κράτος, οἱ τὴν περὶ μοιχείας ἀγωγὴν τυποῦντες παρὰ τίνων ἁρμόζει, καὶ κατὰ τίνων ἐνεργεῖσθαι. Περὶ μέντοι λύσεως γάμων, τὸ συμβαῖνον ἐνεργεῖται τῷ τοῦ θεολόγου σκοπῷ, καὶ οὐ πᾶσαν ἡνίαν τοῖς ἀνδράσιν ἐφίησι τὰ θεσπίσματα πρὸς τὸ τὴν γαμετὴν ἀπομπέμπεσθαι, ἀλλὰ μεμεριμνημένως τὰ περὶ τούτων ἠκρίβωται. Καὶ τοῦτο μὲν ἐνταῦθα κείσθω, μηδ' ἐκεῖνο λανθάνειν παραχωροῦν, ὡς καὶ αὐτὸς ὁ τοῖς νόμοις ἐγνωσμένος τῶν τρισεξαδέλφων γάμος συνέμπτωσιν ὀνομάτων ἐπὶ τῶν συναπτομένων δέδεκται, ὅπερ ἐπισημαίνει τῷ πράγματι. Ὁ γὰρ ἀνὴρ, τελευτώσης αὐτῷ τῆς γυναικὸς ἄπαιδος, εἰς μέρος σύν γε τῷ ἀδελφῷ καὶ τοῖς ἄλλοις τρισεξαδέλφοις τῆς ἀπελθούσης, οἵτινες ἂν καὶ εἶεν, ὡς ἴσον βαθμὸν ἔχων διακατοχῆς, περιέχεται τῆς κληρονομίας, κατὰ τὸν ἀγορεύοντα νόμον οὕτως· Ὀγδόου βαθμοῦ συγγενὴς, κἂν μὴ ὑπεισέλθῃ τὴν κληρονομίαν, ἔχει τὴν ἐκ τοῦ νόμου βοήθειαν· κἀντεῦθεν ἀναδείκνυται ὁ αὐτὸς, σύζυγος ὠνομασμένος τῆς γυναικὸς καὶ ἐξάδελφος· εἰ μή τις καὶ κατὰ ταύτης ἀπονοηθείη τῆς διατάξεως, ἣν ἐπὶ πολλὰς ἑκατοντάδας ἐτῶν καὶ βασιλεῖς, καὶ Ῥωμαϊκὸν φῦλον περιφυλάττουσιν, ὑπ' οὐδεμιᾶς καθολικῆς ἢ μερικῆς συνόδου κατηγορηθεῖσαν ὡς οὐ καλῶς ἔχουσαν, ἀλλὰ καὶ ὑπ' αὐτοῦ τοῦ νεαροῦ κανονίσματος κυρωθεῖσαν, ἐπερηρεισμένου μὲν τοῖς νόμοις, καὶ τούτων ἀπρὶξ περιεχομένου, οὐδένα δὲ τῶν ἐγγράφων διαγράφοντος νόμων, ἀλλ' ἄγραφον ἔθος ῥητῶς ἐκφωνήσαντος καὶ κωλύοντος· ἐπεὶ μηδ' ἐξῆν τῷ πατριάρχῃ Σισιννίῳ βασιλικῶν καταθρασύνεσθαι διατάξεων, μηδὲν παραθρα-

σκευουσῶν, μηδὲ πρὸς τὸ θεῖον σέβας ἁμαρτανουσῶν· καὶ τὰ μείζω καὶ συνεκτικώτατα τῆς πίστεως ἡμῶν κεφάλαια συναινέσεσι βασιλικαῖς, τὰς συνόδους ἀθροιζούσαις, ἐδογματίσθησάν τε καὶ ἐκυρώθησαν. Ἔνθεν τοι καὶ ἠγάσθη μᾶλλον τουτονὶ τὸν νόμον ὁ πατριάρχης, ἐν τῷ ῥητῶς ἐκεῖνον ἐκφωνῆσαι, ὃς τὸν τῶν δισεξαδέλφων μόνων γάμον κωλύει· οὐ γὰρ τῶν ἐνδεχομένων ἦν, τὸν αὐτὸν κατὰ νόμους κανονίζειν, καὶ νόμους καταπατεῖν. Διδάσκει δέ που καὶ νόμος ὧδε· Οἱ προγενέστεροι νόμοι, εἰς τοὺς μεταγενεστέρους ἕλκονται· ὅθεν κρατοῦσιν ἐπὶ τῶν ὁμοίων προσώπων τε καὶ πραγμάτων. Καὶ οἱ μεταγενέστεροι ἕλκονται πρὸς τοὺς προγενεστέρους, εἰ μὴ ἐναντίοι εἰσί (1). Δειξάτω τοίνυν ὁ τολμητίας καὶ τῶν νόμων ὑπερόπτης ἐναντίον τὸν ληφθέντα νόμον ἐν τῷ κανόνι τῇ ἑτέρᾳ διατάξει, καὶ οὐδεὶς ἀντερεῖ· εἰ δ' ἐκ τῶν κειμένων κυρίων διατάξεων δύο, τὴν μίαν ὁ πατριάρχης εἰς μαρτύριον καὶ σύστασιν τῶν αὐτοῦ λόγων προσλαβὼν, νέον ᾠκοδόμησε θέσπισμα, ὁμοφυὲς ἄρα ταῖς ἀδελφαῖς διατάξεσι τὸ κατασκευασθὲν, καὶ οὐκ ἀλλόφυλον. Ἐκδηλότατον οὖν ἐντεῦθεν, ὅτι περ ὅσα μὲν τῶν συνοικεσίων ὑπὸ τῆς τινος νομικῆς κωλύσεως περιλαμβάνεται, ταῦτα μετὰ τῆς ἐπιφυομένης τῶν ὀνομάτων συγχύσεως ἀποσειόμεθα μυσαττόμενοι· τὰ δὲ διαφεύγοντα τὴν τῶν ὀνομάτων σύγκρουσιν, οὐκ ἀκυροῦνται· οὐ γὰρ αἱ προσηγορίαι καὶ κλήσεις γεννῶσι τὰ πράγματα, ἀλλὰ παρὰ τῶν πραγμάτων σχηματίζονται τὰ ὀνόματα. Τούτων δὲ οὕτως ἐχόντων, λοιπὸν πορευτέον ἡμῖν πρὸς τὴν τῆς ἐπαγγελίας ἐκπλήρωσιν, καὶ ἀποδεικτέον, ὡς οὐδὲ γίνεται σύγχυσις ὀνομάτων τοῖς γεννωμένοις ἐκ τῶν γάμων, οὓς νόμος κυροῖ. Οἱ γὰρ δύο πρῶτοι ἐξάδελφοι, πρώταις ἐξαδέλφαις εἰς γάμους συνιόντες, ἐκγόνους φύσουσιν, ἀφ' ἑκατέρου μέρους δευτέρους ἐξαδέλφους ὀνομαζομένους· οἱ δὲ δύο ἀδελφοὶ, δύο δισεξαδέλφας γαμοῦντες, ἀφ' ἑαυτῶν ὀνομαζομένους πρώτους ἐξαδέλφους ἀπογεννῶσι· παρὰ γὰρ τῶν μητέρων οὐκ ἔστι συγγενικὴ κλῆσις, εἰς τρίτον ἐξαδελφότητος πίπτουσα τόπον, ὅστις γε πρὸς γάμον αἵματος ἀνάκρασιν οὐκ ἐφέλκεται. Ὃ δὴ μάλιστα συμβαίνει πᾶσι τοῖς ἀμέμ-

(1) λϛ', λζ', καὶ λη', Βασιλικ. Β'. 1.

πτοις τῶν γάμων· δύο γὰρ ἀδελφοὶ συνάφειαν γαμικὴν πρὸς δύο γυναῖκας ἀποτελοῦντες ἑτερογενεῖς, καὶ πάντη ἀλλήλων εἰς συγγένειαν ἠλλοτριωμένας, πρώτους ἐξαδέλφους ἀφ' ἑαυτῶν γεννῶσιν, ἀπὸ τοῦ τῶν μητέρων γάμου καὶ μέρους μηδεμίαν λαμβάνοντας κλῆσιν· τὸ δ' αὐτὸ καὶ δύο ἀδελφαὶ δρῶσιν, ἐς ἀνδρῶν ἑτερογενῶν ἀπιοῦσαι. Τούτων οὕτως ὑγιῶς τε καὶ ἀμωμήτως τεταγμένων, εἰσὶν οἳ τῷ τῆς ἐγκρατείας προσχήματι ἐθέλουσι τὰς ἑαυτῶν, ὅπως ἂν ἔχοιεν, ἐπιθυμίας ἀποπληροῦν, καὶ παίζοντες εἰς ἀλλοτρίους βίους, παραχρῶνται τῷ λέγοντι νόμῳ· Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ σεμνὸν ζητοῦμεν (1). Οὗτος δὲ ὁ νόμος οὐ τοῖς δικάζουσιν ὅλην χορηγεῖ, ζητεῖν εὐπρεπές· οἱ γὰρ οὕτω τὴν ῥῆσιν ἐκλαβόμενοι, νομοθετῶν ἀξίαν, ἣ καὶ τὴν ὑπὲρ τούτους περιτιθέασιν ἑαυτοῖς, ἐπαιρόμενοι, μὴ τοῖς ἐπιτετραμμένοις ἐμμένειν, ἀλλ' εὐτελίζειν ταῦτα τῷ τῆς εὐπρεπείας προσχήματι. Καὶ πῶς ἄν τις τοῖς ἐπιτετραμμένοις συνεῖναι τὸ ἀπρεπὲς εἴποι, ἵνα διὰ τοῦτο παροφθεῖεν τὰ νενομισμένα; Ἢ πῶς ἂν ὁ νομοθέτης εἰδὼς τινας τῶν γάμων ἀπρεπὲς ἔχοντας, οὐκ ἐξυλοφόρησε τούτους τοῦ νομικοῦ συντάγματος, ἀλλ' ἑτέροις ἀπένειμε κατὰ τῶν τοιούτων τὴν ἐξουσίαν; Μακράν που τῶν ὀρθῶν ἀποπεπλάνηνται λογισμῶν οἱ τούτοις ἐπιτολμῶντες. Δεῖ δὲ τὸν δικαίως διαιτᾷν βουλόμενον, τοῖς κειμένοις ἕπεσθαι νόμοις, εἰ μέλλοι τῶν εὐδοκιμούντων ἔσεσθαι, καὶ τοὺς νόμους τηρούντων, καὶ μὴ τοὺς τούτων ζητεῖν λογισμούς, πολλάκις τὴν τῶν πολλῶν ὑπερβαίνοντας γνῶσιν, πρὶν ἂν νομοθέτης νεώτερος τῶν κειμένων ἐναλλάξῃ τι καὶ ἀνασκευάσῃ· οὐ γὰρ δεῖ κινεῖν τοὺς ἀκινήτους νόμους, ἕως ἂν ὦσι κύριοι. Οὐκοῦν ὁ προβεβλημένος νόμος τοῖς δικάζουσιν ἐξουσίαν ἀλλόκοτον χορηγεῖ, ἀλλὰ τὸν νομοθέτην παρίστησι, δι' οἵων κεφαλαίων τὴν περὶ γάμων συμπεραίνει νομοθεσίαν. Κωλῦσαι γὰρ βουληθεὶς ὁ σοφώτατος Μοδεστῖνος γάμον μὴ ἀπειρημένον δι' ἐπιθόλωσιν αἵματος συγγενικοῦ, φησὶν οὕτως· ὅτι οἱ τῶν Ῥωμαίων νομοθέται, οὐ πάντα τὸν μετὰ τὴν λύσιν τῆς συγγενείας ἐπιτελούμενον γάμον ἐῶμεν ἀνεπιτίμητον, ὡς ἐπιτετραμμένον αὐτῷ τούτῳ,

(1) ς'. Βασιλικ. ΚΗ, 5.

τῷ μὴ καταῤῥυπαίνειν αἷμα συγγενικόν, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν. Αὐτίκα γοῦν μετὰ τὴν τοῦ εὐπρεποῦς ληφθεῖσαν νομοθεσίαν, εἰσφέρει φράζων ὧδε· Οὐκ ἔῤῥωται ὁ γάμος τῆς θυγατρὸς, ἢ ἐγγόνης, ἢ προεγγόνης τοῦ ἀξιωματικοῦ, πρὸς ἀπελεύθερον, ἢ σκηνικὸν, ἢ υἱὸν σκηνικοῦ· ὁ γοῦν τοιοῦτος γάμος οὐχ αἵματος μίξιν εἰσάγει, ἀλλὰ σεμνοπρέπειαν τῷ συγκλητικῷ γένει οὐ περιποιεῖ. Ἐπεὶ γὰρ ἐν ταῖς πραγματικαῖς ζητήσεσι, καὶ ταῖς τῶν νόμων εἰσφοραῖς, οὐ μόνον τὸ νόμιμον, καὶ δίκαιον, καὶ συμφέρον, καὶ δυνατὸν, καὶ τὸ ἐκβησόμενον σκοπεῖται, ἀλλὰ δὴ καὶ τὸ ἔνδοξον, ᾧ ταυτόν ἐστι τὸ εὐπρεπὲς καὶ σεμνὸν, ἐκ τούτου τοῦ κεφαλαίου ὁ νομικὸς τὴν ἑαυτοῦ κρατύνει δόξαν. Ἀλλὰ καὶ ὁ θαυμάσιος νομοθέτης Παῦλος, τῷ αὐτῷ κανόνι τῆς νομοθετικῆς σοφίας καὶ ἐπιστήμης στοιχῶν, οὐ προέταξεν, ἀλλ᾽ ὑπέταξε τὴν κατασκευὴν τῷ θεσπίσματι. Διέξεισι γάρ(1)· Ὁ θετὸς υἱὸς, καὶ αὐτεξούσιος γενόμενος, οὐ δύναται τὴν γενομένην τοῦ θετοῦ πατρὸς γαμετὴν λαμβάνειν πρὸς γάμον· ὥσπερ οὐδὲ τὴν αὐτοῦ τοῦ υἱοῦ γαμετὴν, ὁ αὐτεξούσιον αὐτὸν ποιήσας πατὴρ, κἂν ἡ θέσις λυθῇ, εἰ καὶ μὴ ἅπτεται τοῦ γένους αὐτῶν· ἡ μὲν γὰρ, μητρυιᾶς, ἡ δὲ, νύμφης τάξιν ἐπέχουσι. Καὶ ὁ φυσικὸς γὰρ πατὴρ οὐ λαμβάνει, τὴν πορνογενῆ αὐτοῦ θυγατέρα· τὸ γὰρ φύσει δίκαιον καὶ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται. Περίοπτον ἰδοὺ γέγονεν, ὅτι οἱ νομοθέται εἰς ἔρεισμα καὶ κόσμον τῶν ἰδίων δογμάτων τοὺς τοιούτους κανόνας ἐπάγουσιν, οὓς καὶ βασιλεῖς, καὶ σύγκλητος προσήκαντο, καὶ τῶν ἐκείνων βίβλων παρειληφότες, τῇ πεντηκονταβίβλῳ τῶν Διγέστων ἐνέταξαν (2). Τὴν δὲ τοιαύτην μέθοδον καὶ ὁ πατριάρχης εἰδὼς, ὅτε κατὰ γνώμην ἐνομοθέτει βασιλικὴν, καινὸν εἰσφέρων δόγμα, τῷ τοιούτῳ κανόνι ἐχρήσατο. Δικασταῖς μέντοι τοῦτον τὸν τρόπον οὐ προσήκει τέμνειν ἀμφισβητήσεις, ἢ μᾶλλον εἰπεῖν, πλέκειν συνδέσμους· σφαλεραὶ γὰρ καὶ ἔκπτωτοι πᾶσαι αἱ μετὰ ἀδολεσχίας γινόμεναι ἰσχυρίσεις. Ἡ μὲν γὰρ, τὶς κώλυσις(3), οὐκ εἰς τὸ ἄπειρον ἐῶσα τὴν δικαστικὴν ἐξουσίαν ἐκτείνεσθαι, ὅρον βοᾷ κεῖσθαι, καὶ τοῦτον ὀνομάζομεν, τινὰ κώλυσιν· ὥρισται δὲ δήπου τὸ γεγραμμένον

(1) β´. Βασιλικ. ΚΗ, 5. (2) Ν. 41, Πανδ. 23. 2. (3) ά, 3. Βασιλικ. ΚΗ, 5.

πάντως, τὸ δὲ μήπω νενομισμένον, ἀόριστον ἐστίν. Ὥστε ὁ παραθέων τοῦ νόμου τὸ, τίς, τινὰ ὅρον ἀντιθεῖναι τούτῳ πᾶσαν ἀνάγκην ἕξει· καὶ εἰ μὲν εἴποι, ἐπὶ τῶν ἐκ πλαγίου οὐδεμία κώλυσίς ἐστι, καὶ αὐτὸς ἑαυτῷ περιπίπτων ἐλεγχθήσεται ὁ μηδὲ τοῖς γεγραμμένοις ἐμμένων, ἀλλὰ πολλὰς καὶ ἀνεικάστους ἐπινοῶν κωλύσεις· εἰ δὲ φάναι προαχθείη· τῶν ἐκ πλαγίου γάμων πᾶσα κώλυσίς ἐστι, λίαν θρασέως καὶ ἀμαθῶς τῷ νόμῳ προσκρούσει, ὅς, οὐ πᾶσα, φησὶν, οὐδ' ἀπέραντος ἐπὶ τῶν ἐκ πλαγίου κώλυσις, ἀλλὰ τίς· οὐκοῦν τὰ παρὰ τὸ, τίς, συναγόμενα, τῶν ἀτοπωτάτων εἰσὶν, ἢ, μᾶλλον εἰπεῖν, παιδαριώδη φαντάσματα καὶ ἀνόητα κομιδῆ. Καὶ γὰρ συνεχῶς ἀπορεῖν ἡμῖν ἐπέρχεται, κατανοοῦσι τὴν ἀπορίαν τοῦ πράγματος, πῶς πολλῶν ὄντων τῆς δικαστικῆς τάξεως, καὶ τούτων ἁπάντων οὐχ ὁμοφρονούντων ἀλλήλοις, οὐδὲ παιδείας ἴσης μετειληχότων, οὐδ' ἐῤῥωμένων ὁμοίως, τίς εἰδέναι δύναται τὰ ὡς ἔτυχεν, ἵνα φυλάξηται ταῦτα· ἐπεί τοι καὶ τῶν νομικῶν ὅρων ἀνασπωμένων, καὶ τῆς ἐξουσίας εἰς τοὺς δικάζοντας μετατιθεμένης, οὐχ ὅδε ἢ ὅδε, ἀλλὰ πᾶς ὁ βουλόμενος, κατασείσει γάμον. Καὶ τίνες ἂν εἶεν τῶν γαμούντων ἀθλιώτεροι, τοσαύταις ἐγκείμενοι γνώμαις, καὶ προσπαθείαις, καὶ ἀντιπαθείαις; Καί τοι τοὺς νόμους φανεροὺς εἶναι δεῖ, ὥστε μηδενὶ Ῥωμαίων ἐξεῖναι λέγειν, ἄγνοιαν νόμων ἔχειν. Πόθεν οὖν αἰτιαθήσεταί τις ὡς παράνομον συστησάμενος γάμον; Ἢ ποῦ τῶν νόμων κείμενον ζητῶν εὑρήσει; Οὐδὲν τούτων, ὡς ἔοικε, μέλει τῷ αὐτοχειροτονήτῳ δογματιστῇ, ἀλλὰ πρὸς οὐδὲν παράγγελμα νομικὸν, ἢ κανονικὸν βλέπων, τηνάλως ἀπαιωρεῖσθαι βούλεται τοῖς γαμικοῖς συναλλάγμασιν αὐτονόμως. Πλὴν τῶν τοιούτων μὲν πολιτευμάτων πολὺ τὸ τυραννικὸν καὶ βαρβαρικὸν παραφαινόντων, οὐδ' ἐπιστρέφεσθαι χρὴ, ἀλλ' ἐκπεραίνειν τὰ δοκοῦντα τοῖς νόμοις. Οὐδὲν δὲ ἀπῳδὸν, καὶ οἷον εὐῶδες μικρὸν ἀφήγημα νομικῆς ἀρχαιολογίας ἐγκαταμῖξαι τῷ ὑπομνήματι, καὶ οὕτω τὴν ἀπόφασιν ἐνεγκεῖν. Ἦν μὲν ὅτε σχέσις οὐκ ἦν νενομισμένη τοῖς ἐκ πλαγίου, πρὸς φιλίαν αὐτοὺς ἐνάγουσα· οἱ δὲ νομοθέται τὸ φίλιον αὔξοντες ἐν τῇ πολιτείᾳ, διὰ μὲν τῆς τῶν γάμων κωλύσεως, καὶ τῆς ἐπὶ ταῖς κληρονομίαις διακατοχῆς,

τὴν οἰκειότητα τούτοις ἐγνώρισαν, καὶ φυσικὴν ἀγάπην ἐνέσταξαν· ἑτέρους δ' οἰκειοῦσθαι διὰ τῶν ἐπιγαμιῶν ἐδίδαξαν, τούτῳ τῷ τρόπῳ τὰς συγγενείας εὐρύνοντες, ἵνα τοῦ μέν τις, ὡς οἰκείου αἵματος, περιέχηται, τοῦ δὲ, ἐξ ἀγχιστείας· ὃ λυσιτελέστατον εἶναι περὶ τοὺς πολέμους οὐχ ἥκιστα Ῥωμαῖοι πάντων ἀνθρώπων συνῆκαν, οἷς ἔδωκε Θεὸς κατ' ἐκεῖνο καιροῦ ἐκ νεότητος ἐς γῆρας ἀργαλέους τολυπεύειν πολέμους· καὶ ἡ παλαιὰ γὰρ τακτικὴ, κατὰ φυλὰς καὶ φατρίας τοὺς στρατιώτας ἐλόχιζε, καὶ διὰ τοιούτων λόχων στομοῦσα φάλαγγάς τε καὶ ἴλας, τὸν συνασπισμὸν ἄῤῥηκτόν τε καὶ δυσεκβίαστον ἐδόκει ποιεῖν, ὡς τῆς σχέσεως τυραννούσης καὶ πειθούσης περὶ τὰ δεινὰ καρτερεῖν. Ἐπεὶ τοιγαροῦν ἐπὶ πολὺν χρόνον πολλοὶ τὰ περὶ τούτων διεσκέψαντο, καὶ νόμοις ἀνεστηλώθησαν ὅροι, τούτοις ἀγαπᾷν δεῖ, καὶ ἐμμένειν ταῖς γεγραμμέναις κωλύσεσι, καὶ μηδὲν τούτων ἐπέκεινα μάταιον ὀνειροπολεῖν· οἱ γὰρ διὰ τοὺς κεκωλυμένους βαθμοὺς καὶ περὶ τῶν πλησιαζόντων τούτοις ἐπενδοιάζοντες, δοκοῦσι μὴ δυνατῶς ἔχειν συμβαλεῖν, ὡς οἱ μὲν γινόμενοι συνδυασμῶν τινων κωλυταὶ νόμοι, ὥσπερ τι τραῦμα θανατηφόρον ἐκτέμνουσι, τὸ δόξαν ἀνοσίως καὶ μὴ κατὰ λόγον πράττεσθαι· οἱ δὲ μὴ ἐπιστημόνως διαιροῦντες καὶ νομικῶς, μηδ' ἐντὸς ὅρων τῶν νομικῶς πεπηγμένων ἱστάμενοι, ἀλλὰ συγχέοντες ὅρια, καὶ τοῖς πορρωτέρω βαθμοῖς ἐπισκήπτοντες, τραύμασι διαβρωτικοῖς σαρκῶν ἐξομοιοῦσι τοὺς τεθειμένους νόμους, ἢ ἕρπησιν, ἢ ἐρυσιπέλασιν, ἢ γαγγραίναις, τὰ πλησιάζοντα κατασήπουσί τε καὶ διαφθείρουσιν· οὗ τί γένοιτ' ἂν, ἢ τολμηθείη χεῖρον; Πάντοθεν τοίνυν τῶν νόμων τὴν παρὰ τοῦ Νικήτα (1) ἐνστᾶσαν κατηγορίαν. οὐκ εὔλογον, οὐδ' ἔννομον ἀπελεγχόντων, κεκύρωται ὁ κατηγορηθεὶς γάμος, καὶ οὐχ ὑπό τινος κατηγορίας γεγράψεται, ἀλλ' ἀδεῶς ὁ Νικόλαος συνοικήσει τῇ γυναικὶ, καὶ νομίμους ἕξει κληρονόμους, τοὺς ἐξ αὐτῆς τικτομένους αὐτῷ. Ἐγράφη ταῦτα, καὶ ταῖς ὑπογραφαῖς καὶ σφραγῖσι τῶν δικαστῶν βεβαιωθέντα, ἐπεδόθη μηνὶ Ἀπριλλίῳ, ἐπινεμήσεως η'. ἔτους ,ςφλγ'.

---

(1) ἐν περισελίδῳ. — Νικολάου Α.

ΔΗΜΗΤΡΙΟΥ ΣΥΓΚΕΛΛΟΥ.

Α'. ΔΗΜΗΤΡΙΟΥ ΣΥΓΚΕΛΛΟΥ, ΜΗΤΡΟΠΟΛΙΤΟΥ *Κυζίκου, μελέτη* (1).

ΠΟΛΛΑΚΙΣ ἡμῖν ἐπῆλθε τῶν ἀνδρῶν ἐκείνων θαυμάζειν, τί ποτε διανοούμενοι, καὶ τίνας νόμους θείους ἢ ἀνθρωπίνους πληροῦντες, τὰ μηδεμιᾶς ἐν τοῖς γάμοις κωλύσεως ἄξια, τάχα δὲ οὐδὲ ὅλως ἀμφισβητήσιμα, ὑπὸ μακρᾶς οὕτω καὶ συνεχεῖς τιθέασι τὰς ζητήσεις, οὐκ οἶδ' ὅθεν αὐτοῖς ἐντακέντος τοῦ τοσούτου ζήλου καὶ τῆς θερμότητος, ὡς παῖδας ἁπλῶς δυοῖν γεννητόρων μηδὲν ἐπικοινωνούντων ἀλλήλοις κατὰ συγγένειαν, μεθ' ἱερολογίας συναφθέντας, ἤδη δὲ καὶ παιδοποιήσαντας, ἀποζεῦξαι πειρᾶσθαι, καὶ διασπάσαι τὸ συνοικέσιον, ἐπιτροπῇ καὶ ταῦτα καὶ συναινέσει δύο προβὰν μητροπολιτῶν· οὓς τάχα δεήσει καὶ καθελεῖν κατ' αὐτοὺς τῆς ἀξίας, ὡς τὸ οὕτως ἄθεσμον ἐπιτρέψαντας. Ἵνα δὲ δῆλον ᾖ τὸ λεγόμενον, καὶ αὐτὰ τὰ τῶν λεγομένων συγγενῶν παραθετέον ὀνόματα. Δημήτριος, φησί, καὶ Ἰωάννης, ἀδελφοί· αὖθις ἕτερον γένος, Μαρία καὶ Νικόλαος, ἀδελφοί· συνάπτεται νόμῳ γάμου τῇ Μαρίᾳ ὁ Ἰωάννης. Τούτων συναπτομένων, ὁ τῆς Μαρίας ἀδελφὸς Νικόλαος κατὰ νομικὴν ἀκρίβειαν τὸν Δημήτριον πάντως οὐδαμῶς ὀνομάσει συμπένθερον, ὡς τοῦ νόμου μόνους ἐκείνους συμπενθέρους εἰδότος, τοὺς τῶν συναπτομένων γεννήτορας, πρὸς δέ, καὶ τοὺς αὐτῶν ἀνιόντας· εἰ μή τις ἄρα συνηθείᾳ ἑπόμενος, τῷ τῶν συμπενθέρων ὀνόματι καὶ ἐπὶ τούτων βουληθῇ καταχρήσασθαι. Οὕτω δὲ τούτων συγγενικῶν ἀπορούντων κλήσεων, τοὺς ἀποτεχθέντας ἐξ αὐτῶν (τίκτει γὰρ ὁ μὲν Δημήτριος Μαρίαν, ὁ δὲ Νικόλαος, Πλωτῖνον,) πῶς ἄν τις καλέσοι;

(1) Δημήτριος ὁ Σύγκελλος, Μητροπολίτης Κυζίκου, ἔζη κατὰ τὴν ἑνδεκάτην ἀπὸ Χριστοῦ ἑκατονταετηρίδα, ἐπὶ τῶν βασιλέων Ῥωμανοῦ τοῦ Ἀργυροῦ, καὶ Μιχαὴλ τοῦ Παφλαγόνος· μητροπολίτης δὲ ἤδη ὢν ἐτιμήθη ὑπὸ τοῦ Ῥωμανοῦ τῷ τοῦ συγκέλλου ἀξιώματι. (Κεδρην. Τόμ. Β'. σελ. 486 καὶ 517.) Φαίνεται ὑπογεγραμμένος ἐν τῷ Περὶ διαφόρων ἐκκλησιαστικῶν ὑποθέσεων ὑπομνήματι τοῦ πατριάρχου Ἀλεξίου. (Ὅρα σελ. 32 τοῦ παρόντος τόμου.) Σώζεται δ' αὐτοῦ καὶ ἔκθεσίς τις περὶ τῆς τῶν Ἰακωβιτῶν αἱρέσεως, ἐν ᾗ καὶ περὶ Χατζιτζαρίων.

ἐξαδέλφους πρώτους ἀλλήλων; ἀλλὰ δισεξαδέλφους; καὶ μὴν οἱ τεκόντες, οὔτε ἀδελφοί, οὔτε ἐξάδελφοι. Ἀλλὰ τὸν μὲν, θεῖον, τὸν δὲ, ἀνεψιόν; Ἀλλ' οὐκ ἂν ἔχοι τις κλῆσίν τινα συγγενείας αὐτοῖς ἀναπλάσασθαι ἢ ἐφαρμόσαι, οὐδ' ἂν ᾖ τῶν σκινδαψοὺς ἢ τοὺς τραγελάφους πλαττόντων τερατωδέστερος. Ὧν δὲ ἡ φύσις τὴν ἐκ συγγενείας κλῆσιν ὅλως ἠγνόησε, καὶ οὐδὲ ψιλὸν αὐτοῖς ἐντεῦθεν περιέθηκεν ὄνομα, τούτους μετὰ παιδοποιΐαν ἀλλήλων πειρᾶσθαι διϊστᾷν, καὶ λύειν ὡς κεκωλυμένον τὸ συνοικέσιον, οὐκ ἀθετήσεως νόμων τε καὶ κανόνων αὐτοὶ τιθέμεθα μόνον, ἀλλὰ καὶ βίας μεγάλης, καὶ τυραννίδος, θερμότερος δ' ἄν τις εἶπε, καὶ τῆς Μανιχαίων παραψαῦον αἱρέσεως, οἳ τοὺς νομίμους ἀνόμως διασπῶσι γάμους, ὡς βδελυσσόμενοι· ἐπεὶ καὶ τῆς αὐτῆς ἀτοπίας ἀμφότερα, συγχωρεῖν τε γάμους κεκωλυμένους, καὶ λύειν τοὺς ἀκωλύτους· ὅπερ ἂν καὶ νῦν παρ' ὀλίγον ἐπράχθη καὶ διηνύσθη τοῖς πᾶν τὸ δοκοῦν καὶ ποιεῖν, καὶ λέγειν μηχανωμένοις, εἰ μὴ τὸ ἄγαν πεφυλαγμένον τε καὶ ἀγχίνουν τοῦ διορατικωτάτου Πατρὸς ἡμῶν καὶ κοινοῦ δεσπότου, ὃν ψῆφος ἐμφανῶς θεία ταῖς τῆς οἰκουμένης Ἐκκλησίαις ἐπ' ἀνανεώσει τῶν ἱερῶν θεσμῶν καὶ κανόνων ἐπέστησε, συνοδικῇ διασκέψει τὸ πρᾶγμα ἀνέθετο. Ἀλλὰ θεῖος, φησὶν, ἐνταῦθα θείαν λαμβάνων εὑρίσκεται, καὶ ἀνεψιὸς ἀνεψιάν· ἐντεῦθεν γὰρ καὶ παραλογίζεσθαι τοὺς ἀκροατὰς ἢ δικαστὰς οἴονται, εἰ μὲν καὶ διαλεκτικῶν μεθόδων, καὶ σοφισμάτων, ἢ τῶν ἁπλῶς ὅρων τε, καὶ προτάσεων, καὶ τῶν ἐκ τούτων συμπερασμάτων. ὄντες εἰδήμονες, λέγειν οὐκ ἴσμεν· ἐπὶ τοῦ παρόντος γοῦν ὅμως καὶ σφόδρα κατασοφίζεσθαι σπεύδοντες· θεῖος γὰρ εἰλήφει θείαν, φησίν· ὁ Ἰωάννης δηλαδὴ τὴν Μαρίαν, τὴν κυρίως τοῦ Πλωτίνου θείαν, ὡς ἀδελφόπαιδος· ὃ καὶ παρ' ὑμῖν αὐτόθεν ἀνέγκλητον· ἀλλὰ καὶ ἀνεψιὸς, ἀνεψιάν· ὁ τῆς Μαρίας ἀνεψιὸς δηλονότι Πλωτῖνος· ἀνεψιὰν δὲ τίνος; εἰ μὲν τῆς αὐτῆς Μαρίας, ἐσχάτως ἄτοπον, καὶ κανόσι θείοις κεκωλυμένον· τὴν γὰρ ἰδίαν ἐξαδέλφην λαμβάνειν, καὶ ἡμῖν πολλῷ πλέον ἐξάγιστον, καὶ ἀπόβλητον, καὶ πάσης κολάσεως ἄξιον· εἰ δὲ τοῦ Ἰωάννου τοῦ τῇ Μαρίᾳ συζευχθέντος, τίς ὁ τοῦτο κωλύων κανὼν, ἢ νόμος, ἢ τόμος συνοδικός; Ἀλλ' ἐνταῦθα λοιπὸν αὐτοῖς καὶ τὸ σόφισμα, καὶ τὰ τῶν ἀσυλλογίστων συλλογισμῶν, καὶ ὁ

μέγας Βασίλειος εἰς μέσον ἀγόμενος, καὶ περιφερόμενος, καὶ ἀμαθῶς παρερμηνευόμενος, τὰ ἐφ' ἑτέρων ὑπ' ἐκείνου μάλα προσφόρως ἐκφωνηθέντα ῥητὰ, σφόδρα τούτων ἐπὶ τὰ εἰρημένα καθελκόντων πρόσωπα· παρ' ὃ καὶ διὰ τοῦ, Ἔσονται οἱ δύο εἰς σάρκα μίαν (1), θεῖον ἠναγκασμένως τοῦ Πλωτίνου τὸν Ἰωάννην κυριολεκτεῖν οὗτοι ἀποθρασύνονται, ὃν ἐκ πλαγίου ἀγχιστείας τρόπῳ τῷ τοῦ Πλωτίνου γένει οἰκειωθέντα, οὐδεὶς οὐδέπω νόμος θεῖον αὐτοῦ ὀνομάζων δείκνυται· τὸ δὲ ἐκ τῆς τοῦ ἀκολούθου εἰσφορᾶς τὸ σιωπηθὲν συλλογίζεσθαι, κατ' αὐτὸν φάναι τὸν θεοφάντορα, νομοθετοῦντός ἐστιν, οὐ τὰ τοῦ νόμου λέγοντος (2)· ἐπεὶ οὕτω γε ἐξέσται τῷ πονηρεύεσθαι βουλομένῳ, καὶ ἐπὶ τοὺς ἔτι ποῤῥωτέρω τοῦ γένους τὸν λόγον ἐκτείνειν, καὶ πᾶσιν ἀποκλείειν ἐπίσης τὴν πρὸς ἀλλήλους γαμικὴν ὁμιλίαν, διὰ τῆς παρατεταμένης ταύτῃ ἀπεράντου σειρᾶς ἢ κλίμακος, οὗ τί γένοιτ' ἂν ἀδικώτερον; καίτοι γε ἐπὶ τέλει τοῦ αὐτοῦ Πατρὸς τοῖς νομίμοις γάμοις πλατεῖαν ὁδὸν ὑπανοίγοντος, καὶ σαφῶς ἐπὶ τοῦτο προτρεπομένου· ἐπιφέρει γάρ· »Κεφάλαιον δὲ τῶν εἰρημένων· »εἰ μὲν νόμῳ τις ὁρμᾶται πρὸς γάμον, ἤνοικται τούτῳ πᾶσα ἡ οἰ»κουμένη(3).» Τί δ' ἐννομώτερον ἐκείνου, ὃ μήτε νόμος πολιτικὸς, μήτε κανὼν ἱερὸς ἀπαγορεύσας που φαίνεται, εἰ μὴ καὶ ῥητῶς αὖθις ἐπέτρεψαν; Ἐπείπερ οὐ τὰ συγκεχωρημένα περιλαμβάνειν οἴδασιν οἱ περὶ τούτων θεσμοθετοῦντες, ἀλλὰ μόνα τὰ κεκωλυμένα ἀπαριθμεῖσθαι, καὶ ὧν ἡ παράβασις μεγίστην οἶδε βλάβην ἀποτίκτειν τοῖς περιπίπτουσιν· ὥς περ καὶ εἴ τις ἰατρὸς τῷ κάμνοντι ἀπαγορεύσας τὰ βλάπτοντα, οὐ πάντως ἀνάγκην ἔχει καὶ καταλέγειν ἀνὰ μέρος ἅπαντα τὰ τῇ φύσει μηδὲν λυμαινόμενα. Ἀλλὰ δεῦρο λοιπὸν ὁ τὰ θεῖα παρεξηγούμενος, αὐτὰ πρὸς ἔπος διερμηνεύθητι τὰ τῆς ἐπιστολῆς τοῦ μεγάλου ῥήτορος, τῇ διανοίᾳ καὶ τῷ σκοπῷ τῶν λεγομένων τὸν νοῦν πρῶτον ἐρείσας, καὶ σαυτῷ τάχα ποτὲ μέμψῃ τῆς προπετείας· ἐπεὶ καὶ κανὼν, ὡς οἶσθα, νομικός ἐστιν, Ἐπ' ἐκείνων μόνων τὰς τῶν νόμων θέσεις ἰσχύειν, ἐφ' ὧν καὶ ἐξεφωνήθησαν· καθ' ὃν λόγον καὶ, Πᾶς νομικὸς κανὼν πρὸς τοῖς ἄλλοις σαθρὸς εἶναι λέγεται(4)· ὅθεν ἀμέλει κἂν ὁτιοῦν γένηται, ἐπ' ἐκείνων πάντως κρατήσει

(1) Γεν. Β', 24. — (2) Βασιλ. καν. πζ'. — (3) αὐτόθι. — (4) σϐ'. Βασιλ. Β', Β,

καὶ τὰ ὑπὸ τοῦ θεολήπτου τοῦδε διηγορευμένα (1), ἐφ' ὧν τότε ἐξηνέχθη· δῆλον δὲ, ὥστε μὴ δύο ἀδελφαῖς ἕνα καὶ τὸν αὐτὸν ἄνδρα γάμῳ ἁρμόζεσθαι· ὥσπερ αὖ πάλιν καὶ τὰ ἀπὸ τοῦδε τῷ τόμῳ (2) μεταληφθέντα, ἐν ἐκείνοις ἕξει τὸ κράτος, εἰς ἅπερ ἔστη τὸ ἀποτέλεσμα, τοῦ μήτε δύο ἀδελφοὺς δύο ἐξαδέλφας λαμβάνειν, μήτε θεῖον καὶ ἀνεψιὸν, ἀδελφὰς δύο, καὶ τὰ τούτων ἔμπαλιν, εἰ καὶ πολλαῖς διὰ μέσου ταῖς παρεκβάσεσιν ἐξυφαίνεται. Ἀλλ' ὃ λέγειν ὡρμήθημεν, ὁ μέγας τοιγαροῦν οὗτος, ἑνὸς ἀνδρὸς συμπλοκὴν πρὸς ἀδελφὰς δύο ἀπαγορεύων, καὶ τὸ κατεγνωσμένον διασύρων τῆς πράξεως, ὡς ἔκφυλον πάντη, καὶ μηδ' ἀκοῇ φορητὸν ὁσίᾳ, τὸ, Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ (3), ἀπὸ τῆς Γραφῆς πρὸς ἀποτροπὴν λαβὼν, δεῖξαι βουλόμενος, ὡς τὸ ῥητὸν ἐκεῖνο ἐμπεριεκτικόν ἐστι καὶ τούτου τοῦ εἴδους τῆς οἰκειότητος, καὶ ὡς ὑπὸ τῆς θείας Γραφῆς ἡ τοῦ ἑνὸς ἀνδρὸς πρὸς ἀδελφὰς δύο γαμικὴ ὁμιλία ἤδη προαπηγόρευται, εἰσάγει τούτους τοὺς λογισμούς. Τί γὰρ ἂν γένοιτο, λέγει, ἀνδρὶ οἰκειότερον τῆς ἑαυτοῦ γυναικὸς, μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκός; οὐ γὰρ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία· ὥστε διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει· καὶ ἡ ἐπαγωγὴ περὶ τοῦ αὐτοῦ. Ὡς γὰρ μητέρα, φησὶ, γυναικὸς οὐ λήψεται, οὐδὲ θυγατέρα τῆς γυναικὸς, διότι μηδὲ τὴν ἑαυτοῦ μητέρα· οὕτως οὐδὲ ἀδελφὴν γυναικὸς, διότι μηδὲ τὴν ἑαυτοῦ ἀδελφήν· καὶ τὸ ἀνάπαλιν, οὐδὲ τῇ γυναικὶ ἐξέσται, τοῦ ἀνδρὸς τοῖς οἰκείοις συνοικεῖν· κοινὰ γὰρ ἐπ' ἀμφοτέροις τὰ τῆς συγγενείας δίκαια. Τούτοις τοῖς ὁρισμοῖς ὁ θεσπέσιος τὸ ἄτοπον ἀποῤῥαπίσας τῆς ἐγχειρήσεως, μέχρι τούτου καὶ μόνου τὰ τῆς ἀπαγορεύσεως ἵστησι, καίτοι γε ἐξῆν αὐτῷ, εἴπερ ἐβούλετο, καὶ ἐπὶ τὰς ἔτι ποῤῥωτέρω οἰκειότητας τὸν λόγον προαγαγεῖν, καθάπερ πολλαχοῦ τῶν ἑαυτοῦ κανόνων ποιῶν φαίνεται· ἐπιλυόμενος γὰρ τὰ ὑπό τινων προτεινόμενα, ἐν οἷς ὑποφυόμενον ὁρᾷ τι καὶ συνακολουθοῦν, ἐπάγειν εἴωθε· Τὸ αὐτὸ καὶ ἐπὶ τῶν τάδε καὶ τάδε, φησὶ, ποιούντων· ὧν οὐδὲν ἐνταῦ-

(1) Βασ. κανὼν. πζ'. —(2) τόμος Σισινίου σελ. 12. τοῦ παρόντος τόμου. — (3) Λευΐτ. 18, 6.

θα· καθὸ καὶ ὁ δῆμος ὅλος τῶν τῆς ϛ'. συνόδου *μακαρίων* Πατέρων, οὓς ἂν δέξῃ πάντως τῶν τοῦ μεγάλου λόγων ἐξηγητάς, οἳ τὰ τέως ὑπ' ἐκείνου συνεπτυγμένα καὶ οἷον διηγορευμένα πλατύναι καὶ διαλευκᾶναι βουλόμενοι, τὸν νδ'. κανόνα ἐξέθεντο, πρὸς λέξιν ἔχοντα οὕτω· » Τῆς θείας ἡμᾶς οὕτως ἐκδιδασκούσης » Γραφῆς, Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, ὁ θεοφόρος Βασίλειος, τινὰς τῶν » ἀπηγορευμένων γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, » σιωπῇ τὰ πλεῖστα παραδραμών, καὶ κατ' ἀμφότερα κατα- » σκευάσας ἡμῖν τὸ ὠφέλιμον· τὸ γὰρ τῶν αἰσχρῶν ὀνομασιῶν » πλῆθος παραιτησάμενος, ὡς ἂν μὴ τὸν λόγον καταῤῥυπαίνοι » τοῖς ῥήμασι, γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέλαβε, δι' ὧν » περιεκτικῶς ἡμῖν τοὺς παρανόμους γάμους ὑπέδειξεν. Ἐπειδὴ » δὲ τῇ τοιαύτῃ σιγῇ, καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων » γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις συνέχεε, συνείδομεν » γυμνότερον τὰ περὶ τούτων ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν » τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ » πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρί, ἢ δύο κόραις ἀδελφαῖς » πατέρα καὶ υἱόν, ἢ ἀδελφοῖς δυσὶ μητέρα καὶ θυγατέρα, ἢ ἀδελ- » φοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κα- » νόνα, ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικε- » σίου.» Τὸ μὲν τοῦ κανόνος ἐπάγγελμα, τοσοῦτον· καὶ οὕτω τά γε ὑπὸ τοῦ Πατρὸς σιωπηθέντα γυμνότερον ὁμοῦ καὶ πλατύτερον ὑπὸ τῶν μετέπειτα Πατέρων ἐκτέθειται, καὶ πρὸς ὄνομα κατὰ μέρος ὥρισαι, καὶ διακεκώλυται. Μνήμη δέ τις παρ' αὐτοῖς τῶν οὕτως ἐχόντων πρὸς ἄλληλα προσώπων οὐδαμοῦ, οὐδ' ὑπ' αἰτίαν ὅλως τι τούτων ἠνέχθη, ἢ διαστάσει ὑπέπεσεν. Ὧν, ὡς ἔοικεν, ἐντελέστεροι ὄντες οἱ νῦν ἐνιστάμενοι, καὶ ταῦτα μήπω μηδὲ ἀντιφθέγγεσθαι καιρὸν ἢ τόπον ἔχοντες, μήτε γνώμην οἰκείαν εἰσάγειν ἐπὶ ταῖς κρίσεσιν, οὐκ οἶδ' ὅ,τι παθόντες, καὶ τοὺς θύραθεν ἤδη διαγράφειν ἐπιχειροῦσι· καίτοι τὴν συγγένειαν . . . μηδὲ ἐξαρχῆς ἐπινοηθεῖσαν τῆς τῶν ἐκ πλαγίου γάμων κωλύσεως ἕνεκα, ἀλλὰ δι' ἑτέρας αἰτίας· Πλατύναι γάρ, φησιν, οἱ πολιτικοὶ νόμοι τὴν τῶν πολιτῶν, ἤτοι ὑπηκόων, βουλόμενοι γνησιότητα, καὶ μὴ περικλείεσθαι τὴν συγγένειαν, τοὺς μετα-

ξὺ τῶν ἐκ πλαγίου διεκώλυσαν γάμους, ὡς ἂν τοῖς ἔξωθεν τῆς ἑαυτῶν συγγενείας ἐξ ἀνάγκης συναπτόμενοι, τὴν πρὸς αὐτοὺς σχοῖεν γνησιότητά τε καὶ εὔνοιαν· οἷς συνῳδὰ καὶ ὁ τὴν γλῶτταν χρυσοῦς ἐν τοῖς ἐξηγητικοῖς αὐτοῦ τῆς Γενέσεως λόγοις διέξεισιν. Ἥκει δὲ λοιπὸν ὁ λόγος καὶ περὶ τῆς συγγενείας διαιρέσεως τῶν ἔξω νόμων ἐπιμνησθῆναι, καὶ δεῖξαι κἀντεῦθεν τὸ ματαιάζον καὶ δύσερι τῶν εἰς οὐδὲν ἕτερον εὐκαιρούντων ἢ λέγειν καὶ ἀκούειν καινότερόν τι καὶ ἄκαιρον· φησὶ γάρ· Τὸ τῆς συγγενείας ὄνομα εἰς τρία διῄρηται, εἰς ἀνιόντας, εἰς κατιόντας, καὶ τοὺς ἐκ πλαγίου· ἑκάστη δὲ τούτων τάξις διαφόρους ἔχει βαθμούς· ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων, εἰς ἀπέραντον ὁ γάμος κεκώλυται· μηδὲ γὰρ ὅσιον εἶναι τὸ τῆς γεννήσεως αἴτιον ὑποβαίνειν τῷ γεννωμένῳ, ὅπερ πολλὰ καὶ τῶν ἀλόγων ἀποσείεται ζώων· ἐπὶ δὲ τῶν ἐκ πλαγίου τὰ τῆς κωλύσεως οὐ περαιτέρω ἀριθμεῖται τοῦ ἕκτου βαθμοῦ(1). Ἀκόλουθον δὲ προσθεῖναι καὶ τὰ ἐξ ἀγχιστείας παρὰ τοῦ νόμου πρὸς γάμου κοινωνίαν κωλυόμενα πρόσωπα, ἀφ' ἧς οὐδὲ συγγένειαν εἶναι ὁ νόμος ἀνέχεται· Ἀγχιστεία γάρ, φησίν, ἐστὶν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων, συγγενείας ἐκτός· ἀλλ' ὅμως πολλὴν κἀνταῦθα τοῦ σεμνοῦ τιθέμενος πρόνοιαν, καὶ περὶ τούτου φησίν· Οὐ δύναμαι λαβεῖν τὴν ἐμὴν προγονήν, ἢ νύμφην· οὐδὲ τὴν πενθεράν μου, ἢ τὴν μητρυιάν μου· οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μου γυναικός, τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός· τὴν τοῦ πατρός μου, ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν οὐ δύναμαι λαβεῖν· οὐ μόνον ἡ τοῦ πατρός, ἀλλὰ καὶ ἡ τοῦ πάππου, μητρυιὰ λέγεται, καὶ κωλύομαι λαβεῖν αὐτάς· κἂν πολλὰς ἔσχεν ὁ πατήρ, οὐδεμίαν αὐτῶν λαμβάνω· οὐδὲ τὴν μητέρα τῆς ποτέ μου μνηστῆς· οὐδὲ τὴν γυναῖκα τοῦ ποτὲ προγονοῦ μου· οὔτε ἡ μητρυιὰ λαμβάνει τὸν γεγενημένον ἄνδρα τῆς προγονῆς αὐτῆς· τὴν προγονὴν τοῦ ἀδελφοῦ μου λαβεῖν οὐ δύναμαι, οὔτε τὴν θυγατέρα τῆς προγονῆς μου λαμβάνω (2)· ὧν καθ' ἕκαστόν τις ἐφιστῶν καὶ σκοπούμενος ἀκριβῶς, πολλὴν ἐν τούτοις τῶν νομοθετῶν κατανοήσει φειδὼ καὶ εὐλάβειαν περὶ τοὺς ἀθέσμους τῶν γά-

(1) ά, 1—6. Βασιλικ. ΚΗ', 5. — (2) ά, 7, β', γ'. Βασιλικ. αὐτόθι.

μων, καὶ τὰς ἐντεῦθεν ἐπιμιξίας τε καὶ συγχύσεις. Ἔτι καὶ τοὺς παρ' ἡμῖν πολιτευομένους τούτους νόμους ὁ εὐσεβέστατος ἐν βασιλεῦσιν ἀνακαθάρας, πρὸ ἔργου παντὸς ἔθετο, τοῖς ἱεροῖς θεσμοῖς καὶ κανόσι συμβιβάσαι τούτους, καὶ συμφωνοῦντας δεῖξαι τοῖς ἅπασιν, ἵνα μηδὲν ἀπᾷδον τούτοις, μηδὲ ἔκφυλον, καὶ πρὸς αὐτοὺς μαχόμενον ᾖ, μηδὲ χριστιανικῆς ἀλλότριον καταστάσεως· καθὸ καὶ τοῖς θείοις τούτοις κανόσι κοινῷ θεσπίσματι τὴν ἰσχὺν καθυπέταξε. Διὸ καὶ οἱ μέχρι τούτων ἀκριβωσάμενοι τὸ τοῦ γένους ἀθόλωτον, οὐκ ἂν οὐδὲ τὸ περὶ τῶν εἰρημένων προσώπων παρέδραμον σιωπῇ, εἴ τι καὶ τούτοις συνῄδεσαν ἀπρεπές τε καὶ ἄσεμνον. Τῶν τοίνυν νομοθετῶν, τῶν ἐξ ἀγχιστείας κεκωλυμένων κατάλογον ποιησαμένων, καὶ μέχρι τούτων τὰ τῆς κωλύσεως καὶ μόνον ὁρισάντων, ὁ καὶ ἑτέρους εἰσάγων ἐξ ἀγχιστείας γάμους, ὧν οἱ νομοθετήσαντες οὐκ ἐμνήσθησαν, οὗτος δόξαν οἰκείας ἐξ αὐθεντίας πληροῖ, οὐ νόμοις ἀκολουθεῖ· εἴτε τοῖς μὲν προσκείμενος, τοῖς δὲ ἀντικείμενος, εἴτε δὴ καὶ τὰς αὐτοῦ θελήσεις καὶ θεραπείας, ὑπὸ προσωπείῳ δῆθεν τῇ τοῦ σεμνοῦ καὶ τοῦ εὐπρεποῦς παρακερδαίνων μεταποιήσει. Ἐφ' ᾧ καὶ τῆς νομικῆς ἀποσπαράξας εὐθύτητος τὸ ῥητὸν ἐκεῖνο, τὸ φάσκον, Οἱ ἀγχιστεῖς πρὸς ἀλλήλους ἀνιόντων καὶ κατιόντων τάξιν ἐπέχουσιν, ὅθεν καὶ ἀθεμίτως συνάπτονται, ὡς ἄμαχόν τι διεστραμμένως προφέρει, ἀπὸ λεπτῆς, ὅ φασι, κρόκης δεσμεῖν ἐλέφαντα εἰκῇ φυσιούμενος· τοῦτο γὰρ τὸ τοῦ νόμου ἀξίωμα· ἐλέγχει δὲ τὴν τοῦ λέγοντος ἐπιχείρησιν τὸ τοῦ νόμου πλάτος, τρανώτερον τὰ περὶ αὐτοῦ ἐξηγούμενον, καὶ μόνοις τοῖς ἀπηριθμημένοις προσώποις τὴν κώλυσιν ὁριζόμενον, τοῦ μὴ κἂν τούτοις τὸν γάμον εἰς ἀπέραντον εἴργεσθαι. Ποίαν γάρ ἐστιν ἰδεῖν συγγένειαν, ἢ αἵματος οἰκείωσιν μεταξὺ ἐμοῦ καὶ τοῦ ἀδελφοῦ τῆς τοῦ ἀδελφοῦ μου γαμετῆς, ἵνα καὶ ἡ ἐξ ἐμοῦ τυχὸν τεχθεῖσα αὐτῷ συνάπτεσθαι κωλύηται; Ἀλλ' ἡ σύγχυσις ἐνταῦθα καὶ ὁ φυρμὸς παρὰ τῶν ἐθελοκάκων προφέρεται, καὶ ἡ τῶν συγγενικῶν ὀνομάτων ἄμειψις· οὓς καὶ προσφόρως ἄν τις καλέσῃ συγχυτικούς, οὕτω προδήλως τοσαύτην σύγχυσιν οὐ πραγμάτων μόνον, ἀλλὰ καὶ ὀνομάτων εἰσάγοντας· καὶ ἀδελφὰς μὲν, τὰς ἐπ' ἀδελφοῖς, καὶ νύμφας ὀνομά-

ζειν βιαζομένους ἀπὸ τῆς θαυμασίας ταύτης πλοκῆς καὶ ἀντιπεριχωρήσεως, ἀδελφοὺς δὲ τῆς γυναικὸς ἔμπαλιν, (βαβαὶ τῆς μεταβολῆς καὶ τῆς συγχύσεως!) τοὺς αὐτῆς ἀνδραδέλφους. Εἰ δὲ δεῖ καὶ ἡμᾶς πρὸς τὰς τούτων συγχύσεις ἐνίστασθαι, πόσῳ μᾶλλον κατ᾽ αὐτοὺς εἰρχθήσεται δικαιότερον καὶ ἡ τῶν δύο ἀῤῥένων ἐξαδέλφων πρὸς τὰς ἀφ᾽ ἑτέρου γένους ἐξαδέλφας συνάφεια; ὧν οὔπω μέχρι καὶ σήμερον οὔτε νόμος, οὔτε κανὼν τὴν ἐπιμιξίαν ἀπέτρεψεν, ἀλλ᾽ ἀνεπικωλύτως καὶ ἀδεῶς διενεργεῖται ὁσημέραι· καὶ σύγχυσις ἐντεῦθεν καὶ ἄμειψις τῶν τῆς συγγενείας ὀνομάτων πολλὴ καὶ καταφανής, ὡς τῶν αὐτῶν πρότερον μὲν ἐξαδέλφους ἀλλήλους καλούντων, μετὰ δὲ τὴν πρὸς ἐκείνους συνάφειαν, συγγάμβρους αὖθις συνελαυνομένους κατονομάζειν· κατ᾽ ἴσον δὲ καὶ τῶν θηλειῶν ἐξαδέλφας ὁμοῦ καὶ συνύμφας ἀλλήλας καλεῖν. Τὴν αὐτὴν δ᾽ ἄν τις τῶν ὀνομάτων σύγχυσιν ἴδοι καὶ ἐπὶ τῶν ἀδελφῶν, τῶν ἐξ ἑτέρου γένους δευτέραις ἐξαδέλφαις συναρμοζομένων· τί δ᾽ ἄν τις εἴποι καὶ περὶ τῶν τρισεξαδέλφων; οἷς ὁ νόμος τὴν γαμικὴν ἐπαγγελίαν οὐ μόνον ἀφῆκεν ἀκώλυτον, ἀλλὰ καὶ ῥητῶς ταύτην ἐπέτρεψεν, ἐν οἷς φησιν· Ἡ γραφεῖσα ὑπὸ αἵρεσιν τῆς μητρὸς κληρονόμος, τὴν, ἐὰν τῷ τρισεξαδέλφῳ γαμηθῇ, πληρούτω πάντως τὴν αἵρεσιν, εἰ μὴ ἄρα ἐκεῖνος ἐμποδίζοι (1)· οὗτοι γοῦν συναπτόμενοι, οὐ συνεύνους μόνον ἀντὶ τρισεξαδέλφων καλέσουσιν, ἀλλὰ καὶ τοὺς ἀλλήλων πατέρας, θείους ἅμα καὶ πενθερούς· καὶ οἱ γεννήτορες αὖθις, ἀνεψιοὺς τοὺς αὐτοὺς καὶ γαμβρούς· καὶ τὸ δὴ θαυμασιώτερον, ὅτι καὶ κληρονομοῦσιν ἀλλήλους, ἑβδόμου βαθμοῦ τυγχάνοντες, τῶν προσεχεστέρων ἐξ ἐπιλιπόντων βαθμῶν, καθὼς ὁ περὶ κληρονομίας παρίστησι νόμος· Ἡ συγγενικὴ βοήθεια, ἐξ βαθμοὺς συγγενείας περιλαμβάνει, καὶ ἀπὸ τοῦ ἑβδόμου πρόσωπα δύο, τὰ τικτόμενα ἀπὸ τοῦ δισεξαδέλφου καὶ τῆς δισεξαδέλφης (2). Τί τούτων αὖθις συγχυτικώτερον; Ἀλλ᾽ ὁ νομοθέτης, τὸν αὐτὸν πενθερὸν ὀνομάζειν καὶ θεῖον, καὶ κληρονόμον αὐτοῦ ἐξ ἀποτελέσματος δείκνυσθαι, οὐχ ἡγήσατο σύγχυσιν· διατί; ὅτι μηδὲν πάντως ἔκθεσμον ἐνεῖδε τῷ πράγματι· καθὸ

(1) λ΄, Βασιλικ. ΛΑ΄, 12. — (2) ς΄, 8. Βασιλικ. ΜΕ΄, 2.

καὶ μήπω κανόνος ἱεροῦ, ἢ νόμου καινοῦ, τοὺς πρὸς ἀλλήλους τῶν τοιούτων προσώπων γάμους ἀποκλεισάντων, χωροῦσιν οὗτοι διὰ πάντων, καὶ διαδίδονται, τῶν συγχύσεων ὀλίγα φροντίζοντες. Ἀλλὰ γὰρ, ὥσπερ ἐπὶ τῶν ἐκ πλαγίου, μέχρι τῶν δισεξαδέλφων ὁ νόμος τὰ τῆς κωλύσεως ὁρισάμενος, τοὺς περαιτέρω τούτων ἀδεῶς ἀφῆκε συμπλέκεσθαι, οὕτως ἄρα καὶ τὰ ἐξ ἀγχιστείας καταλέξας κωλυόμενα πρόσωπα, καὶ τούτοις τὴν ἀπαρίθμησιν ὡσανεί τινα τειχία καὶ ὅρους θέμενος, τὴν γαμικὴν ὁμιλίαν τοῖς ἄλλοις ἐπέτρεψεν· οἷς ὁ ἀντινομοθετῶν, καὶ τὰ γένη προδήλως ἀδικῶν, λέληθε δήπου πολλῷ πρότερον καὶ αὐτοὺς ὑπ' εὐθύνην ἄγων τοὺς παριδόντας εἰς δεῦρο τὰ τοιαῦτα θείους Πατέρας καὶ πατριάρχας· οἵ γε καὶ κινδυνεύσουσι πάντως τὸ κατ' αὐτοὺς ἐπάρατοι γενέσθαι, καὶ τῆς Ἐκκλησίας ἐκκήρυκτοι, εἰ καὶ φωστήρων δίκην ἐξέλαμψαν. Ἓν ἐπὶ τούτοις ἐροῦμεν καὶ σύντομον. Εἰ μὲν αὐτὰ τὰ περὶ συγχύσεως ἀπεριμερίμνως τῷ τόμῳ παρεῤῥιμμένα ῥητὰ, καὶ τῇ τοῦ μεγάλου Βασιλείου ἐπιστολῇ ἀπαραλείπτως ἐγκείμενα δείξουσι, δεδόσθω κατ' αυτοὺς, καὶ τὴν τῶν πολλάκις μνημονευθέντων προσώπων συνάφειαν τῶν ἀθεμίτων ὑπάρχειν. Ἔχει καὶ γὰρ οὕτως· ὁ ἱερὸς καὶ μέγας Βασίλειος, ὁ καὶ τὰ βάθη τοῦ Πνεύματος, κατὰ τὴν θεολόγον φωνὴν, ἐρευνῶν, οὗτος περί τινος ἀθεμίτου γάμου διαλεγόμενος, ἐπίτομον γνώρισμα δίδωσιν, ἐν ᾧ τὰ τῶν ἀθεμίτων γάμων ῥᾳδίως τῶν νομίμων ἀποκριθήσονται, Ἐν οἷς, λέγων, τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. Καὶ ταῦτα μὲν ὁ τόμος(1). Αὐτῇ δὲ τῇ ἐπιςολῇ περὶ τῶν ἐξ ἑνὸς ἀνδρὸς καὶ δυοῖν γυναικῶν ἀδελφῶν τικτομένων ὄντος τοῦ λόγου, πλέον οὐδὲν προσκείμενον εὑρεῖν ἐστι τῶν οὕτως ἐχόντων ῥητῶν, Ἐκ ποίας, φησὶ, συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; ἀδελφοὺς ἀλλήλων, ἢ ἀνεψιοὺς προσεροῦσιν; ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν (2). Τοσαύτης οὖν διαφωνίας ὑπούσης τῶν τοῦ τόμου ῥητῶν πρὸς τὰ τοῦ θεοφάντορος καὶ τῇ φράσει, καὶ τῇ ἐννοίᾳ, καὶ οὕτως ἀπεξενωμένων πρὸς ἄλληλα, ὡς διάκενον μόνον ἀναπλασμὸν παρὰ πᾶσι τὰ

(1) Σισιννίου σελ. 11. τοῦ παρόντος Τόμου. — (2) Βασιλ. κανὼν πζ',

τοῦ τόμου ταῦτα νομίζεσθαι, ὁ τούτοις καθάπερ τινὶ καθολικῷ κανόνι ἀνεπιστάτως χρώμενος, καὶ τὰς τηλικαύτας ἐντεῦθεν συγχύσεις ἐπεισάγων τοῖς γάμοις, ἑαυτὸν δήπου λέληθεν ἀπατῶν, ἐξ ἀνυποστάτων ἀρχῶν, ὃ δὴ λέγεται, τὰ δοκοῦντα κατασκευάζειν τεχνώμενος. Λείπεται τοίνυν πρὸς τὸ εὐπρεπὲς αὐτῶν, τοῦ εὐπρεποῦς πρόβλημά τε καὶ ἔρεισμα, μικρά τινα διαλαβεῖν. Καὶ γὰρ οὗτοι μὴ διαστέλλοντες, ἀλλ' ἕτερα ἀνθ' ἑτέρων προβαλλόμενοι, καὶ τὰ ἐφ' ἑτέρων ἐκφωνηθέντα κακούργως κλέπτοντες, καὶ τὰς τῶν ἁπλουστέρων ἀκοὰς παρασαίνοντες, τὸ, Ἐν τοῖς γάμοις, φασὶν, οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν (1), ἄνω καὶ κάτω προφέρουσιν· ὅπερ ὁ καὶ μικρὸν ἐγκύψας τοῖς νόμοις οὐκ ἀγνοήσει πάντως· ὅτι, ὥσπερ ἐν τῷ μικρῷ πρὸ τούτου κεφαλαίῳ, πρὸς δὲ καὶ ιθ', περὶ τῶν φυσικῶν παίδων, καὶ τῶν θετῶν, καὶ τῶν ἀπὸ δούλων καταγομένων, καὶ τῶν ἐκ δουλικῆς ἀγχιστείας, καὶ ἑτέρων τινῶν τῷ νόμῳ διείληπται, οὕτω δὴ καὶ τὸ περιφόρητον δὴ τοῦτο τοῦ εὐπρεποῦς κεφάλαιον, περὶ τῶν ἀπὸ τῶν ἀξιωματικῶν τικτομένων καὶ πατρώνων· ὥστε τοὺς μὲν μὴ ἀπελευθέροις, τοὺς δὲ μὴ σκηνικοῖς προσώποις πρὸς γάμον ἁρμόζεσθαι, τῷ νόμῳ κεκανόνισται· ὅτι δὲ τὸ τοιοῦτον κεφάλαιον ἰδιαζόντως πρὸς ἀπαγόρευσιν τῆς τῶν συγκλητικῶν πρὸς ἀπελευθέρους, ἢ σκηνικοὺς συναφείας ἐκπεφώνηται, αὐτὸ τὸ τοῦ νόμου πλάτος παραστήσει ἀναγνωσθέν. Ἐν ταῖς συναφείαις, γάρ φησι, τῶν γάμων, οὐ μόνον τὴν ἀκρίβειαν σκοπεῖσθαι χρεὼν, ἀλλ' εἰ καὶ σεμνόν ἐστι τὸ πραττόμενον· τοῦ δὲ τοιούτου κανόνος τὴν ἀσάφειαν ἀνακαλύπτων ὁ Στέφανος, καὶ ποίοις διδάσκων ἁρμόζεσθαι θέμασι, τοῦτο εἶπε, φησὶν, ἐν τῷ ιϛ'. κεφαλαίῳ, σενάτορις φίλια (2)· ὡσανεὶ λέγων, σαφέστερον ἐκεῖ λέλεκται· εἶτα καὶ παρατίθεται αὐτὰ τὰ ῥητὰ, ἐξ ὧν, καὶ δι' ἃ εἴληπται, ἅτινα οὕτως ἔχει· Οὔτε ἡ θυγάτηρ, ἢ ἐγγόνη, ἢ προεγγόνη τοῦ συγκλητικοῦ, δύναται ἀπελευθέρῳ γαμεῖσθαι, ἢ τῷ παιγνίαν σκηνικὴν ἐνδειξαμένῳ, ἢ ἐκείνῳ, οὗ τινος ὁ πατὴρ καὶ ἡ μήτηρ παιγνίαν ἐνεδείξατο σκηνικήν. Καὶ ταῦτα μὲν ἐπὶ τού-

---

(1) ρϙζ'; Βασιλικ. Β', 3. καὶ ϛ', Βασιλικ. ΚΗ', 5. — (2) ιϛ', Βασιλικ. αὐτ.

των ἡ τῶν νόμων γλῶσσα ὁ Στέφανος. Τὸ δὲ τὰ ἐφ' ἑτέρων ἐκφωνηθέντα, καὶ τὴν ἰσχὺν ἐν ἐκείνοις ἔχειν ὀφείλοντα, μετάγειν ἐφ' ἕτερα, καὶ τὰ πρόδηλον ἑρμηνείαν ἔχοντα παρὰ τὸν νόμον μεταποιεῖν, αὐτὸ τοῦτο δὴ τὸ τὴν ὡς ἀληθῶς σύγχυσιν ἐργαζόμενόν ἐστιν, ὃ τάχα καὶ ὑπὸ πλαστογραφίας ἔγκλημα θήσει τούς γε δὴ μὴ παραφυλάττοντας. Ὥσπερ οὖν οὐκ ἔστι ταυτὸν, τὸ, ἕνα ἄνδρα συμφθείρεσθαι δύο ἀδελφαῖς, (τοῦτο δὴ τὸ τῷ μεγάλῳ Βασιλείῳ καλῶς ἀπαγορευθὲν), τῷ δύο κηδεςῶν παῖδας ἀλλήλοις συζεύγνυσθαι, οὕτως οὐδὲ τοὺς ἀποτεχθέντας παῖδας τοῦ Δημητρίου τε καὶ Νικολάου, συναφθῆναί τις κατά τινα τρόπον κωλύσει. Διὸ κατ' αὐτὸν τὸν θεοφόρον καὶ μέγαν Βασίλειον, νόμῳ πρὸς γάμον ὁρμωμένοις ἤνοικται τούτοις ὁ τοιοῦτος γάμος καὶ συγκεχώρηται· συγκεχώρηται δὲ, ἐπεὶ μὴ κεκώλυται· οὐ κεκώλυται δὲ, ἐπεὶ μήτε παλαιὸς κανὼν, μήτε μὴν ὁ τόμος αὐτὸς ἀναιρῶν που δείκνυται, ὡς ἅπαν ἐν τούτοις συνάγων τε καὶ ἱστὰς τὸ συμπέρασμα, καὶ μόνους ἀδελφοὺς δύο, ἐξαδέλφας δύο ἀπείργων λαμβάνειν, καὶ θεῖον καὶ ἀνεψιὸν, ἀδελφὰς δύο, καὶ τὰ τούτων ἀνάπαλιν, περαιτέρω δὲ μηδὲν πολυπραγμονῶν, μηδὲ ἀποφαινόμενος· καθ' ὃν λόγον καὶ ὁ μακαρίτης κυρὸς Σέργιος, πολλῇ τῇ πείρᾳ τούτων γεγυμνασμένος, τὸ συνάλλαγμα Ῥωμανοῦ τοῦ υἱοῦ Γενεσίου τοῦ Πατρικίου πρὸς τὴν θυγατέρα τοῦ τῶν εὐαγῶν οἴκων οἰκονόμου, ἐπέτρεψεν ὡς ἀκώλυτον· εἰ καὶ πολλῷ τοῦ νῦν προβάντος ἐκεῖνο ἐπισφαλέστερον, ὡς καὶ ὄντως συγγενικὸν, ὅτι καὶ δύο ἀμφιθαλῶν ἀδελφῶν ὑπόντων, δύο δὲ πρώτων ἐξαδέλφων ἑτέρων, Ἀγάθης λέγω καὶ Ῥωμανοῦ, ὧν ὁ μὲν, τῇ Ἀγάθῃ συνήφθη· τῶν δὲ ἡ θυγάτηρ, τῷ τῆς Ἀγάθης ἐξαδέλφῳ Ῥωμανῷ· ὧν οὐδὲν, ὡς ἂν εἴποις αὐτὸς, ἀπρεπέστερον, ὡς πάντη ἐγγίζον τῷ ἀπὸ τοῦ τόμου κεκωλυμένῳ, καὶ τὸ αὐτὸ σχεδὸν ὂν τῷ δύο ἀδελφοὺς δύο ἐξαδέλφας ἀγαγέσθαι, εἴγε καὶ μᾶλλον μία σὰρξ ὁ πατὴρ τῷ υἱῷ, ἤπερ ἀδελφὸς ἀδελφῷ, κατὰ τὰς σὰς ἐξηγήσεις. Ἀλλ' ὅμως νόμων τινῶν καὶ κανόνων μὴ συναιρομένων τῇ Ἐκκλησίᾳ πρὸς τὴν τούτων διάστασιν, ἀλλὰ μηδὲ τοῦ τόμου ῥητῶς αὐτοῦ, ὁ τοιοῦτος γάμος προέβη τε καὶ συνέστη, καὶ ἀπαρενόχλητος ἔμεινε, τῇ πολιτείᾳ πάσῃ κεκηρυγμένος ὢν καὶ κατά-

δηλος· καὶ μυρία τούτων ἐχόμενα συναλλάγματα ἀνὰ τὴν εὐνομουμένην ταύτην εὕροι τις μεγαλόπολιν ἐμπολιτευόμενα. Διόπερ τοῦ τόμου λοιπὸν ἐντὸς στήσῃ, καὶ ὅριον αὐτὸν ἕξεις, καὶ οὐχ ὑπερβήσῃ, οὐδὲ περιεργότερος τούτου καὶ ἐρεκτικώτερος ἔσῃ, οὐδὲ τῶν νομίμων νομιμώτερος, οὐδὲ τῶν κανόνων εὐθύτερος, οὐδὲ τῶν ταύτους θεμένων Πατέρων ἐπιστημονικώτερος εἰς ψυχῶν θεραπείαν καὶ κάθαρσιν, ὅστις ποτὲ εἶ. Ὅτε δὲ καὶ νέας συνόδους ἀθροίσεις, καὶ τόμους ἑτέρους συνθήσεις, καὶ βασιλικὰς ἐπικρίσεις προσθήσεις, τότε τάχα σοι καὶ ἡμεῖς πρὸς μὲν τὰ ἔμπροσθεν ἐπακολουθήσομεν, τοὺς δὲ νόμῳ συναφθέντας ἤδη καὶ παιδοποιήσαντας οὐδαμῶς διαζεύξομεν, ὡς ἂν μὴ διγάμους ἀπεργασώμεθα, κακῷ τὸ κακὸν ἰώμενοι, ἀποκλήρους δὲ καὶ τοὺς τούτων ἀποτεχθέντας, καὶ προσαίτας, καὶ Ἴρους, καὶ αὐτὸ τοῦτο ὀνείδη τῆς φύσεως. Ἕως δ' ἂν τόμος μὲν οὔπω καινὸς ἕτερος, οἱ αὐτοὶ δὲ νόμοι τε καὶ κανόνες ἐπέχωσιν, ἀναιρεθῆναι δὲ τούτους ἀμήχανον, ἀδυνατώτερον εὖ ἴσθι καὶ τὰ οὕτως ἔχοντα διαλυθῆναι συνοικέσια. Ἀλλ' ὦ βέλτιστε καὶ σεμνοπρεπέστατε, καὶ νόμων εἰσηγητὰ καινῶν, (καί σοι μηδὲν πρὸς ὀργὴν, εὐκαίρως παῤῥησιαζομένης τῆς ἀληθείας,) ἐπίσχες μικρὸν τὴν γλῶτταν, ἐπίσχες, εἰ δυνατὸν, αἰδεσθεὶς ὀψέ ποτε παλαιά τε ὁμοῦ καὶ νέα πατέρων διδάγματα, ὧν μὴ μέταιρε ὅρια· ἀνάμεινον τὸν τοῦ λέγειν καὶ ἀντιλέγειν τόπον τε καὶ καιρὸν, ἃ μετ' ὀλίγον ἥξει σοι· ἔτι βραχὺ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνέσεις τὸν Κύριον. Τί πρὸ τῶν θρόνων τὰ τῶν θρόνων ἁρπάζεις; Τί δεσμεύεις φορτία δυσβάστακτα, ἃ μηδὲ τῷ δακτύλῳ κινῆσαι δυνατόν; μικρὸν ὅσον καὶ ὁ τῆς διδασκαλίας θρόνος σε ὑποδέξεται· ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε, ὡς αἱ μὲν ἔνθεν, αἱ δὲ ἐντεῦθεν τῶν μητροπόλεων περιμένουσαι, ὑπτίαις σε χερσὶν ἀπεκδέχονται, καὶ ἀντιζηλοτυποῦσιν ἀλλήλαις ἐρίζουσαι, ποτέρα τούτων καθηγητὴν καὶ διδάσκαλον ἕξει σε. Τότε γοῦν καὶ εἰσηγήσῃ τὰ δόξαντα εὐκαιρότερον, καὶ θεμιστεύσεις θαῤῥαλεώτερον, καὶ ἀντινομοθετήσεις τὰ ἔτι καινότερα, καὶ ὑπερφωνήσεις τοὺς ἄλλους· καί που καὶ τὰς ὀφρῦς ἀνασπάσας, δριμύ τι τούτοις ἐμβλέψεις, καὶ τιτανῶδες, καὶ ὅλον αὐτοῖς τὸν μυκτῆρα δὴ

μοσιεύσεις· καὶ οὐδὲ γρῦξαι τυχὸν τοὺς ἐπιεικεστέρους ἀφήσεις, κἂν πολιᾷ καὶ χρόνῳ προέχωσιν· ὡς νῦν γε τῶν πρεσβυτέρων κατεπαιρόμενος, καί, τὸ τοῦ λόγου, ἐν Καρὸς αἴσῃ αὐτοὺς λογιζόμενος, κρίμα σεαυτῷ θησαυρίζεις, ἐν ἡμέρᾳ ἀνταποδόσεως περιμένον σε. Ἀλλ' οὐ πείθομεν· καὶ τὸ ἑξῆς αὐτὸς σεαυτῷ ἐπίλεγε.

Β'. ΑΠΑΝΤΗΣΙΣ ΠΡΟΣ ΤΟΝ ΛΕΓΟΝΤΑ,

Κεκωλυμένον εἶναι τὸν ἐκ τριγενείας γάμον, καὶ ἀσυγχώρητον.

Ο ΜΕΝ ἐπὶ Κανικλείου ἀμεταθέτως, οὐ πολὺ δὲ εἰπεῖν, καὶ ἀπερισκέπτως ἐνίσταται, λέγων εἶναι τὸν εἰρημένον ἐκ τριγενείας γάμον παράνομον· ἐλέγχεται δὲ μάτην φθεγγόμενος· οὐδὲν γὰρ παρίστησιν ἐκ τοῦ νόμου καίριον. Ἐγὼ δὲ ὁ δοῦλός σου, τὸ μὴ παρὰ τοῦ νόμου ῥητῶς κωλυθὲν οὐ δύναμαι ἀπὸ στοχασμῶν ὡς ἐκφωνηθὲν παραδέχεσθαι· καὶ γὰρ ὁ νόμος περὶ τῶν ἐκ τριγενείας κεκωλυμένων ῥητῶς διέλαβε, φάσκων οὕτως· Οὐδὲ τὴν ποτὲ γυναῖκα τοῦ προγονοῦ μου λαμβάνω· οὐδὲ ἡ μητρυιὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγονῆς αὐτῆς (1)· ἃ σχεδὸν καὶ πρώτου βαθμοῦ εἰσιν, εἴ τις κἂν τούτοις εἰσάγειν βαθμοὺς ἐκβιάσοιτο. Περὶ δὲ τῶν ἄλλων ἐκ τριγενείας, ὡς ἀκωλύτων, οὐδὲν ὅλως ὁ νόμος διέλαβε· διὸ καὶ οὐδεὶς οὐδέποτε δικαστὴς τοιοῦτον γάμον διέσεισε· καθάπερ ἀμέλει καὶ ἐν τῷ τόμῳ τοῦ Σισιννίου, ὃ μὲν ῥητῶς κεκώλυται, ἕκτου βαθμοῦ εὑρισκόμενον, μεμένηκεν ἀπαράβατον· ὃ δὲ παρεῖται, δηλαδὴ ὡς ἀκώλυτον, παρ' οὐδενὸς μετὰ ταῦτα κεκώλυται· ὅπερ ἐςί, θεῖος καὶ ἀνεψιὸς θείαν λαμβάνει καὶ ἀνεψιάν. Δέκα γὰρ καὶ ἑπτὰ ἔτη κοιαίστωρι ὄντι ἐξυπηρετησάμην τῷ μακαρίτῃ κυρίῳ μου τῷ Μυστικῷ, καὶ τοιαῦται πολλαὶ ὑποθέσεις ἐκινήθησαν ἔν τε τῇ βασιλευούσῃ, καὶ ἐν τοῖς ἔξω· καὶ πρὸς ἐκεῖνον ἔγραφον οἱ κριταί· καὶ εἰς τὸ κοιαιστώριον δὲ τοιαῦται πολλαὶ ὑποθέσεις ἐκινοῦντο· ἀλλ' οὐδέποτε τοιοῦτος ἐκωλύθη βαθμός. Ἐν μὲν γὰρ τῇ φυσικῇ συγγενείᾳ τὸν ἕβδομον βαθμὸν

(1) γ'. Βασιλικ. ΚΗ, 5.

οὐ παρεξερχόμεθα· οὐδὲ γὰρ ἡ φύσις ἀνέχεται ὑπὲρ τοῦτον τὸν βαθμὸν τὴν ζωὴν τῶν ἀνθρώπων ἐπεκτείνεσθαι. Ἐν δὲ τοῖς ἐξ ἀγχιστείας καὶ τοῖς ἐκ τριγενείας, ὅσα ὁ νόμος ῥητῶς διωρίσατο, ταῦτα ὀφείλουσι διαφυλάττεσθαι. Τὸ δὲ διὰ τί, οὐ χρὴ πολυπραγμονεῖν, οὐδὲ τὰς αἰτίας ἐπιζητεῖν· ὅτι καὶ ὁ νόμος οὕτω φησίν· Οὐ δεῖ πάντων τῶν νομίμων λογισμὸν ἀπαιτεῖν(1)· εὑρίσκονται γὰρ οἱ πολλοὶ ἀναιτιολόγητοι· καὶ ἔστι τὸ τοιοῦτον νόμιμον δίγεστον, καὶ παλαιὸν, καὶ πρὸ τῆς μοναρχίας. Ὅσα δὲ μὴ ῥητῶς ὑπὸ τῶν νόμων κεκώλυται, ταῦτα τῶν κεκωλυμένων ὑπερτείνοντα, πράττεται ἀδεῶς. Ὁ δὲ πάλιν ὡς μέγα τι προβαλλόμενος, φησὶν, ὅτι ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς δεῖ ζητεῖν, καὶ ἐκ τούτου πειρᾶται κρατῆσαι τοῦ ἀγῶνος. Αὐτόθεν δὲ τὴν λύσιν ὁ νόμος ἐπάγει, καὶ πᾶσαν ἀπολογίαν ἀποῤῥαπίζει. Περὶ γὰρ τῶν ἐκ φυσικῆς ἐπιθυμίας προβιβαζομένων εἰς τὸ παράνομον, τοῦτο διέξεισι, καί φησιν· Ὁ φυσικὸς πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα· τὸ γὰρ φύσει δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται. Τὰ αὐτὰ καὶ περὶ δουλικῆς συγγενείας φυλάττεσθαι δεῖ (2). Καὶ εἰκότως· εἰ γὰρ καὶ συγγένεια μὲν ἐν τούτοις οὐ θεωρεῖται διὰ τὸ ἀκέφαλον, ἀλλὰ διὰ τὸ εὔσχημον συντηροῦνται καὶ ταῦτα· καὶ οἱ νόμοι, ἐν οἷς ἐξεφωνήθησαν, ἐν ἐκείνοις καὶ τὴν ἰσχὺν ἔχουσι. Τὸ δὲ περιβιάζεσθαι αὐτοὺς, ἢ ἐξ ἀντιδιαστολῆς ἀποκρίνεσθαι, παρανοοῦντος τούτους ἐστί. Καὶ οἱ ἀντιλέγοντες, μηδὲ ἑπόμενοι τοῖς κειμένοις νόμοις, ἀλλ' ἕτερα ἐξ οἰκείων παρεισάγοντες, οὐ δικαστῶν, ἀλλὰ νομοθετῶν τάξιν πειρῶνται ἔχειν· ἀπ' ἀρχῆς γὰρ ἀδιάκριτος ἦν ἡ πρὸς ἀλλήλους συνάφεια. Τῶν δὲ νομοθετῶν ῥητῶς κωλυσάντων τὰ δοκοῦντα ἀθέμιτα, τὰ λοιπὰ προβαίνει μὴ κωλυόμενα· διὸ καὶ οὐ χρὴ ζητεῖν, τίς ὁ προτρέψας ῥητῶς τὸ τοιόνδε γενέσθαι, ἀλλὰ μάλιστα τίς ὁ γενέσθαι κωλύσας· εἰ δὲ μηδεὶς, προβαίνειν ἀνάγκη τὸ τοιοῦτον συνάλλαγμα. Καὶ σὺ νῦν πρώτως ἡμεῖς τοῦτο ἀκώλυτον τάξομεν, ἀλλ' ἔστι προβαῖνον ἐξ ἀμνημονεύτων τῶν χρόνων, παρὰ τὸ μηδεμίαν ἔχειν

---

(1) λ', Βασιλικ. Β', 1. — (2) ϛ', 2. Βασιλικ. ΚΗ. ˚5.

μοσιεύσεις· καὶ οὐδὲ γρῦξαι τυχὸν τοὺς ἐπιεικεστέρους ἐρήσεις, κἂν πολιᾷ καὶ χρόνῳ προέχωσιν· ὡς νῦν γε τῶν πρεσβυτέρων κατεπαιρόμενος, καί, τὸ τοῦ λόγου, ἐν Καρὸς αἴσῃ αὐτοὺς λογιζόμενος, κρίμα σεαυτῷ θησαυρίζεις, ἐν ἡμέρᾳ ἀνταποδόσεως περιμένον σε. Ἀλλ' οὐ πείθομεν· καὶ τὸ ἑξῆς αὐτὸς σεαυτῷ ἐπίλεγε.

Β'. ΑΠΑΝΤΗΣΙΣ ΠΡΟΣ ΤΟΝ ΛΕΓΟΝΤΑ,

Κεκωλυμένον εἶναι τὸν ἐκ τριγενείας γάμον, καὶ ἀσυγχώρητον.

Ο ΜΕΝ ἐπὶ Κανικλείου ἀμεταθέτως, οὐ πολὺ δὲ εἰπεῖν, καὶ ἀπερισκέπτως ἐνίσταται, λέγων εἶναι τὸν εἰρημένον ἐκ τριγενείας γάμον παράνομον· ἐλέγχεται δὲ μάτην φθεγγόμενος· οὐδὲν γὰρ παρίστησιν ἐκ τοῦ νόμου καίριον. Ἐγὼ δὲ ὁ δοῦλός σου, τὸ μὴ παρὰ τοῦ νόμου ῥητῶς κωλυθὲν οὐ δύναμαι ἀπὸ στοχασμῶν ὡς ἐκφωνηθὲν παραδέχεσθαι· καὶ γὰρ ὁ νόμος περὶ τῶν ἐκ τριγενείας κεκωλυμένων ῥητῶς διέλαβε, φάσκων οὕτως· Οὐδὲ τὴν ποτὲ γυναῖκα τοῦ προγονοῦ μου λαμβάνω· οὐδὲ ἡ μητρυιὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγονῆς αὐτῆς (1)· ἃ σχεδὸν καὶ πρώτου βαθμοῦ εἰσιν, εἴ τις κἂν τούτοις εἰσάγειν βαθμοὺς ἐκβιάσοιτο. Περὶ δὲ τῶν ἄλλων ἐκ τριγενείας, ὡς ἀκωλύτων, οὐδὲν ὅλως ὁ νόμος διέλαβε· διὸ καὶ οὐδεὶς οὐδέποτε δικαστὴς τοιοῦτον γάμον διέσεισε· καθάπερ ἀμέλει καὶ ἐν τῷ τόμῳ τοῦ Σισιννίου, ὃ μὲν ῥητῶς κεκώλυται, ἔκτου βαθμοῦ εὑρισκόμενον, μεμένηκεν ἀπαράβατον· ὃ δὲ παρεῖται [illegible] λαδὴ ὡς ἀκώλυτον, παρ' οὐδενὸς μετὰ ταῦτα κεκώλυ[illegible] ἐστί, θεῖος καὶ ἀνεψιὸς θείαν λαμβάνει καὶ ἀνεψιά[illegible] καὶ ἑπτὰ ἔτη κοιαίστωρι ὄντι ἐξυπηρετησάμ[illegible] κυρίῳ μου τῷ Μυστικῷ, καὶ τοιαῦται πολ[illegible] νήθησαν ἔν τε τῇ βασιλευούσῃ, καὶ ἐν τοῖ[illegible] νον ἔγραφον οἱ κριταί· καὶ εἰς τὸ κοι[illegible] πολλαὶ ὑποθέσεις ἐκινοῦντο· ἀλλ' οὐ[illegible] βαθμός. Ἐν μὲν γὰρ τῇ φυσικῇ συγγ[illegible]

(1) γ'. Βασιλικ. ΚΗ', 5.

...έν.

...ωσιν;

...γυναῖκα εἰς τὸ ὀσπήτιον αὐ-
...ν αὐτοῦ;

...ρισις.

...ρὴ δέχεσθαι οὔτε προσφορὰν, οὔτε
...μίαμα.

...ζη περὶ τὸ τέλος τῆς ἐνδεκάτης ἀπὸ Χριστοῦ ἑκα-
...οκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ, οὗ καὶ ὡς ἔτι ὄν-
...ρω λύσεσι μέμνηται.

αἰτίαν κωλύσεως· ὁ γὰρ εὐθὺς δικαστὴς πρὸς τὸ παρὰ τοῦ νόμου ἐκφωνούμενον ὥσπερ κανόνα τινὰ τὸν νοῦν ἐπερείδων, τὰ περιττὰ καὶ τοῦ κανόνος ἐπέκεινα παρίησιν ὡς ἀκώλυτα· εἰ μή τις διὰ φιλαυτίαν τινὰ, ἢ ἀπέχθειαν περὶ τοὺς καλῶς κειμένους νόμους, καὶ τὴν ἄνωθεν κρατοῦσαν συνήθειαν διαμάχεσθαι βούλεται. Καὶ ἐπὶ τῶν πρὸ ἡμῶν γὰρ πολλὰ τοιαῦτα γέγονε συνοικέσια, μήτε παρὰ τῆς Ἐκκλησίας, μήτε παρά τινος δικαστοῦ κωλυθέντα· ἃ καὶ περιττόν ἐστιν καταλέγειν, οὕτω σαφοῦς ὄντος καὶ ἀναμφιβόλου τοῦ παρόντος ζητήματος.

ΠΕΤΡΟΥ ΧΑΡΤΟΦΥΛΑΚΟΣ (1).

ΕΡΩΤΗΜΑΤΑ, ΑΠΕΡ ΕΛΥΣΕΝ Ο ΤΙΜΙΩΤΑΤΟΣ

Χαρτοφύλαξ, κύριος Πέτρος, καὶ διάκονος τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, ἐν ἔτει ,ςχ'.

Ἐρώτημα.

Εἰς πόσον καιρὸν ὀφείλει βαπτίζεσθαι τὸ παιδίον;

Ἀπόκρισις.

Ἐὰν νοσῇ, ὅρον οὐκ ἔχει, ἀλλὰ παραυτίκα βαπτίζεται· εἰ δὲ ὑγιαίνει, εἰς τὰς τεσσαράκοντα ἡμέρας.

Ἐρώτημα.

Ἔστιν ἄξιον, μετὰ μιᾶς προσφορᾶς λειτουργῆσαι;

Ἀπόκρισις.

Ἐὰν μὴ ἔστιν ἁγίου μνήμη, ἢ νεκροῦ, τὸ κωλύον οὐδέν.

Ἐρώτημα.

Εἰ οὐχ εὑρίσκεται οἶνος, μετὰ ὄξους δεῖ ποιῆσαι ἕνωσιν;

Ἀπόκρισις.

Οὐχί· τοῦτο γὰρ ἐθνικόν ἐστιν.

Ἐρώτημα.

Ἔστιν ἄξιον, μοναχὸν εὐλογῆσαι γάμον;

Ἀπόκρισις.

Οὔτε μοναχόν, οὔτε ἐν μοναστηρίῳ.

Ἐρώτημα.

Ἐὰν ἔχῃ ἄνθρωπος ἀνευλόγητον γυναῖκα εἰς τὸ ὁσπήτιον αὐτοῦ, ἔστιν ἄξιον δέχεσθαι προσφορὰν αὐτοῦ;

Ἀπόκρισις.

Ἀπὸ τῆς οἰκίας αὐτοῦ οὐ χρὴ δέχεσθαι οὔτε προσφοράν, οὔτε κηρόν, οὔτε ἔλαιον, οὔτε θυμίαμα.

---

(1) Πέτρος ὁ Χαρτοφύλαξ ἔζη περὶ τὸ τέλος τῆς ἐνδεκάτης ἀπὸ Χριστοῦ ἑκατονταετηρίδος, ἐπὶ τοῦ αὐτοκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ, οὗ καὶ ὡς ἔτι βασιλεύοντος ἐν ταῖς ἀνωτέρω λύσεσι μέμνηται.

Ἐρώτημα.

Ἔστιν ἄξιον δέχεσθαι μοναχὸν παιδία ἀπὸ βαπτίσματος, ἢ ποιεῖν ἀδελφοποιησίας, ἢ κρατεῖν στεφάνια;

Ἀπόκρισις.

Παρὰ κανόνα εἰσί, καὶ κωλύονται.

Ἐρώτημα.

Γυνὴ ἡ γεννήσασα εἰ διέλθοι τὰς τεσσαράκοντα ἡμέρας, καὶ μὴ λάβῃ εὐχήν, ἄξιόν ἐστι τοῦ γενέσθαι προσφορὰν παρ' αὐτῆς;

Ἀπόκρισις.

Παρ' αὐτῆς μὲν οὐχί, ἀλλὰ παρ' ἑτέρου προσώπου.

Ἐρώτημα.

Ἱερεὺς ἐὰν ἐν σωματικῇ φαντασίᾳ γένηται, λειτουργήσει τῇ ἡμέρᾳ ἐκείνῃ, ἢ κοσμικὸς μεταλήψεται;

Ἀπόκρισις.

Ἐὰν ἐξ ἐπηρείας δαιμονικῆς κωλύωνται τοῦ ἀγαθοῦ, ἐξαγορεύουσι πρότερον, καὶ οὕτως ὁ μὲν ἱερεὺς λειτουργείτω, ὁ δὲ κοσμικὸς μεταλαμβανέτω· εἰ δὲ ἐκ τρυφῆς καὶ πολυποσίας, μήτε οὗτος, μήτ' ἐκεῖνος (1).

Ἐρώτημα.

Ὁ εἰς ἔθνη κρατηθείς, καὶ μαγαρίσας, καὶ ἐν κοίτῃ μιανθείς, μήπω δὲ μουσουλμανίσας, μυρόνεται; ἢ τὰς εὐχὰς τῆς μιαροφαγίας λαμβάνει, καὶ κοινωνεῖ;

Ἀπόκρισις.

Ὁ μιαροφαγήσας, τὸν Χριστὸν ἀρνεῖται· καὶ οὐκ εὐθὺς ἔσται δεκτός, ἀλλὰ μετὰ χρόνον, ἄξια μετανοίας ἔργα ποιήσας, ἵνα μυρωθῇ· καὶ μετὰ ταῦτα, ἵνα μεταλάβῃ (2).

Ἐρώτημα.

Εἰ οὐκ ἔχει τόπον ἡ Ἐκκλησία τοῦ ἀποχύνειν τὸ ἀπόλουμα τῆς κολυμβήθρας, ποῦ ὀφείλει χύνεσθαι;

Ἀπόκρισις.

Ὅπου ἐστὶ τόπος καθαρός, καὶ μὴ πατούμενος.

Ἐρώτημα.

Αἱ τῶν ἑταιρίδων προσφοραί, δεκταί εἰσιν, ἢ οὔ;

---

(1) Βαλσαμ. ἀποκρ. Τόμ. Δ'. σελ. 455. — Ζωναρ. αὐτόθι, σελ. 502. — (2) Βαλσ. αὐτόθι σελ. 492.

Ἀπόκρισις.

Οὐχί· ὑπὸ ἐπιτίμιον γάρ εἰσι· καὶ οὔτε προσφοραὶ, οὔτε θυμίαμα δεχθήσεται.

Ἐρώτημα.

Ἱερεὺς ἐὰν ἀποκαρῇ, ἔστιν ἄξιος ἱερουργῆσαι;

Ἀπόκρισις.

Ἐὰν καὶ πρώην ἦν ἄξιος, οὐ κωλύεται διὰ τῆς ἀποκάρσεως.

Ἐρώτημα.

Ἔστιν ἄξιον ποιεῖν φωτίσματα τῶν ἁγίων Θεοφανείων, καὶ λοιπῶν, ἐν ἀγγείῳ οἱῳδηποτοῦν;

Ἀπόκρισις.

Τὰ τῶν θείων φωτισμάτων ἀγγεία, μόνοις τοῖς φωτίσμασιν ἀφοριζέσθωσαν.

Ἐρώτημα.

Δούλους καὶ δούλας ζευγνυμένους παρὰ τῶν κυρίων αὐτῶν ἄνευ εὐλογήσεως, μεταδώσομεν τῆς θείας κοινωνίας, ἢ προσδεξόμεθα τὴν θυσίαν αὐτῶν;

Ἀπόκρισις.

Ἐπεὶ μίξις ἄνευ ἱερολογίας πορνεία ἐστὶ, κἄν τε δοῦλος ᾖ ὁ ἀνευλόγητος, κἄν τε ἐλεύθερος, οὔτε εἰς δωροφορίαν προσδεκτέος, οὔτε εἰς προσευχὴν ἐν τῷ οἴκῳ Κυρίου· ἐπεὶ καὶ ὁ θεῖος Ἀπόστολος, μήτε συνεσθίειν κελεύει, μήτε συναναμίγνυσθαι τούτοις. Ἀλλὰ καὶ οἱ δεσπόται, ἐπεὶ προδόται τῆς τῶν δούλων ἀπωλείας εἰσὶν, ὡς αὐτοὶ προτρεπόμενοι τούτους ἐπιμίγνυσθαι, εἴ γε δύναιντο ἀναστέλλειν τὸ πάθος, τῆς τῶν δούλων δεσποτείας ἐκπίπτουσι, κατὰ τὸ νεαρὸν θέσπισμα τοῦ κλεινοῦ ἡμῶν αὐτοκράτορος, κυροῦ Ἀλεξίου (1).

Ἐρώτημα.

Ἔστιν ἄξιον ἀναδέχεσθαι τὰ παιδία τῶν παίδων αὐτῶν;

Ἀπόκρισις.

Οὐκ ἔστι νόμος, ἢ βασιλεὺς ταῦτα κωλύων (2).

---

(1) Ὅρα καὶ κατωτέρω ὑπόμνημα πρὸς Νικήταν Θεσσαλονίκης, καὶ τὴν λύσιν αὐτοῦ, τὴν ἀπόκρισιν Ἠλιοὺ Κρήτης, Περὶ τοῦ ἐπινοοῦντος τὸν ἑαυτοῦ υἱὸν πορνεύοντα, σελ. 379, καὶ Νεαρὰν Ἀλεξίου τοῦ Κομνηνοῦ παρὰ Βαλσ. Τόμ. Β'. σελ. 500. — (2) Ὅρα Νεαρὰν Λέοντος τοῦ Χαζάρου σελ. 247 τοῦ παρόντος τόμου.

Ἐρώτημα.

Ἔστιν ἄξιον, ἱερέα βαπτίσαι τὸ ἴδιον παιδίον;

Ἀπόκρισις.

Ἀκώλυτόν ἐστι τοῦτο.

Ἐρώτημα.

Ἐὰν ὦσιν ἀδελφοὶ δύο, ἢ τρεῖς, ἢ πλείους, καὶ δέξηται εἷς παιδίον, ἵνα λέγωνται ὅλοι σύντεκνοι;

Ἀπόκρισις.

Οὐχί· ἀλλὰ μόνος ὁ δεξάμενος.

Ἐρώτημα.

Ἐὰν γυνὴ εὐτρεπισθῇ πρὸς γάμου εὐλόγησιν, καὶ συμβῇ αὐτῇ τὰ συνήθη, ἄρα ὀφείλει μεταλαβεῖν;

Ἀπόκρισις.

Περιμενεῖ τὴν κάθαρσιν, καὶ οὕτω τὰ τῆς ἱερολογίας ἀκωλύτως, καὶ τὰ τῆς μεταδόσεως τῶν ἁγιασμάτων προβήσεται.

Ἐρώτημα.

Εἰ δὲ ἀνάξιοί εἰσιν οἱ ἀμφότεροι τοῦ μεταλαμβάνειν, ἄρα ὀφείλουσι μεταλαβεῖν διὰ τὴν εὐλόγησιν, καὶ ἔκτοτε ἐπιτιμηθῆναι;

Ἀπόκρισις.

Πρὸς τὸ εἶδος καὶ τὴν διαφορὰν τοῦ ἁμαρτήματος ἕψεται καὶ ἡ οἰκονομία.

Ἐρώτημα.

Ἐὰν γυνὴ γεννήσῃ, καὶ εἰσέλθωσί τινες εἰς τὴν οἰκίαν αὐτῆς, πόσον ὀφείλουσιν ἐπιτιμηθῆναι ἐπὶ τῷ μεταλαβεῖν;

Ἀπόκρισις.

Ἀπολουσάμενοι, ἐν τῇ ἑξῆς τῶν ἁγιασμάτων οὐ κωλυθήσονται.

Ἐρώτησις.

Εἰ δὲ καὶ τὸ βρέφος βαπτισθῇ, ὀφείλει θηλάζεσθαι παρὰ τῆς αὐτοῦ μητρός, ἔτι οὔσης ἀκαθάρτου;

Ἀπόκρισις.

Θηλάσει πάντως τὸ βρέφος, ἵνα μὴ ἀπόληται.

Ἐρώτημα.

Καλόν ἐστι τὸ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα ἡμῶν πνευματικοῖς ἀνδράσιν;

Ἀπόκρισις.

Καλὸν μὲν, καὶ πάνυ ὠφέλιμον, ἀλλὰ μὴ τοῖς ἀπείρως καὶ ἰδιωτικῶς περὶ τὰ τοιαῦτα διακειμένοις· ἵνα μὴ διὰ τῆς ἀλόγου συμπαθείας καὶ οἰκονομίας, ἢ διὰ τῆς ἀκαίρου καὶ ἀνεπιστήμονος παρατάσεως τῶν ἐπιτιμίων, καταφρονητὴν, ἢ ῥάθυμον, ἢ παρειμένον σε ἀπεργάσωνται. Ἐὰν οὖν εὕρῃς ἄνδρα πνευματικὸν καὶ ἔμπειρον, δυνάμενόν σε ἰατρεῦσαι ἀνεπαισχύντως, καὶ μετὰ πίστεως, ἐξομολόγησαι αὐτῷ, ὡς τῷ Κυρίῳ, καὶ οὐχ ἀνθρώπῳ.

Ἐρώτημα.

Εἰ δὲ μὴ εὕρω ἄνθρωπον, εἰς ὃν ἔχω πληροφορίαν ἐξομολογήσασθαι, τί ὀφείλω ποιῆσαι;

Ἀπόκρισις.

Ἐξομολόγησαι τῷ Θεῷ κατ' ἰδίαν, κατακρίνων ἑαυτὸν, καὶ λέγων καθ' ὁμοιότητα τοῦ τελώνου (1)· Ὁ Θεὸς ἡμῶν, σὺ ἐπίστασαι, ὅτι ἁμαρτωλός εἰμι, καὶ ἀνάξιος πάσης συγχωρήσεως· ἀλλὰ σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Ἐρώτημα.

Ἐξομολογούμενος δὲ τῷ Θεῷ, μνημονεύσω καὶ ἀπαριθμήσω πᾶσαν ἁμαρτίαν, ἣν ἔπραξα;

Ἀπόκρισις.

Οὐδαμῶς· μάλιστα, ἐὰν σώματι καὶ πορνείᾳ ἁμάρτῃς· ἐν ὅσῳ γὰρ θέλεις μνημονεῦσαι τῆς δεῖνος καὶ τῆς δεῖνος, μολύνεταί σου ἡ ψυχή· λοιπὸν καλὸν, καθ ὁμοιότητα τοῦ τελώνου λέγειν· Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

---

(1) Λουκ. ΙΗ'. 13.

ΗΛΙΟΥ ΚΡΗΤΗΣ (1).

ΗΛΙΟΥ ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΡΗΤΗΣ

Ἀποκρίσεις πρός τινα μοναχὸν Διονύσιον περὶ διαφόρων αὐτοῦ ἐρωτήσεων.

Τὸ μὲν ἀσθενὲς τῆς ἐμῆς διανοίας καὶ ἄπορον, πνευματικὲ ἀδελφὲ, ἐπεῖχέ μου τὴν γλῶτταν πρὸς τὰ παρὰ σοῦ διαπορητικῶς προτεινόμενα· καὶ ναρκῶσαν εἶχε πρὸς τοῦτο τὴν χεῖρα, καὶ πρὸς γραφὴν μηδαμῶς κινουμένην: ὁ δὲ ταπεινοῖς καὶ ὑπηκόοις φωταγωγῶν διδοὺς χάριν, καὶ ἐν ἀνοίξει τοῦ στόματος τοῦ παρ' αὐτοῦ πληρῶν Πνεύματος, ἐῤῥώννυέ τέ μου τὸ ἀσθενὲς, καὶ τὰ δεσμὰ τῆς γλώττης ὑπέλυε· καὶ πρὸς γραφὴν ὀργῶσαν τὴν πρὶν ναρκῶσαν χεῖρα ἐδείκνυεν· ὅθεν διὰ σοῦ τῷ ἐν σοὶ λαλοῦντι Θεῷ πειθόμενος, ἐπικλινὴς τοῖς σοῖς ἐπιτάγμασι γίνομαι· καὶ ταῖς σαῖς εὐχαῖς θαῤῥήσας, ἀνοίγω τὸ στόμα, τὸν ἐφεστῶτα τούτῳ φόβον ἐκτιναξάμενος· καὶ λαλήσω πρὸς τὰ παρὰ σοῦ προτεινόμενα, οὐ ῥήματα τῆς ἐμῆς διανοίας γεννήματα, ἀλλὰ τοῦ τυφλοὺς φωτίζοντος, καὶ τοὺς ἀσυνέτους συνετίζοντος.

Ἐπεὶ δὲ πρὸ τῶν ἠπορημένων, ἑρμηνείαν ἐζήτησας τοῦ παρὰ τῷ μεγάλῳ Βασιλείῳ ἑβδομηκοστοῦ κανόνος, ὃς τὸν ἐν χείλεσι μιανθέντα διάκονον, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσαντα, διείργει μὲν τῆς θείας λειτουργίας, μετέχειν δὲ τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀνίησιν· ἀκολούθως ἄρα καὶ ἡμεῖς τὴν τοῦ κανόνος ἀσάφειαν διαλύσομεν, καὶ τοῦ ἠπορημένου τὴν λύσιν ποιήσομεν. Ὅσα μὲν οὖν τινες, τὸν κανόνα τοῦτον ἑρμηνεύειν πειρώμενοι, διὰ τοῦ ἐν χείλεσι μιασμοῦ κρυφίως ὑποδηλοῦσθαι εἰρήκασι, σιγῇ νῦν παρελθεῖν αὐτὰ ἔκρινα, ὡς οὐκ οἰκοδομεῖν, ἀλλὰ καθαιρεῖν δυνάμενα τοὺς ἀκούον-

(1) Ὡς ἐκ τοῦ ἐν ταῖς ἀποκρίσεσι ταύταις περιεχομένου, ὁ Ἠλίας Κρήτης, περὶ οὗ ἐνταῦθα, ἄλλος παρὰ τὸν ἐν τῇ κατὰ Νίκαιαν τὸ 6'. οἰκουμενικῇ συνόδῳ εἶναι δοκεῖ, τὸν διαπρέψαντα κατὰ τὸ τέλος τῆς Η'. ἑκατονταετηρίδος· ἐν μὲν γὰρ τῷ τετάρτῳ ἐρωτήματι σελ. 370 μέμνηται τοῦ κατὰ τὸ ἔτος 920 γενομένου Τόμου τῆς ἑνώσεως· ἐν δὲ τῷ ἑβδόμῳ σελ. 381, ἀναφέρει τὴν περὶ μνηστείας Νεαρὰν Ἀλεξίου τοῦ Κομνηνοῦ.

τας· ὃ δὲ ἐμοί τε λέγειν ἀσφαλὲς, καὶ τὸ τοῦ κανόνος ἀσαφὲς πρὸς ἑαυτὸ συμβιβάζειν δύναται, τοῦτο καὶ λέγειν πειράσομαι· συνεργήσει δέ μοι πρὸς τοῦτο καὶ τὸ ἐν τοῖς Εὐαγγελίοις ὑπὸ τοῦ Κυρίου λεγόμενον· ποῖον τοῦτο; Ὁ ἐμβλέψας, φησὶ, γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ (1). Εἰ οὖν πρὸς ἐπιθυμίαν μόνον ἐμβλέψαντα γυναικὶ, μοιχᾶσθαι ἐν τῇ καρδίᾳ ὁ Κύριος ἀπεφήνατο, ὡς ἀσωμάτοις ἀφαῖς καὶ περιπλοκαῖς ἐν ταύτῃ τὴν ἁμαρτίαν τελειώσαντα· πολλῷ μᾶλλον τὸν οὐ μέχρις εἰδώλων, ἀλλὰ καὶ διὰ τῆς σωματικῆς ἀφῆς, τοῦ ἐν χείλεσι, φημὶ, ἀσπασμοῦ, καὶ τοῦ ἐντεῦθεν μιασμοῦ, τὴν ἁμαρτίαν ὥσπερ σωματώσαντα, ὁ τοιοῦτος μιασμὸς ὥσπερ μοιχὸν αὐτὸν κατακρινεῖ. Ἀκολούθως οὖν ἄρα καὶ ὁ μέγας Βασίλειος τῷ διδασκάλῳ Χριστῷ, τὸν τούτοις μιανθέντα διάκονον ἀφίστησι μὲν τῆς θείας λειτουργίας, μετέχειν δὲ τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀφίησι, διὰ τὸ ἐνδεῖν ἔτι πρὸς ἐντέλειαν τῆς ἁμαρτίας καὶ τὴν σωματικωτέραν καὶ παχυτέραν μίξιν· ἧς ὁ ἡττηθεὶς διάκονος οὐκέτι τῆς μετὰ τῶν διακόνων ἀπολαύσει κοινωνίας, ἀλλ' εἰς τὸν τῶν λαϊκῶν τόπον ἀπελαθεὶς, ὡς φησιν αὖθις ὁ μέγας οὗτος Βασίλειος, φιλανθρώπως ἐκεῖσε μετέχειν ταύτης συγχωρεῖται (2).

Ἤδη δέ σοι καὶ περὶ τῶν ἠπορημένων τῆς λύσεως λέγειν πειράσομαι.

Ἐζήτησας, εἰ δεῖ τοῖς ἐξασθενήσασι τέλεον, καὶ λεπτὸν μὲν εἰσέτι ἐμπνέουσιν, ἀναισθητοῦσι δὲ ὅλως, καὶ μήτε πιεῖν, μήτε φαγεῖν δυναμένοις, μεταδιδόναι τῶν θείων ἁγιασμάτων, ἐκπνεῖν ἤδη μέλλουσι· καί φαμεν, ὅτι τοῦ πγ'. κανόνος τῶν ἐν Κωνσταντινουπόλει συνελθόντων θεοφόρων Πατέρων, Ἰουστινιανοῦ βασιλεύοντος, διαῤῥήδην διακεκραγότος, Μηδεὶς τοῖς σώμασι τῶν τελευτώντων τῆς εὐχαριστίας μεταδιδότω· γέγραπται γάρ· Λάβετε, φάγετε· τὰ δὲ τῶν νεκρῶν σώματα οὐδὲ φαγεῖν, οὐδὲ λαβεῖν δύνανται· οὐδὲ ἡμεῖς παρὰ τοῦτο εἰπεῖν δυνάμεθα, ὅτι μηδὲ προσθήκην, ἢ ἀφαίρεσίν τινα ἐν τοῖς ἱεροῖς κανόσιν ἐστὶν ἐπινοεῖν. Ἐπεὶ δὲ οἱ, περὶ ὧν ἠρώτησας, ἀμελείᾳ τῶν παρ' αὐτοῖς θεραπευτῶν, ὡς ἔφης, ἐπὶ τῆς τελευταίας

(1) Ματθ. Ε', 28. — (2) ὅρα τὸν καν. καὶ τὰ σχόλια σελ. 229 τοῦ Α'. Τόμου.

ὥρας εἰς τοῦτο ὑπὸ τῆς νόσου συνηλάθησαν, ὥστε ἐμπνεῖν μὲν εἰσέτι, ἀναισθητεῖν δὲ, καὶ μηδὲ λαβεῖν, μηδὲ φαγεῖν δύνασθαι, ἀλλὰ καὶ τὸ προσενηνεγμένον ὑπ' ἀναισθησίας, ἢ καὶ ἄλλως πως παραπτύειν· ἀνάγκη τὸν παρατυχόντα ἐν καιροῖς τοιούτοις ἱερέα μὴ ἀπροθύμως διατεθῆναι, ἀλλὰ βουλῆς γενέσθαι, δι' ἧς καὶ τοῖς ἁγίοις δώροις τὸ σεβάσμιον διαφυλαχθήσεται, καὶ τῷ κάμνοντι τὸ ἀσφαλὲς περιποιηθήσεται, μὴ ἀμοίρῳ πάντη τοῦ τοιούτου ἐφοδίου τῶν ὧδε μεθισταμένῳ. Ἔσται τοῦτο, εἰ τά τε χείλη καὶ ἡ γλῶσσα τοῦ λεπτὸν εἰσέτι ἐμπνέοντος, καὶ μὴ ἀπονεκρωθέντος τέλεον, διὰ τῆς ἐπαφῆς καὶ ἐπιχρίσεως τῶν πανιέρων ἁγιασμάτων ἐπισφραγισθήσονται· ἢ μᾶλλον εἰπεῖν, εἰ πρὸς τὴν ἀσθένειαν αὐτοῦ ἡ μετάδοσις τούτων συμμετρηθήσεται· οὕτω γὰρ, ὡς εἴρηται, καὶ ἀμφοτέροις ἀμφότερα περιφυλαχθήσεται, καὶ τοῖς ἁγίοις τὸ σεβάσμιον, ἐκ τοῦ μὴ τὸν κάμνοντα, ἐξ ὧν εἴρηται, ἀποβαλεῖν αὐτά. Οὕτω γὰρ καὶ τῷ κανόνι ἔσται τὸ ἀδιάπτωτον· ὃς οὐ τοῖς μικρὸν ἔτι ἐμπνέουσιν ἀπείρηκε τὴν μετάληψιν, ἀλλὰ τοῖς νεκροῖς σώμασι· Τὰ γὰρ νεκρὰ, φησὶ, σώματα οὐδὲ λαβεῖν, οὐδὲ φαγεῖν δύναται· νεκρὰ δὲ, ὧν ἤδη ἀπέπτη ἡ ψυχή.

ΠΕΡΙ ΤΟΥ ΕΠΕΙΣΑΚΤΩι ΓΥΝΑΙΚΙ
Συνοικοῦντος ἕως θανάτου αὐτοῦ.

ΔΕΥΤΕΡΟΝ τοιοῦτον τὸ ἐρώτημα, εἰ δεῖ τῷ μέχρις ἐσχάτης ἐκπνοῆς συνεισάκτῳ γυναικὶ συμφθειρομένῳ μεταδιδόναι τῶν θείων ἁγιασμάτων, ἢ μὴ, διὰ τὸ καταληφθῆναι τοῦτον ὑπὸ τοῦ ἐχθριστοῦ θανάτου ἐν τῇ ἰδίᾳ ἁμαρτίᾳ. Ἡ μὲν οὖν ἐρώτησις τοιαύτη· τίς δὲ ὁ περὶ τούτου λόγος ἡμῶν; Εἰ μὲν ὁ πρὸς αὐταῖς ταῖς ἐσχάταις ἀναπνοαῖς γενόμενος, εἰς συναίσθησιν ἐλθὼν τοῦ ἀπαραλογίστου λογοθεσίου, καὶ τῆς μελλούσης κρίσεως, ἐθριάμβευσέ τε τὴν ἁμαρτίαν, καὶ ἐπηγγείλατο, εἰ παλινζωΐας τεύξεται, μηκέτι πρὸς τὴν ἁμαρτίαν ὑποστρέψαι, καὶ μετὰ συντριβῆς καρδιακῆς θερμότερον ἐξελιπάρησε τοῦ Δεσποτικοῦ σώματός τε καὶ αἵματος ἀξιωθῆναι, ἀξιωθήτω τούτου, πίστει τῆς παρὰ Θεοῦ φιλανθρωπίας· τοῦτο γὰρ οἶμαι

καὶ τὸν ιγ'. κανόνα τῶν ἐν Νικαίᾳ συνελθόντων Πατέρων πρὸς τῷ τέλει ἐπισημήνασθαι, ἐν τῷ φάναι· Καθόλου δὲ καὶ περὶ παντὸς οὑτινοσοῦν ἐξοδεύοντος, αἰτοῦντος τὸ μετασχεῖν εὐχαριστίας, ὁ ἐπίσκοπος μετὰ δοκιμασίας μεταδιδότω τῆς προσφορᾶς. Εἰ δ' οὐδὲν τοιοῦτον οὐδ' ἐν καιρῷ τοιούτῳ ἐπεδείξατο, ὅπερ ἀπείη, ὁ μὲν ἐπὶ τούτῳ προσκεκλημένος ἱερεὺς πόῤῥω ἀφιστάσθω, μνημονεύων τοῦ Δεσπότου Χριστοῦ ἐν τοῖς Εὐαγγελίοις λέγοντος· Μὴ ῥίπτετε τὰ ἅγια τοῖς κυσὶ, μηδὲ βάλετε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων (1)· καὶ προσέτι τοῦ μεγάλου Ἀποστόλου, κοινωνεῖν ἀλλοτρίοις ἁμαρτήμασιν ἀπαγορεύοντος (2)· ὁ δὲ τὴν τοιαύτην καταδίκην καταψηφισθεὶς, ἑαυτὸν αἰτιάσθω· εἴρηται γὰρ ὑπὸ τοῦ Θεοῦ διά τινος τῶν Προφητῶν· Ἐν ᾧ εὕρω σε, ἐν τούτῳ δὴ καὶ κρινῶ σε· εὕρηται δὲ οὗτος ἐν τῇ ἰδίᾳ ἁμαρτίᾳ. Καὶ μή μοί τις τὸν τοῦ μεγάλου Γρηγορίου, τοῦ ἐν θαύμασι περιβοήτου, κανόνα προσφερέτω, ὃς τοῖς ἐν παντὶ τῷ χρόνῳ τῆς ἰδίας ζωῆς ἀκοινωνησίαν κατακριθεῖσιν, ἐν καιρῷ τῆς ἐξόδου κοινωνίας μετασχεῖν φιλανθρώπως ἐφίησιν (3)· οὐ γὰρ περὶ τῶν ἀμετανοήτων εἴρηκεν, ἀλλὰ περὶ τῶν ἀποστάντων μὲν ἤδη τῆς ἁμαρτίας, ἐξιλεοῦσθαι δὲ τὸν Θεὸν διὰ τῆς μακρᾶς ταύτης μετανοίας κατακριθέντων.

ΠΕΡΙ ΤΟΥ, ΕΙ ΔΕΙ ΤΟΝ ΕΠΕΙΣΑΚΤΩ

Γυναικὶ συνοικοῦντα, μετὰ τὴν ἀποβίωσιν τῆς ἑαυτοῦ γυναικὸς, εἰς διγάμου, ἢ τριγάμου βαθμὸν δέχεσθαι.

Ἠρωτησας πρὸς τούτοις, πῶς δεῖ καλεῖν τὸν μετὰ τὴν τελευτὴν τῆς ἐκ πρώτου γάμου συναφθείσης αὐτῷ συνεισάκτῳ συνοικοῦντα, καὶ ταύτῃ συμμολυνόμενον· τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ μετὰ τὴν ἀποβίωσιν τῆς ἐκ δευτέρου ἐπὶ συνείσακτον ἀποκλίναντος· καὶ εἰ τὸν μὲν, δίγαμον, τὸν δὲ, τρίγαμον, ἢ πόρνους ἁπλῶς. Καί σου θαυμάζω τὴν σύνεσιν, ὅπως περὶ τῶν οὕτω πρόδηλον ἐχόντων τὴν διαφορὰν, ὡς περὶ ἀδιαφόρων, ἐρωτᾷν προήχθης· ὅτι πολλή τις ἡ τῶν διγάμων πρὸς τοὺς πόρνους διαφορὰ, καὶ τούτων αὖθις πρὸς ἐκείνους· ὅπερ ἅπασι πρόδηλον, καὶ μάλι-

(1) Ματθ. Ζ', 6. — (2) ά. Τιμόθ. Ε, 22. — (3) Γρηγ. Νύσσης καν. Β'.

στα τοῖς μὴ παρέργως ἀκούουσι τοῦ μεγάλου Ἀποστόλου, ὃς τὴν μὲν διγαμίαν οἰκονομικῶς παραχωρῶν εὕρηται, τὴν πορνείαν δὲ οὐδαμῶς· ᾧ δὴ στοιχῶν καὶ ὁ μέγας Βασίλειος, οὕτω πως φησιν ἐν τοῖς ἱεροῖς κανόσιν αὐτοῦ· Ἡ ἐν χηρείᾳ ἐξουσίαν ἑαυτῆς ἔχουσα συνοικεῖν, ἀνέγκλητός ἐστι, τοῦ Ἀποστόλου λέγοντος, Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ (1)· τοῦτο δὲ προσέθηκε, τὰς πορνικὰς κωλύων συμπαθείας καὶ συναφείας, ὁποῖαι δὴ καὶ αἱ τῶν συνεισάκτων. Καὶ ἡ μὲν διγαμία εὐχῆς ἀξιοῦται, ἡ πορνεία δὲ οὐδαμοῦ· ἢ γὰρ ἂν οὐ πορνεία ἦν. Καὶ ἡ μὲν πορνεία, καθὼς φησιν ὁ μέγας Βασίλειος, οὔτε γάμος ἐςίν, οὔτε γάμου ἀρχή (2)· ἡ δὲ διγαμία, ὅτι γάμος, καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος φανερόν. Καὶ οἱ μὲν δίγαμοι, ἐπὶ δυσὶν ἔτεσι σχολάσαντες τῆς κοινωνίας, μετὰ τὴν τούτων συμπλήρωσιν ἀξιοῦνται αὐτῆς· οἱ δὲ πόρνοι, παυσάμενοι μὲν τῆς πορνείας, ἐφ' ὅλοις ἑπτὰ ἔτεσιν ἀκοινωνησίαν κατακρίνονται, μεθ' ἃ δὴ δέχονται εἰς κοινωνίαν· μὴ παυσάμενοι δὲ, αὐτοὶ καθ' ἑαυτῶν τὴν τῆς ἀκοινωνησίας ψῆφον ἐκφέρουσι. Καὶ ταῦτα περὶ διαφορᾶς διγάμων τε καὶ πόρνων, μεθ' ὧν δὴ τάττονται καὶ οἱ συνεισάκτοις συνοικοῦντες.

ΠΕΡΙ ΤΟΥ, ΕΙ ΜΕΙΖΟΣΙΝ ΕΠΙΤΙΜΙΟΙΣ
Ἐπιτιμῶνται οἱ πορνεύοντες τῶν τριγάμων.

Ετι δὲ καὶ ἡ τριγαμία πρὸς τὴν πορνείαν, καὶ οἱ τριγαμοῦντες πρὸς τοὺς πόρνους διενηνόχασι· καὶ δῆλον ἐκ τῶνδε. Οἱ μὲν γὰρ καὶ μετ' ἐκρύψεως, καὶ παρὰ τὴν κανονικὴν ἀκρίβειαν, εὐχῆς γοῦν ἠξιώθησαν· οἱ δὲ, οἱ πόρνοι δηλαδὴ, οὐδαμῶς. Καὶ οἱ μὲν, πενταετίας ἀφορισμὸν οὐκ ἀπὸ κανόνος (ὡς ὁ μέγας φησὶ Βασίλειος) (3), ἀλλ' ἀπὸ τῆς τῶν προειληφότων ἀκολουθίας ὑπενεγκόντες, εἶτα καρπὸν ἐπιδειξάμενοι μετανοίας, εἰς τὸν τῆς κοινωνίας τόπον ἀποκαθίστανται· οἱ δὲ πορνεύοντες, ἀφιστάμενοι μὲν τῆς πορνείας, ἐν τῷ ὀγδόῳ ἔτει αὐτῆς ἀξιοῦνται· μὴ ἀφιστάμενοι δὲ, οὐδαμῶς. Συλλογίζου οὖν τὰς διαφορὰς ταύτας,

---

(1) Βασιλικ. καν. ΜΑ'. — α'. Κορ. Ζ', 39. — (2) Βασιλ. καν. Κς'. — (3) Καν. δ'. ν'. καὶ π'.

καὶ οὐκ ἀπορήσεις· οἷον, εἰ πόρνος, ἢ τρίγαμος ὁ μετὰ τὴν διγαμίαν εὐχῆς ἄνευ γυναικί τινι συμφθειρόμενος. Ὅπως δὲ πάλιν τὰ τῶν τριγάμων οἰκονομεῖται, τῷ τῆς ἑνώσεως τόμῳ (1) ἐντυχὼν μαθήσῃ σαφέστατα· οὐ σχολὴ γὰρ ἡμῖν ταῖς ἐκεῖσε διαστίξεσι διατρίβειν.

ΠΕΡΙ ΤΟΥ ΕΠΙΝΟΟΥΝΤΟΣ ΤΟΝ ΕΑΥΤΟΥ ΥΙΟΝ πορνεύοντα.

Περι δὲ τοῦ, εἰ χρὴ τοὺς ἱερεῖς τὰς τῶν πατέρων ἐκείνων δέχεσθαι προσφοράς, ὧν εἰδήσει οἱ ὑπεξούσιοι παῖδες πορνεύουσιν, ἢ μή, (τοῦτο γάρ σοι τέταρτον ἐρώτημα,) φημί, ὡς εἰ δεῖ τὰς τῶν πορνευόντων καὶ μὴ ἀφισταμένων τῆς πορνείας προσίεσθαι, δεῖ πάντως καὶ τὰς τῶν πατέρων, ὧν προτροπῇ οἱ παῖδες πορνεύουσι· τὸ γὰρ εἰδότας μὴ κωλύειν, ἀλλὰ σιγᾷν, προτρέπειν ἄντικρυς ἐστίν· εἰ δ' οὐκ ἐκεῖνο, πῶς τοῦτο; Ἀλλὰ μὴν τὰς τῶν πορνευόντων οὐ προσίεσθαι δεῖ· οὐκ ἄρα οὐδὲ τὰς τῶν κοινωνούντων αὐτοῖς· ὅτι δὲ κοινωνὸς ὁ πατήρ, φανερόν· εἰς τοῦτο γὰρ φέρει τὸ, Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ· καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις (2)· καὶ ἐν τῷ οά. κανόνι τοῦ μεγάλου Βασιλείου, ὃς λέξεσιν αὐταῖς οὕτω διέξεισιν· Ὁ συνεγνωκὼς ἑκάστῳ τῶν ἁμαρτανόντων, καὶ μὴ ὁμολογήσας, ἀλλ' ἐλεγχθείς, ἐν τοσούτῳ χρόνῳ, εἰς ὅσον ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ. Καίτοι ἐνταῦθα ἐπὶ τοῦ ἐν εἰδήσει τοῦ πατρὸς πορνεύοντος υἱοῦ καὶ πλέον τι θεωρεῖται, ἢ ἐφ' ὧν εἴρηται· τοσοῦτον γὰρ οἱ παῖδες ὑπὸ τῶν πατέρων ἐξουσιάζονται, ὥστε οὐδὲ νομίμῳ γυναικὶ συνάπτεσθαι ἄνευ τῆς ἐκείνων συναινέσεως δύνασθαι· οἱ γὰρ ἄνευ τῶν κρατούντων γάμοι (ὥς φησιν αὖθις ὁ μέγας οὗτος ἐν τῷ μβ΄. κανόνι αὐτοῦ) πορνεῖαί εἰσιν· οὔτε οὖν τοῦ πατρὸς ζῶντος, οὔτε τοῦ δεσπότου, οἱ συνιόντες, ἀνεύθυνοι· αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων οὐδὲν ἔχουσι βέβαιον (3). Εἰ οὖν ταῦθ' οὕτως ἔχει, τίς ὁ τὸν πατέρα τούτων τοῦ τῶν πόρνων ἐξαιρησόμενος ἐπιτιμίου; Ἔσται οὖν καὶ αὐτὸς ὁμοίως τῷ υἱῷ ἀφωρισμένος, ὅτι παρὸν κωλύειν, ἢ καὶ

---

(1) Σελ. 3. τοῦ παρόντος τόμου. (2) Ψαλμ. ΜΘ΄, 18. — (3) Βασ. καν. ΜΑ΄.

ἄλλως νομίμως ἐκγαμίζειν, οὐδὲν τούτων πεποίηκε. Πῶς δὲ οὐ παροξυνεῖ μᾶλλον Θεὸν, ὁ μὴ ἀναδύων μὲν τῆς ἁμαρτίας, οἰόμενος δὲ διὰ τῶν προσφορῶν καὶ δεήσεων ἐξιλεοῦσθαι Θεόν; ἴσον γὰρ ποιεῖ τοῖς ἀδικοῦσι μὲν καὶ τὰ ἐξ ἀδικιῶν κατέχουσιν, ἀξιοῦσι δὲ τὸν δικαστὴν δώροις ἀφεῖναι τούτοις τὴν κατὰ τῶν ἀδικησάντων ποινήν· πάντως γὰρ παροξυνοῦσιν οἱ τοιοῦτοι μᾶλλον τὸν δικαστὴν, τοιαῦτα ἀξιοῦντες, εἰ μὴ τὴν κλῆσιν διαψεύδεται· καὶ οὗτος Θεὸν, τὸν μὴ ἄλλως, ἢ διὰ μετανοίας τοῖς μετανοοῦσιν ἐπικλινόμενον. Ἀκουέτωσαν οὖν, ὡς μίσθωμα πόρνης οὐ μερίζεται ἁγνός. Ἰσχύουσι μὲν γὰρ ὑπὲρ τῶν ἁμαρτανόντων προσφερόμεναι αἱ τῶν δικαίων ὑπὲρ τούτων δεήσεις, ἀλλ' ἐνεργούμεναι, τουτέστι τῶν ὑπὲρ ὧν προσάγονται μετανοούντων, καὶ ὑπαναχωρούντων τῆς ἁμαρτίας· ὧν οὐδὲν ἐνταῦθα ὁρῶ γινόμενον· ὅ,τε πορνεύων πορνεύει, καὶ ὁ πατὴρ σιγῶν, καὶ μὴ ἀναχαιτίζων, προτρέπεται.

ΠΕΡΙ ΑΝΑΔΟΧΩΝ.

Οἱ ἀνάδοχοι (περὶ τούτων γάρ σοι τὸ πέμπτον ἐρώτημα), εἰ ἀκριβῶς ᾔδεσαν τὰ τῷ μεγάλῳ Διονυσίῳ διωρισμένα, καὶ ἣ δὴ τὴν μέριμναν καὶ φυλακὴν ἀπαιτοῦνται περὶ τὸν διὰ τῆς πνευματικῆς κολυμβήθρας ἀναγεννώμενον, καὶ ὑπὸ τούτων ἀναδεχόμενον, σχολῇ γ' ἂν πρὸς τὴν τῶν ἀναδόχων λειτουργίαν ἀπήντων, καὶ θερμότερον προσκαλούμενοι. Ἐπεὶ δὲ οὐκ ἴσασιν, ὁρῶμεν δὲ καθ' ἑκάστην καὶ γυναῖκας ἀδιαφόρως τὸ τῶν ἀναδόχων βάρος ὑποδεχομένας, τί κωλύει, κατὰ τὴν ἐπικρατήσασαν ταύτῃ συνήθειαν, τοῦ ἀνδρὸς ἀποδημοῦντος τοῦ τὸ πρωτογενὲς παιδίον τῶνδε τῶν γονέων ἀναδεξαμένου, τὴν ἐκείνου γυναῖκα κληθεῖσαν, τὸ μετ' ἐκεῖνο τούτοις τεχθὲν ἀναδέξασθαι;

Τὸ δὲ περὶ παιδὸς ἕκτον ἐρώτημα, ὡς βραχεῖ φάναι, τοιοῦτόν ἐστιν.

Παιδίον, ἔφης, νόσῳ κρατηθὲν, καὶ ἐγγίσαν ἤδη τῷ θανάτῳ, προτέχθη τινὶ τῶν ἱερέων, διὰ τῆς ἱερᾶς θεογενεσίας ἀναγεννηθησόμενον· ὁ δὲ λεπτὸν τοῦτο ἰδὼν ἐμπνέον, καὶ φοβηθεὶς μήπως τῶν συνήθων εὐχῶν καὶ ἐφορκισμῶν ἐπᾳδομένων προαναρπασθῇ μὴ τυχὸν τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως· παρελὼν τὰς εὐχὰς τὰς πρὸ τῆς τελειώσεως ἐπᾳδομένας καὶ τοὺς ἐφορκισμοὺς, τελειοῖ τοῦτο διὰ τῆς τριττῆς καταδύσεως, καὶ τῆς

ἰσαρίθμου ἐπικλήσεως τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Τί τὸ ἐπὶ τούτοις; Ῥώννυται τὸ παιδίον, τῆς νόσου δραπετευσάσης. Πρόσεισιν αὖθις ὁ ἱερεὺς, τοὺς ἐφορκισμοὺς, οὓς παραλέλοιπε, καὶ τὰς εὐχὰς ἀναπληρώσων. Λοιπὸν ἐζήτησας μαθεῖν, εἰ ἔξεστι τοῦτο ποιεῖν, ἢ μή. Καὶ δοκεῖ μοι, ὅτι οὐ δεῖ μετὰ τὴν τελείωσιν τὰ πρὸ τῆς τελειώσεως προσάδεσθαι τῷ ἤδη τετελειωμένῳ διὰ τῆς τριττῆς καταδύσεως, καὶ τῆς ἐπικλήσεως τῶν τριῶν προσώπων, ἐν οἷς ἡ τελείωσις· οὐδαμοῦ γὰρ ὑπ' οὐδενὸς τῶν ἱερῶν κανόνων τοιοῦτόν τι εὑρίσκομεν διωρισμένον. Καὶ ὁ τῶν ἐν Λαοδικείᾳ δὲ συνελθόντων θεοφόρων Πατέρων μζ'. κανὼν, περὶ τῶν περιστατικῶς ἐν νόσοις βαπτιζομένων διεξιὼν, οὐδενὸς τούτων ἐμνημόνευσεν, οὐ τοῦ εὐλογεῖν, οὐ τοῦ ἐφορκίζειν μετὰ τὸ βάπτισμα· μόνον δὲ τοῦ δεῖν τὴν πίστιν ἐκμανθάνειν καὶ μετὰ τὸ βάπτισμα, τὸν ὑπὸ τῆς νόσου κωλυθέντα προτοῦ ταύτην ἐκμαθεῖν· φησὶ γὰρ, ὅτι δεῖ τοὺς ἐν νόσῳ βαπτισθέντας, ἤτοι ἀναστάντας, ἐκμανθάνειν τὴν πίστιν, καὶ γινώσκειν, ὅτι θείας δωρεᾶς ἠξιώθησαν.

Ἕβδομον καὶ τελευταῖον ἐρώτημα τοιοῦτόν τι προβέβληκας. Κόρη τις, πέμπτον ἄγουσα ἔτος τῆς ἐν ἀνηβότητι ἡλικίας, μνηστεύεταί τινι ἀνδρί· ὃς, καλῶς ποιῶν, διὰ τὴν τῆς μνηστευθείσης ἀνηβότητα ἀφίσταται αὐτῆς. Ἡ δὲ καὶ πάλιν ἐν τῷ ἑβδόμῳ χρόνῳ τῆς ἡλικίας αὐτῆς μνηστεύεται ἀνδρὶ ἑτέρῳ· ὃς δὴ πάλιν τὰ ἴσα τῷ προτέρῳ φρονήσας ἀποῤῥήγνυται αὐτῆς. Εἶτα τί; Τρισκαιδέκατον ἐλαύνουσα χρόνον βούλεται νομίμως ἀνδρὶ ἑτέρῳ συναφθῆναί τε καὶ ἱερολογηθῆναι. Ταῦτα διηγηματικῶς ἐκθεὶς, ἐζήτεις μαθεῖν, εἰ κεκώλυται, ἢ μὴ κεκώλυται. Καὶ λέγομεν, μὴ κεκωλύσθαι ταύτην, διά τε τὸ παρ' ἡλικίαν μνηστευθῆναι, καὶ μὴ συναριθμεῖσθαι ὅλως τὰς τοιαύτας μνηστείας ταῖς ἐγνωσμέναις τῇ νεαρᾷ νομοθεσίᾳ μνηστείαις(1)· καὶ προσέτι δὲ, διὰ τὸ τοὺς προηγησαμένους μνηστῆρας (εἴ γε μνηστῆρας δεῖ καλεῖν, τοὺς τὴν κλῆσιν διαψευσαμένους διὰ τὸ ἔκθεσμον,) δικαίως ἤδη διαστῆναι αὐτῆς. Καί τοι, εἰ καί τις ἐκείνων τῆς μνηστείας ἀντεποιεῖτο, ἱκανὸν τῇ κόρῃ βοήθημα πρὸς ἀθέτησιν ἐκείνου, τὸ μὴ δοκεῖν συναινεῖν, διὰ τὴν ἀνηβότητα.

(1) Βλέπε Νεαρὰν Ἀλεξίου τοῦ Κομνηνοῦ σελ. 236 τοῦ παρόντος Τόμου.

ΝΙΚΗΤΑ ΘΕΣΣΑΛΟΝΙΚΗΣ.

ΕΡΩΤΗΣΕΙΣ ΚΑΙ ΑΠΟΚΡΙΣΕΙΣ ΔΙΑΦΟΡΟΙ,

Γενόμεναι παρὰ διαφόρων ἀρχιερέων πρὸς τὸν χαρτοφύλακα κύριον Νικήταν (1), τὸν γεγονότα ἀρχιεπίσκοπον τῆς μητροπόλεως Θεσσαλονίκης.

Ἐρώτησις πρώτη.

Διάκονος ὀφφικιάλιος κατηγορηθεὶς, ὅτι προέδωκέ τι ἀκίνητον τῆς Ἐκκλησίας, ἐπετιμήθη παρὰ τοῦ μητροπολίτου· ἐτελεύτησεν ὁ μητροπολίτης, ἦλθεν ὁ ἕτερος, καὶ εἴασε τοῦτον ἐπιτετιμημένον· καὶ ἐρωτῶ, εἰ δυνατόν ἐστι τοῦτον λυθῆναι παρ' ἡμῶν τοῦ ἐπιτιμίου.

Ἐρώτησις δευτέρα.

Κληρικὸς λαβὼν γυναῖκα, καὶ μνηστευσάμενος αὐτὴν, καὶ τὰς εὐχὰς τῆς μνηστείας δεξάμενος, συνεγένετο ταύτῃ· εἶτα ἐχειροτονήθη ἱερεὺς, ἐλπίζων ὅτι αἱ εὐχαὶ τῆς μνηστείας ἀρκοῦσιν εἰς γάμον, ἀγνοοῦντος καὶ τοῦ ἀρχιερέως, ὅτι οὐκ ἐγένετο τέλειος γάμος· μετὰ τοῦτο ἔλαβε καὶ τὰς εὐχὰς τοῦ γάμου· καὶ ἐρωτῶ εἰ ὀφείλει ἱερουργεῖν, ἢ ἐκστῆναι της ἱερουργίας, ἢ ἐπιτιμηθῆναι πρὸς καιρόν.

Ἐρώτησις τρίτη.

Ὁ δευτερογαμήσας δεποτάτος εἰ ὀφείλει ἐν τῷ καιρῷ τῆς εἰσόδου συνεισοδεύειν τῷ ἀρχιερεῖ.

Ἀπόκρισις πρώτη.

Ὁ κατηγορηθεὶς, εἴτε καὶ ἁπλῶς, εἴτε καὶ κατὰ νόμους διαβληθεὶς ἐπὶ τῇ τοῦ κτήματος τῆς Ἐκκλησίας προδοσίᾳ, οὐ μέντοι καὶ ἐλεγχθεὶς, εἰ καὶ εἰάθη ἐπιτετιμημένος, τοῦ ἐπιτιμήσαντος αὐτὸν διὰ τὴν τοιαύτην κατηγορίαν τελευτήσαντος, καὶ παρὰ τῶν μετ' αὐτὸν δύο ἀρχιερέων καὶ ἔτι ἐπιτετιμημένος μέχρι

(1) Νικήτας ὁ χαρτοφύλαξ, πρότερον μὲν ἐπίσκοπος Μαρωνείας, εἶτα δὲ ἀρχιεπίσκοπος Θεσσαλονίκης, ἔζη ἐπὶ τοῦ βασιλέως Ἰωάννου τοῦ Κομνηνοῦ, καὶ τοῦ πατριάρχου Ἰωάννου τοῦ Ἀγαπητοῦ, περὶ τὰς ἀρχὰς τῆς ιβ'. ἑκατονταετηρίδος

τοῦ νῦν· ὅμως ἐὰν οὐδεὶς ἐλέγχῃ αὐτὸν οὐδὲ νῦν, οὔτε αὐτὸς ὁμολογῇ τὴν προδοσίαν, δύναται λυθῆναι παρὰ τοῦ νῦν ἀρχιερέως αὐτοῦ, καὶ εἶναι ἐν τῇ οἰκείᾳ ἐνεργείᾳ, καὶ ἐνεργεῖν καὶ τὰ τοῦ ὀφφικίου αὐτοῦ.

Ἀπόκρισις δευτέρα.

Ὁ δὲ τῇ οἰκείᾳ μνηστῇ πρὸ τῆς τοῦ γάμου ἱερολογίας κληρικὸς συναφθείς, εἰ καὶ μὴ ὡς κλεψιγαμήσας λογίζεται, διὰ τὸ νομίζειν ὅτι ἀρκεῖ αὐτῷ πρὸς τὴν τῆς μνηστῆς συνάφειαν ἡ τῆς μνηστείας συνάφεια· ἀλλ' ὅτι ἠγνόησεν ὅλως ἅπερ αὐτὸν οὐκ ἐχρῆν ἀγνοεῖν, διὰ τοῦτο προκριματίζεται, κἂν μετὰ τὴν χειροτονίαν καὶ τὴν ἱερολογίαν τοῦ γάμου ἐδέξατο· δύο γὰρ ἠγνόησεν, ὅτι οὐκ ἀρκεῖ αὐτῷ μόνη ἡ εὐχὴ τῆς μνηστείας πρὸς τὴν συνάφειαν· καὶ ὅτι μετὰ τὴν χειροτονίαν οὐδεὶς ἱερολογεῖται μετὰ γυναικός· εἴπω δὲ καὶ τρίτον, ὅτι οὐδεὶς τῇ μνηστῇ συναφθεὶς πρὸ τοῦ γάμου, χειροτονίας ἀξιοῦται.

Ἀπόκρισις τρίτη.

Ὁ μέντοι δευτερογαμήσας δεποτάτος, φυλάξας, οἶμαι, τὸ τοῦ διγάμου πρότερον ἐπιτίμιον, ὅπερ αὐτῷ κανονικῶς ἐπιτίθεται, ἤγουν ἕνα ἐνιαυτὸν, εἴτε δύο γενόμενος ἀκοινώνητος, ὡς ἂν αὐτὸς δοκιμάσῃς, μετὰ τοῦτο πάλιν φιλανθρώπως ἀποκατασταθήσεται εἰς τὴν τοῦ δεποτάτου ἐνέργειαν.

Ἐρώτησις.

Δωρηθέντος τινὶ μοναστηρίου παρά τινος τῶν πρὸ ἐμοῦ μητροπολιτῶν, ἐγένετο ἐπὶ τῷ μοναστηρίῳ καὶ κτήματος ἐπίδοσις τῇ ὑπ' ἐμὲ μητροπόλει διαφέροντος· εἰ οὖν δύναται τοῦτο γίνεσθαι, καὶ τὰ τῶν μητροπόλεων ἐπιδίδοσθαι τοῖς μοναστηρίοις κτήματα, ὀνόμασι μόνον κεκλημένοις, οὐ πράγμασιν.

Ἀπόκρισις.

Ἡ τοῦ κτήματος τῆς μητροπόλεως πρὸς μοναστήριον ἐπίδοσις, κἂν ὑπὸ τὴν μητρόπολιν δεσποτικῶς ὑπάρχῃ τὸ μοναστήριον, κἂν ὡς ἐνδιαίτημα ᾖ τοῦ μητροπολίτου, κἂν ὅλως ἀδώρητον, κἂν τὰ τῶν προσόδων εἰς τὴν μητρόπολιν εἰσοδιάζηται (οἷα πολλάκις γίνεται), τῷ ὀρθῷ λόγῳ ἀνεπίγνωστός ἐστι καὶ ἀνεπίδεκτος· πολλῷ δὲ πλέον, ἐὰν οὐδὲν τούτων ᾖ· ἐκποίησις

γὰρ φανερὰ, ἡ μάτην καὶ ἀλογίστως ἀπὸ τῆς μητροπόλεως εἰς τὸ μοναστήριον τὸ κτῆμα μετατιθέμενον φαίνεται· τὸ δὲ μάταιον, οὐκ εὔλογον, οὐδὲ ἔννομον· ἑκάστου γὰρ μοναστηρίου διοίκησις ἰδιάζουσά ἐστι, καὶ εἰς τὴν αὐτοῦ σύστασιν ὁρῶσα· ἀλλὰ καὶ ἡ τῆς μητροπόλεως, ἰδιάζουσα· εἰ μὴ ἐκ συνοδικῆς οἰκονομίας πρὸς τὸ λυσιτελὲς τῆς Ἐκκλησίας τοιοῦτόν τι δέδοται. Καὶ ἐκποίησις δὲ ἄνευ συνοδικῆς διαγνώσεως οὐ συγκεχώρηται γίνεσθαι.

Ἐρώτησις.

Εἴ τις ἱερωμένος, ἢ καὶ λαϊκὸς φωραθείη κατὰ τοῦ οἰκείου ἐπισκόπου, ἢ καὶ ἄρχοντος, ἢ καὶ ἰδιώτου ἁπλῶς καὶ τοῦ τυχόντος ἀνθρώπου, σταυροὺς ἐν χάρτῃ οἰκειοχείρως ποιῶν, ἢ καὶ συσκευὰς κατ᾽ αὐτῶν, ἢ καὶ λαοσυναξίας ἐκμελετῶν, τίνι ἄρα ἐπιτιμίῳ ὑπόκειται;

Ἀπόκρισις.

Οἱ τοιοῦτόν τι διαπράττοντες, καθὼς οἶδας καὶ αὐτὸς, θεοφιλέστατε, καὶ παρὰ τῶν ἔξω νόμων τιμωροῦνται, ὡς ὑπεύθυνοι τῷ τῆς συνωμοσίας καὶ φατρίας ἐγκλήματι· πολλῷ δὲ πλέον παρὰ τῆς Ἐκκλησίας εὐθύνονται, κατὰ τὸν ιη. τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου κανόνα· καὶ εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτουσι τοῦ οἰκείου βαθμοῦ, κατὰ τὸν λδ΄. τῆς ἐν τῷ Τρούλλῳ· εἰ δὲ λαϊκοὶ, ἀφορίζονται· ἐν οἷς γὰρ οἱ κληρικοὶ καθαιροῦνται, οἱ λαϊκοὶ ἀφορίζονται.

Ἐρώτησις.

Εἴ τις ἱερωμένος, ἢ καὶ λαϊκὸς, φωραθείη ἐπαοιδὸς, ἢ καὶ φαρμακὸς, ἢ καὶ τριοδεύων, ποίῳ ἐπιτιμίῳ ὑποπεσεῖται;

Ἀπόκρισις.

Καὶ τὰ τοιαῦτα τῆς ἐθνικῆς εἰσι συνηθείας, οὐ τῆς χριστιανικῆς πολιτείας, οὔτε μὴν τῆς ὀρθοδόξου Ἐκκλησίας· ὅθεν ὁ τούτοις ἁλοὺς τοῖς ἐπιτηδεύμασι καὶ κακοτεχνήμασιν, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται, καὶ τῆς Ἐκκλησίας ἀποῤῥίπτεται, κατὰ τὸν λς΄. τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα· ὡσαύτως δὲ καὶ ὁ λαϊκὸς ἐκβάλλεται τῆς Ἐκκλησίας τελείως· μετανοοῦντες δὲ, οἰκονομοῦνται δι᾽ ἑξαετίας, ἢ πενταετίας· τρία μὲν ἔτη ὑποπίπτοντες, καὶ τὰ λοιπὰ συνευχόμενοι μόνον, χωρὶς προσ-

φορᾶς, κατὰ τὸν κδ' τῆς ἐν Ἀγκύρᾳ. Οὕτω δὲ μετανοήσαντες γνησίως, ἢ ὡς ἂν ὁ ἀρχιερεὺς συνορᾷ πρὸς τὴν μετάνοιαν αὐτῶν (ἔχει γὰρ ἐξουσίαν καὶ μειοῦν τὸν καιρὸν), τῆς θείας καταξιοῦνται μεταλήψεως.

Ἐρώτησις.

Εἴ τις ἱερωμένος παραδυναστεύειν τῷ τῆς χώρας ἄρχοντι σπεύδει, κἀντεῦθεν προσαγγέλλει τινὰ κατά τινων, καὶ τὸν ἄρχοντα κατ' ἐκείνων διανιστᾷ, τί κανονικῶς ὁ τοιοῦτος πείσεται;

Ἀπόκρισις.

Ὁ ἱερωμένος τῷ ἱερῷ προσεδρεύειν ὀφείλει, καὶ ταῖς ἐκκλησιαστικαῖς ὑπηρεσίαις ἐνασχολεῖσθαι, καὶ οὐ παραδυναστεύειν κοσμικαῖς ἐξουσίαις καὶ ἄρχουσιν· ἐκ δὲ τῆς νομίμου προσαγγελίας οὐ βλάπτεται, εἴ ποτε τοῦτο ποιήσει, εἰ μὴ κατὰ τῆς Ἐκκλησίας ἐστὶν ἡ προσαγγελία, ἢ ψευδὴς καὶ συκοφαντική· τότε γὰρ ἢ ὡς ἀσεβὴς, ἢ ὡς συκοφάντης καταγινώσκεται ἐλεγχθείς· δῆλαι δέ εἰσιν αἱ κανονικαὶ τῶν τοιούτων τιμωρίαι.

Ἐρώτησις.

Εἴ τις ἱερωμένος παρὰ τὸ προσῆκον ἀμφιέννυται ἔνδυμα, καὶ κοσμικὰ περιβαλλόμενος φωραθῇ, καὶ ῥαβδοφορῶν, ἢ καὶ νυκτοπορῶν, πῶς οὗτος κανονικῶς συσταλήσεται;

Ἀπόκρισις.

Τὸ ἀμφιέννυσθαι ἀκατάλληλα τῷ οἰκείῳ σχήματι, καὶ ῥαβδοφορεῖν, καὶ νυκτοπορεῖν, ὅσον μὲν κατὰ τὸ φαινόμενον, οὐκ ἐπαινετόν ἐστιν· οὐδὲν γὰρ ἀγαθὸν ὑποβάλλει νοεῖν κατὰ τοῦ οὕτω πράττοντος· μετὰ παραγγελίαν γὰρ ὁ τοῦτο ποιῶν καθαιρεθήσεται πάντως, εἰ μὴ δι' ἀνάγκην τινὰ, ἢ περίστασιν, ἢ πενίαν, ἢ ἄλλην τινὰ εὔλογον, ἢ καὶ διὰ τὴν τοῦ τόπου ἀγριότητα, καὶ ἀκαταστασίαν, καὶ βαρβαρότητα, πρὸς ὠφέλειαν ἑαυτοῦ ἢ ἑτέρου τινὸς, οὐ πρὸς ψυχικὴν βλάβην· τότε γὰρ συγγνωσθήσεται, ὡς μὴ ἀρνούμενος τὸ ἐπάγγελμα, μηδὲ καταφρονητικῶς ἔχων πρὸς τὸ σχῆμα, μηδέ τισιν ἑτέροις ἐπιτιθέμενος.

Ἐρώτησις.

Εἴ τις ἱερωμένος συμμιγῆ λαὸν διανίστησιν ἢ κατὰ τοῦ οἰκείου ἐπισκόπου, ἢ κατά τινος ἑτέρου ἁπλῶς, καὶ ὀχλοποιεῖ, καὶ ἐκμελετᾷ κατ' αὐτοῦ, τί ὀφείλει οὗτος πείσεσθαι ἀπὸ κανόνος;

Ἀπόκρισις.

Ἡ πρὸς τὴν πρώτην σου ἐρώτησιν ἀπόκρισις ἀρκέσει καὶ πρὸς τὴν νῦν, καὶ οὐ χρεία λόγων πολλῶν.

Ἐρώτησις.

Εἴ τις ἱερωμένος ἐκδιδαχθῇ τὰ κατὰ κανόνας πάντα, ὡς δεῖ διαπράττεσθαι, τὰ δὲ παρὰ τὴν ἐκκλησιαστικὴν κατάστασιν καὶ παράδοσιν ἀποστρέφεσθαι· ὁ δὲ ἢ οὐδαμῶς, ἢ πρὸς καιρὸν πεισθεὶς, πάλιν παρὰ καιρὸν πρὸς τὰ παράλογα αὐτοῦ ἤθη ὑποστρέφει, καὶ παρὰ κανόνας, καὶ τὴν ἐκκλησιαστικὴν παράδοσιν ἀλλοκότοις ἔθεσι καὶ τοῖς δοκοῦσιν αὐτῷ χρῆται, τίνι ἐπιτιμίῳ κανονικῶς ὑποκείσεται;

Ἀπόκρισις.

Τὸ παρὰ τοὺς θείους κανόνας γινόμενον καὶ τὴν ἐκκλησιαστικὴν παράδοσιν, ἢ διορθωτέον ἐστὶν, ἢ τελείως καταγνωστέον· καὶ τῷ παραβαίνοντι ἀπὸ τοῦ προσφόρου κανόνος τὸ ἐπιτίμιον ὥρισται.

Ἐρώτησις.

Εἴ τις ἱερεὺς μὴ κατὰ δωρεὰν τὴν δωρεὰν τῶν μυστηρίων τοῖς μεταλαμβάνουσι δίδωσιν, ὅπως ἐπιτιμηθήσεται οὗτος;

Ἀπόκρισις.

Ὁ τοιοῦτος, κατὰ φιλάνθρωπον λόγον, μετὰ μίαν καὶ δευτέραν παραγγελίαν μένων ἀδιόρθωτος, ἀφορισθήσεται· εἰ δὲ μετὰ ταῦτα λυθεὶς τοῦ ἀφορισμοῦ, ἐπιμένων πιπράσκει τὴν ἄπρακτον οὐράνιον δωρεὰν, καθαιρεθήσεται· δωρεὰ γὰρ ἡ τοῦ Θεοῦ δωρεὰ, οὐχὶ ὤνιον. Ἐκ προαιρέσεως δὲ εἴ τις αὐτῷ προσφέρει εἰς παρηγορίαν τυχὸν τῆς πενίας, ἢ τιμῆς ἕνεκεν, ἢ κατὰ τρόπον φιλοτιμίας, τοῦτον λαμβάνειν καὶ ὑπερεύχεσθαι τοῦ προσενεγκόντος, οὐ κεκώλυται.

Ἐρώτησις.

Εἴ τις ἱερεὺς ἅλατα εὐλογῶν, ἢ καὶ προβάτοις εὐχὰς διδοὺς καὶ βουσὶν εὑρεθῇ, καὶ τὰ στηθύνια τούτων, καὶ τὰ δέρματα ἀναλαμβανόμενος, ἢ καὶ περιστερὰς ἐν τοῖς τάφοις τῶν τεθνεώτων καὶ τοῖς μνημοσύνοις αὐτῶν σφαγιάζων, τίνι ἐπιτιμίῳ ὑπόκειται; Εἰ ἔξεστι δὲ αὐτῷ καὶ συμποσιάζειν ἐν τοῖς μνημοσύνοις, καὶ ἐν ταῖς ἑορτασίμοις ἡμέραις, καὶ ἐν τοῖς γάμοις, μετὰ τῶν συμποσιαζόντων λαϊκῶν, πρὸς ταῦτα ἐν τῷ τέως ἀποκριθέντι ἔχω καλῶς.

Ἀπόκρισις.

Τὸ εἰς τὰς Ἐκκλησίας προσφέρειν ζῶα καὶ πρόβατα, καὶ σφαγιάζεσθαι παρὰ τῶν ἱερέων, καὶ οἷον ἀφαιρέματα τούτων λαμβάνειν κατὰ τὸ παλαιὸν τὰ στηθύνια καὶ τὰ δέρματα, καὶ τὸ περιστερὰς ἐν τοῖς τάφοις τῶν τεθνεώτων θύειν, Ἰουδαϊκὸν ἄντικρύς ἐστι, καὶ Ἑλληνικὸν, καὶ ἄξιον ἐπιτιμήσεως καὶ διορθώσεως· τὸ δὲ εὐλογιῶν ἀξιοῦν τὰ ἅλατα, καὶ τὰ πρόβατα, καὶ τοὺς βόας, πρὸς ὠφέλειαν τῶν μεταλαμβανόντων, καὶ ὑγείαν αὐτῶν τε καὶ τῶν ζώων, οὐδὲν ἔχει ἄτοπον, ἀλλὰ μᾶλλον καὶ πίστεώς ἐστι τοῦτο. Καὶ τὸ τὰ ζῶα δὲ τοῖς ἱερεῦσι παρὰ τῶν ἄλλων προσφέρεσθαι, εἴτε ζῶντα, εἴτε καὶ ἐσφαγμένα, κατὰ τιμήν τινα καὶ ἀφοσίωσιν, οὐ παράλογόν ἐστιν, ἀλλὰ καὶ εὐσεβές· πλὴν μὴ εἰς τὸ θυσιαστήριον, ἢ εἰς τὴν Ἐκκλησίαν ἐντός· εἰ δὲ τοῦτο, πάντως καὶ τὰ στηθύνια, καὶ τὰ δέρματα προσαγόμενα ἀκαταγνώστως λήψεται καὶ ὁ ἱερεύς· ὁ γὰρ προσάγων τὸ ὅλον, οὐ κωλύεται μέρος προσάγειν τῷ ἱερεῖ, καὶ μέρος τὸ πιότατον. Καὶ μή μοι λέγε, ὅτι τοῦ Μωσαϊκοῦ νόμου τοῦτό ἐστιν· οὐ γὰρ τελείως ὁ νόμος ἀνῄρηται, ἀλλ' ἐπὶ τὸ βέλτιον καὶ ὑψηλότερον μετεσκεύασται· αἱ μὲν γὰρ θυσίαι τῶν ζώων ἐπαύθησαν, πρὸς τὸν τότε συγχωρηθεῖσαι καιρόν· αἱ δὲ πρὸς τοὺς ἱερεῖς προσαγωγαὶ οὐ κωλύονται· καὶ τὸ χριστιανικῶς γινόμενον κατά τι ἔθος ἐγχώριον, ἢ καὶ ἐκ φιλοτιμίας ἀγροικικῆς, οὐχ ὡς ἰουδαϊκῶς γινόμενον λογισθήσεται. Εἰ δὲ καὶ ἐν τοῖς μνημοσύνοις τῶν τεθνεώτων προσάγονται τοῖς ἱερεῦσι περιστεραὶ, ἀντὶ ἁδροτέρων ζώων, παρὰ τῶν πενεστέρων εἰς ἀποτροφὴν αὐτοῖς, οὐ κατὰ λόγον θυσίας, οὐδὲ ὥστε σφαγιασθῆναι

ἐπὶ τῶν τάφων, τοῦτο οὐκ ἄν τις κωλύσειε· χρὴ γὰρ τὸν ἱερέα ἀπὸ τῆς ἱερωσύνης τρέφεσθαι, καὶ τιμᾶσθαι παρὰ τῶν λαϊκῶν, ἄλλως τε πάντως, ὡς ἄν τις δύναιτο, καὶ ταῖς κατὰ δύναμιν προσαγωγαῖς· εἰ μὴ βοῦν δύναιτο προσφέρειν ὁλόκληρον, μέρος ἂν προσενέγκῃ, ἢ τὸ στηθύνιον, ἢ ἄλλο τι, ἢ δέρμα τυχὸν μόνον· εἰ δὲ μὴ τοῦτο, περιστερὰν, ἢ ἄλλην ὄρνιν τινά· οὐ μὴν ἰουδαϊκῶς, ἢ ἑλληνικῶς, ἀλλὰ φιλοθέως καὶ εὐσεβῶς. Ἀλλὰ καὶ τὸ συνδειπνεῖν, καὶ συνεσθίειν, καὶ συμποσιάζειν τοὺς ἱερεῖς τοῖς λαϊκοῖς ἐν ταῖς ἑορταῖς καὶ ἐν τοῖς γάμοις εὐλαβῶς καὶ μετὰ σεμνότητος πρεπούσης αὐτοῖς, εὐλογοῦντας τὸν Θεὸν, ἀκώλυτόν ἐστιν, εἰμὴ ἐκ συμβολῆς (1) ἐστι τὰ συμπόσια, εἰμὴ δευτερογαμούντων εἶεν οἱ γάμοι, εἰμὴ παίγνιά τινα ἐν τούτοις εἰσάγονται· τὰ γὰρ ἐκ συμβολῆς συμπόσια, κατὰ τὸν νε'. τῆς ἐν Λαοδικείᾳ κανόνα, κωλύονται. Καὶ ἐν τῷ δευτέρῳ δὲ γάμῳ ὁ ἱερεὺς οὐ συνεσθίειν ἐπιτρέπεται· ἀλλὰ καὶ ἐν τοῖς πρώτοις γάμοις, ἤν ποτε συμποσιάσῃ, καὶ εὐφρανθήσεται, ἕως μέλλουσιν εἰσαχθῆναι, κατὰ τὸν νδ'. κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου, οἱ θυμελικοὶ, καὶ τὰ παίγνια· ὁ δὲ παρὰ ταῦτα ποιῶν ἀφορίζεται, καὶ ἐπιτιμᾶται κανονικῶς.

Ἠρώτησας, εὐλαβέστατε, ὅτι Τρύφων τις οὕτω καλούμενος, ἐμνηστεύσατο κόρην, ἀτελῆ τὴν ἡλικίαν οὖσαν· καὶ μήπω ἱερολογίας γενομένης, μηδὲ συναφείας, ἐτελεύτησεν ἡ κόρη· καὶ ἔλαβεν ὁ Τρύφων ἑτέραν γυναῖκα, καὶ τέτοκε θυγατέρα· καὶ ἡ θυγάτηρ αὕτη τοῦ Τρύφωνος συζεύγνυται τῷ πρωτεξαδέλφῳ τῆς κόρης ἐκείνης, ἥτις, προμνηστευθεῖσα τῷ Τρύφωνι, ἐν ἀτελεῖ τῇ ἡλικίᾳ τετελεύτηκε· καὶ ἐζήτησας μαθεῖν, εἰ κωλύεται τὸ τοιοῦτον συνάλλαγμα· καὶ ἰδοὺ, γράφομέν σοι, ὅτι, ἐὰν ἀτελὴς ἦν ἐκείνη ἡ μνηστὴ, καὶ οὔπω δεκτικὴ γάμου, παράνομος ἦν ἡ μνηστεία, καὶ ἀντ' οὐδενὸς λογισθήσεται· καὶ οὐκέτι κώλυμα οὐδὲν εἰς τὸ τοιοῦτον συνάλλαγμα· καὶ ἡ θυγάτηρ τοῦ Τρύφωνος ἀκωλύτως λαμβάνει τὸν πρῶτον ἐκείνης ἐξάδελφον.

(1) Ὅρα Καν. νε'. Λαοδ. καὶ τὴν ἑρμηνείαν Τόμ. Γ'. σελ. 221.

ΒΑΣΙΛΕΙΟΥ ΑΧΡΙΔΗΝΟΥ (1).

Α'. ΑΠΟΚΡΙΣΙΣ ΠΡΟΣ ΤΑ ΕΡΩΤΗΘΕΝΤΑ
Περί τινος γάμου.

Ο ΠΕΤΡΑΚΑΣ ἐγέννησε τὴν Ἀρχόντισσαν, καὶ τὴν Καλὴν, ὁμομητρίους· ἡ Ἀρχόντισσα ἐγέννησε τὴν Ξανθήν· ἡ Καλὴ ἐγέννησε τὸν Συμεών· ἡ Ξανθὴ ἐγέννησε τὴν Σοφίαν· ἕτεροι δύο αὐτάδελφοι ἐξ ἑτέρου γένους ὁμοπάτριοι καὶ ὁμομήτριοι, Ἰουλιανὸς καὶ Ἰωαννώ· ὅστις Ἰουλιανὸς ἀνελάβετο εἰς γυναῖκα Σοφίαν τὴν θυγατέρα τῆς Ξανθῆς· ἀκώλυτόν ἐστι λαβεῖν τὴν Ἰωαννὼ σύνευνον Συμεὼν, τὸν υἱὸν τῆς Καλῆς, ἢ οὔ; Ζητῶ τοίνυν γνωρίσαι τοῦτο σαφέστερον παρὰ τῆς σῆς μεγαλειότητος ἐγγράφως.

Πρὸς ταῦτα ἀπόκρισις ἐπήχθη τοιαύτη. Ἐπειδὴ ἀναφαίνεται τὸ ἐρώτημά σου, ὦ θεοφιλέστατε Δυῤῥαχίτα μέγα σακελλάριε, εἰ ἀπολύονται δύο ἀδελφοὶ πρὸς θείαν πρωτεξαδέλφην καὶ ἀνεψιὰν ἐξ ἑτέρου πρωτεξαδέλφου πρὸς ἔννομον γάμον, ἔξεστι τοῦτο γενέσθαι· οὔτε γὰρ ἄθεσμόν ἐστιν, οὔτε κεκωλυμένον· ἐκεῖνα γὰρ κεκωλυμένα λέγονται, καὶ ἄθεσμα, καὶ παράνομα, ἐν οἷς τὰ τοῦ γένους συγχέονται· τουτέστιν, εἰ θεῖός ἐστι, συνοικήσει [δὲ] τῆς γυναικὸς κινδυνεύει ἀνεψιὸς λέγεσθαι τῷ λόγῳ τῆς πρὸς τὴν γυναῖκα συναρμογῆς· καὶ αὖ πάλιν, εἰ γυναικάδελφός ἐστι, καὶ συμβαίνει τυχὸν λέγεσθαι σύγγαμβρος· καὶ ἄλλ' ἄττα· τοιαύτη ἡ σύγχυσις καὶ τὸ ἀπρεπές. Κατὰ γὰρ τὸν θεοφόρον μέγαν Βασίλειον, Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον ζητοῦμεν ἀλλὰ καὶ τὸ εὐπρεπές(2)· καὶ ἑτέρωθι ὁ αὐτός· Ἐν οἷς τὰ τοῦ γένους συγχέονται, ἐν τούτοις ὁ γάμος ἀθέμιτος(3). Ὅτι γοῦν οὔτε τις ἀπρέπεια ἐνταῦθα ἀνακύπτει, οὔτε τοῦ

(1) Βασίλειος ὁ Ἀχριδηνὸς, ἐπίσκοπος Θεσσαλονίκης, ἤκμασε κατὰ τὸ ἔτος 1156, μετασχὼν καὶ τῆς ἐν Κωνσταντινουπόλει κατὰ Σωτηρίχου τοῦ Παντευγένου γενομένης συνόδου. Σώζεται αὐτοῦ καὶ ἐπιστολὴ πρὸς τὸν πάπαν Ἀδριανὸν, παρὰ Λεϋγκλαυΐῳ Μέρ. ά, σελ. 307. (2) ς', Βασιλικ, ΚΗ, 5. — (3) Βασ. πζ'.

γένους σύγχυσις, (τοῦ γὰρ ἑτέρου μέρους πέμπτος βαθμὸς, τοῦ δὲ ἑτέρου δεύτερος, καὶ οὕτως ἕβδομος ἐξ ἀγχιστείας ὀνομαζόμενος,) ἔνθεσμος ὁ τοιοῦτος γάμος, καὶ ἔννομος, καὶ ἀκώλυτος. Ἀγχιστεία δέ ἐστι, κατὰ τὸν νομοθέτην, οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων, συγγενείας ἐκτός· καὶ διαφορά τις οὐκ ἔστιν ἀγνάτων καὶ κογνάτων, τῶν ἐξ ἀῤῥενογονίας δηλαδὴ καὶ θηλυγονίας, ἑβδόμου ἐξ ἀγχιστείας μεσολαβοῦντος βαθμοῦ. Ἐντεῦθεν οὖν γενήσεται τὸ τοιοῦτον συνάλλαγμα, καὶ οὐ κωλυθήσεται καθ' οὓς ἔφαμεν τρόπους, νόμοις καὶ κανόσιν ἐπερειδόμενοι. Μηνὶ Σεπτεμβρίῳ, ἐπινεμήσεως θ'.

Βασίλειος ὁ ταπεινὸς μητροπολίτης Θεσσαλονίκης.

ΑΔΗΛΟΥ (1).

ΠΕΡΙ ΜΕΤΑΘΕΣΕΩΝ.

Ο ΜΕΓΑΣ Πατὴρ καὶ φωστὴρ τῆς οἰκουμένης ἅγιος Γρηγόριος ὁ Θεολόγος, ἐπίσκοπος γενόμενος Σασίμων, ἐγένετο καὶ Ναζιανζοῦ, εἶτα ἐν τῇ δευτέρᾳ συνόδῳ τῶν ρν'. ἁγίων Πατέρων, βασιλεύοντος τοῦ μεγάλου Θεοδοσίου, συνόντων καὶ ἀρχιερέων, φημὶ δὴ, Δαλμάτου πάπα Ῥώμης, Τιμοθέου Ἀλεξανδρείας, Μελετίου Ἀντιοχείας, καὶ Κυρίλλου Ἱεροσολύμων, αὐτῷ τῷ μεγάλῳ φωστῆρι ἐκυρώθη ἡ ἐπισκοπὴ Κωνσταντινουπόλεως, καὶ ἄκοντα τοῦτον τῷ πατριαρχικῷ θρόνῳ ἐνίδρυσαν βιασάμενοι, ἐν ᾧ διέπρεψε χρόνους ιβ'. Ἐν τῷ ιγ'. ἔτει τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ, τοῦ υἱοῦ Ἀρκαδίου, ὁ μέγας Πρόκλος, ἐπίσκοπος Κυζίκου χειροτονηθεὶς ἐπὶ Σισιννίου πατριάρχου, ἐσχόλασε μὴ δεχθείς· μετὰ δὲ τὴν καθαίρεσιν Νεστορίου, ἐψηφίσθη μὲν Κωνσταντινουπόλεως, οὐκ ἐνεθρονίσθη δὲ διὰ φθόνον τῶν παραδυναστευόντων τότε ἀρχιερέων· μετὰ δὲ τοῦτο τοῦ χειροτονηθέντος Μαξιμιανοῦ τελευτήσαντος, ἔτι κειμένου τοῦ λειψάνου αὐτοῦ, προσεκλήθη καὶ ἐνεθρονίσθη Κωνσταντινουπόλεως, συναινέσει καὶ τοῦ Κελεστίνου πάπα Ῥώμης, συμψήφων γενομένων καὶ τοῦ μεγάλου Κυρίλλου, καὶ Ἰωάννου Ἀντιοχείας. Ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας Ἀρτεμίου, τοῦ καὶ Ἀναστασίου τοῦ Δικόρου, ὁ μητροπολίτης Κυζίκου μέγας Γερμανὸς, μετετέθη εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον. Ὁ Σωζομένου Ἑρμείας γράφει, ὅτι ὁ Τραπεζοῦντος Ἄνθιμος γέγονε πατριάρχης Κωνσταντινουπόλεως ἐπὶ Κωνσταντίνου. Μελέτιος ἐπίσκοπος Σεβαστείας τῆς Ἀρμενίας, μετετέθη εἰς Ἀντιόχειαν. Ἀλέξανδρος, ἐπίσκοπος μιᾶς τῶν ἐν Καππαδοκίᾳ πόλεων, μετετέθη εἰς Ἱεροσόλυμα. Εὐστάθιος ἐπίσκοπος τῆς μεγάλης Βεῤῥοίας, ἤτοι τοῦ Χάλεπ, μετετέθη εἰς

(1) Τὸ παρὸν ὑπόμνημα εἰκάζεται ὡς ἐκ τοῦ περιεχομένου συγγραφὲν περὶ τὰ τέλη τῆς ιβ'. ἑκατονταετηρίδος, ἅτε δὴ ἀπαριθμοῦν τὰς μέχρι τοῦ πατριάρχου Μιχαὴλ τοῦ Ἀγχιάλου γενομένας μεταθέσεις ἐπισκόπων, οὐχὶ δὲ καὶ τὰς μετ' αὐτόν.

Ἀντιόχειαν τῆς Συρίας. Περιγένης ἐπίσκοπος χειροτονηθεὶς Πατρῶν παρὰ τοῦ πάπα, καὶ μὴ δεχθεὶς, ἀλλὰ μείνας σχολάζων, παρὰ τοῦ πάπα μετετέθη εἰς Κόρινθον τὴν μητρόπολιν χηρεύουσαν, καὶ διὰ βίου τῆς τοιαύτης προέστη Ἐκκλησίας. Ὁ Ἀντιοχείας ἐπίσκοπος μετήγαγεν εἰς Ταρσὸν τῆς Κιλικίας Δοσίθεον, τὸν Σελευκείας ἐπίσκοπον. Ῥεβενὸς ἐπίσκοπος, ἀπὸ Ἀρκῶν(1) τῆς Φοινίκης, μετετέθη εἰς Τύρον. Ἰωάννης ἐπίσκοπος Γόρδου τῆς Λυδίας, μετετέθη εἰς Προικόννησον. Παλλάδιος Ἑλενουπόλεως μετηνέχθη εἰς Ἄππωνα. Ἀλέξανδρος Ἑλενουπόλεως μετηνέχθη εἰς Ἀδρανούς. Θεοσέβιος τῆς ἐν Ἀσίᾳ Ἀπαμείας, μετηνέχθη εἰς Εὐδοξιανόπολιν Καλαβρίας καλουμένην. Ὄπτιμος ἀπὸ Γδαμάβης τῆς Φρυγίας, μετηνέχθη εἰς Ἀντιόχειαν τῆς Πισιδίας. Ἱεροφύλαξ Τραπεζοπόλεως τῆς Φρυγίας, μετηνέχθη εἰς Πλουτινόπολιν τῆς Θράκης. Ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, τῶν Ἀγαρηνῶν κρατησάντων τῆς Κύπρου, ἐδόθη ἡ μητρόπολις Κυζίκου σὺν ταῖς ἐπισκοπαῖς αὐτῆς τῷ ἀρχιεπισκόπῳ Κύπρου. Μετὰ δὲ τὴν ἑβδόμην σύνοδον, ἐπὶ τῆς βασιλείας Εἰρήνης, παρόντων καὶ ἀρχιερέων, Ἀδριανοῦ πάπα Ῥώμης διὰ τοποτηρητῶν, τοῦ Ἀλεξανδρείας, τοῦ Ἀντιοχείας, καὶ πολλῶν μητροπολιτῶν, ἑῴων τε καὶ ἑσπερίων, διὰ τὴν χειροτονίαν τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ταρασίου τοῦ Πρωτοσεβάστου, γέγονεν ὑπὸ πάντων πατριάρχης Ἀλεξανδρείας ὁ μητροπολίτης Θεσσαλονίκης, ὥς φησι Θεοφάνης ὁ ὁμολογητὴς, ὁ Μεγαλοαγρίτης. Πολύκαρπος Δεξανταπριστῶν τῆς Μυσίας, μετηνέχθη εἰς Νικόπολιν τῆς Θράκης. Ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Μακεδόνος, Βασίλειος ὁ Κρήτης μετετέθη εἰς Θεσσαλονίκην παρὰ Ἰγνατίου πατριάρχου, ὡς γέγραπται ἐν τῷ βίῳ τοῦ αὐτοῦ Ἰγνατίου. Ἰωάννης, τῆς Βαϊμᾶ ἐπίσκοπος, μετετέθη εἰς Ἀλεξάνδρειαν πατριάρχης ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ φιλοσόφου, καὶ Φωτίου πατριάρχου. Γρηγόριος ἐπίσκοπος Συῤῥακουσίων, μετετέθη εἰς Νίκαιαν· καὶ Ἰωάννης Λαρίσσης μετετέθη εἰς τὰ Σύναδα· καὶ Ἀμφιλόχιος Κυζίκου, εἰς Νίκαιαν. Ὁ Μάκρης Θεόδωρος μετετέθη εἰς Λαοδίκειαν· καὶ Νίκων, τῆς αὐτῆς πόλεως ἐπίσκοπος, μετετέθη εἰς Ἱεράπολιν· καὶ ὁ τῆς ἐν Ἑλλάδι Νικοπόλεως ἐπίσκοπος Δανιὴλ, μετετέθη εἰς

(1) ἐν περιθωρίῳ. — Ἀρχων τῆς Φοινίκης Δ.

Ἄγκυραν τῆς Γαλατίας· καὶ Συμεὼν, ὁ νέων Πατρῶν ἐπίσκοπος, μετετέθη εἰς Λαοδίκειαν. Ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ τοῦ Λη-καπηνοῦ, ἐγένετο πατριάρχης Κωνσταντινουπόλεως Στέφανος εὐνοῦχος, ὁ Ἀμασείας μητροπολίτης· καὶ ὁ ἀοίδιμος βασιλεὺς κυρὸς Νικηφόρος ὁ Φωκᾶς, ἀπὸ τῆς Φλαβιάδος ἀγαγὼν τὸν ἐπίσκοπον Εὐστάθιον, κοινῇ ψήφῳ ἐποίησε πατριάρχην Ἀντιο-χείας τῆς μεγάλης. Ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Πορφυρο-γεννήτου ἐδόθη τῷ μητροπολίτῃ Πατρῶν ἡ ἐπισκοπὴ Κορίνθου, ὡς γράφει ὁ Σεβαστείας Θεόδωρος, καὶ Λέων Συνάδων. Ἐπὶ τῆς αὐτῆς βασιλείας, κατὰ τὴν τοῦ Σκληροῦ ἀποστασίαν, ὡς γράφει ὁ αὐτὸς Θεόδωρος, Ἀγάπιος ὁ Σελευκείας τῆς Πιερίας ἀρχιεπί-σκοπος, γέγονε πατριάρχης Ἱεροσολύμων· ὃς, εἰσελθὼν ἐνταῦθα, συνελειτούργησε τῷ μακαριωτάτῳ καὶ ἁγιωτάτῳ πατριάρχῃ κυ-ρῷ Νικολάῳ, καὶ τῇ ἱερᾷ συνόδῳ. Ὁ Ῥώμης πάπας Κελεστῖνος γράφει δι' ἐπιστολῶν τριῶν πρός τε τὸν Ἀλεξανδρείας Κύριλλον, Ἰωάννην τὸν Ἀντιοχείας, καὶ Ῥοῦφον Θεσσαλονίκης, κατὰ μηδέν τι προσίστασθαι τοῖς κανόσι τὴν μετάστασιν τῶν ἐπισκόπων, ἀπὸ ἑτέρας πόλεως εἰς ἑτέραν, ὡς ὁ Σωζομένου λέγει Ἑρμείας, ὅτι ἡ μετάβασις κεκώλυται, οὐ μὴν ἡ μετάθεσις. Σιλβανὸς ὁ θαυματουρ-γὸς, ἀπὸ Φιλιππουπόλεως τῆς ἐν Θρᾴκῃ, εἰς Τρωάδα μετετέθη. Εὐδόξιος ὁ μετατεθεὶς ἐκ Γερμανικῆς εἰς Ἀντιόχειαν, ἐγένετο καὶ πατριάρχης Κωνσταντινουπόλεως. Ἰωάννης ὁ Κωδωνάτος, με-τετέθη ἀπὸ τοῦ πατριαρχείου τῆς μεγάλης Ἀντιοχείας εἰς τὴν μητρόπολιν Τυρίων (1)· καὶ πολλοὶ ἕτεροι, εἰς ἄλλας καὶ ἄλλας. Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ὁσίου πατρὸς ἡμῶν Νικήτα πατριάρχου Κωνσταντινουπόλεως, ὁ μοναχὸς Πενταχτένης ὁ καὶ Πενταΐλᾶς, ἀπὸ Ῥωσιάνων πρότερον μετετέθη εἰς τὴν ἀρχιεπισκοπὴν Λῆμνον· εἶτα ἐδόθη αὐτῷ καὶ ἡ Μαρώνεια ἐπὶ τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ. Σάβας Καισαρείας τῆς Φιλίππου, γέγονε πατριάρ-χης Ἱεροσολύμων· καὶ ἐλθὼν ἐνταῦθα, συνελειτούργησε τῷ ἁγιω-τάτῳ πατριάρχῃ Νικολάῳ καὶ τῇ συνόδῳ. Νικόλαος ὁ Μου-ζάλων, ἀρχιεπίσκοπος Κύπρου γενόμενος, παρῃτήσατο τὸν θρό-νον τῆς Κύπρου, καὶ ἐδόθη αὐτῷ ἡ μονὴ τοῦ Κοσμιδίου· καὶ

(1) Τύρων, Δ.

προέστη αὐτῆς ἐπὶ χρόνοις . . . ἔπειτα γέγονε καὶ πατριάρχης Κωνσταντινουπόλεως. Ἐπὶ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ, συμπαρόντων καὶ τοῦ Ἀντιοχείας, καὶ τοῦ Ἱεροσολύμων, καὶ ἀρχόντων βασιλικῶν, συνοδικῶς, Μιχαήλ τις ἐπικηρυχθεὶς Ἀμασείας, εἶτα, ὡς σχολάζων, τὴν Ἄγκυραν λαβὼν, καὶ τὸν τόπον αὐτῆς, τῇ τοῦ Κερασοῦντος μετετέθη, καὶ τοῦ θρόνου ταύτης ἐγκρατὴς γέγονεν ὑποβιβασθείς. Νικηφόρος, μητροπολίτης Γάγγρας, ἡγούμενος γεγονὼς τοῦ Κοσμιδίου, ἔλαβεν, ὡς σχολάζων, καὶ τὴν μητρόπολιν Ἄμαστριν· ὁ Λεοντουπόλεως ἔλαβεν, ὡς σχολάζων, τὴν Ἀρκαδιούπολιν· ὁ ἐπίσκοπος Ἀθύρα ἔλαβε τὴν Σεργέντζην· τῷ Ἀξιουπόλεως (1) σχολάζοντι, ἐδόθη πρότερον ἡ Ἄβυδος· ὕστερον δὲ καὶ ἡ Ἄπρως· τῷ Ἀλανίας ἐδόθη ἡ Σωτηριούπολις. Πέτρος ὁ Μογγὸς, ἐντολῇ Ἀκακίου πατριάρχου Κωνσταντινουπόλεως, μετετέθη ἀπὸ Εὐχαΐτων εἰς Ἀλεξάνδρειαν πατριάρχης. Ὁ πατριάρχης Ἱεροσολύμων Νάρκισσος, ἀπὸ τῆς ἐπισκοπῆς Φλαβιάδος (2), ἥτις ἐστὶν ὑπὸ τὴν μητρόπολιν Ναυάρζου, ἤγαγε τὸν ἐν ἁγίοις Ἀλέξανδρον, καὶ ἐχειροτόνησε πατριάρχην Ἱεροσολύμων, ἐπὶ τῆς βασιλείας Ἀλεξάνδρου τοῦ Μαμαίας, ὥς φησιν Εὐσέβιος ὁ Παμφίλου ἐν ταῖς ἐκκλησιαστικαῖς αὐτοῦ ἱστορίαις, καὶ οὐχὶ ἐν τῇ βίβλῳ τῆς ἐκκλησιαστικῆς αὐτοῦ ἀποδείξεως. Ἀπὸ τῆς αὐτῆς ἐπισκοπῆς Φλαδιάδος ὁ κυρὸς Νικηφόρος ὁ Φωκᾶς, κοινῇ ψήφῳ διὰ χρυσοβούλλου αὐτοῦ ἀγαγὼν τὸν ἐπίσκοπον Εὐστράτιον, ἐποίησε χειροτονηθῆναι πατριάρχην Ἀντιοχείας τῆς μεγάλης, ἀποσπασθείσης τῆς δηλωθείσης ἐπισκοπῆς Ναυάρζου, καὶ ἑνωθείσης τῷ πατριαρχείῳ Ἀντιοχείας.

(1) Ἀλεξιουπόλεως, ἐν περισελ. Α. — (2) Φλαδιάδου, Α.

ΨΗΦΙΣΜΑ

ΠΟΛΙΤΙΚΩΝ ΔΙΚΑΣΤΩΝ ΠΕΡΙ ΣΥΓΓΕΝΕΙΑΣ,

Ὅτε δύο δισεξαδέλφας εἰς γάμου κοινωνίαν ἠγάγετό τις· καὶ ὧδε μὲν παρὰ τούτων συγκεχώρηται τὸ τοιοῦτον· παρὰ δὲ τῆς συνόδου κεκώλυται (1).

Τὸ μέρος τοῦ μεγαλεπιφανεστάτου κυροῦ Ἀλεξίου τοῦ Καπανδρίτου ἔσχε πρῶτον νόμιμον γυναῖκα, τὴν θυγατέρα τοῦ Προβατᾶ ἐκείνου κυροῦ Θεοφάνους· μετὰ δὲ τὸν θάνατον ἐκείνης, ἐμίγη μεθ' ἱερολογίας νομίμου τῇ δευτέρᾳ ἐξαδέλφῃ ἐκείνης· καὶ ἐζήτησε μαθεῖν ἐξ ἡμῶν, εἴπερ ὁ ῥηθεὶς γάμος ἐκ νόμων ἔχει τὸ βέβαιον καὶ ἰσχυρόν. Ἡμεῖς οὖν ἐξείπομεν πρὸς αὐτὸν, ὡς ὁ νόμος ἐν βιβλίῳ τῶν βασιλικῶν κή. τίτλ. ε'. κεφ. β'. φησίν· Οἱ κεκωλυμένοι γάμοι γινώσκονται οὕτως· ἐπὶ τῶν ἀνιόντων, καὶ κατιόντων, εἰς ἀπέραντον ὁ γάμος κεκώλυται, κἂν μὴ ἐκ νομίμων ὦσι γάμων· οὐ δύναται γάρ τις τὴν ἰδίαν λαμβάνειν θυγατέρα, ἢ ἐγγόνην, ἢ μητέρα, ἢ μάμμην, εἴτε φυσικαὶ ὦσιν αἱ θυγατέρες, εἴτε θεταί. Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προσώπων ἔστι τις κώλυσις· τὴν γὰρ τοῦ ἀδελφοῦ μου, ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις· ἀλλ' οὐδὲ τὴν τούτων ἐγγόνην· ὁμοίως οὐδὲ τὴν θυγατέρα τοῦ θείου, ἢ τῆς θείας, τουτέστι τὴν ἐξαδέλφην μου· ἀλλ' οὐδὲ ὁ υἱός μου, τὴν ἐγγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι· καὶ βιβλίον ξ'. τίτλ. λζ'. κεφ. ογ'. ταῦτα διαγορεύοντα· Οἱ πρὸς γάμον συναπτόμενοι, ἢ σαρκικῶς ἄλλως συμπλεκόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον, ἢ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς, ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα, ἢ ἀνεψιὸς εἰς γεγαμημένην τῷ θείῳ γυναῖκα, εἴτε θεῖος εἰς γεγαμημένην τῷ ἀνεψιῷ γυναῖκα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν. Καὶ ἐν μέρει δὲ τοῦ τόμου τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου

(1) Τὸ ψήφισμα τοῦτο, πραγματευόμενον περὶ τῆς καὶ διὰ τοῦ ψηφίσματος τοῦ πατριάρχου Ἰωάννου τοῦ Καματηροῦ κανονιζομένης ὑποθέσεως, φαίνεται ἐκδοθὲν κατὰ τὴν αὐτὴν ἐποχὴν, περὶ τὰ τέλη δηλονότι τῆς ιβ'. ἑκατονταετηρίδος, ἐπὶ βασιλέως Ἰσαακίου τοῦ Ἀγγέλου. (Ὅρα σελ. 108 τοῦ παρόντος Τόμου.)

Σισιννίου, κεκωλυμένοι εἰσὶν οἱ γάμοι οὗτοι· οἷον, ὅταν ἀδελφοὶ ἐξαδέλφας ἀλλοτρίας λαμβάνωσιν, ἢ δύο ἀδελφοὺς ἐξάδελφαι δύο, ἢ θεῖος καὶ ἀνεψιὸς ἀδελφὰς δύο, ἢ ἀδελφοὺς δύο θεία καὶ ἀνεψιά. Ἀλλὰ καὶ ἀπὸ συνοδικῶν πράξεων καὶ διαγνώσεων τοῦ ἁγιωτάτου πατριάρχου, κυρίου Λουκᾶ, καὶ προσταγμάτων βασιλικῶν, ἐπὶ μὲν τῶν ἐκ πλαγίου, ὁ ἕβδομος βαθμὸς κεκώλυται· ἐπὶ δὲ τῶν ἐξ ἀγχιστείας, ποτὲ μὲν συγχωρεῖται ὁ ἕκτος, ποτὲ δὲ κεκώλυται· ὅτε γὰρ εἰσὶν ἐκ τοῦ ἑνὸς μέρους βαθμοὶ δύο, ἐκ δὲ τοῦ ἑτέρου τέσσαρες, ὡς ὅταν δύο ἀδελφοὶ θέλουσι συναφθῆναι πρὸς γάμον δυσὶ πρώταις ἐξαδέλφαις, ἔστιν ὁ γάμος κεκωλυμένος· ἐὰν δὲ θεῖος καὶ ἀνεψιὸς θέλωσι συναφθῆναι θείᾳ καὶ ἀνεψιᾷ ἐξ ἄλλου γένους, ἔστιν ὁ γάμος ἀκώλυτος. Ὅτι γοῦν καὶ τὸ παρ' αὐτοῦ προταθὲν ἐρώτημα, καὶ ζήτημα, καὶ πρόβλημα, οὐ συναριθμεῖται καὶ συγκατατάττεται τοῖς ἄνωθεν δηλουμένοις κεκωλυμένοις γάμοις, ἀλλὰ ἀφορᾷ εἰς τὸν ἐξ ἀγχιστείας ἕβδομον βαθμὸν, (αἱ γὰρ δεύτεραι ἐξαδέλφαι, ἕκτου βαθμοῦ εἰσιν, ἀλλὰ καὶ τὸ συναπτόμενον πρόσωπον, βαθμὸς ἕτερος, καὶ ἀποτείνεται εἰς ἕβδομον ἐξ ἀγχιστείας βαθμὸν,) ψηφιζόμεθα καὶ λέγομεν τὸν τοιοῦτον γάμον ἀκώλυτον, ὡς τοῦ ἐξ ἀγχιστείας ἑβδόμου βαθμοῦ ἀδιαστίκτου καὶ ἀκωλύτου πάντη ὄντος· ταῦτα πρὸς τὰ ἀφηγηθέντα.

Αἱ ὑπογραφαί.

Ὁ κριτὴς τοῦ Βήλου, Γαβριὴλ ὁ Σπληνάριος, τοῖς ψηφισθεῖσι στοιχῶν, ὑπέγραψα.

Ὁ κριτὴς τοῦ Βήλου, Ἰωάννης ὁ Ἀποτυρᾶς, τοῖς ψηφισθεῖσι στοιχῶν, ὑπέγραψα.

Ὁ κριτὴς τοῦ Βήλου, Νικήτας πρωτονωβελλισιμοϋπέρτατος, ὁ Σπανόπωλος, τὰ αὐτὰ φρονῶν, ὑπέγραψα.

Καὶ ὄπισθεν.

Ἰωάννης ὁ κριτὴς τοῦ Βήλου, καὶ ἐπὶ τοῦ ἱπποδρόμου, ὁ Αἰσόπατος, στοιχῶν καὶ αὐτὸς τοῖς ἐντὸς γνωματευθεῖσιν, ὑπέγραψα.

ΜΙΧΑΗΛ ΤΟΥ ΧΟΥΜΝΟΥ·

ΠΕΡΙ ΤΩΝ ΒΑΘΜΩΝ ΤΗΣ ΣΥΓΓΕΝΕΙΑΣ (1).

Η ΣΥΓΓΕΝΕΙΑ, ὄνομά ἐστι κοινὸν καὶ καθολικόν· διαιρεῖται δὲ εἰς τάξεις τρεῖς· εἰς ἀνιόντας, κατιόντας, καὶ τοὺς ἐκ πλαγίου· καὶ ἀνιόντες μέν εἰσιν οἱ ἡμᾶς γεγεννηκότες· κατιόντες δὲ, οἱ ἐξ ἡμῶν γεννηθέντες· ἐκ πλαγίου δέ εἰσιν, οἱ μήτε γεννήσαντες ἡμᾶς, μήτε γεννηθέντες ἐξ ἡμῶν, κοινωνήσαντες δὲ ἡμῖν τῆς αὐτῆς γονῆς καὶ ῥίζης· παραδείγματος δὲ χάριν, ὑποκείσθω πρόσωπον ὁ Ἰακώβ. Οὗτος ἀνιόντας ἔχει τοὺς αὐτοῦ γεννήτορας, οὓς γονεῖς καὶ προγόνους ὀνομάζομεν· ἤγουν τὸν πατέρα Ἰσαὰκ, καὶ τὴν μητέρα Ῥεβέκκαν· πάππον τὸν Ἀβραὰμ, μάμμην τὴν Σάῤῥαν, καὶ τοὺς ἔτι ἀνωτέρω· οὗτοι γοῦν πάντες συγγενεῖς τοῦ Ἰακὼβ, λέγονται ἀνιόντες, ὡς αἴτιοι τῆς αὐτοῦ γεννήσεως. Κατιόντες δέ εἰσι τῷ Ἰακὼβ οἱ ἐξ αὐτοῦ καταγόμενοι υἱοὶ, Ἰούδας τυχὸν, ὁ Λευὶ, ὁ Συμεὼν, ἡ θυγάτηρ οὕτω καλουμένη Δίνα, καὶ οἱ ἔτι τούτων κατωτέρω· οἷον ἔγγονος, ἐγγόνη, οἳ κατιόντες λέγονται, ὡς ἐκ τοῦ Ἰακὼβ καταγόμενοι. Ἐκ πλαγίου δέ εἰσι συγγενεῖς, οἱ μήτε γεννήσαντες τὸν Ἰακὼβ, μήτε ἐξ αὐτοῦ γεννηθέντες, κοινωνοῦντες δὲ αὐτῷ τοῦ αὐτοῦ γένους, καὶ τῆς αὐτῆς ῥίζης, οἷον, ὁ Ἰσμαήλ· θεῖος γὰρ πρὸς πατρὸς τῷ Ἰακὼβ ὁ Ἰσμαήλ· καὶ ἀνιόντες μὲν αὐτῷ, ὡς εἰρήκαμεν, ὁ Ἰσαὰκ, ὡς πατὴρ, καὶ ὁ Ἀβραὰμ, ὡς πάππος, ὅτι ἐξ ὀσφύος αὐτῶν ὁ Ἰακώβ· ὁ δὲ Ἰσμαὴλ οὔτε ἀνιὼν λογισθείη συγγενὴς τῷ Ἰακὼβ, ὅτι οὐκ ἔστιν αἴτιος τῆς αὐτοῦ γεννήσεως, οὔτε μὴν κατιὼν, ὅτι οὐκ ἐκ τοῦ Ἰακὼβ ἐγεννήθη· ἐκ πλαγίου δέ ἐστι συγγενὴς, ὡς καὶ αὐτὸς ἐξ ὀσφύος τοῦ Ἀβραὰμ γεννηθεὶς, καὶ τὸν Ἀβραὰμ ἔχων γεννήτορα, ἀφ᾽ οὗ καὶ ὁ Ἰακὼβ, κἀντεῦθεν κοινωνήσας τῷ Ἰακὼβ τῆς αὐτῆς γονῆς καὶ ῥίζης. Πάντως γὰρ οἱ μήτε τὸν

(1) Μιχαὴλ ὁ Χοῦμνος, ἀρχιεπίσκοπος Θεσσαλονίκης, ἔζη περὶ τὰ τέλη τῆς ιβ΄. ἑκατονταετηρίδος, σύγχρονος, ὡς ἔοικε, τῷ Βαλσαμῶνι. Ἀναφέρεται παρὰ Βλάσταρῃ (Τόμ. ς΄. τοῦ παρόντος συντάγματος) ἐν στοιχ. Β. Περὶ τῶν βαθμῶν τοῦ γάμου.

ἄνω τόπον ἔχοντες, τὴν τῶν ἀνιόντων λέγω τάξιν, μήτε τὸν κάτω βαθμὸν ἀποπληροῦντες, ἐκ πλαγίου ἔσονται· ὅτι καὶ αἱ τοπικαὶ διαστάσεις τετραχῶς διαιροῦνται, εἰς τὸ ἄνω καὶ κάτω, δεξιὸν καὶ ἀριστερόν· ταύτῃ τοι τὸ δεξιὸν καὶ ἀριστερὸν, πλάγια τυγχάνουσιν· ὅπως γοῦν ταῦτα τὰ μέρη τῶν δεξιῶν καὶ ἀριστερῶν, συγγενῶν τάξεις ἀποπληροῖ, προϊὼν ὁ λόγος ἐρεῖ. Ἐκ πλαγίου δὲ συγγενὴς τῷ Ἰακὼβ καὶ ὁ Βαθουὴλ ὁ τοῦ Ἀβραὰμ ἀδελφός. Εἰ γοῦν ζητοίη τις, εἰ τῷ Ἰακὼβ συγγενής ἐστιν ὁ Βαθουὴλ, ὁ τοῦ Ἀβραὰμ ἀδελφὸς, καὶ Ἰσμαὴλ ὁ ἀδελφὸς τοῦ Ἰσαὰκ, ἐροῦμεν· ὅτι συγγενεῖς μέν εἰσιν, οὔκουν ἀνιόντες, ὅτι μὴ ἐξ ὀσφύος αὐτῶν· ἀλλ' οὐδὲ κατιόντες ὁ Βαθουὴλ ἢ ὁ Ἰσμαήλ· λείπεται λοιπὸν ἐκ πλαγίου συγγενεῖς τῷ Ἰακὼβ τούτους τυγχάνειν· καὶ τὸν μὲν Ἰσμαὴλ πατράδελφον εἶναι, ἤγουν θεῖον πρὸς πατρός· τὸν δὲ Βαθουὴλ, θεῖον ἀπὸ πάππου, ὃν καὶ μέγαν θεῖον ὁ νόμος ὀνομάζει. Τὸ αὐτὸ δέ ἐστι καὶ ἐπὶ τῶν θηλέων προσώπων· τῷ γὰρ Ἰακὼβ ἀνιόντων μὲν τάξιν ἔχουσιν ἥ τε μήτηρ Ῥεβέκκα, καὶ ἡ μάμμη Σάῤῥα· κατιόντων δὲ τάξιν ἀποπληροῦσιν αὐτῷ ἡ θυγάτηρ Δίνα, καὶ ἡ ἐξ αὐτῆς τυχὸν γεννηθεῖσα· εἰ δὲ τῇ Ῥεβέκκᾳ εἰσὶν ἀδελφοὶ, καὶ οὗτοι ἐκ πλαγίου συγγενεῖς τῷ Ἰακὼβ λογίζονται· αὐτίκα ὁ Λάβαν, ὁ τῆς Ῥεβέκκας ἀδελφὸς, συγγενὴς τῷ Ἰακὼβ· θεῖος γὰρ πρὸς μητρός.

ΝΙΚΗΦΟΡΟΥ (1).

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΧΑΡΤΟΦΥΛΑΚΟΣ

Κυρίου Νικηφόρου, πρός τινα μοναχὸν Θεοδόσιον καὶ ἔγκλειστον Κορίνθου, περιέχουσα λύσιν τινῶν ζητημάτων.

ΠΕΡΙ ὧν ἠρώτησας, τίμιε πάτερ, οὐκ ἔστιν ἡμέτερον ἀποκρίνασθαι· τοῖς γὰρ ἀρχιερεῦσιν ἀνεῖται τὸ τὰ τοιαῦτα οἰκονομεῖν· ἡμεῖς δὲ, τῆς ὑφειμένης μερίδος ὄντες, καὶ τὸ τῆς ὑπηρεσίας λαχόντες, εἰ καὶ ἀνάξιοι, ἀξίωμα, προσκρούειν δοκοῦμεν ταῖς κανονικαῖς διατάξεσιν, εἴγε περὶ τῶν τοιούτων μὴ παραχωρούμενοι λέγειν, ἀλλὰ παρὰ τοῦ ἐνθαδίου ἀρχιερέως μανθάνειν τὰ δέοντα, διασκοποῦμεν ὅλως περὶ τῶν τοιούτων, καὶ λέγομεν· τὸ γὰρ καλὸν καὶ δίκαιόν ἐστιν, ἐρωτᾷν σε τὸν προεστῶτα τῆς ἐν Κορίνθῳ Ἐκκλησίας ἀρχιερέα, καὶ παρ' ἐκείνου μανθάνειν, καὶ μηδέν τι ἄνευ τῆς γνώμης αὐτοῦ ἐπὶ σωτηρίᾳ ψυχῶν διαπράττεσθαι· ἀλλὰ μηδὲ λογισμοὺς δέχεσθαι, ἢ καταλλάττειν τοὺς ἐν μετανοίᾳ, μὴ παρ' αὐτοῦ λαμβάνοντα τὸ ἐνδόσιμον· τοῦτο γὰρ ἡ ἀποστολικὴ καὶ πατρικὴ τῆς Ἐκκλησίας διάταξις βούλεται. Ἐπεὶ δὲ ἠθέλησας καὶ παρ' ἐμοῦ μαθεῖν τι, λέγω οὐκ ἀφ' ἑαυτοῦ, οὐδ' ὡς ἐξουσίαν ἔχων τι ἐν τοῖς τοιούτοις οἰκονομεῖν, ἀλλ' ἐξ ὧν ἀπὸ τῶν κανονικῶν βιβλίων ἠῤῥυσάμεθα.

Διγάμους, ἢ πορνεύοντας, ἢ πορνεύσαντας ἅπαξ καὶ μόνον, οὐδαμῶς ἱερατεύειν ἡ κανονικὴ ἀκρίβεια βούλεται· ἀλλ' οὐδὲ τοὺς πορνεύοντας κοσμικοὺς τῶν θείων μεταλαμβάνειν μυστηρίων, εἰ μὴ ἀπόσχοιντο τοῦ κακοῦ, καὶ τῷ ἁρμόζοντι ἐπιτιμίῳ ὑποπεσοῦσι καὶ δουλεύσουσιν. Οἱ δὲ μὴ ὄντες ἱερεῖς μοναχοὶ, δεχόμενοι λογισμούς τινων, καὶ δεσμοῦντες, καὶ λύοντες, γινωσκέτωσαν, ὅτι ἀκανονίστως τοῦτο ποιοῦσιν· οἱ γὰρ ἅγιοι Πατέρες οὐδὲ τοὺς ἱερεῖς βούλονται ἄνευ προστάξεως τοῦ ἐντο-

(1) Νικηφόρος ὁ χαρτοφύλαξ ἔζη κατὰ τὴν δεκάτην τρίτην ἑκατονταετηρίδα. (Ὅρα Biener de collectione canonum σελ. 37, ἀρ. 1.)

πίου ἄρχοντος καταλλάττειν τοὺς μετανοοῦντας, ὡς ὁ ς'. καὶ ὁ μϐ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου διατρανοῦσι· νῦν δὲ οὐκ οἶδ' ὅπως καταφρονεῖται ἡ τοιαύτη διάταξις· ἀλλ' ἡμεῖς τὰ γεγραμμένα λέγομεν.

Συντεκνίας δὲ, ἢ ἀδελφοποιήσεις ποιεῖν μοναχοὺς, κεκωλυμένον ἐστί· καὶ ἐνταλματικῶς τοῦτο τοῖς ἡγουμένοις, ἢ τοῖς ἐξάρχοις τῶν μοναστηρίων ἡ Ἐκκλησία παρακελεύεται· οὐδὲ γὰρ ὁ νόμος δέχεται τὰς λεγομένας ἀδελφοποιΐας ὅλως.

Περὶ δὲ τῶν ἔμϐρυα ἀναιρουσῶν γυναικῶν, ὅτι φόνου ἐπιτιμίοις ὑπόκεινται, ἀναμφίϐολόν ἐστιν, ὡς ὁ δεύτερος κανὼν τοῦ μεγάλου Βασιλείου πλατέως διέξεισι.

Περὶ τῶν εὑρισκομένων δὲ νεκρῶν βρεφῶν ἐν τῷ συγκοιμᾶσθαι τοῖς γονεῦσι, διακρίσεως μεγάλης χρεία· εἰ γὰρ ἐξ ἀμελείας φανερᾶς, μεθυσθέντων δηλαδὴ τῶν γεννητόρων, ἢ ἄλλως πως καταμελησάντων, τὸ πλημμέλημα γένηται, φόνος δοκεῖ καὶ τοῦτο· εἰ δὲ ἐκ συνεργίας καὶ ἐπιϐουλῆς τοῦ ἀντικειμένου, μηδαμῶς πταισάντων ἐκείνων, συγγνώμης τὸ πρᾶγμα ἄξιον.

Περὶ δὲ τῶν ἀνιερολογήτως συναπτομένων δούλων δούλαις, γίνωσκε, ὡς οὐκ ὀφείλουσιν, εἰ μὴ ἱερολογηθῶσι, τῶν θείων μυστηρίων μεταλαμϐάνειν, ἀλλὰ κωλύεσθαι ὡς πορνεύοντες (1). Ταῦτα τῇ εὐλαβείᾳ σου κατὰ τὰς θείας τῶν ἁγίων Πατέρων ἀποφάσεις καὶ διατάξεις γράφομεν· τοῖς δὲ ἀρχιερεῦσι δέδοται οἰκονομίας ἐν τοῖς τοιούτοις ποιεῖν κατὰ τὸ δοθὲν αὐτοῖς θεῖον Πνεῦμα καὶ χάρισμα· καὶ διὰ τοῦτο λέγομεν καὶ ἀποφαινόμεθα, ὅτι ἁρμόζει τοὺς ἐνθαδίους ἄρχοντας, ἤτοι ἀρχιερεῖς, περὶ τούτων ἐρωτᾷν, καὶ συνεργοὺς αὐτοὺς ἔχειν· ἐκεῖνοι δὲ μᾶλλον ὑπὲρ τοῦ πιστευθέντος αὐτοῖς ποιμνίου τῷ Θεῷ λόγους δώσουσι. Τὸ δὲ λέγειν, ὅτι οὐ καταδέχονται οἱ ἁμαρτάνοντες τὴν ἀκρίϐειαν τῶν κανόνων, οὐδὲν πρὸς ἡμᾶς· λέγει γὰρ ἐν τῷ πδ'. αὐτοῦ κανόνι ὁ οὐρανοφάντωρ Βασίλειος (2), ὅτι δεῖ τοὺς καρποὺς δοκιμάζεσθαι τῆς μετανοίας· οὐ γὰρ τῷ χρόνῳ, ἀλλὰ τῷ τρόπῳ πάντως προσέχομεν· ἐὰν δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς ἐθέλειν

(1) Ὅρα καὶ Πέτρου ἀποκρ. σελ. 371 τοῦ παρόντος τόμου. — (2) Βασιλείου καν. πδ'.

δουλεύειν, ἢ τῷ Κυρίῳ, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος· καὶ ἀνάγνωθι, πάτερ, ἕως τέλους τὸν κανόνα, ὡς τῇ ὑποθέσει πρόσφορον.

Ἔχεις λοιπὸν, τιμιώτατε πάτερ, κατὰ τὴν ἡμετέραν γνῶσιν, ὅπερ ᾔτησας· πλὴν (οὖν) ἐὰν ἀκριβῶς καὶ ἀπταίστως βούλῃ κανονίζειν τοὺς προσιόντας σοι, τοὺς ἐκτεθέντας παρὰ τῶν ἱεροκηρύκων καὶ θείων Ἀποστόλων, καὶ τῶν θεοφόρων Πατέρων κανόνας ἐπιμελῶς μετέρχου, καὶ ἀναφέρων περὶ πάντων, ὧν ἀμφισβητεῖς, μετὰ ταπεινώσεως καὶ παρακλήσεως τῷ μητροπολίτῃ σου, ἐνέργει κατὰ τὴν ἐκείνου συμβουλὴν, ἐκτενῶς τοῦ Κυρίου δεόμενος δοθῆναί σοι παρ' αὐτοῦ γνώσεως καὶ διακρίσεως χάρισμα· τῷ ὄντι γὰρ λίαν ἐστὶ κινδυνῶδες τὸ πεπαῤῥησιασμένως δεσμεῖν καὶ λύειν τοὺς ἐν πταίσμασιν ἁλόντας, καὶ μὴ κατάλληλα τοῖς παθήμασι κατασκευάζειν τὰ φάρμακα.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ.

Ηρωτησας ἡμᾶς, τιμιώτατε πάτερ, διὰ τῆς γραφῆς σου οὐ περιττῶς καὶ ἀναρμόστως, ἀλλὰ λελογισμένως καὶ ἀκριβῶς, περὶ ὧν αὐτὸς διηπόρησας, ἃ σήμερον διαποροῦσι καὶ ἄλλοι πολλοί· ἃ τοίνυν ἐκείνοις τοῖς κατ' ὄψιν ἡμῖν ἐντυχάνουσι τοῦ Θεοῦ διδόντος λέγομεν, ταῦτα καὶ πρὸς τὴν σὴν ἀποῦσαν τελειότητα λέγομεν. Αὐτίκα κανόνας ἐκκλησιαστικοὺς παρὰ τῶν θεοφόρων Πατέρων ἐκτεθέντας καὶ βεβαιωθέντας, ἐκείνους εἶναι λέγομεν, οὓς οἵ τε ἅγιοι Ἀπόστολοι, καὶ οἱ ἐν ταῖς ἑπτὰ μεγάλαις καὶ οἰκουμενικαῖς συνόδοις συνελθόντες ἅγιοι Πατέρες ἐξέθεντο· πρὸς τούτοις, καὶ τοὺς παρὰ τῶν τοπικῶν συνόδων γεγονότας, καὶ παρὰ τῶν κατὰ διαφόρους καιροὺς λαμψάντων φωστήρων τῆς Ἐκκλησίας καὶ μεγάλων ἱεραρχῶν ἐκφωνηθέντας, ὧν καὶ τὸ κατ' ὄνομα ἐν τῷ προοιμίῳ τῆς ϛ'. συνόδου σπουδάσας εὑρήσεις· καὶ παρὰ τούτους ἕτερόν τι ἡ Ἐκκλησία οὐ δέχεται· τοὺς οὖν δηλωθέντας πάντας κανόνας ἀκριβώσας ἐπιμελῶς, οὐχ ἁμαρτήσεις τοῦ σπουδασοῦ. Περὶ δὲ τῶν ἐκτεθέντων παρὰ τοῦ Νηστευτοῦ Ἰωάννου (1), συνήθειαν παρελάβομεν, ὥστε

(1) ὅρα Ἰωάννου τοῦ Νηστευτοῦ κανόνας σελ. 432 τοῦ Τόμ. Α'. τοῦ παρόντος συντάγματος.

κατὰ δύναμιν ἑκάστου καὶ τὰς ἐπιτιμήσεις οἰκονομεῖν· πλὴν τοῦτο λέγομεν, ὅτι τὰ δοκοῦντα μὴ κατὰ τὴν ἀκρίβειαν τῶν κανόνων ῥηθῆναι τῷ Νηστευτῇ Ἰωάννῃ, εἴ τις νουνεχῆς σκοποίη, τῆς τῶν Πατέρων διανοίας ἐξήρτηται. Τοῦ γὰρ μεγάλου Βασιλείου ἐν τῷ τελευταίῳ κανόνι αὐτοῦ συνοπτικῶς παραγγέλλοντος, παντὶ ψυχῶν οἰκονομίαν πεπιστευμένῳ ἐξουσίαν δεδόσθαι, ἐπιτείνειν καὶ ἐλαττοῦν τὸ ἐλάττωμα, κατὰ τὰς διαθέσεις δηλαδὴ τῶν ἐξομολογουμένων, καὶ ὅλως στοχάζεσθαι τῶν προσώπων, καὶ τῶν πραγμάτων, καὶ ἐν διακρίσει τὴν τῶν ψυχῶν ποιεῖσθαι ὠφέλειαν· οὐδὲν ξένον, εἰ καὶ ὁ Νηστευτὴς Ἰωάννης, τῷ τοιούτῳ κανόνι πειθόμενος, κατὰ τὸ δοθὲν αὐτῷ πνευματικὸν χάρισμα κεκαινοτόμηκέ τι, ἐπ' ὠφελείᾳ πάντως τὸ οἰκονομούμενον οἰκονομῶν. Δεῖ οὖν τῶν συνοδικῶς ἐκφωνηθέντων καὶ βεβαιωθέντων ἀντέχεσθαι, ἔπειτα καὶ οἰκονομεῖν κατὰ τὰς διαθέσεις τῶν προσώπων, καὶ καιρῶν, καὶ τρόπων, τὴν ἐπιτιμίαν, τοῦ μεγάλου Βασιλείου, ὡς εἴρηται, τοῦτο ἐπιτρέποντος· τὸ δὲ λέγειν, ὅτι τὰ κανονικὰ παραγγέλματα οὐδὲ μέχρις ἀκοῆς φέρουσιν οἱ ἄνθρωποι, ἀνάξιόν ἐστι τῆς σῆς ἀρετῆς· οἱ γὰρ μὴ ταῦτα δεχόμενοι, οὐδὲ τῆς τῶν Χριστιανῶν μερίδος ὅλως εἰσί· καὶ διὰ τοῦτο δεῖ σε μὴ αὐστηρῶς τούτοις καὶ ἀπαραμυθήτως χρῆσθαι, ἀλλὰ συμπαθητικῶς καὶ διδακτικῶς· ἐπεὶ ὡς ἂν ἐπαχθῆ (1), καὶ ἡδέα τοῖς νοσηλευομένοις παρέχουσι.

(1) Α. ἐν περισελ. — ἐπεὶ [καὶ] ὡς ἀνεπαχθῆ Α.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΙΤΡΟΥ (1).

ΙΩΑΝΝΟΥ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΙΤΡΟΥ,

Ἀποκρίσεις πρὸς Κωνσταντῖνον ἀρχιεπίσκοπον Δυῤῥαχίου τὸν Καβάσιλαν.

Ἐρώτησις.

ΣΥΝΗΘΕΙΑ ἐστιν ὧδε, εἰς τὴν ἔξω χώραν χειροτονεῖσθαι ἀζυμίτας ἱερεῖς παρὰ τῶν ἡμετέρων ἀρχιερέων· δεκτόν ἐστι τοῦτο, ἢ οὔ;

Ἀπόκρισις.

Τὸ ἄγραφον ἔθος τῆς Ἐκκλησίας, ὡς νόμον κρατεῖν, ὁ τοῦ κόσμου φωστὴρ, ὁ μέγας θεσπίζει Βασίλειος(2)· ὅταν γοῦν τὰς τοιαύτας χειροτονίας οὐκ ἐπιγινώσκῃ ὁ νόμος τῆς Ἐκκλησίας, διὰ τοῦτο οὐδὲ ἡμεῖς δυνάμεθα τὴν ἐν ταύτῃ συνήθειαν γνωματεῦσαι ὡς βεβαίαν κρατεῖν· εἰ γὰρ καὶ μακρὰ ἴσως ἐστὶν, ἀλλ᾽ οὐκ οἴδαμεν ἀκριβῶς, εἰ καὶ ἐν συνοδικῷ δικαστηρίῳ κροτηθεῖσα ἐβεβαιώθη· ἐκείνην γὰρ τὴν μακρὰν συνήθειαν βεβαίαν οἱ νόμοι τυγχάνειν διακελεύονται, τὴν δοκιμασθεῖσαν ἐν δικαστηρίῳ καὶ κυρωθεῖσαν(3)· τὴν μὴ τοιαύτην δὲ ὁλοσχερῶς ἀποβάλλονται. Ἐξετασθῆναι τοίνυν χρεὼν, εἰ καὶ ἡ εἰρημένη συνήθεια τῆς χειροτονίας τῶν ἱερέων συνοδικῶς ἐγυμνάσθη καὶ ἐκυρώθη ποτέ· κἂν μὲν γέγονε τοῦτο, κρατείτω καὶ εἰς τὸ ἑξῆς· εἰ δὲ μὴ, ἀνάγκη τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τὰ περὶ ταύτης ἀνενεχθῆναι, ὥστε τὸ δόξαν ἐκείνῃ γενέσθαι· τὰ συνοδικῶς γὰρ σκεπτόμενα καὶ διαγινωσκόμενα, τῶν καταμόνας γνωματευομένων κρείττονά εἰσι καὶ ἐπικρατέστερα.

Ἐρώτησις.

Θάπτονται ὀρθόδοξοι Ῥωμαῖοι ἐν Λατινικαῖς Ἐκκλησίαις ψαλλόμενοι παρά τε Ῥωμαίων καὶ Λατίνων ἐν ταυτῷ· καὶ Λα-

(1) Ἰωάννης, ἐπίσκοπος Κίτρου, ἔζη κατὰ τὰ τέλη τῆς ιϐ΄. ἑκατονταετηρίδος. Ἔφθασε δὲ τὸν Βαλσαμῶνα, ὡς ἐκ τῆς προτελευταίας τῶν ἄνω Ἀποκρίσεων αὐτοῦ δείκνυται. — (2) Βασ. καν. ϟϐ΄. — (3) μγ΄. Βασιλικ. Β΄. 1.

τῖνοι δὲ ἀποθνήσκοντες, ὡσαύτως ψάλλονται ὁμοῦ παρὰ Ῥωμαίων καὶ Λατίνων ἀδιακρίτως· ἐπιτίμιον ἔστιν, ἢ οὔ;

Ἀπόκρισις.

Δύο εἰσὶ προφανῆ καὶ μεγάλα, ποιοῦντα διαφορὰν μέσον ἡμῶν καὶ τῶν Λατίνων· τὸ πρῶτον καὶ μεῖζον, τὸ περὶ τοῦ ἁγίου Πνεύματος δόγμα· τὸ δεύτερον δὲ, καὶ οὐ τοῦ ἴσου λόγου, τῶν ἀζύμων ἡ προσφορά· ἡ τῆς Γραφῆς δὲ ἀνάγνωσις, τῆς τε Παλαιᾶς καὶ τῆς Νέας, καὶ αἱ προσευχαὶ, καὶ αἱ μελῳδίαι, καὶ οἱ θεῖοι ναοὶ, καὶ αἱ προσκυνήσεις τοῦ τε τιμίου Σταυροῦ καὶ τῶν ἁγίων εἰκόνων, κοινὰ τούτοις εἰσὶ καὶ ἡμῖν. *Οὐκ* ἀπᾷδον τοίνυν, οὐδὲ τῇ εὐσεβείᾳ ὁπωσοῦν λυμαινόμενον, τὸ θάπτεσθαι Λατίνους ἐν Ῥωμαϊκοῖς ναοῖς, καὶ ψάλλεσθαι ὁμοθυμαδὸν παρά τε Ῥωμαίων καὶ Λατίνων ἱερουργῶν νεκριμαῖα Λατίνων καὶ Ῥωμαίων· οὔτε γὰρ ὁ τόπος τοὺς ἀπελθόντας, παρὰ Θεῷ ποιεῖ ἀποβλήτους· καὶ ἡ ἐπ' αὐτοῖς ψαλμῳδία τῶν Λατίνων οὐκ ἔστιν ἐθνικὴ, ἀλλ' ἐκ τῶν καθ' ἡμᾶς θείων Γραφῶν. Εἰ δέ τις ἴσως ἄτοπον ἡγεῖται τὸ γινόμενον οὕτως, *αὐτόθεν* εὑρήσει τὸν λογισμὸν τοῦτον μάταιον· πολλὰ γὰρ σώματα τῶν ἁγίων οἱ πάλαι κατὰ καιροὺς τῆς ἀσεβείας τὸ κράτος ἔχοντες θνησιμαίοις ἀλόγοις παρέμιξαν, καὶ ἐν τόποις βορβόρου μεσοῖς ἐναπέρριψαν· ἀλλ' ἡ δεδομένη τοῖς ἁγίοις χάρις, ἐντεῦθεν ἀλώβητος ἔμεινε· καὶ αὐτῶν ἐστιν ἡ ἄνω Ἱερουσαλὴμ, ἡ τῶν πρωτοτόκων μητρόπολις, ἡ τῶν πραέων γῆ, τὰ ἠγαπημένα σκηνώματα. Εὑρίσκονται δὲ καὶ δυσσεβῶν βασιλέων τάφοι ἐν τοῖς καθ' ἡμᾶς ἁγίοις ναοῖς, ὡς καὶ τοῦ παραβάτου Ἰουλιανοῦ ἐν τῷ ναῷ τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων κατὰ τὴν Κωνσταντινούπολιν, ναὶ μὴν καὶ ἄλλων κακοδόξων ἐν ἑτέροις ναοῖς· καὶ οὐ λυσιτελεῖ τούτοις ἡ ἐκεῖσε ταφή· μένει γὰρ αὐτῶν ἡ δυσσέβεια, καὶ αὐτῶν ἐστι τὸ αἰώνιον πῦρ τῆς κολάσεως. Ἄμεμπτος λοιπὸν ἡ ταφὴ τῶν ἐν τοῖς Λατινικοῖς ναοῖς ἐνσοριαζομένων Χριστιανῶν· ἐπειδὴ κἀκεῖσε ἡ τοῦ τιμίου Σταυροῦ καὶ τῶν θείων μορφωμάτων ἐστὶν ἀναστήλωσις καὶ προσκύνησις. Προσθήκη δὲ οὐκ ἀπρόσφορος τῇ ἀποκρίσει ταύτῃ κἀκεῖνο δὴ τὸ εὐαγγελιογραφούμενον, Ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς

αὐτῶν νεκρούς(1), τοῦ λόγου, οἶμαι, δηλοῦντος τὸ τὴν διαφθορὰν εἶναι τούτων ταφήν· ὡς ἐντεῦθεν μηδὲ ἐπάναγκες εἶναι τοῖς ζῶσιν ὑπερκοσμίως μήτε περισπουδάστων μελημάτων ἐπὶ ἐνταφιασμῷ τοὺς νεκροὺς ἀξιοῦν, μήτε μὴν ἐπιλέκτους τόπους τούτου χάριν ἐπιζητεῖν.

Ἐρώτησις.

Ὁ γυναῖκα ἔχων ἱερεύς, ἢ διάκονος, ἢ ἀναγνώστης, εἰ αὐτὸς μὲν ἀποκαρῇ, μείνῃ δὲ ἡ σύζυγος αὐτοῦ ἐν τῷ κόσμῳ, ἆρ' οὖν δύναται εἰς ἱερωσύνην ἢ ἀρχιερωσύνην προαχθῆναι ὁ ἀποκαρείς, εἰ καὶ ἡ σύμβιος αὐτοῦ τὴν ἀπόκαρσιν οὐ καταδέξεται;

Ἀπόκρισις.

Οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι, τὰς αἰτίας καταλέγοντες, ὧν ἕνεκα τὰ τῶν γαμικῶν συνοικεσίων διαζύγια γίνονται, ταύταις ἐντάττουσι καὶ τὸ γινόμενον δι' ἀπόκαρσιν· ὅπερ καὶ πρόφασιν ἄμεμπτον καὶ ἀκατηγόρητον ὀνομάζουσιν· ἣν δὴ καὶ θανάτῳ παρεοικέναι σοφῶς γνωματεύουσιν, ὡς ἑτέραν ἀνθ' ἑτέρου βίου πορείαν αἱρουμένου τοῦ εἰς τὴν μοναδικὴν βιοτὴν παραγγέλλοντος(2). Εἰ τοίνυν τὸ τοιόνδε διαζύγιον νόμιμόν ἐστι καὶ ἄμεμπτον διὰ τὴν ἀπόκαρσιν, καὶ δύναται ἡ γυνὴ τοῦ κειραμένου, εἴ γε βούλεται, μεθ' ἑτέρου ἀνδρὸς ἀκατηγόρητον θέσθαι συνάλλαγμα· ἆρα καὶ ὁ ἀποθριξάμενος ἀνὴρ ταύτης, ὡς τῷ κόσμῳ καθάπαξ νεκρὸς γενόμενος, δύναται, εἰ ἄξιος εὑρεθείη, καὶ εἰς τὸ τοῦ ἱερέως, καὶ εἰς τὸ τοῦ ἀρχιερέως ἀναχθῆναι ἀξίωμα· τὸ εἰς τοῦτο δὲ ἀκώλυτον, ἐξόν ἐστι καταμαθεῖν ἀπὸ τῆς περιλήψεως τοῦ ὀγδόου κανόνος τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, θεσπίζοντος ταῦτα ῥητῶς· Ἐὰν γυνή τινος μοιχευθεῖσα λαϊκοῦ ὄντος ἐλεγχθῇ φανερῶς, ὁ τοιοῦτος εἰς ὑπηρεσίαν ἐλθεῖν οὐ δύναται· ἐὰν δὲ μετὰ τὴν χειροτονίαν μοιχευθῇ, ὀφείλει ἀπολῦσαι αὐτήν· ἐὰν δὲ συζῇ, οὐ δύναται ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ διακονίας. Εἰ τοίνυν ὁ ἀπολύσας, κατὰ τὴν τοῦ κανόνος περίληψιν, τὴν ἑαυτοῦ γαμετήν, ὡς μοιχευθεῖσαν μετὰ τὴν χειροτονίαν αὐτοῦ, ἔχεται τῆς δοθείσης αὐτῷ ἱερατικῆς διακονίας ἀνεμποδίστως, ἆρα γε πολλῷ πλέον ὁ κατὰ

(1) Ματθ. Η, 22. — (2) δ'. Βασιλικ. ΚΗ, 7.

πρόφασιν ἄμεμπτον διαζυγεὶς τῆς οἰκείας γυναικὸς, ἀκωλύτως καὶ τὸ ἱερατικὸν καὶ τὸ ἀρχιερατικὸν ἀξίωμα δέξεται (1).

Ἐρώτησις.

Τίνες προτιμῶνται εἰς τὸ ψηφίζεσθαι εἰς ἐπισκοπὰς, ὁ πρωτόπαπας καὶ οἱ μετ᾽ αὐτὸν ἱερεῖς, ἢ οἱ διάκονοι οἱ ἔχοντες ἀρχιερατικὰ ἐκκλησιαστικὰ ὀφφίκια;

Ἀπόκρισις.

Αἱ τῶν χηρευουσῶν Ἐκκλησιῶν ψῆφοι κατὰ τὸν ἀκριβῆ λόγον ἀναλόγως τοῖς τόποις καὶ τοῖς προσώποις προβαίνουσιν· οὐ γὰρ, εἰ ὁ τόπος μὲν περίβλεπτος, καὶ δεόμενος ποιμένος ἐπιστημονικοῦ καὶ λογίου, καὶ τὸν βίον τῷ λόγῳ σύνδρομον ἔχοντος, τὸ πρόσωπον δὲ τὸ ὑπὸ χρόνου τυχὸν ἢ θελήματος ἀρχιερατικοῦ εἰς βαθμὸν ἀναχθὲν ἐπίσημον ἐκκλησιαστικὸν, πείρας ἱκανῆς, καὶ λόγου, καὶ γνώσεως στέρεται, δεῖ τοῦτον διά γε τὸν βαθμὸν ἐπικηρυχθῆναι τόπῳ λαμπρῷ, τούτου χάριν, ἵνα μήτε τὸ ἀρχιερατικὸν ἀξίωμα κενωθῇ διὰ τὴν τούτου ἀφέλειαν, μήτε μὴν ἡ πόλις ἐστερημένη μείνῃ καταλλήλου ταύτῃ ποιμένος καὶ κηδεμόνος. Διὰ ταῦτα προσήκοντα καὶ ἁρμόδια ὀφείλουσιν εἶναι τοῖς τόποις τὰ ψηφιζόμενα πρόσωπα· ὥστε μὴ τὴν τάξιν τῆς τε εὐσεβείας καὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως ἀχρειοῦσθαί τε καὶ συγχέεσθαι· τῶν ἀξιωτέρων γὰρ, οὐ τῶν προβαθμιωτέρων καὶ δυνατωτέρων, οἱ θρόνοι· τὰ περὶ τούτου δὲ καὶ ἡ ρκγ'. νεαρὰ Ἰουστινιάνειος, ἡ κειμένη ἐν κεφαλαίῳ ή. τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, εὐσεβῶς καὶ πανσόφως εἰς πλάτος διέξεισι. Κατὰ τοῦτον τοίνυν τὸν λόγον, ἕκαστον τῶν εἰρημένων προσώπων εἰς τὸ κατάλληλον τῇ τούτου ἐνεργείᾳ καὶ ἀρετῇ ἐπισκοπεῖον ψηφισθῆναι προτιμηθήσεται. Οὐ μέντοι γε τοὺς ἐκκλησιαστικοὺς ἄρχοντας ὁρῶσιν αἱ ψῆφοι ἐπὶ πλέον, οἷα κατ᾽ ἐκλογὴν καὶ δοκιμασίαν εἰς τὰς ἀξίας τῶν ἀρχοντικίων ἀναγομένους, ὡς ὁ ἐκκλησιαστικὸς καὶ ὁ νομικὸς θεσμὸς βούλεται.

(1) Βλέπε Βαλσαμ. ἐπὶ τοῦ ΜΗ. καν. τῆς ς', καὶ Νεαρὰν Ἰσαακίου τοῦ Ἀγγέλου σελ. 324 τοῦ παρόντος Τόμου.

Ἐρώτησις.

Ἐδέξατό τις ἀπὸ τοῦ ἁγίου βαπτίσματος παῖδά τινος· ζητεῖ οὖν αὐτὸς συνάψαι τῷ ἑαυτοῦ υἱῷ θυγατέρα τοῦ αὐταδέλφου τοῦ πατρὸς τοῦ ἀναδεχθέντος· ἔξεστι τοῦτο γενέσθαι, ἢ οὐκ ἔξεστιν;

Ἀπόκρισις.

Ἐπειδὴ τὴν κατὰ Πνεῦμα συγγένειαν κρείττονα εἶναι τῆς σαρκικῆς, καὶ οἱ φιλευσεβεῖς νόμοι, καὶ οἱ ἱεροὶ κανόνες σαφῶς γνωματεύουσιν, ἄρα γε οὐδὲ τὸ παρὸν συνάλλαγμα προβῆναι συγχωρηθήσεται· ἐγγύτης γὰρ ἐντεῦθεν ἀνακύπτει πρωτεξαδέλφων· ἡ σαρκικὴ γὰρ πρώτη ἐξαδέλφη τοῦ ἀναδεχθέντος, διὰ τῆς πνευματικῆς συγγενείας, καὶ τοῦ υἱοῦ τοῦ ἀναδόχου ἐξαδέλφη λογίζεται, ὡς ἀδελφοῦ ὄντος διὰ τοῦ βαπτίσματος, τοῦ ἀναδεχθέντος παρὰ τοῦ πατρὸς τούτου· ἐπεὶ καὶ ὁ τῆς γυναικὸς ἀδελφὸς, καὶ ὁ τοῦ ἀνδρὸς, δι' ἀλλήλων, ὁ μὲν, γυναικάδελφος τῷ ἀνδρὶ, ὁ δὲ, ἀνδράδελφος τῇ γυναικὶ ὀνομάζεται, διὰ τὴν ἐγγύτητα· γέγονε δὲ καὶ πρᾶξις συνοδικὴ ἐπὶ τῆς ἐφημερίας τοῦ ἐν ἁγίοις [Νικολάου τοῦ Μουζάλωνος,] πατριάρχου Κωνσταντινουπόλεως, γνωματεύσασα ἀκολούθως τῷ νγ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου, καὶ τῷ ς'. θέματι τοῦ ι'. κεφαλαίου τοῦ ε. τίτλου τοῦ κη. βιβλίου τῶν Βασιλικῶν, τοῖς αὐτοῖς βαθμοῖς περιγράφεσθαι καὶ τὴν πνευματικὴν συγγένειαν, οἷς καὶ ἡ φυσικὴ, ἤτοι σαρκικὴ, περιορίζεται· κατὰ τοῦτο γοῦν, καὶ τὸ ἐρωτώμενον τοῦτο συνάλλαγμα γενέσθαι οὐ συγχωρηθήσεται, ὡς εἰς τὸν ἐκ πλαγίου τέταρτον βαθμὸν ἀναγόμενον.

Ἐρώτησις.

Ἐπὶ τούτοις εἰ δύναται καὶ τοῦ συντέκνου αὐτοῦ θυγατέρα, αὐταδέλφην οὖσαν ἀναδεξιμαίου αὐτοῦ, ἀγαγέσθαι νύμφην υἱῷ αὐτοῦ, ἢ ἀδελφόπαιδι, ἢ πρωτεξαδέλφῳ;

Ἀπόκρισις.

Ὁ αὐτὸς λόγος ἀρκέσει καὶ ἐπὶ λύσει τῆς παρούσης ἀπορίας.

---

(1) Ὅρα Βαλσαμ. ἐπὶ τοῦ νγ'. Καν. τῆς ς', ἔνθα παρατίθεται τὸ ἐνταῦθα μνημονευόμενον σημείωμα, ἐκδεδομένον ἐπὶ τοῦ πατριάρχου Νικολάου τοῦ Μουζάλωνος.

Ἐρώτησις.

Εἰ οὐκ ἀνένδεκτον μένειν τινὰ διηνεκῶς ἔνδον θείου ναοῦ, καὶ ἐντὸς τούτου ἐσθίειν· καὶ μάλιστα ἐὰν οὐδὲ νεωκόρος εἴη ἐκεῖνος;

Ἀπόκρισις.

Τὸ μένειν ἐντὸς τοῦ θείου ναοῦ νεωκόροις μόνοις ἀνεῖται, διά τε τὰς ἀναγκαίας τούτῳ ὑπηρεσίας, καὶ δι' ἐπιβουλὴν κλεπτῶν, ἢ τοιχωρύχων, ἢ ἑτέρων κακοποιῶν· ἄλλῳ δέ τινι, μὴ περικειμένῳ τοιαύτην φροντίδα, ἐνδέδοται οὐδαμῶς· τὸ δὲ ἐσθίειν ἔνδον ναοῦ, οὐχ ὅπως καθ' ἑκάστην, ἀλλ' οὐδὲ ἐκ διαλειμμάτων ὁπωσοῦν τινι, ἀλλ' οὐδ' αὐτῷ συγκεχώρηται νεωκόρῳ· καὶ τὰ περὶ τούτου τρανῶς διασαφοῦσιν ὅ,τε ἐκκλησιαστικὸς νόμος, καὶ ὁ πολιτικός· ὁ μὲν ἐκκλησιαστικὸς, ἐν διαφόροις κανόσιν, ἀλλὰ δὴ καὶ ἐν τῷ οδ'. τῆς οἰκουμενικῆς ς'. συνόδου ταῦτα διαγορεύει, ὅτι Οὐ δεῖ ἐν τοῖς Κυριακοῖς, ἢ ἐν ταῖς Ἐκκλησίαις τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν, καὶ ἀκούβιτα στρωννύειν· οἱ δὲ τοῦτο ποιεῖν τολμῶντες, ἢ παυσάσθωσαν, ἢ καθαιρείσθωσαν· ἀκούβιτον δὲ λέγεται ἅπαν στρωμνῆς κατασκεύασμα εἰς ὕψος ἠρμένον καὶ μαλακόν· ἀκούμβω γὰρ παρὰ Λατίνοις τὸ ἀναπίπτω· ὁμοίως δὲ καὶ ἐν τῷ ϞΖ'. κανόνι ταῦτα· Τοὺς ἢ γαμετῇ συνοικοῦντας, ἢ ἄλλως ἀδιακρίτως τοὺς ἱεροὺς τόπους κοινοποιοῦντας, καὶ καταφρονητικῶς περὶ αὐτοὺς ἔχοντας, καὶ οὕτως ἐν αὐτοῖς καταμένοντας, καὶ ἐκ τῶν ἐν τοῖς σεβασμίοις ναοῖς κατηχουμενείων προστάσσομεν ἐξωθεῖσθαι· εἰ δὲ μή τις τοῦτο παραφυλάξει, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Ὁ δέ γε πολιτικὸς νόμος ἐν κεφαλαίῳ ιά. τοῦ ά. τίτλου τοῦ έ. βιβλίου τῶν βασιλικῶν ταῦτά φησι· Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς ὅρων τῆς Ἐκκλησίας τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες, τοῖς ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ αὐλαῖς, ἢ στοαῖς χρώμενοι· κωλυέσθωσαν δὲ ἐντὸς τοῦ ναοῦ ἢ ἐσθίειν, ἢ ὑπνοῦν. Ἀλλὰ καὶ ἡ ογ'. νεαρὰ τοῦ Βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου παρομοίως κολάζει καὶ τοὺς ἐπιτρέποντας τὴν εἰς τὰ κατηχουμενεῖα κατοίκησιν. Ἐκ τῆς περιλήψεως οὖν τῶν τοιούτων θεσπισμάτων ἀπηγορευμένον ἐστὶ παντάπασι καὶ τὸ ἐσθίειν, καὶ τὸ μένειν ἔνδον θείου ναοῦ.

Ἐρώτησις.

Ἐν τοῖς ἀρχοντικοῖς ἐκκλησιαστικοῖς ἀξιώμασι τίς πρῶτος, καὶ τίς δεύτερος, καὶ τίς τρίτος; καὶ πῶς ἐφεξῆς ἡ τούτων τάξις (1);

Ἀπόκρισις.

Ἀπὸ μὲν παλαιᾶς παραδόσεως πρῶτός ἐστιν ὁ μέγας οἰκονόμος· δεύτερος, ὁ ἐπὶ τῆς μεγάλης σακέλλης, ἤγουν ὁ μέγας σακελλάριος· τρίτος, ὁ μέγας σκευοφύλαξ· τέταρτος, ὁ χαρτοφύλαξ· πέμπτος, ὁ ἐπὶ τῆς μικρᾶς σακέλλης, ἤγουν ὁ σακελλάριος· καὶ ἕκτος, ὁ πρωτέκδικος· οἵτινες καὶ ἐξωκατάκηλοι λέγονται. Τὸ τοῦ πρωτεκδίκου δὲ ὀφφίκιον, ἐν τοῖς ὑποβεβηκόσιν ὂν ἔκπαλαι, ὕστερον τοῖς ὑπερέχουσι συνετάγη παρὰ τοῦ τῆς μακαρίας λήξεως πατριάρχου Κωνσταντινουπόλεως Γεωργίου τοῦ Ξιφιλίνου· τῇ πράξει δὲ ταύτῃ ἐπηκολούθησε καὶ γνώμη γενναία τοῦ ἐν ἁγίοις μητροπολίτου Θεσσαλονίκης Εὐσταθίου, ἐπαινοῦσα καὶ ἐξαίρουσα τὸ γεγονὸς, ὡς εὐλόγως καὶ ἀμέμπτως πραχθέν· οἷα τηνικαῦτά τινων ἀντειπόντων, ὡς μὴ ἀποδεξαμένων τὴν πρᾶξιν. Μετὰ τοὺς ἐξωκατακήλους δὲ, πρῶτός ἐστιν ὁ πρωτονοτάριος· δεύτερος, ὁ ὑπομνηματογράφος· τρίτος, ὁ λογοθέτης· τέταρτος, ὁ κανστρίσιος· πέμπτος, ὁ ἱερομνήμων· ἕκτος, ὁ ῥαιφερενδάριος· ἕβδομος, ὁ ἐπὶ τῶν γονάτων· ὄγδοος, ὁ ἐπὶ τῆς ἱερᾶς καταστάσεως· ἔννατος, ὁ ὑπομιμνήσκων· δέκατος, ὁ ἐπὶ τῶν σεκρέτων· ἑνδέκατος, ὁ ἐπὶ τῶν κρίσεων· δωδέκατος, ὁ δευτερεύων τῶν διακόνων· μετ᾽ αὐτοὺς, οἱ τρεῖς ὀστιάριοι· καὶ μετ᾽ αὐτοὺς οἱ τρεῖς ἄρχοντες τῶν Ἐκκλησιῶν. Ἡ προχείρισις δὲ τοῦ δευτερεύοντος τῶν διακόνων οὐχ ἁπλῶς γίνεται, ἀλλὰ κατ᾽ ἐκλογήν· δεῖται γὰρ τὸ τοιοῦτον ὀφφίκιον ἀνδρὸς ἱκανοῦ καὶ ἐπιτηδείου εἰς τὸ ἐκπληροῦν ἀμέμπτως τὰς ἁρμοζούσας τούτῳ διακονίας· αὐτοῦ γάρ ἐστιν ἡ μετὰ τὴν εἴσοδον εὐφημία τῶν βασιλέων καὶ τῶν ἀρχιερέων, τὸ, ἐν ταῖς λιταῖς βαστάζειν τὸ Εὐαγγέλιον, καὶ τὰς ἐν αὐταῖς συναπτὰς καὶ αἰτήσεις ποιεῖν, τὸ, ἀπόντος τοῦ ἀρχιδιακόνου, διδόναι καιροὺς τοῖς ἐν τῷ ἄμβωνι διακόνοις, καὶ ἄλλα τινὰ

(1) Ὅρα Βαλσ. Μελέτην χάριν τῶν δύο ὀφφικίων Τόμ. Δ΄. σελ. 580.

τούτου ὑστερήματα ἐκπληροῦν· κατὰ τοῦτο γοῦν καὶ λέγεται δευτερεύων, οὐχ ὅτι δευτερεύει ἐν τῇ τάξει τῶν διακόνων. Τοιαύτην μὲν οὖν ἡ παλαιτέρα παράδοσις εἶχε τὴν τῶν ἀρχοντικίων τάξιν καὶ στάσιν· ὅτι δὲ αἱ τούτων σφραγίδες τοῦ θελήματος τῶν ἀρχιερέων ἐξήρτηνται, διάφοροι δέ εἰσι καὶ ταῖς γνώμαις καὶ ταῖς ὀρέξεσιν οἱ ἀρχιερεῖς, τούτου χάριν συνεχέθη ἡ τάξις ἡ παλαιά· κἀντεῦθεν οὐδὲ ἡ στάσις τῶν ἀρχοντικίων ἐπὶ τῆς ἱδρύσεως ἔμεινεν, ἀλλὰ μετακεκίνηται κατὰ τὸ τοῖς ἀρχιερεῦσι δοκοῦν· ἡ σύγχυσις δὲ αὕτη ἐν τοῖς πλείοσι τούτων ὡς νόμος λοιπὸν ἐπεκράτησεν. Ὅτι δὲ ἐν τούτοις εὑρίσκονταί τινες μέτοχοι ὁπωσοῦν πείρας ἐκκλησιαστικῆς, τὰ μὲν τῆς ὑπερεχούσης τάξεως ἀρχοντίκια ἐπὶ τῆς οἰκείας μένειν ἐῶσι καταστάσεως, ἢ ἱδρύσεως· τὰ δὲ τῆς δευτέρας, εἰ καὶ μετατιθέασιν, ὅμως οὐ χωρὶς εὐλόγου αἰτίας τοῦτο ποιοῦντες καταλαμβάνονται, ἢ ἀρετὴν δηλαδὴ τιμῶντες, ἢ λόγον, ἢ ἄλλην ἐπαινουμένην ἐνέργειαν· οἵ γε μὴν παντάπασι πείρας ἀμέθεκτοι καὶ ἀνεπιστήμονες, τὰ ἄνω κάτω ποιοῦντες εὑρίσκονται· καὶ ἡ παροιμία τούτοις ὁμόστολος, ἄνω ποταμῶν χωρεῖν λέγουσα τὰς πηγάς, καὶ τὰ παρὰ Ἰουδαίοις δευτερόπρωτα σάββατα, καὶ παρὰ τοῖς δεινοῖς σοφισταῖς τὰ πρωθύστερα. Χρεὼν οὖν ἐμοὶ δοκεῖ, τοῖς πολλοῖς ἔθεσιν ἀναντιῤῥήτως ἀκολουθεῖν· εἰ δέ τι καὶ καινοτομεῖν ἀνάγκη ἐν τούτοις, ἐξ εὐλόγων αἰτιῶν, ἀλλ' οὐκ ἐκ θελημάτων ἰδίων τοῦτο ποιεῖν. Εἰσὶ δὲ καὶ ἕτερα ὀφφίκια, ἅπερ μάλιστα τοῖς ἱερεῦσιν ἁρμόζουσιν· ὁ ἐπὶ τῶν κατηχήσεων, ὁ ὀρφανοτρόφος, οἱ τέσσαρες ἔκδικοι, ὁ ἄρχων τῶν φώτων, ὁ νουμμοδότης, καὶ ὁ περιοδευτής. Ἀναγνωστῶν δὲ ὀφφίκια, ταῦτα· ὁ δομέστικος τοῦ δεξιοῦ χοροῦ· ὁ δομέστικος τοῦ ἀριστεροῦ· ὁ λαοσυνάκτης· ὁμοίως ὁ δομέστικος τῶν ψαλτῶν, ὁ παρά τινων λεγόμενος πρωτοψάλτης· ὁ πριμμικήριος τῶν ἀναγνωστῶν· ὁ ἄρχων τῶν κοντακίων· ὁ πρωτοκανονάρχος· οἱ χαρτουλλάριοι τῆς μεγάλης σακέλλης, καὶ τοῦ σκευοφυλακείου. Θεωροὶ δὲ, καὶ δεποτάτοι, καὶ καμισάτοι, οὐκ εἰσὶν ὀφφίκια, ἀλλὰ διακονίαι περὶ τὸ ἅγιον βῆμα, τούτοις ἁρμόζουσαι· οἱ μὲν γὰρ θεωροὶ τὴν φυλακὴν καὶ τήρησιν πιστεύονται τῶν ἱερῶν σκευῶν, καὶ τῶν καλυμμάτων αὐτῶν, εἰ

μάλιστα εὑρίσκονται ταῦτα λίθοις καὶ μαργάροις κοσμούμενα· οἱ δεποτάτοι δὲ, μανδυοφοροῦντες μετὰ λαμπάδων προπορεύονται, τοῦ τε ἁγίου Εὐαγγελίου, ὁπότε ἀναφέρεται εἰς τὸν ἄμβωνα πρὸς ἀνάγνωσιν, καὶ τῶν ἁγίων δώρων, ἔν τε τῇ εἰς τὴν ἁγίαν τράπεζαν εἰσόδῳ, καὶ ἐν τῇ εἰς τὴν πρόθεσιν ἐπανόδῳ αὐτῶν· οἱ λοιποὶ δὲ, ἤγουν οἱ καμισάτοι, ἐνασχολοῦνται περὶ διακομιδὴν ἀνθράκων πυρὸς εἰς τὸ θυσιαστήριον, καὶ περὶ τὴν τῶν θείων λεβήτων ἐκπύρωσιν, ἵνα ἐκεῖθεν συνήθως ζέον ὕδωρ τοῖς ἁγίοις ποτηρίοις κατὰ καιρὸν ἐγχεθῇ, καὶ περὶ ἄλλας ὁμοίας τούτοις ὑπηρεσίας. Εἰσὶ δὲ καὶ οἱ λεγόμενοι πατριαρχικοὶ δομέστικοι· καὶ τοῦτο δὲ τὸ ὀφφίκιον, τῶν ἀναγνωστῶν ἐστι· διακονία δὲ τούτου, τὸ ἐν ταῖς προόδοις τοῦ πατριάρχου λέγειν τὸ, Εἰς πολλὰ ἔτη, δέσποτα.

Ἐρώτησις.

Τὸ ἀρχιδιακονικὸν ὀφφίκιον ποίας ἐστὶ τάξεως, καὶ ποίου βαθμοῦ· καὶ εἰ προΐσταται τῶν ὅλων διακόνων, ὡς ἀρχιδιάκονος, καὶ αὐτῶν τῶν ἐκκλησιαστικῶν ἀρχόντων· καὶ εἰ προτιμᾶται πάντων ἐν τῇ μεταλήψει τῶν θείων μυστηρίων· καὶ εἰ ἐπ' ἀδείας ἐστὶ τῷ ἀρχιερεῖ, ἐπάνω τῶν προεισοδευσάντων, μηδὲν δὲ σχόντων ὀφφίκιον, τιθέναι τινὰς μηδὲν μηδ' αὐτοὺς ἔχοντας ὀφφίκιον, ἀλλὰ πιττακίῳ μόνῳ καὶ προστάγματι τὴν ὑπεροχὴν λαβόντας. Τίς δέ ἐστιν ἡ ἐνέργεια τοῦ ἱερομνήμονος, καὶ εἰ διάκονος οὕτως ὀφείλει εἶναι, ἢ ἱερεύς;

Ἀπόκρισις.

Τὸ ἀρχιδιακονικὸν ὀφφίκιον οὐκ ἔστιν ἀρχοντίκιον, οὐδὲ ἐκ φιλοτιμίας ἀρχιερατικῆς, ὥσπερ τὰ ἀρχοντίκια· περιφορᾶς δὲ πολλῶν ἡλίων συμπέρασμα· διὸ καὶ ὡς χρόνου καὶ ἰδίου κόπου δώρημα ὁ ἀρχιδιάκονος ἔχει καὶ τὴν ὑπεροχὴν ἐπὶ πάντων τῶν διακόνων, εἴτε ἀρχοντικίοις ὁποιοισοῦν τετίμηνται, εἴτε καὶ μὴ, ἔν τε τῷ ναῷ, ἐν τῷ ἁγίῳ βήματι, καὶ ἐν τῇ μεταλήψει τῶν θείων μυστηρίων. Τὸ δὲ διὰ πιττακίων τιθέναι τινὰς, κἂν ὀφφίκια ἔχωσιν, ἐπάνω τῶν προεισοδευσάντων, πάντῃ ἀνένδεκτον, ὡς καὶ προδήλως ἄδικον· ἡ γὰρ τάξις καὶ στάσις τῆς εἰσόδου τῶν διακόνων τῷ χρόνῳ ῥυθμίζεται, καὶ στηρίζεται, καὶ ἔστιν ἀμετακίνητος. Ἀρκεῖ δὲ τοῖς οὕτω προτι-

μωμένοις τῷ, ἱερουργοῦντος τοῦ ἀρχιερέως, ἐν τῇ εἰσόδῳ καὶ ἐν τῇ μεταλήψει τηνικαῦτα μόνον προτιμᾶσθαι τῶν προεισοδευσάντων, οὐ δι' ἄλλό τι, ἢ ὅτι ἀρχοντικίοις τετίμηνται· χωρὶς δὲ τοῦ ἀρχιερέως, οὐδέποτε οὐδαμοῦ ταύτης τῆς προτιμήσεως ἀπολαύσουσιν· εἰ γὰρ καὶ οὐδὲ ἀρχοντίκια ἔχουσιν, ὑπερβάλλον τὸ ἄδικον· εἰς τί γὰρ ἁπλοῦς διάκονος ἑτέρου προτιμηθήσεται ἁπλοῦ διακόνου προεισοδεύσαντος; Πλὴν, εἰ ἀγαπᾷ τὴν ἀδικίαν ὁ προεστὼς, καὶ τοῦτο πράττειν ἀλογίστως οὐκ ἐπιστρέφεται· ἀλλ' εἰς τοῦτο λόγος οὐδεὶς, ὥσπερ οὐδὲ φωνὴ ἐπᾳδόντων εἰς ἀσπίδος ὦτα, κατὰ τὸ ψαλτῳδούμενον (1). Τὸ τοῦ ἱερομνήμονος δὲ ὀφφίκιον διακόνῳ ἐξ ἀνάγκης προσήκει· ἐπειδὴ συνυπουργός οὗτός ἐστι τῷ ἀρχιερεῖ μέλλοντι ἱεροπρακτεῖν· εἰ δὲ ἱερεύς ἐστιν ὁ ἱερομνήμων, κενῷ ὀνόματι, ὡς οὕτως εἰπεῖν, ἱερομνημονεῖ· οὐδὲ γὰρ ἐξὸν αὐτῷ ἐν ταῖς ὑπηρεσίαις τῶν ἀρχιερατικῶν στολισμάτων διακόνου τάξιν τηρεῖν. Τινὲς δὲ τῶν ἀρχιερέων, ἐξ ἀπειρίας τὰς ἐγγραφὰς τῶν μαρτύρων, τὰς γινομένας περὶ τῶν ἱερᾶσθαι θελόντων, ἀνατιθέασι τῷ ἱερομνήμονι, καὶ λανθάνουσι προφανῶς ἀδικοῦντες τὸν χαρτοφύλακα· τῷ τούτου γὰρ ὀφφικίῳ ἐμπέπηκται καὶ ἡ τῆς τοιαύτης διακονίας ἐνέργεια· καὶ οὐδαμῶς ἐκ τούτου αὕτη παρασαλευθήσεται, ὥσπερ δὴ καὶ ἡ τῶν ἱερολογιῶν.

Ἐρώτησις.

Εἰ ἐπ' ἀδείας ἐστὶ τῷ ἀρχιερεῖ, χαρτοφύλακος ὄντος, ἑτέρῳ οἱῳδήτινι ἐπιτρέπειν, εἴτε πάντοτε σημειοῦσθαι, εἴτε καθάπαξ τοῦτο διενεργῆσαι· καὶ ποίας ἐστὶ γλώσσης ἡ τοῦ δομεστίκου προσηγορία, καὶ ἐπὶ ποίαις ἐξουσιάζει τῶν ἐκκλησιαστικῶν ἀκολουθιῶν;

Ἀπόκρισις.

Τὸ σημειοῦσθαι τὰ παρεμπίπτοντα, τῷ χαρτοφυλακικῷ ἀξιώματι ἀπαρεγχειρήτως ἐγκεκόλαπται· ὅθεν καὶ παρόντος μὲν αὐτοῦ, οὐκ ἐξόν ἐστιν ὅλως τῷ ἀρχιερεῖ, ἑτέρῳ ἀναθεῖναι σημείωσιν οἱανδήτινα· εἰ μήποτε ἀνάγκη ἐπείγει διὰ μακρᾶς ὁδοῦ γενέσθαι σημείωσιν, διά τινα κατὰ τόπον ἀναφυεῖσαν

(1) Ψαλμ. ΝΖ', 5.

ὑπόθεσιν· τηνικαῦτα γάρ, ὃν ἂν ἐκλέξηται ὁ ἀρχιερεὺς, ἀποστέλλει δικαίῳ αὐτοῦ τηρήσοντα καὶ σημειωσόμενον τὴν ὑπόθεσιν· νοσοῦντος μέν τοι τοῦ χαρτοφύλακος, ἢ ἀποδημοῦντος, ἀντ' ἐκείνου τῷ ὑπομνηματογράφῳ ἀνεῖται ἡ ἔκθεσις καὶ ἀνάγνωσις τῶν τοῦ χαρτοφυλακικοῦ σεκρέτου ὑπομνηματισμῶν. Ἡ τοῦ δομεστίκου δὲ προσηγορία, κατὰ Λατίνους, τὸν ἐξάρχοντα, τὸν προηγούμενον, τὸν ἐπιστάτην δηλοῖ· καθὰ δὴ καὶ παρὰ ταῖς βασιλικαῖς ταξιαρχίαις λέγεται δομέστικος ἀνὰ μέρος καὶ ἀνατολῆς, καὶ δύσεως, καὶ σχολῶν· κατὰ τὸν αὐτὸν δὴ λόγον κἀν ταῖς ἐκκλησιαστικαῖς τάξεσι δομέστικος λέγεται, εἴτ' οὖν ἀρχῳδὸς καὶ ἐπιστάτης τῶν μελῳδιῶν τε καὶ τῶν μελῳδῶν, οἷα εἰς ῥυθμὸν καὶ τάξιν καθιστῶν αὐτούς τε καὶ τὰ μελῳδήματα· ἐνέργειαν δὲ ἔχει αὐτό τε τοῦτο, καὶ τὸ ἐν ταῖς καθολικαῖς παννυχίσι τὰς ἐνάρξεις ποιεῖν, ἐν τῷ ἐκφωνεῖν πρὸς τὸν ἀρχιερέα, ἢ τὸν παρόντα ἱερέα, τὸ, Εὐλόγησον, δέσποτα· αἱ τοιαῦται δὲ παννυχίδες γίνονται μὲν καὶ ἐν ἄλλοις καιροῖς, ἐξαιρέτως δὲ ἐν ταῖς πέντε ἡμέραις τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν, μετὰ τὴν τῆς ἱερουργίας τῶν προηγιασμένων ἀπόλυσιν.

Ἐρώτησις.

Τὰ ἀντιμίνσια καὶ ἐν ἑτέραις ἄρα ἐπαρχίαις παῤῥησιάζονται, ἢ ἐν μόνῃ τῇ τοῦ διενεργήσαντος ταῦτα, καὶ οὐ παρ' ἐνορίαν; Καὶ τί σημαίνει τοῦτο ἑλληνικῶς, καὶ πῶς δεῖ γράφεσθαι, δι' ἦτα, ἢ δι' ἰῶτα; Εἰ σπάνις δέ ἐστι μύρου, ἔξεστι τὸ εὑρισκόμενον διὰ μίγματος ἐλαίου πληθύνεσθαι (1);

Ἀπόκρισις.

Τὰ ἀντιμίνσια, τῆς ἁγιαστικῆς δυνάμεως μετασχόντα, ἣν αὐτοῖς ἡ τῆς καθιερώσεως τῶν ἐκ νέου ἀνεγειρομένων ναῶν ἀκολουθία ἡ ἑπταήμερος, ἐν τῷ ἐκεῖσε θυσιαστηρίῳ κειμένης, ἱερουργία ἐμποιεῖ, ἀνεμποδίστως, ἔνθα ἡ τούτων χρῆσίς ἐστι, διαδόσιμα γίνονται, καὶ οὐ περιγράφονται ἐν τῇδε τῇ ἐνορίᾳ, ἢ ἐν ἐκείνῃ, κατά τινα δικαιοδοσίαν ἀποκεκληρωμένην αὐτῇ· καὶ ὑπερόρια γὰρ γινόμενα, καθὰ δὴ καὶ τὸ θεῖον μύρον, καὶ ἄλλα ἅγια, τὴν ἑαυτῶν χρῆσιν ἀνεπιτίμητον ἔχουσι, μόνον ἱερουργη-

(1) Ὅρα τὸ περὶ ἀντιμινσίου σημείωμα τοῦ πατριάρχου Νείλου σελ. 141 τοῦ παρόντος τόμου.

θέντα κατὰ τὴν κειμένην περὶ τούτων τῶν Πατέρων παράδοσιν. Ἡ προσηγορία δὲ αὕτη παράγεται ἀπὸ τοῦ μίνσου, τοῦ καθ' Ἕλληνας μὲν τὸ κανοῦν δηλοῦντος, κατὰ δὲ τὴν Ἰταλὴν γλῶσσαν τὸ πεπραγμένον τοῖς ὀψοποιοῖς ἐδεστόν· κατὰ τοῦτο γὰρ καὶ τὰ ἐν ταῖς τραπέζαις ἐφαπλούμενα ὀθόνια, μινσάλια λέγονται, οἷα πρὸς κόσμον τῆς τραπέζης καὶ τῶν μίνσων τιθέμενα· κατὰ κοινολεξίαν δὲ ἀντιμίνσια λέγονται, ὥσπερ ἐν τοῖς ἱματισμοῖς τὰ ἀντίπανα, καὶ ὅσα ἐκ τῆς κατὰ ἀνάκλασιν ἐνεργείας τὴν τοιαύτην ἐν τούτοις προσηγορίαν εἰλήχασιν. Ἐν ἐκείναις δὲ ταῖς ἁγίαις τραπέζαις ταῦτα τίθενται, ἃς καθιέρωσις οὐχ ἡγίασεν· ἐκ τῶν ἀντιμινσίων γὰρ αὐτή τε ἡ μὴ καθιερωθεῖσα τράπεζα, καὶ ἡ ἱερουργουμένη προσφορὰ λαμβάνουσι τὸν ἁγιασμόν· ἡ γάρ τοι ἁγιασθεῖσα, ἀφ' ἑαυτῆς ἁγιάζει τὰ δῶρα· οὐ γὰρ οἴκοθέν εἰσιν ἅγια· καὶ τοῦτο ἐν τοῖς Εὐαγγελίοις ἡ δεσποτικὴ φωνὴ μαρτυρεῖ, μείζονα τῶν δώρων λέγουσα, καὶ τοῦ χρυσοῦ, τὸ θυσιαστήριον, καὶ τὸν ναὸν, ὡς τοῦ μὲν, τὰ δῶρα, τοῦ δὲ, τὸν χρυσὸν ἁγιάζοντος (1). Εἰ γοῦν ἀκαθιέρωτός ἐστιν ὁ ναὸς, τὸ ἐλλεῖπον τούτου ἀναπληροῖ ἡ ἁγιαστικὴ τοῦ ἀντιμινσίου δύναμις· ὅθεν οὐδὲ ἔξεστιν ἐν ἀκαθιερώτῳ ναῷ χωρὶς ἀντιμινσίου ἱερουργίαν γενέσθαι ποτέ· πῶς γὰρ τὸ θυσιαστήριον ἁγιάσει τὸ δῶρον, μὴ μετασχὸν ἁγιότητος; καὶ τῷ τολμήσαντι τοῦτο ἱερεῖ πρόστιμόν ἐστιν ἡ καθαίρεσις· δι' ἰῶτα δὲ γράφεται διὰ τὸ ἐθνικόν· τὰ γὰρ ἐθνικὰ, κατὰ τὸν γραμματικὸν κανόνα, οὔτε παραγωγὰς, οὔτε κανόνας ἔχουσιν· εἴθισται δὲ τοῖς γραμματικοῖς δι' ἰῶτα καὶ ο μικροῦ καὶ ε ψιλοῦ τὰς ἐθνικὰς φωνὰς γράφεσθαι. Οὐκ ἔχει δὲ χώραν ὅλως καθ' ἕτερον τρόπον ἄνευ καθιερώσεως νέου ναοῦ τὸ γίνεσθαι ἀντιμίνσια, καὶ λανθάνουσιν ἑαυτοὺς οἱ ἀλλοτρόπως καινοτομοῦντες τὴν τούτων ποίησιν, παραβάτας ποιοῦντες τῶν ἐκκλησιαστικῶν παραδόσεων, καὶ ἄδωρα δῶρα καὶ οὐκ ὀνήσιμα, κατὰ τὸν εἰπόντα(2), προσάγοντες. Οὐκ ἐφιστᾷν δὲ χρὴ, εἰ ἐκ καινῆς ἅμα καὶ προσφάτως ἐστὶν ἀνεγηγερμένος ναὸς, ἵνα τούτου καθιέρωσις γένηται· ἀλλ' εἰ καὶ εὑρίσκεταί τις ἐκ πολλοῦ μὲν ἀνεγηγερμένος, καθιέρωσιν δὲ μὴ δεξάμενος, τῆς ἁγιστείας ταύτης καὶ ὁ τοιοῦτος ἀξιωθήσεται, ὡς δέξασθαι ταύτην ἀμέμπτως

(1) Ματθ. ΚΓ'. 17, 19. — (2) Σοφοκλ. Αἴας, στίχ. 674.

δυνάμενος. Εἰ σπάνις δέ ἐστι μύρου ἔν τε τοῖς θείοις βαπτίσμασι, καὶ ἐν τῇ τῶν ναῶν καθιερώσει, καὶ ἐν ἄλλῃ τούτου χρήσει, τῷ εὑρισκομένῳ ὀλιγοστῷ μύρῳ συγκαταμίγνυσθαι ἔλαιον συγκεχώρηται· ὡς ἂν, οὕτω πληθυνθὲν, ἀρκέσῃ ἐκπληρῶσαι τὸν ἁγιασμὸν τοῖς δεομένοις αὐτοῦ.

Ἐρώτησις.

Εἰ ἔξεστι τοῖς Ἀρμενίοις, ἐν αἷς πόλεσιν οἰκοῦσι, κατὰ πᾶσαν ἄδειαν κτίζειν Ἐκκλησίας, καὶ εἴτε χρὴ κωλύεσθαι, ἢ ἐᾶν αὐτοὺς ποιεῖν, ὡς βούλονται.

Ἀπόκρισις.

Ἐν ταῖς Χριστιανῶν χώραις καὶ πόλεσιν ἐνδέδοται μὲν ἀρχῆθεν οἰκεῖν καὶ ἀλλογλώσσους, καὶ ἑτεροδόξους, ἤγουν Ἰουδαίους, Ἀρμενίους, Ἰσμαηλίτας, Ἀγαρηνοὺς, καὶ λοιποὺς τοιούτους· πλὴν οὐκ ἀναμὶξ μετὰ τῶν Χριστιανῶν, ἀλλὰ κεχωρισμένως· ὅθεν καὶ ἀφορίζονται τόποι ἑκάστῃ τούτων φυλῇ, εἴτε ἐντὸς πόλεων, εἴτε ἐκτὸς, ὥστε τούτοις ἐμπεριγράφεσθαι, καὶ μὴ ἐπέκεινα τούτων τὰς οἰκήσεις αὐτῶν ἐκτείνεσθαι. Ἐπινενόηται δὲ τοῦτο τοῖς πάλαι βασιλεῦσιν, ὡς οἶμαι, τριῶν ἕνεκεν· ἑνὸς μὲν, ἵνα τῷ ἐστενωμένῳ καὶ ἀφωρισμένῳ τῆς τούτων οἰκήσεως λαμβάνωσιν αἴσθησιν, ὡς ἀπόβλητοι διὰ τὴν κατ' αὐτοὺς αἵρεσιν κρίνονται· ἑτέρου δὲ, ἵνα κατὰ μικρὸν, διὰ τὸ συχνῶς ὁμιλεῖν τοῖς Χριστιανοῖς, πρὸς μετάθεσιν ἀπαλλάττωνται· εἰ καὶ μὴ πάντες, ἀλλὰ τινὲς μὲν, ὅσους δὴ ἡ σωτηρία ἠγάπησε· καὶ τοῦ τρίτου, ἵνα τοὺς καρποὺς τῶν ἐπιτηδευμάτων αὐτῶν οἱ κατὰ βίον χρῄζοντες αὐτῶν ἀποφέρωνται. Τοίνυν καὶ οἱ Ἀρμένιοι, εἰ ἐν τόπῳ, ἔνθα περιγράφονται, καὶ ναοὺς κτίζουσι, καὶ τὰ τῆς αἱρέσεως αὐτῶν ἐκτελοῦσι, μενοῦσιν ἀνεπηρέαστοι· τὸ αὐτὸ γὰρ καὶ Ἰουδαίοις πρόσεστι, καὶ Ἰσμαηλίταις, οἰκοῦσιν ἐν πόλεσι χριστιανικαῖς· εἰ δὲ τοὺς ὅρους ὑπερβαίνουσι τῆς ἀφορισθείσης αὐτοῖς συνοικήσεως, οὐ μόνον αὐτοὶ κωλυθήσονται, ἀλλὰ καὶ τὰ οἰκοδομήματα τούτων, ὁποῖα δ' ἂν καὶ ὦσι, καταστραφήσονται· τὸ γὰρ ἀνέτως ἔχειν καὶ εὐπαρρησιάστως ἐν τοῖς τοιούτοις, πάλαι ἀπώλεσαν.

Ἐρώτησις.

Τί σημαίνει τὸ μὴ ἐλευθεροβοᾶν τὸν δοῦλον, ὅπερ τοῖς δουλικοῖς ὠνητηρίοις οἱ ταβελλίωνες ἐγγράφειν εἰώθασι;

Ἀπόκρισις.

Ἡ τῶν καταδουλουμένων ἀνθρώπων δουλεία τοσοῦτον τοῖς κεκτημένοις ἐμπέφυκεν, ὡς μὴ δύνασθαι τοὺς δούλους μὴ μόνον ἐν αὐτοῖς τοῖς μέτροις τῆς δουλείας φωνὴν αἴρειν προσήκουσαν εὐγενέσι καὶ ἐλευθερίοις κατὰ τῶν δεσποτῶν, ἀλλ᾽ οὐδ᾽ ἄν, εἰ καὶ ἐλευθερίας ἀξιωθεῖεν, τὴν τοιαύτην ἀναλαβεῖν φωνὴν πώποτε· ὅθεν καὶ ἐπιτίμιον τῆς ἐλευθεροφωνίας ταύτης οἱ ἀπελεύθεροι τὴν ἀναδούλωσιν ἐκληρώσαντο. Καὶ μάρτυρες οἱ νόμοι οἱ παλαιοί, καὶ αὐτὰ δὴ τὰ νεαρὰ τοῦ σοφωτάτου ἐν βασιλεῦσι θεσπίσματα, ἅτινα τοὺς ἐν ἀγνοίᾳ τῶν κεκτημένων δούλους κληρικοὺς γεγονότας, καὶ τὸ τῆς ἱερωσύνης σεμνὸν ἀξίωμα περιβαλομένους, ἢ τὸν μοναδικὸν βίον ἀνῃρημένους, ἤ, τὸ μεῖζον, εἰς τὸν ἐπισκοπικὸν ἀναχθέντας βαθμόν, πάλιν εἰς τὴν προτέραν τῆς δουλείας τάξιν ἀποκαθίστασθαι διορίζονται· μηδὲν δηλαδὴ ἐκ τῶν τοιούτων χειροτονιῶν, ἢ τοῦ μοναδικοῦ σχήματος, εἰς ἀποφυγὴν τῆς δουλείας βοηθουμένους. Δουλοῦσθαι δὲ διακελεύονται καὶ τοὺς συναπτομένους ἐλευθέρους οἰκετικοῖς προσώποις, ἐπὰν μὴ δύνηται τὸ ἐλευθερίᾳ τιμώμενον πρόσωπον καταβολὴν προσομολογῆσαι τιμήματος, δι᾽ οὗ ἀπολελυμένον τῆς δουλείας τὸ ὑπ᾽ αὐτῆς κατεχόμενον μέρος τῇ ἐλευθερίᾳ γενήσεται· ὡσαύτως δουλοῦσθαι καὶ τὸ ἐλευθερίας μὲν ἀξιωθὲν παρὰ τοῦ δεσπότου μέρος (ἀμφοτέρων δηλαδὴ ὄντων δούλων), ἀφορμὴν δὲ τὸ οἰκεῖον ποιούμενον ἄνετον, πρὸς τὸ ἴδιον σχῆμα τοῦ βίου ἀναρπάζειν πειρᾶσθαι τὸ καταλειφθὲν μέρος· καὶ μὴ μόνον ἐκ τῆς αὐθαδείας ταύτης μηδὲν ἐξανύειν, μηδ᾽ ἰσχὺν ἔχειν ἐλευθερίαν ἑτέρῳ χαρίζεσθαι, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον, ἧς ἔλαβεν, ἐκπίπτειν τιμῆς, καὶ πάλιν ὑποκύπτειν τῷ τῆς δουλείας ζυγῷ, ἅτε δὴ γνώμῃ περιυβρίσαντα μοχθηρᾷ χρηστὴν καὶ εὐεργέτιδα τοῦ ἰδίου δεσπότου προαίρεσιν, καὶ τὴν ἐκείνου κρίσιν ἀπονοηθέντα παρὰ φαῦλον ἡγήσασθαι, ἣν ἐχρῆν δι᾽ αἰδοῦς ἄγειν καὶ εὐλαβείας (2). Ἀρκεῖ

(1) Λέοντος Νεαραὶ θ΄, ι΄, καὶ ια΄. — (2) τοῦ αὐτοῦ Νεαρὰ ρα΄.

τοίνυν ἡ τῶν τοιούτων θεσπισμάτων περίληψις τὴν τοῦ ἐλευθεροϐοςῆν σημασίαν τοῖς ἀγνοοῦσι διαλευκᾶναι σαφῶς· ὡς ἐν κεφαλαίῳ δὲ εἰπεῖν, καὶ δοῦλος, καὶ ἀπελεύθερος, τοῦ ϐοςῆν ἐλεύθερα παντάπασιν ἀπεστέρηνται.

Ἐρώτησις.

Τί δηλοῖ τὸ ἐν τῷ Εὐαγγελίῳ κείμενον ῥητὸν, Ὑμεῖς δὲ λέγετε, Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρὶ, Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς (1);

Ἀπόκρισις.

Ἐν τῇ Γεννησαρὲτ γενομένου τοῦ Σωτῆρος Χριστοῦ, οἱ ἀπὸ Ἱεροσολύμων κατελθόντες γραμματεῖς καὶ Φαρισαῖοι, προσελθόντες εἶπον αὐτῷ· Διὰ τί οἱ μαθηταί σου παραϐαίνουσι τὴν παράδοσιν τῶν πρεσϐυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν, ὅταν ἐσθίωσι τὸν ἄρτον· οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ, φησὶ, νίψωνται τὰς χεῖρας, καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ ϐαπτίσωνται, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν τῶν πρεσϐυτέρων παράδοσιν (2). Ὁ Δεσπότης δὲ, τὸ κακοῦργον τῆς γνώμης αὐτῶν εἰδὼς καὶ κακόηθες, καὶ ὅτι, φιλάργυροι ὄντες, κατασπαθᾷν σπεύδουσι τὰ ἀλλότρια, τὴν παρ᾽ αὐτῶν τοῖς μαθηταῖς προστριϐεῖσαν μέμψιν εἰς ἔλεγχον αὐτῶν αἰσχυντηλῶς ἀντιπεριέστησε, παραϐάτας αὐτοὺς ἀποδείξας τοῦ νόμου τοῦ Μωσαϊκοῦ φανερῶς, καὶ τῇ συγκρίσει ἑκατέρων τουτωνὶ τῶν παραϐάσεων ψηφοφορήσας ϐαρεῖαν αὐτοῖς τὴν κατάκρισιν. Τί γὰρ ἡ τῶν πρεσϐυτέρων παράδοσις πρὸς τὸν νόμον Μωσέως, ὃς, τιμᾷν τὸν πατέρα καὶ τὴν μητέρα, καὶ τὸν κακολογοῦντα πατέρα ἢ μητέρα, θανάτῳ τελευτᾷν ἐγκελεύεται (3); Οὐκοῦν δείκνυσιν ἐντεῦθεν τούτους προδήλως, διὰ τὸ συστῆσαι τὴν οἰκείαν παράδοσιν, ἀκυροῦντας τὴν ἐντολὴν τοῦ Θεοῦ. Ἡ παράδοσις δὲ ἦν· Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρὶ, Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς (4)· τοῦτο δὲ τοιαύτην ἔχει τὴν ἑρμηνείαν· οὓς ἂν τῶν παίδων εὕρισκον οἱ Φαρισαῖοι περιουσιαζομένους ἢ ἀπὸ κόπων ἰδίων, ἢ ἀπὸ φιλοτιμίας τῆς τύχης, ἢ ὁθενοῦν ἄλλοθεν, ἐπαίδευον αὐτοὺς, εὐσεϐείας προσχήματι, ἀνατιθέναι τῷ Θεῷ ἢ πᾶσαν τὴν περιουσίαν αὐτῶν, ἢ

(1) Ματθ. ΙΕ΄, 5. — (2) Ματθ. ΙΕ΄, 2. — Μάρκ. Ζ΄, 3. 4. — (3) Μάρκ. Ζ΄, 10. — (4) Μάρκ. Ζ΄, 11.

τὸ πλεῖστον αὐτῆς· καὶ ἐὰν ἐνδεεῖς ἦσαν οἱ τούτων γονεῖς, καὶ ἐδέοντο τῆς παρὰ τῶν παίδων προμηθείας, ἐδίδασκον αὐτοὺς λέγειν πρὸς τοὺς γονεῖς, ὡς εὔλογόν τι καὶ ἀπαραίτητον, καὶ ἀποτρέπειν ἐκείνους δυνάμενον, ὅτι κορβᾶν, τουτέστι δῶρον ἀνατεθειμένον ἐστὶ τῷ Θεῷ, ὃ ζητεῖς ἐξ ἐμοῦ ὠφεληθῆναι, ἤτοι κερδᾶναι· ὡς ἐκ τούτου συστέλλεσθαι μὲν τοὺς γονεῖς, τὸν Θεὸν δεῖν προτιμᾶσθαι γινώσκοντας· τοὺς δὲ Φαρισαίους ἀδεῶς τοῦ λοιποῦ κατεσθίειν τὰ δῆθεν ἀνατεθειμένα· οἷα τοὺς παῖδας μὲν ἀπατῶντας καὶ συμπείθοντας ἃ εἶχον δήπουθεν ἀφιεροῦν τῷ Θεῷ, καὶ οὕτω τοὺς πατέρας πενομένους περιφρονεῖν, πρὸς ἑαυτοὺς δὲ τὰς τῶν ἀφελεστέρων περιουσίας ἐφελκομένους διὰ τῆς φωνῆς τοῦ κορβᾶν.

Ἐρώτησις.

Αἱ παρὰ τοῦ μακαρίτου πατριάρχου Ἀντιοχείας Θεοδώρου, τοῦ ἐπιλεγομένου Βαλσαμὼν, γεγονυῖαι ἀποκρίσεις πρὸς τὰς ἐρωτήσεις Μάρκου, τοῦ ὁσιωτάτου πατριάρχου Ἀλεξανδρείας, εὑρίσκονταί τινας παρεκβάσεις ποιούμεναι ἔν τε κανονικαῖς καὶ νομικαῖς διατάξεσι· δεῖ οὖν ταύταις προσέχειν, ἢ οὔ;

Ἀπόκρισις.

Ὁ ἱερὸς οὗτος ἀνὴρ, ὁ Ἀντιοχείας, τρίβων μὲν ἦν ἐς ἀκριβὲς τῶν νομικῶν καὶ κανονικῶν νομοθετημάτων, καὶ παρὰ πᾶσιν ἐν τούτοις περιᾳδόμενος. Τὰ μέν τοι συγγράμματα τούτου, ὅσα πρὸς κανονικὰ καὶ νομικὰ λήμματα ἐξηνέχθησαν, οὐκ ἐς τὸ πᾶν ἀκριβείας ἐχόμενα καταφαίνονται, τὸ παράδοξον· ἀλλ' ὡσπερανεὶ ἐκ λήθης μάλιστα καὶ παροράσεως προϊόντα, καί που καὶ ἐφ' ἑαυτὰ μεριζόμενα· καὶ οὐκ ἄν τις, ἐφιστῶν τούτοις, οὐκ ἀπορήσειεν, εὑρίσκων τῇ ἐκείνου ἀκριβείᾳ τὰ ἑαυτοῦ συγγράμματα μὴ συντρέχοντα. Ἐγὼ δὲ καὶ ζῶντος ἐκείνου πολλῶν ἐν Κωνσταντινουπόλει νομοτριβουμένων ἀκήκοα, ἐπιλαμβανομένων τινῶν τοῦ ἀνδρὸς ἐκείνου γνωμοδοτημάτων, ὡς μὴ κατὰ μοῖραν ἐξενεχθέντων, ἔν τε κανόνων ἑρμηνείαις, καὶ νόμων, καὶ ἄλλοις τοιοῖσδε συντάγμασι. Λείπεται οὖν εἰπεῖν ἡμᾶς κατὰ λόγον εἰκότα, ὡς τὰ εἰρημένα συγγράμματα ἐκεῖνον ἀναγινώσκειν χρεὼν, τὸν ἀκριβῶς τὸ πολυσχιδὲς τῆς νομικῆς ἐπιστάμενον, καὶ ἐπιστημόνως ταῖς πολυειδέσιν ἑλίξεσι τῶν κανονικῶν ἐγγυμνασά-

μενον περιλήψεων· ὁ τοιοῦτος ἀκριβῶς εἴσεται τό,τε ἀνεπιλήπτως, καὶ τὸ μὴ ὡσαύτως ἐν τούτοις γραφῆναι φαινόμενον· τόν γε μὴν μὴ τοιαύτην αὐχοῦντα πεῖραν, μηδαμῶς αὐτοῖς ὁμιλεῖν. ἵνα μὴ κατὰ τοὺς ἀπειροτέρους τῶν ἐμπολούντων, κατ' ἴσον τοῖς χρυσοῖς καὶ ἀργυροῖς, καὶ τὰ χρυσοειδῆ, καὶ ἀργυροειδῆ, καὶ τὰ ὑπόχαλκα, καὶ καττιτέρινα ἐμπολῶν, τὴν ζημίαν καὶ εἰς αὐτὸ τὸ κεφάλαιον ὑποστῇ.

Ἐρώτησις.

Ἐμνηστεύσατό τις κόρην οὐ μετὰ τῶν συνήθων ἱερῶν εὐχῶν, ἀλλὰ διὰ συναινέσεως καὶ συμβολαίων γραφῆς· ἔξεστιν αὐτῷ συζευχθῆναι τῇ αὐταδέλφῃ τῆς τοιαύτης κόρης, ὡς τεθνηκυίας, ἢ οὔ; Ἕτερος δέ τις τὸν αὐτὸν τρόπον γυναῖκα μνηστευσάμενος, ἄλλην ἠγάγετο, θανούσης ἐκείνης· ἆρα οὖν οὗτος ὡς δίγαμος λογισθήσεται, ἢ οὔ;

Ἀπόκρισις.

Δύο εὐσεβῶν βασιλέων νεαραὶ νομοθεσίαι, ἡ μὲν προγενεστέρα, ἡ τοῦ σοφοῦ δηλαδὴ Λέοντος (1)· ἡ δὲ, μεταγενεστέρα, ἡ τοῦ Κομνηνοῦ Ἀλεξίου (2), τὰ περὶ τῶν μνηστειῶν καὶ τῶν γάμων σοφῶς τε καὶ φιλοθέως πρὸς εὐκοσμίαν τοῦ χριστιανικοῦ πολιτεύματος διετράνωσαν, ἀναπληρώσασαι καὶ τὸ τῶν παλαιῶν νόμων τῶν περὶ τούτων κειμένων ὑστέρημα· οὐδὲ γὰρ ἐπ' ἀθετήσει καὶ ἀργίᾳ ἐκείνων καθολικῇ τὰς ἑαυτῶν διατάξεις ἐξήνεγκαν. Ἐκεῖνοι μὲν οὖν καὶ ἐν ἑπταετεῖ ἡλικίᾳ, καὶ συναινέσει μόνῃ καὶ γραφῇ συμβολαίων τὸ κῦρος ἐχαρίζοντο ταῖς μνηστείαις, καὶ πλέον οὐδὲν τούτων περιειργάζοντο· αἱ ἀναγεγραμμέναι δὲ νεαραὶ, καὶ τὸν χρόνον τῆς ἡλικίας τοῦ τε μνηστῆρος καὶ τῆς μνηστῆς ἐπὶ τὸ πολλῷ πλέον ἐκτείνασαι ὡροθέτησαν, θεσπίσασαι, τὸν μὲν ἄῤῥενα, τὸν τεσσαρεσκαιδέκατον ἐνιαυτὸν, τὴν δὲ θήλειαν, τὸν τρισκαιδέκατον συμπληροῦν· τὴν μνηστείαν δὲ οὐχ ἑτέρῳ τινὶ τρόπῳ, ἀλλ' ἱεροτελεστίᾳ βεβαιοῦσθαι διετάξαντο· ὡς τὸ ἄλυτον ἐντεῦθεν, κατὰ τὸ τοῦ γάμου προνόμιον, καὶ ταύτην αὐχεῖν· καὶ τὴν μὴ οὕτω προβᾶσαν μνηστείαν, ἀνυπόστατον, καὶ ὡς μηδὲ γεγονυῖαν λογίζεσθαι. Οὐ μὴν ἀλλ' οὐδὲ τὴν περὶ τῆς δηλωθείσης ἑπταετίας παλαιὰν νομοθεσίαν ἀργῆσαι καθόλου, τὸ

(1) Ζήτει σελ. 241 τοῦ Τόμου τούτου. (2) Ζήτει σελ. 286 τοῦ Τόμου τούτου.

ἐνεργὸν δὲ καὶ ταύτην ἔχειν ἐκ μέρους ἐθέσπισαν· οὐχ ὥστε καὶ ἀπαρτίζειν τελείαν μνηστείαν, ἀλλὰ μόνον κρατύναι τὰς περὶ μνηστείας λογοποιίας, ὡς ἀνθρώπων ἁπλῶς ἀρεσκείας κατησφαλισμένας ἐπερωτήσεσι· καὶ πρός γε κωλύειν εἰσέρχεσθαι ἐπὶ τὴν ἀποζυγεῖσαν μνηστὴν τὰ ὡρισμένα καὶ ἐκπεφωνημένα συγγενικὰ πρόσωπα, εἴτε ἐπὶ τοῦ ἑβδόμου, εἴτε ἐπὶ τοῦ τρισκαιδεκάτου ἐνιαυτοῦ ὁ τῆς μνηστείας συνέστη λόγος, καὶ ἡ ταύτης διαζυγή. Τοίνυν καὶ οἱ μνηστῆρες, περὶ ὧν ἠρώτησας, ὁ μὲν πρῶτος, εἰ μὲν ἑπταετὴς ἦν ἡ κόρη, ἢ ἐπέκεινα, ὁπότε κατὰ συναίνεσιν μόνην ἡ μέσον τούτων προέβη μνηστεία, κωλυθήσεται τὴν αὐταδέλφην ταύτης κατὰ τὸν νόμον εἰς γυναῖκα λαβεῖν, θανούσης δηλονότι ἐκείνης· εἰ δὲ ἐλάττων ἐτύγχανε τῶν ἑπτὰ (ἐν τοιαύτῃ γὰρ ἡλικίᾳ οὐδὲ διὰ μόνης συναινέσεως μνηστεία ὅλως συνισταμένη ἐπιγινώσκεται)·, ἀμέμπτως καὶ ἀκατηγορήτως αὐτῇ συζευχθήσεται· τοὺς χρονικοὺς γὰρ ὅρους τῶν νόμων οὔτε καινίζειν, οὔτε ὑπερβαίνειν δυνάμεθα· ὁ δέ γε δεύτερος, ἐπειδὴ τῇ συναινέσει τῆς μνηστείας ἡ συνήθης ἱεροτελεστία, ὡς ἡ ἀφήγησις, οὐκ ἐπηκολούθησε, οὐδαμῶς ὡς δίγαμος λογισθήσεται· γάμον γὰρ οὐ λογοπραγία συνίστησιν, ἀλλ' οὐδὲ φανερὰ ἢ λαθραία συνάφεια, (πορνεία γάρ ἐστιν αὕτη), εὐχῶν δὲ ἱερῶν ἐπῳδαί, καὶ τὰ ταύταις ἀκόλουθα. Πῶς δὲ καὶ λογισθήσεται δίγαμος, ἢ ὀνομασθήσεται ὁ μὴ γάμου πεπειραμένος, τοιούτοις προνομίοις ἐγκοσμουμένου; Καθόλου δὲ τὰ τῶν συναινέσεων μόνων, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἐπί τε συστάσει μνηστείας, καὶ ἐπὶ γάμου λύσει, τὸ ἄπρακτον ἐκ τῶν διαληφθεισῶν νεαρῶν διατάξεων ἀπηνέγκατο, εἰ καὶ ἐπὶ τῶν πρεσβυτέρων νομοθεσιῶν τὸ κράτος ἐκέκτηντο.

ΔΗΜΗΤΡΙΟΥ ΧΩΜΑΤΗΝΟΥ (1).

Α'. ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΧΩΜΑΤΗΝΟΥ
Ἀρχιεπισκόπου Βουλγαρίας,
Περὶ βαθμῶν συγγενείας (2).

Ο ΜΕΝ λόγος, ὃν ᾐτήσω ἡμῖν, τιμιώτατε δέσποτα, καὶ τῶν ἀληθῶς προσγενῶν τὰ λίαν ὑπερέχοντά τε καὶ κράτιστα, οὔκουν ῥᾴδιος οὐδὲ εὐχερὴς, μᾶλλον δὲ πολλῆς δεόμενος τῆς ἐπιστημονικῆς ἐκ τῶν τοῦ νόμου ἀκριβασμῶν καὶ πείρας, καὶ γνώσεως, εἰς τηλεφανῆ τούτου σαφήνειαν καὶ παράστασιν, διὰ τὸ κατ' αὐτὸν ποικίλον τε καὶ πολυσχιδές· ἔνθεν καὶ ἀνεβαλλόμην τὰ πλεῖστα πρὸς τὸ ἐγχείρημα. Ἐπεὶ δὲ καθάπαξ γίνεσθαί σοι πειθήνιοι ἐν ἑαυτοῖς ἐκυρώσαμεν, διά τε τὸ τῆς συγγενικῆς οἰκειότητος ἀπαραίτητον, καὶ διὰ τὴν θείαν ἐντολὴν τὴν τῷ αἰτοῦντι πᾶν ὁτιοῦν δοῦναι διακελεύουσαν· τούτου δὴ ἕνεκα τῷ λόγῳ τοῦ Θεοῦ θαῤῥήσαντες, τῷ καὶ τοῖς ἀσόφοις καὶ ἀγραμμάτοις σύνεσιν καὶ σοφίαν τελείαν παρέχοντι καὶ λόγον ἐν ἀνοίξει τοῦ στόματος, οὐκ ἀποδυσχεραίνομεν πρὸς τὸ αἴτημα, σαφῶς εἰδότες ὡς εἴπερ τις ἡμᾶς ἀμαθείας καὶ τόλμης ἐγγράψαιτο, διὰ τὸ τῆς λέξεως ὁμοῦ ἀκαλλὲς, καὶ τῆς ἐννοίας τὸ ἀτελὲς, συγγνώμων αὖθις ἔσται ἡμῖν, ὡς οὐκ ἀφ' ἑαυτῶν ὁρμηθεῖσι πρὸς τὸ ἐγχείρημα, ἀλλὰ τὸ τῆς ἀκραιφνοῦς συγγενείας καὶ εἰλικρινοῦς διαθέσεως εἰσπράττουσιν. Ἀλλ' ἐν τούτοις μὲν τὸ λόγου προοίμιον· ἀρκτέον δὲ τὰ τῆς αἰτήσεως οὕτως. Ἠθέλησας μαθεῖν ἐξ ἡμῶν, ὅπως τε τὰ τοῦ γένους βαθμιδοῦνται πρόσωπα, καὶ τίνα μὲν ἐκ τούτων πρὸς κοινωνίαν γάμου κωλύονται· τίνα δὲ αὖθις παραχωροῦνται συνάπτεσθαι, ὡς ἀνεπιτίμητα. Καὶ δὴ κατὰ τὴν ἐνοῦσαν ἡμῖν γνῶσιν καὶ πεῖραν, τοῦ Θεοῦ διδόντος ἰσχὺν, ἐκ τῶν νομικῶν ἐδαφίων τὰ λεχθη-

(1) Δημήτριος ὁ Χωματηνὸς, ἀρχιεπίσκοπος Βουλγαρίας, σύγχρονος τῷ Ἰωάννῃ Κίτρου, ἔζη περὶ τὰς ἀρχὰς τῆς δεκάτης τρίτης ἀπὸ Χριστοῦ ἑκατονταετηρίδος. — (2) ὅρα Βαλσαμ. εἰς Νομοκάν. Τίτ. ΙΓ'. κεφ. β'.

σόμενα ἀναλεγόμενοι ταῦτα, οὕτως ἀποκρινόμεθα. Ἡ τοῦ γένους σειρὰ τρισὶ συνείρεται τάξεσι, τῇ τε τῶν ἀνιόντων. δηλονότι, τῶν κατιόντων, καὶ τῶν ἐκ πλαγίου· ἀνιόντες δέ εἰσιν, οἵ τε γονεῖς, καὶ οἱ πάπποι, καὶ οἱ πρόπαπποι· κατιόντες δὲ, οἱ παῖδες, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι ἔκγονοι καὶ δισέκγονοι, καὶ οἱ τούτων ἀπόγονοι· οἵ γε μὴν ἐκ πλαγίου, θεῖοι, ἀνεψιοὶ, ἐξάδελφοι, καὶ οἱ λοιποί. Ἡ μὲν οὖν τῶν ἀνιόντων καὶ κατιόντων πρὸς γάμου κοινωνίαν συναρμογὴ εἰς ἀπέραντον παρὰ τοῦ νόμου κεκώλυται· οὐ γὰρ πατρὶ, ἢ πάππῳ, ἢ προπάππῳ, εἴτε μητρὶ, ἢ μάμμῃ, ἢ προμάμμῃ ἐστὶ θεμιτὸν γάμον συναλλάξαι μετὰ υἱοῦ, ἢ ἐκγόνου, ἢ δισεκγόνου, τὸ σύνολον· οὔτε μὴν τὸ ἀνάπαλιν υἱὸς, ἢ ἔγκονος, ἢ δισέκγονος, πατρὶ, ἢ μητρὶ, ἢ πάππῳ, ἢ μάμμῃ ἢ προπάππῳ ἢ προμάμμῃ· ἡ τῶν ἐκ πλαγίου δὲ, μέχρι καὶ ἑβδόμου βαθμοῦ τὴν κώλυσιν ἔχουσα, ἔκτοτε τοῖς βουλομένοις συνάπτεσθαι τὸ ἄνετον παρὰ τοῦ νόμου λαμβάνει καὶ ἀνεμπόδιστον. Οἱ βαθμοὶ μέντοι γε ἀπὸ συγγενικῆς ῥιζουχίας λαμβάνοντες τὴν ἀρχὴν, ἐκ τῶν βαθμίδων τῆς κλίμακος ὠνομάσθησαν. Ὥσπερ γὰρ αἱ βαθμίδες ἐξ ἐπιπέδου τινὸς τὴν ἀρχὴν λαμβάνουσαι, καὶ εἰς τὰ πρόσω προβαίνουσαι, τὴν ἄνοδον ἢ τὴν κάθοδον συμπεραίνουσιν· οὕτω καὶ οἱ βαθμοὶ ὡς ἐκ ῥίζης ὁμοφυεῖς κλάδοι τοῦ πρώτου γεννήτορος προϊόντες, τὴν συγγένειαν ἀπαρτίζουσιν· ἑκάστη οὖν γέννησις ἕνα βαθμὸν ἀποτελεῖ. Πατὴρ γοῦν πρὸς υἱὸν οὐδαμῶς βαθμιδοῦνται, καθότι ῥίζα τούτου πέλει καὶ καταρχή· εἷς δὲ βαθμὸς ὁ υἱὸς πρὸς τὸν πατέρα λογίζεται. Οἵγε μὲν δύο αὐτάδελφοι, διότι ἐκ δύο γεννήσεων προέρχονται, καὶ δύο ἀποτελοῦσι βαθμούς· ἑκάστη γὰρ γέννησις, ὡς εἴρηται, βαθμὸν ἕνα ἀποτελεῖ· οἱ μέντοι πρωτεξάδελφοι τετάρτου βαθμοῦ τυγχάνουσιν· ὡσαύτως καὶ οἱ δισεξάδελφοι, ἕκτου κατ' ἀναλογίαν καταριθμοῦνται βαθμοῦ· οἱ δέ γε τρισεξάδελφοι, τοιουτοτρόπως ὀγδόου. Ἡ τοιαύτη τοίνυν συγγένεια καλεῖται ἐξ αἵματος· ἔνθεν καὶ τὸ τῆς κωλύσεως ὅριον μέχρι τοῦ ἑβδόμου βαθμοῦ ἐκληρώσατο, ὡς ἔστιν ἐξὸν καταμαθεῖν τὸν φιλομαθῆ ἀπό τε τῆς νομικῆς περιλήψεως, καὶ τῆς συνοδικῆς διατάξεως. Ὁ μὲν γὰρ νόμος ἐν ε. τίτλῳ τοῦ κη. βιβλίου, οὕτω φη;

σί. Μεταξὺ τῶν ἐκ πλαγίου προσώπων ἔστι τις κώλυσις· τὴν γὰρ τοῦ ἀδελφοῦ μου, ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις, οὐδὲ τὴν τούτων ἐγγόνην· ὁμοίως οὐδὲ τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξαδέλφην μου· ἀλλ᾽ οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι· καὶ οὕτω μὲν τοὺς τῶν ἐξαδέλφων παῖδας, ἤγουν τοὺς δισεξαδέλφους, οἵτινές εἰσιν ἕκτου βαθμοῦ, τὸ τῶν κεκωλυμένων γάμων ἡ νεαρὰ αὕτη τέθεικεν ὁροθέσιον· ὁ δὲ ἕβδομος βαθμὸς, διὰ τὸ ἐκ τούτων παρασιωπηθῆναι, χώραν ἐλάμβανε, καὶ εἰς γάμου κοινωνίαν οὐκ ἐκωλύετο. Ἡ δέ γε συνοδικὴ διάγνωσις, ἡ ἐπὶ τῆς ἐφημερίας γενομένη τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Λουκᾶ(1), ὡς αἰσχρὸν καὶ ἄσεμνον καὶ τοῦτον τὸν ἕβδομον βαθμὸν, διὰ τὴν τῶν προσώπων ἐγγύτητα, τοῖς ἀπηγορευμένοις καὶ ἀποτετραμμένοις ἐνέκρινε, καὶ τῆς τῶν Χριστιανῶν πολιτείας ἐξέκοψεν. Ἐπηκολούθησε δὲ τῇ συνοδικῇ ταύτῃ πράξει καὶ νεαρὸν θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου καὶ πορφυρογεννήτου, κυρίου Μανουὴλ (2), καὶ τὰ ψηφισθέντα ἐκύρωσεν ἀσφαλῶς. Ἔκτοτε οὖν μέχρι καὶ νῦν οἱ κεκωλυμένοι τῶν ἐξ αἵματος βαθμῶν ἕως τοῦ ἑβδόμου βαθμοῦ καταλήγουσιν· οὐδὲ γὰρ οἷόν τέ ἐστι λαβεῖν τὸν δισεξάδελφον τὴν τοῦ δισεξαδέλφου αὐτοῦ θυγατέρα, ἀνεψιὰν τούτου τυγχάνουσαν· τὸ φύσει δίκαιον, καὶ εὐπρεπὲς, καὶ σεμνὸν, ὥσπερ τινὰ χαλινὸν, ὁ νόμος τοῖς γάμοις ἐπέθηκεν· ὡς ἂν τούτου ἐχόμενοι οἱ συναλλάττοντες, μὴ, ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις, ἐπὶ τὸ συγγενὲς χρεμετίζωσι. Τὰ μέντοι ἐπέκεινα τοῦ ἑβδόμου τούτου βαθμοῦ πρόσωπα ἀκωλύτως ἐλεύσονται πρὸς γάμων συναρμογήν· εἰς γὰρ τὴν ἐξ αἵματος συγγένειαν, ὡς προέκκειται, ὁ ἕβδομος βαθμὸς τῆς τῶν γάμων κοινωνίας κωλυτικὸν ὅριον πέφηνε. Τὰ μὲν οὖν περὶ τῆς ἐξ αἵματος συγγενείας, ἐν τούτοις. Ἐπεὶ δὲ καὶ ἡ ἀγχιστεία κατὰ τὴν νομικὴν ἀκρίβειαν προσώπων ἡμῖν οἰκειότητα ἐμποιεῖ, ἐκ γάμων συνημμένων ἄνευ συγγενείας, οὐδὲ ταύτην τὸ τοῦ νόμου ἀκριβὲς ἀφῆκεν ἀόριστον. Φησὶ γὰρ ἐν γ΄. κεφαλαίῳ τοῦ ἀναπεφωνημένου ε΄. τίτλου τοῦ κη΄. βιβλίου, ταῦτα· Πενθερά

(1) Βλέπε σελ. 95 τοῦ παρόντος Τόμου. (2) Ζήτει σελ. 311 τοῦ Τόμου τούτου.

ἐστιν ἡ μήτηρ, καὶ ἡ μάμμη, καὶ ἡ προμάμμη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω· καὶ νύμφη λέγεται ἡ τοῦ υἱοῦ, καὶ τοῦ ἐκγόνου, καὶ τοῦ προεκγόνου γαμετή· καὶ προγόνη λέγεται ἡ ἐξ ἄλλου θυγάτηρ, καὶ ἐκγόνη, καὶ προεκγόνη τῆς γαμετῆς μου· καὶ οὐδεμίαν αὐτῶν λαμβάνω. Τὰ τοιαῦτα γοῦν πρόσωπα τετάρτῳ περιλαμβανόμενα βαθμῷ τὸν γάμον ἔχουσι, κατὰ τὴν νεαρὰν, ἀσυγχώρητον. Ὥσπερ δὲ ἐν τοῖς ἐξ αἵματος βαθμοῖς ὁ ἕβδομος βαθμὸς, ὡς ἄνωθεν εἴρηται, διὰ τὸ εὐπρεπὲς καὶ σεμνὸν κεκώλυται ὕστερον· οὕτω καὶ ἐν τοῖς ἐξ ἀγχιστείας ὁ πέμπτος καὶ ὁ ἕκτος μετὰ ταῦτα παρὰ τοῦ ἐν ἁγίοις πατριάρχου Σισιννίου ἐπετιμήθη. καὶ δηλοῦται τὰ περὶ τούτων τρανῶς ἐν τῷ παρ' αὐτοῦ ἐκτεθέντι τόμῳ (1). Καὶ οὕτω μέχρι τοῦ ἕκτου βαθμοῦ οἱ κεκωλυμένοι τῶν ἐξ ἀγχιστείας γάμων καταλαμβάνονται· δύο γὰρ ἀδελφοὺς δύο πρώτας ἐξαδέλφας, ἢ τὸ ἀνάπαλιν δύο πρώτους ἐξαδέλφους δύο ἀδελφὰς λαβεῖν εἰς γάμον, ἀδύνατον· οἱ μὲν γὰρ δύο πρῶτοι ἐξάδελφοι, τετάρτου εἰσὶ βαθμοῦ· αἱ δέ γε δύο αὐτάδελφαι, δευτέρου· καὶ διὰ τὴν τῶν προσώπων ἐγγύτητα οὐδόλως πρὸς γάμου ἔρχεσθαι κοινωνίαν συνεχωρήθησαν· ἐκ γὰρ δύο τεσσάρων ἕκτος βαθμὸς συμπεραίνεται, καὶ τὸ ἀνάπαλιν· καὶ διὰ τοῦτο κεκώλυται. Ὡσαύτως καὶ θεῖος καὶ ἀνεψιὸς πρὸς δύο ἑτέρου γένους αὐταδέλφας γαμικὸν συνιστᾷν συνάλλαγμα κωλύονται· πέμπτος γὰρ ἐκ τούτων τῶν προσώπων βαθμὸς συνάγεται· ὁ μὲν γὰρ θεῖος πρὸς τὸν ἀνεψιὸν τρίτον ἐπέχει βαθμόν· αἱ δέ γε δύο αὐτάδελφαι, πρὸς ἀλλήλας δεύτερον· οὕτω τοίνυν καὶ εἰς τὴν ἐξ ἀγχιστείας συγγένειαν μέχρι πέμπτου καὶ ἕκτου βαθμοῦ τὸ κωλυτικὸν ὅριον ἔστηκεν. Ἔστι δὲ καὶ ἕτερος ἕκτος βαθμὸς ἐξ ἀγχιστείας ἄλλως συναγόμενος· ὃν ἀκώλυτον εἶναι παντάπασιν ἥ τε τοῦ ῥηθέντος τόμου σιωπὴ, οὐ μόνον δὲ, ἀλλὰ καὶ θεσπίσματα βασιλικὰ, καὶ πράξεις συνοδικαὶ πᾶσιν ἐγνώρισαν· θεῖος γὰρ καὶ ἀνεψιὸς, τρίτου ὄντος βαθμοῦ, θείᾳ καὶ ἀνεψιᾷ, ἐξ ἑτέρου γένους τὸν αὐτὸν ἐχούσαις βαθμὸν, γαμικῶς συναπτόμενοι, οὐδόλως ἐπιτιμῶνται· οὐδὲ γὰρ ἀθέμιτον τὸ τοιοῦτον συνάλλαγμα κρίνεται, ὡς εἰς ἕκτον βαθμὸν ἐκ τριῶν καὶ τριῶν

(1) Ζήτει αὐτὸν σελ. 11 τοῦ Τόμου τούτου.

ἀναγόμενον· οὐδὲ γὰρ ἡ αὐτὴ τῶν ἀδελφῶν ἐγγύτης καὶ ἡ τοῦ θείου πρὸς τὸν ἀνεψιὸν, καὶ ἡ τοῦ ἐξαδέλφου καὶ τῶν ἄλλων συγγενῶν· ἀλλ' ἐκ μὲν πηγῆς μιᾶς τοῦ πρώτου γεννήτορος ἐξέρχονται, κατὰ μικρὸν δὲ ἀλλήλων μακρύνουσιν, ὥσπερ εἰς διαφόρους σχιζόμενοι ῥύακας. Ἔστι δὲ καὶ ἄλλο εἶδος συγγενείας ἐξ ἀγχιστείας, ὅπερ βαθμοῖς μὲν οὐδαμῶς περιέχεται, διὰ τὸ συμπλοκὴν τριῶν ἔχειν γενῶν· κεκωλυμένων δὲ μόνων προσώπων ῥητῶς ὁ νόμος μνησθεὶς, τὰ ἑξῆς ἀκώλυτα καὶ ἀνέγκλητα εἴασεν. Ἐν γὰρ τῷ δ'. κεφαλαίῳ τοῦ ε. τίτλου τοῦ κη. βιβλίου, φησὶν αὐτολεξεὶ οὑτωσί. Οὐδὲ τὴν ποτὲ γυναῖκα λαμβάνω τοῦ προγόνου μου· οὔτε ἡ μητρυιὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγόνης αὐτῆς. Καὶ οὕτω μὲν ἔχομεν περὶ τῆς ἐξ αἵματος καὶ ἀγχιστείας συγγενείας· καὶ, ὡς ἐγῷμαι, ἐχομένως τῆς ἀκριβείας· εἰ καὶ τὰ πλεῖστα τῶν κανονικῶν καὶ νομικῶν θεσπισμάτων ἐν τούτοις, διὰ τὸ τῆς πολυγραφίας πολύστιχον, κατελείφθησαν. Ὅτι δὲ καὶ μείζων συγγένεια ἐκ πνευματικῆς ἀκολουθίας ἀνακύπτουσα ἐν ἡμῖν τοῖς εὐσεβέσι μεσολαβεῖ, καὶ περὶ ταύτης χρεὼν οὕτω διαλαβεῖν.

Ὁ νς'. κανὼν τῆς ς'. συνόδου περὶ τῆς τοιαύτης συγγενείας ταῦτα διαγορεύει· Ἐπειδὴ μείζων ἐστὶν ἡ κατὰ Πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας, ἔγνωμεν δὲ ἔν τισι τόποις τινὰς ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας αναδεχομένους, καὶ μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικὸν συναλλάττοντας συνοικέσιον, ὁρίζομεν, ἀπὸ τοῦ παρόντος μηδὲν τοιοῦτον πραχθῆναι. Εἰ δέ τινες καὶ μετὰ τὸν παρόντα κανόνα φωραθεῖεν τοῦτο ποιοῦντες, πρωτοτύπως μὲν οἱ τοιοῦτοι ἀφιστάσθωσαν τοῦ τοιούτου παρανόμου συνοικεσίου, ἔπειτα δὲ καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβληθήτωσαν. Ὅτι τοίνυν ὁ παρὼν κανὼν μείζονα καλεῖ τὴν πνευματικὴν συγγένειαν παρὰ τὴν σαρκικὴν, ἀνάγκην ἔχουσιν οἱ διὰ ταύτης συνδεθέντες εἰς τοσούτους βαθμοὺς συντηρεῖν τὸ ταύτης σεβάσμιον καὶ εὐπρεπὲς, εἰς ὅσους καὶ τὸ τῆς ἐξ αἵματος συγγενείας· διὰ γὰρ τοῦ βαπτίσματος, Θεοῦ, φησὶ, μεσάζοντος, αἱ ψυχαὶ αὐτῶν συνάπτονται, καὶ εἷς ἄνθρωπος, ὅ,τε ἐκ τοῦ ἁγίου βαπτίσματος τὸν παῖδα δεξάμενος, καὶ ὁ κατὰ σάρκα τούτου πατὴρ, γίνονται.

ὅθεν ἀκολούθως καὶ οἱ τούτων παῖδες, ἀδελφοὶ ὀνομάζονται, καθὰ καὶ ἐκεῖνοι, σύντεκνοι· ὡσαύτως καὶ τὰ ἐκ τούτων καταγόμενα ἐφεξῆς πρόσωπα τὰς τῆς ἐξ αἵματος συγγενείας κλήσεις μεταλαγχάνουσι, καὶ εἰσὶν ἀληθῶς, καὶ ὀνομάζονται συγγενεῖς· ἡ γὰρ τοῦ ἁγίου Πνεύματος ἑνωτικὴ δύναμις εἰς γνησίαν ἐγγύτητα πάντας συνήρμοσεν, ἣν συνθολοῦσθαι συναλλάγμασιν ἀθέσμοις πάντη ἀδύνατον· παρατηρηθήσεται δὲ ἐν ταύτῃ τὸ κωλυτικὸν ὅριον, κατὰ τὴν ἐξ αἵματος συγγένειαν, μέχρι καὶ ἑβδόμου βαθμοῦ. Ἔστι δὲ καὶ ἑτέρα συγγένεια διὰ θέσεως, εἴτουν υἱοθεσίας· ἣν δὴ καὶ αὐτὴν οὕτω παραφυλάττειν ὀφείλομεν, καθάπερ καὶ τὴν ἐξ αἵματος, καὶ τὴν διὰ τοῦ θείου βαπτίσματος· ταύτας γὰρ ἔκ τε τῶν ἱερῶν κανόνων, καὶ τῶν φιλευσεβῶν νόμων τηρεῖν παρελάβομεν, ὡς προέκκειται. Ἡ δέ γε διὰ θέσεως ἀδελφότης, ὡς ἀσύστατος καὶ ἀβέβαιος, καὶ τῇ φύσει ἀνακόλουθος, καὶ τῷ νόμῳ ἀπόβλητος, οὐδόλως οὐδὲ εἰς γαμικὰ συνοικέσια ἐμπροδοστατεῖ· φησὶ γὰρ τὸ λε'. κεφάλαιον τοῦ ιγ'. τίτλου τοῦ ε. βιβλίου ῥητῶς ουτωσί, Μηδὲ παρὰ ξένοις τοῖς ἔξω Ῥώμης οἰκοῦσι διὰ θέσεως ἀδελφότης συνιστάσθω· κἂν τις ὡς ἀδέλφὸς προσληφθεὶς, κληρονόμος γραφῇ, ἐκπιπτέτω τῆς κληρονομίας. Ὅθεν ἐπειδὴ οὕτω παρὰ τῶν νόμων ἡ διὰ θέσεως ἀδελφότης ἀποσκορακίζεται, οὐδὲ πρὸς συναλλαγὰς γαμικὰς ἔχει κώλυσιν ὁπωσοῦν, ὡς ἔξω τῆς τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων πίπτουσα· ἀλλ' ἐᾷ ταύτας προβαίνειν, ὡς μηδαμόθεν κώλυσίν τινα ἢ μέμψιν ἐπισυρομένας· ἡ θέσις γὰρ μιμεῖται τὴν φύσιν· ἡ φύσις δὲ υἱὸν ἐπιγινώσκει διὰ γεννήσεως, ἀδελφὸν δὲ οὐδαμῶς· εἰ δὲ ἀδελφὸν ἡ φύσις οὐ πέφυκεν ἀποτίκτειν, ἄρα καὶ ἡ θέσις, ὡς μιμουμένη τὴν φύσιν, οὐκ ἐξισχύει πρὸς ποίησιν ἀδελφότητος. Ἀκώλυτα οὖν, καὶ ἀκατηγόρητα, καὶ παντάπασιν ἄμεμπτα τὰ συναλλάγματα τὰ ἔξωθεν τῶν ἄνωθεν εἰρημένων, ἔκ τε αἵματος, ἔκ τε ἀγχιστείας, καὶ ἐκ θέσεων ἀμφοτέρων, τῆς τε διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ τῆς υἱοθεσίας· καὶ οὔτε δι ἀδελφοποιΐας, οὔτε δι ἄλλης αἰτίας ὅλως παρατραπήσονται, ὡς παρὰ τῆς τοῦ νόμου σιωπῆς τὸ ἔμπρακτον ἔχειν σαφῶς καταλαμβανόμενα. Αὕτη σοι παρ' ἡμῶν ἡ τῆς σῆς ἀξιώσεως ἐκπλήρωσις, τιμιωτάτη μοι καὶ τριπόθητε

κεφαλή· ἥτις εἰ μὲν τοῦ κατ' ἀξίαν ἐφίκοιτο, χάρις τῷ Θεῷ, τῷ τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ τὴν ἑαυτοῦ ἰσχὺν μεγαλύνοντι· εἰ δὲ πολὺ τοῦ δέοντος ἀπολίποιτο, καὶ οὕτω χάρις τῷ ἑκάστῳ πρὸς τὸ συμφέρον τὴν τοῦ Πνεύματος διδόντι φανέρωσιν· ἐπεὶ οὐδὲ πάντες Ἀπόστολοι, ἢ διδάσκαλοι, ἢ Προφῆται, κατὰ τὸν μέγαν Ἀπόστολον (1)· ἡμῖν δὲ συγγνώμη πάντως ἔσται παρὰ τῶν τοὺς οἰκείους λόγους οἰκονομούντων ἐν κρίσει, εἴτουν διακρίσει, κατὰ τὸν ψάλλοντα (2), ὡς οὐ θράσους, ἢ ἐπιδείξεως, ἀλλ' ὑπακοῆς καὶ ἀγάπης πνευματικῆς, καὶ σαρκικῆς οἰκειότητος προθεμένοις ἀποδοῦναι ὄφλημα. Γένοιτο δὲ καὶ τὴν σὴν τιμιότητα ἐν τῷ φωτὶ τῶν τοῦ Κυρίου ἐντολῶν πορευθῆναι ἀμεταστρέπτως, καὶ ἡμᾶς διὰ τῶν σῶν ἱλαστηρίων δεήσεων, καὶ τυχεῖν τῆς ἐκ δεξιῶν αὐτοῦ τάξεώς τε καὶ στάσεως, μετὰ τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων αὐτῷ· ᾧ πρέπει δόξα, τιμή, καὶ κράτος αἰώνιον, νῦν καὶ εἰς τὸν ἀπέραντον αἰῶνα τῶν αἰώνων. Ἀμήν.

Β'. ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΚΑΙ ΑΓΙΩΤΑΤΟΥ

Ἀρχιεπισκόπου Βουλγαρίας, κυρίου Δημητρίου τοῦ Χωματηνοῦ, πρὸς Κωνσταντῖνον ἀρχιεπίσκοπον τῆς μητροπόλεως Δυῤῥαχίου, τὸν Καβάσιλαν, ἀποκρίσεις.

ΥΠΑΚΟΗ καὶ ὄκνος, εἴτουν δειλία, παρεπάγησάν μοι ἐξάπινα, θεσπεσία μοι καὶ ἱερὰ κεφαλή, τὸ πρός με περί τινων πεύσεων πρῴζα φοιτῆσαν εἰσδεξαμένῳ ἀξίωμα τῆς σῆς τελειότητος· ὅτι μηδὲ ἐξῆν μοι τοῦτο ἀποδιοπομπήσασθαι, οἷα εὖ εἰδότι ἀκολούθους τὰς ἐρωτήσεις ἐξ ἀνάγκης ταῖς ἀποκρίσεσι προβαίνειν, κἂν ἢ κατὰ μοῖραν, ἢ οὐχ οὕτως προέρχωνται ἴσως· καὶ οὕτω τούτου ἑκάτερον πρὸς ἑαυτοῦ με ποιῆσαι σφόδρα ἐφιλονείκησεν, ὡς γενέσθαι με τούτων μεθόριον, μηδενὸς δηλονότι γινόμενον, ἢ ἀκουόμενον· ἡ μὲν γὰρ ὑπακοή, τῆς ταπεινοφροσύνης οὖσα θαυμάσιον ἀποκύημα, πρὸς τὴν τοῦ ἀξιώματός με παρεκίνει φιλοφροσύνην τε καὶ δεξίωσιν· ὁ δέ γε ὄκνος ἀποβλέπειν ἔπειθε πρὸς τὸ ἐργῶδες καὶ δυσεξάνυστον τοῦ ἐπι-

(1) α'. Κορ. ΙΒ', 29. — (2) Ψαλμ. ΡΙΑ', 5.

χειρώματος, καὶ οὕτως ὀῤῥωδεῖν καὶ συστέλλεσθαι· ναὶ δὲ καὶ αὐτὸν ὑποβλέπεσθαι τὸν ἀναιδέστατον μῶμον,· ὃς εἴωθε καὶ αὐτῶν τῶν ἀψαύστων ἐπιλαμβάνεσθαι. Ἐντεῦθεν ἐγὼ ἑκατέρων τουτωνὶ τῶν ἄκρων μίγμα τι καινὸν ἀναπέφηνα· ὃν τρόπον ἐκ τοῦ δειλοῦ καὶ τοῦ θρασέος ὁ κατὰ Ἀριστοτέλην συνετέθη θρασύδειλος· καὶ οὕτω μηδέτερον ἀποσώζειν πρὸς ἑαυτὸν πρὸς ὁλόκληρον κεκινδύνευκα· οἷα τὴν μὲν ὑπακοὴν ὀκνῶν, τὸν δὲ ὄκνον τῇ ὑπακοῇ καταργῶν. Ἐπεὶ δὲ τὰ γεννήματα τοῖς οἰκείοις πατράσιν ἐοικέναι πεφύκασιν, ἰδοὺ καὶ τὸ ἡμέτερον τουτὶ κύημα, τὸ τῆς σῆς δηλονότι αἰτήσεως πλήρωμα, ὡς ἄρα καὶ ἔχει, πρόεισι, τὴν μὲν σύστασιν ἢ ὑπόστασιν ἐκ τῆς ὑπακοῆς, τὸ δὲ μόρφασμα ἐκ τοῦ ὄκνου λαχόν· κέχρωσται γὰρ ὑπὸ τούτου πρὸς ὦχρον· ὡς εὐλαβεῖσθαι, κατὰ τοὺς φαβουμένους, καὶ ἀνὰ πόδα μὲν χωρεῖν ἀπὸ προσώπου τῶν μεγίστην λαχόντων ἐν λόγῳ καὶ σοφίᾳ ἑκατέρᾳ προβεβλημένων, ἰσχύν. Εἰ δέ τις ἔπαινος ἴσως ἐκ παραβόλου τὸ ἀπὸ τοῦ ὤχρου εἰσδεχθὲν εἰς ἔρευθος τοῦτο μεταβαλεῖ, ὡς ὁραθῆναι τοῦτο καὶ καλλιπάρῃον ἅμα, καὶ χαροπὸν, καὶ παῤῥησίας τῆς καθηκούσης μέτοχον, ἀγαπῴημεν ἄν· τίνα γὰρ πατέρα (τὸ τοῦ σοφοῦ Σολομῶντος εἰπεῖν) υἱὸς οὐκ εὐφραίνει καὶ κάλλιστος καὶ σοφός (1); Εἰ δὲ παραμενεῖ τοῦτο, (φεῦ τὸ δύσμορφον ἀναλλοίωτον,) πᾶσα ἀνάγκη πρὸς τὸν πατρῷον τοῦτο κόλπον ἀποστραφῆναι, ὡς ἂν ἐκεῖσε ἀφανισθὲν, ἔκ γε τοῦ μὴ ὁρᾶσθαι, τὸν γοῦν τοῦ αἴσχους ὀνειδισμὸν ἀποκρύπτοιτο.

Ἐρώτησις.

Εἰ δεῖ τὸν ψηφισθέντα, καὶ καταδεξάμενον, καὶ ἀσπασάμενον, μετατεθῆναι εἰς ἑτέραν ἐπισκοπήν (2).

Ἀπόκρισις.

Τοῦτο κανονικὸν μὲν οὐκ ἔστιν, οὔτε μὴν τῆς ἐγγράφου ἢ ἀγράφου ἐκκλησιαστικῆς παραδόσεως· γίνεται δὲ πολλάκις, βασιλέως κελεύοντος, διά τινα οἰκονομίαν λυσιτελοῦσαν κοινῇ· καὶ γέγονε τοῦτο ἐπὶ τῶν ἡμερῶν τοῦ ἀοιδίμου βασιλέως κυρίου Μανουὴλ καὶ πορφυρογεννήτου Κομνηνοῦ. Τοῦ γὰρ σοφωτάτου

(1) Παροιμ. ΙΕ', 20. — (2) Ὅρα καὶ σελ. 391 τοῦ παρόντος Τόμ.

ἐκείνου Εὐσταθίου(1), τοῦ κατὰ Φλῶρον διακόνου ὄντος τῆς μεγάλης Ἐκκλησίας, καὶ μαΐστορος τῶν ῥητόρων, εἰς τὴν Ἐκκλησίαν τῶν Λυκίων Μύρων ψηφισθέντος, καὶ καταδεξαμένου, καὶ ἀσπασαμένου, καὶ ἤδη καὶ πρὸς τὴν χειροτονίαν ἑτοιμασθέντος, πρόσταγμα τοῦ μακαρίτου βασιλέως ἐκείνου πρὸς τὴν σύνοδον καταπεφοίτηκε, διακελευόμενον δέξασθαι ταύτην παραιτούμενον τὸν Εὐστάθιον, προσαγαγεῖν δὲ τοῦτον εἰς τὴν περίκλυτον τῶν Θεσσαλονικέων μητρόπολιν, ὡς τηνικαῦτα χηρεύουσαν. Τὰ τοιαῦτα οὖν, ὡς εἴπομεν, κέλευσις μόνη βασιλικὴ δύναμιν ἔχει μεταλλάττειν τε καὶ καινοτομεῖν· ὁ βασιλεὺς γὰρ, οἷα κοινὸς τῶν Ἐκκλησιῶν ἐπιςημονάρχης καὶ ὢν καὶ ὀνομαζόμενος, καὶ συνοδικαῖς γνώμαις ἐπιςατεῖ, καὶ τὸ κῦρος ταύταις χαρίζεται· ἐκκλησιαστικὰς τάξεις ῥυθμίζει, καὶ νομοθετεῖ βίῳ καὶ πολιτείᾳ τῶν τοῦ βήματος, ναὶ μὴν καὶ δίκαις ἐπισκόπων καὶ κληρικῶν, καὶ πρός γε χηρευουσῶν ψήφοις Ἐκκλησιῶν· ἐνάγει δὲ καὶ ἀπὸ ἐλάττονος τιμῆς εἰς μείζονα, δηλαδὴ ἀπὸ ἐπισκοπῶν εἰς μητρόπολιν, ἢ ἀνδρὸς ἀρετὴν, ἢ πόλιν τιμῶν. Ταῦτα δὲ πάντα ῥᾷόν ἐςι καταμαθεῖν τὸν φιλομαθῆ ἀπό γε τῆς τῶν ἱερῶν καὶ θείων κανόνων περιλήψεως, καὶ ἀπὸ τῆς Ἰουςινιανείου νεαρᾶς νομοθεσίας, τῆς κειμένης ἐν ὅλῳ τῷ τρίτῳ βιβλίῳ τῶν Βασιλικῶν, τὰ περὶ ἐπισκόπων καὶ κληρικῶν, καὶ προνομίων αὐτῶν, καὶ βίου καταςάσεις, καὶ διωκῶν ἐγκληματικῶν τε καὶ χρηματικῶν εἰς πλάτος διαλαμβάνοντι· καὶ, ὡς ἔπος εἰπεῖν, πλὴν μόνου τοῦ ἱερουργεῖν, τὰ λοιπὰ ἀρχιερατικὰ προνόμια σαφῶς εἰκονίζει ὁ βασιλεὺς ἐφ' οἷς πράττει νομίμως τε καὶ κανονικῶς. Εὕρηται δὲ καὶ ἐν ιθ'. λόγῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας Φλαβίου Ἰωσήπου, ὑπογραφὴ βασιλικὴ οὕτως ἔχουσα· Τιβέριος Κλαύδιος, καῖσαρ, σεβαςὸς, Γερμανικὸς, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας, ὕπατος χειροτονηθεὶς τὸ δεύτερον. Ὅτι οὖν καὶ χριστὸς Κυρίου ὁ κατὰ καιροὺς βασιλεύς ἐστι, διὰ τὸ χρίσμα τῆς βασιλείας· ὁ δὲ Χριστὸς, καὶ Θεὸς ἡμῶν, μετὰ τῶν ἄλλων, καὶ ἀρχιερεὺς ἡμῶν, καὶ γέγονε, καὶ ἀνακηρύττεται· εὐλόγως καὶ αὐτὸς ἀρχιερατικοῖς κατακοσμεῖται χαρίσμασιν.

---

(1) τοῦ ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ σοφοῦ ἐκείνου τοῦ Ὁμήρου ὑπομνηματιστοῦ, ἀκμάσαντος περὶ τὰ τέλη τῆς ιβ΄. ἑκατονταετηρίδος, ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ, τοῦ υἱοῦ αὐτοῦ Ἀλεξίου, καὶ τοῦ Ἀνδρονίκου.

Ἐρώτησις.

Εἰ δέον ἐστὶ καὶ ἐν τοῖς πορφυροῖς ἀρχιερατικοῖς ἐσθήμασι τεθῆναι, καθάπερ καὶ ἐν τοῖς λευκοῖς, ἐν μὲν τῷ στιχαρίῳ τοὺς ποταμούς, ἐν δὲ τῷ φαινολίῳ σταυρούς· καὶ εἰ δεῖ καὶ πορφύρεον γενέσθαι σάκκον.

Ἀπόκρισις.

Τὸ ἔθος τῆς Ἐκκλησίας τὰ πορφυρᾶ ἀρχιερατικὰ θεῖα ἐσθήματα ἁπλᾶ βούλεται εἶναι, καὶ χωρὶς προσθήκης τῶν εἰρημένων ποταμῶν καὶ σταυρῶν· σάκκον δὲ πορφυροῦν οὐδόλως ἐπιγινώσκει· ἐπειδὴ ὁ σάκκος ἐν τρισὶ μόναις τοῦ ἔτους λαμπραῖς δεσποτικαῖς ἑορταῖς τὴν ἑαυτοῦ χρῆσιν παρέχει· ἤγουν ἐν τῇ μεγάλῃ τοῦ Πάσχα Κυριακῇ, ἐν τῇ Πεντηκοστῇ, καὶ ἐν τῇ γεννήσει τοῦ Χριστοῦ. Αὐτὸ γοῦν τοῦτο πληροφορεῖν ἐξαρκεῖ ὡς οὐ χρεὼν εἶναι σάκκον πορφύρεον· καὶ ἅμα, ὅτι πένθους εἰσὶ τὰ πορφυρᾶ τοιαῦτα ἐσθήματα σήμαντρον· ἐν μόναις γὰρ νηστίμοις ἡμέραις, καὶ ἐν μνημοσύνοις ἀπελθόντων.

Ἐρώτησις.

Πῶς λογίζονται τὰ παρὰ τῶν Λατίνων ἱερουργούμενα ἄζυμα, κοινά, ἢ ἅγια; Ὡσαύτως καὶ τὰ ὑπουργούμενα αὐτοῖς σκεύη, καὶ ἱερατικὰ ἄμφια, καὶ εἴ τι τοιοῦτον· καὶ εἰ ἔλλογόν ἐστι τὸ τούτους δακτυλιοφορεῖν.

Ἀπόκρισις.

Ὁ μὲν ο'. τῶν ἁγίων Ἀποστόλων κανών; καὶ ὁ λζ'. καὶ ὁ λη'. τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ ξ'. τῆς ἐν Καρθαγένῃ, ἀζύμων μέμνηνται τῶν Ἰουδαϊκῶν καὶ ἑορταστικῶν, πεμπομένων τοῖς πιστοῖς παρὰ τῶν αἱρετικῶν· καὶ ἀποτρέπουσι καὶ τὸ λαμβάνειν ταῦτα, καὶ τὸ συνεορτάζειν αὐτοῖς τοὺς πιστούς· Λατινικῶν δὲ ἀζύμων οὐδεὶς οὐδαμοῦ κανὼν μέμνηται· οἷα ὕστερον, ὡς ἔοικε, τοῦ τῶν ἀζύμων ἔθους ἐν τῇ τῶν Ῥωμαίων Ἐκκλησίᾳ ἐπεισκωμάσαντος. Ἐξ οὗ μέντοι τὸ τοιοῦτον ἔθος ἀνέκυψε, πολλοὶ τῶν ἡμετέρων, κατὰ ζῆλον ὑπερβάλλοντα, συγγράμμασιν ἰδίοις καθ' ἑαυτοὺς ὡς ἔκφυλον τοῦτο ἀπεσκοράκισαν. Οὐ μόνον δέ, ἀλλὰ καὶ τὸ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος τοῖς Λατίνοις δογματιζόμενον, ἀπᾷδον καὶ ἀπεμφαῖνον

ἤλεγξαν· καὶ πολλὰ δὲ ἕτερα ἔθη τούτων, ὡς τῇ καθολικῇ Ἐκκλησίᾳ μὴ ἀκολουθοῦντα, βδελυκτὰ ἐλογίσαντο, καὶ ἀπώσαντο. Ἔνιοι μέν τοι φιλανθρωπότερον τῷ πράγματι χρησάμενοι, ἐπὶ μὲν τοῖς ἄλλοις συγκατέβησαν αὐτοῖς, τὸ τοῦ ἔθνους εἰδότες σκληρὸν καὶ ἀγέρωχον, καὶ βαρβαρικοῖς ὡς τὰ πολλὰ συναναχρωννύμενον ἤθεσιν, ἐπὶ μόνῳ δὲ τῷ περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως οὐδαμῶς συγκεχωρήκεσαν καὶ συνῄνεσαν· ὧν εἷς ἐστι καὶ ὁ σοφώτατος Βουλγαρίας ὁ μακαριστὸς Θεοφύλακτος· ὃς ἐν τῷ πρὸς Νικόλαον διάκονον καὶ κανστρίσιον, τὸν ὕστερον ἐπίσκοπον Μελεσόβης, πεμφθέντι παρ' αὐτοῦ λόγῳ, μετὰ τὸ μέμψασθαι τοῖς ἀδιακρίτως προσφερομένοις αὐτοῖς, καὶ τὰ αὐτῶν ἀποβαλλομένοις καθόλου, καὶ μετὰ τὴν ἀπαρίθμησιν τῶν δοκούντων ἐλαττωμάτων αὐτῶν, καὶ ταῦτα οὕτω διέξεισιν. Ἐγὼ δὲ καὶ τούτων τὰ μὲν οὐδεμιᾶς ἐπιστροφῆς δεῖσθαι νομίζω, τὰ δὲ, μετρίας, καὶ οἵας, εἰ μὲν ἀνύσειέ τις, μικρὰ τῇ Ἐκκλησίᾳ χαρίζεσθαι· εἰ δ' οὖν, ἀλλὰ μηδὲ ζημίαν γε τιθέναι τὸ ἀνεξάνυστον· ὃ μάλιστά μοι δὲ δοκεῖ τὴν πρὸς Λατίνους κοινωνίαν τοῖς εὖ φρονοῦσι ποιεῖν ἀπώμοτον, καὶ ὃ μὴ κατορθούμενον, μεγάλην προξενεῖ τὴν ζημίαν τῇ τοῦ υἱοῦ κληρονομίᾳ, ἣν ἐν τοῖς ἔθνεσιν ἔλαβε, τοῦτό σοι καὶ δείξω, καὶ διελέγξω, καθόσον ἔνεστι. Καὶ μετά τινα· Ἔστιν οὖν τὸ μέγιστον ἐκεῖνο σφάλμα, καὶ, τοῦτο δὴ τὸ τοῦ Σολομῶντος, ᾅδου πεταύρῳ ποιοῦν συναντᾷν (1), ἡ ἐν τῷ τῆς πίστεως συμβόλῳ καινοτομία, ἣν ἐποιήσαντο, ἀνακηρύττοντες τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. Καὶ μετὰ πολλά· Ἐπεὶ δὲ καὶ περὶ τῆς προσφορᾶς τῶν ἀζύμων πολὺς ὁ ζῆλος τοῖς πολλοῖς, καὶ πυρὸς θερμότερος, ὃ δὴ λέγεται, καὶ πρότερον ἂν τὰς ψυχὰς πρόοιντο, ἢ τὴν περὶ τούτων δόξαν αὐτῶν παραλύσαιεν· οἱ δέ τινες καὶ οἰκείῳ πάθει καταχαρίζονται, καὶ παγὶς τοῦ διαβόλου τῷ Παύλῳ δοκεῖ· ἃ μὲν δεῖ πρὸς τούτους εἰπεῖν, ἐν ὑστέρῳ λέξομεν, τῶν μὲν, τὸ ἄμετρον τοῦ ζήλου κολάζοντες, τοῖς δὲ, ταπεινὸν δεικνύντες τὸ ἀταπείνωτον. Καὶ αὖθις μετὰ πολλά· Καὶ τοῖς δυτικοῖς τοίνυν εἴ τι μὲν περὶ τὸ δόγμα διαμαρτάνεται, τὴν πατρικὴν πί-

(1) Παροιμ. Θ'. 18.

στιν σαλεῦον, οἷον δὴ τὸ ἐν τῷ συμβόλῳ περὶ τοῦ ἁγίου Πνεύματος προςιθέμενον· ἔνθα ὁ κίνδυνος μέγιστος· τοῦτο μὴ διορθώσεως ἀξιούμενον ὁ συγχωρῶν, ἀσυγχώρητος· κἂν ἀπὸ τοῦ θρόνου τοὺς λόγους ποιῶνται, ὃν ὑψηλὸν ὑψηλοὶ προτιθέασι· κἂν τὴν τοῦ Πέτρου ὁμολογίαν προβάλλωνται· κἂν τὸν ἐπ' ἐκείνῃ μακαρισμὸν περιφέρωσι· κἂν τὰς κλεῖς τῆς βασιλείας ἡμῖν ἐπισείωσι. Καὶ πάλιν μετὰ πολλά· Οὐ τοίνυν οὔτε περὶ τῶν ἀζύμων, οὔτε περὶ τῶν νηστειῶν ἀντισκληρυνθησόμεθα τῷ ἀκαμπεῖ τοῦ ἔθνους φρονήματι· τοῦτο γάρ ἐστιν ὀστράκῳ συγκολλᾷν ὄστρακον, μηδὲν ἦθος ὑγροτέρου παρεντιθέντας, ὅπερ ἐγένετ' ἂν ἴσως ἐχέκολλον· οὐδὲ πολλοῦ δεῖ περὶ τῶν ἀπηριθμημένων λοιπῶν, ἅπερ ὁμολογοῦντες καὶ αὐτοὶ τηρεῖν, ἐκτὸς τῆς πνικτοφαγίας (ταύτης γὰρ οὐδὲ τοὔνομα Λατίνοις σώφροσιν ἀνεκτὸν, ὥσπερ οὐδὲ παρ' ἡμῖν, οὐδὲ τὸ τῆς πορνείας, καὶ τῆς νηστείας· κἂν οἱ θηριώδεις καὶ κτηνώδεις ταύτην ἐπιτηδεύωσι), δοκοῦσι πολλοῖς ἀσύγγνωστα σφάλλεσθαι· ὧν μὴ συντίθεσθαι τοῖς λόγοις, ἀνδρός ἐστιν, ὡς οἶμαι, ταῖς ἐκκλησιαστικαῖς ἱστορίαις ἐγγυμνασθέντος, καὶ μαθόντος, ὡς οὐ πᾶν ἔθος ἀποσχίζειν Ἐκκλησίας ἰσχύει, ἀλλὰ τὸ πρὸς διαφορὰν ἄγον δόγματος. Ἔθη δὲ πάντως καὶ ταῦτα, τὰ παρὰ τοῖς θαυμαστοῖς κριταῖς σφάλματα· τὰ μὲν ἐξ εὐλαβείας, ὡς τὸ προσάγειν τοὺς ἀσπασμοὺς τοῖς θείοις ἐδάφεσι (μὴ γὰρ δὴ παραδεξαίμεθα τὴν σατανικὴν ἐκείνην συκοφαντίαν, ὡς ἄρα Λατίνοις οὐ παραδεκτέα ἡ τῶν εἰκόνων προσκύνησις), τὰ δὲ ἐξ οἰκονομίας, οἰκονομούσης ἀσθένειαν, τάχα μὲν καὶ ψυχῆς, πάντως δὲ τὴν σωματικήν· ὡς τὸ τοὺς μοναχοὺς ἐν ταῖς νόσοις μεταλαμβάνειν κρεῶν· καὶ τοῦτο, κεκολασμένως, καὶ τῷ ὄντι πνευματικῶς· εἰ δέ τινες αὐτὸ χυδαιοῦσι ταῖς ἀδιαφορίαις, ἕτερος οὗτος λόγος πρὸς τούτους, οὐ πρὸς τοὺς πρώτους τοῦτο κατὰ λόγον οἰκονομήσαντας, καὶ ἄλλα κατ' ἄλλους τινὰς λόγους ἐμπαγέντα ταῖς δυτικαῖς Ἐκκλησίαις· ὧν οὐδὲν διασπᾷν ἡμᾶς δύναται· οὐκ· ἤν γε τοὺς κρίνοντας ἔχῃ τὴν ψῆφον ἐκφέροντας πατρικοῖς νόμοις ἀκόλουθον· καὶ εἴ γε μὴ μακρός μοι ὁ λόγος ἔμελλεν ἔσεσθαι, καὶ ἱστορίας ἐγγὺς, ἔδειξα ἄν σοι μυρία ἐπὶ μυρίοις ἔθη τοῖς παλαιοῖς Πατράσι παραχωρηθέντα,

πρὸς τὴν τῶν ἀδελφικῶν ψυχῶν περιποίησιν· ᾔδεσαν γὰρ ἐκεῖνοι μὴ ἑαυτοῖς ἀρέσκειν, ἀλλ᾽ ἕκαστος τῷ πλησίον εἰς τὸ ἀγαθὸν, πρὸς οἰκοδομήν· ἀλλὰ νῦν (φεῦ τοῦ ὑδερικοῦ ἡμῶν ὄγκου), Καὶ τίς ἐςί μου πλησίον; λέγομεν(1), καὶ μυρίους καταβάλλομεν ἱσταμένους, ἵνα τὸ οἰκεῖον συστήσωμεν θέλημα. Καὶ ἐφεξῆς κατατρέχει σφοδρῶς τῶν ἀδιακρίτως καὶ ἀνέδην μεμφομένων τοῖς Λατινικοῖς ἔθεσι, καὶ εἰς μέγιστα καὶ ἀπόβλητα σφάλματα ἐγγραφόντων αὐτά. Ἔστιν οὖν ἐκ τῆς ἐγκειμένης ἐννοίας τῷ σοφωτάτῳ τούτῳ συγγράμματι συνιδεῖν, ὡς ἐλάχιστα μὲν χρὴ, ἐπὶ παντὸς ἔθνους προσδεξαμένου τὸ κατὰ Χριστὸν κήρυγμα, ἐπιτηρεῖν τὰ τῶν ἐν αὐτοῖς ἐθῶν ἐλαττώματα· τά γε μὴν ἔκφυλα τῶν δογμάτων, καὶ ἀπεμφαίνοντα, καὶ λίαν ὑποβλέπεσθαι, καὶ φεύγειν ὡς γαγγραίνας, ὧν ὁ θεῖος μέμνηται Παῦλος(2), καὶ ὡς ἑτεροῖα κακοήθη νοσήματα· ἐπείπερ τὰ μὲν ἔθη οὐ τοσοῦτον, τὰ δέ γε πονηρὰ δόγματα διασπᾷν ἡμᾶς τούτων δύνανται· ὅθεν οὔτε τὰ ἱερουργούμενα παρὰ τῶν Λατίνων ἄζυμα, οὔτε τὰ ὑποδεχόμενα ταῦτα, καὶ ὑπηρετούμενα τῇ τούτων ἱερουργίᾳ σκεύη, καὶ ἀκολούθως οὔτε τὰς ἱερὰς αὐτῶν στολὰς, οὔτε τι τοιοῦτον, κοινὰ λογισόμεθα· πῶς γὰρ, τῆς τοῦ Δεσποτικοῦ ὀνόματος ἐπικλήσεως ἐπισφραγιζούσης ταῦτα, καὶ τῶν τοῦ θείου Ἰακώβου τοῦ ἀδελφοθέου ἱερῶν ἐπασμάτων τὴν ἁγιστείαν, ὡς μανθάνομεν, ἱερολογούντων αὐτοῖς; Εἰ δέ τις ἐρεῖ, ὡς, εἴπερ κοινὰ τὰ τῶν Λατίνων ἄζυμα οὐκ εἰσὶν, οὐ προκριματισθησόμεθα καὶ ἡμεῖς τούτων μεταλαμβάνοντες· ἀλλ᾽ ἀκούσεται, ὡς, ἐπειδὴ, καθὼς ἄνωθεν εἴρηται, μετὰ τῶν ἄλλων ταῖς δυτικαῖς Ἐκκλησίαις καὶ τὸ ἐπὶ τοῖς ἀζύμοις ἔθος ἐμπέπηκται, καθὰ καὶ ἡμῖν τὸ προσφέρειν καὶ ἱερουργεῖν ἔνζυμα, ἀδύνατος ἐφ᾽ ἑκατέροις ἔσται ἡ τῶν οἰκείων ἐθῶν παράβασις, εἰ μήποτε θάτερον μέρος μεταθέσθαι πρὸς θάτερον αἱρετίσεται, τὴν κοινωνίαν αὐτοῦ ἀσπασάμενον· πλὴν, ὥσπερ ἐκεῖνοι τὰ παρ᾽ ἡμῶν ἱερουργούμενα, καὶ ἡμεῖς οὕτω τὰ παρ᾽ ἐκείνων, ἅγια λογιζόμεθα· καὶ οὐ σφαλλόμεθα· καὶ αἱρετικῶν γὰρ χειροτονίαι τοῖς ὀρθοδόξοις δεκταί εἰσι, κατὰ τὴν τῶν

(1) Λουκ. ί, 29. — (2) β. Τιμόθ. Β', 17.

Πατέρων παράδοσιν, ὀρθοδόξων ἢ ὄντων, ἢ γινομένων τῶν δι᾽ αὐτῶν χειροτονουμένων. Τὸ δακτυλιοφορεῖν δὲ, τοῖς μὲν κατὰ Πνεῦμα περιπατοῦσι, πνευματικῶς ἐκλαμβάνεται· ἐπειδὴ γὰρ νυμφίος ὁ Χριστὸς καὶ τῆς Ἐκκλησίας, καὶ τῶν καθαρῶν καὶ παρθένων ψυχῶν ὀνομάζεται, τὸν αὐτὸν τρόπον καὶ οἱ ἑκασταχοῦ τῶν ἁγίων Ἐκκλησιῶν προςάται, νυμφίοι προσαγορεύονται, ὡς δακτύλιον τὴν σφραγίδα λαβόντες τοῦ Πνεύματος· ὅτι καὶ ὁ Σωτὴρ ἐν δακτύλῳ, τουτέςι τῷ ἁγίῳ Πνεύματι, τὰ δαιμόνια ἐκβάλλειν (1), πρὸς τοὺς ἀπειθεῖς ἔλεγεν Ἰουδαίους, οἳ Βεελζεβοὺλ ἐκερτόμουν ἔχειν αὐτόν· καὶ τὸν ἐπανελθόντα δὲ ἄσωτον υἱὸν δακτυλίῳ χρυσῷ ἐπεκόσμησεν (2)· ὅλον δηλαδὴ τοῦτον ἐκτελέσας πνευματικὸν, ἀντὶ σαρκικοῦ. Τοῖς γε μὴν Λατίνοις οὐ πνευματικῶς, ἀλλὰ σαρκικῶς, οὐδ᾽ ὑπερκοσμίως, ἀλλὰ κοσμικῶς τὴν τοῦ δακτυλίου προσηγορίαν ἐκλαμβανομένοις, περισπούδαστον γίνεται τὸ δακτυλιοφορεῖν, ὡς τῶν Ἐκκλησιῶν δήπουθεν μνήστορσιν· ὅθεν οὐδὲ τοῦτο προσάπτει μέμψιν αὐτοῖς.

Ἐρώτησις.

Εἰ πρόκριμα τῷ ἀρχιερεῖ τὸ εἰσέρχεσθαι εἰς τὰς Λατινικὰς Ἐκκλησίας, καὶ προσκυνεῖν, ἡνίκα ἂν προσκληθείη παρ᾽ αὐτῶν· καὶ εἰ μεταδώσει τούτοις κατακλαστοῦ, ὅταν εἰς τὴν ἁγίαν καὶ καθολικὴν Ἐκκλησίαν ἐν τῇ λειτουργίᾳ παραγίνωνται.

Ἀπόκρισις.

Τινὲς τῶν Λατίνων εὑρίσκονται μὴ καθόλου διαφερόμενοι πρὸς τὰ καθ᾽ ἡμᾶς ἔθη, τά τε δογματικὰ καὶ τὰ ἐκκλησιαστικὰ, καί εἰσιν, ὡς ἄν τις εἴπῃ, κατὰ τοῦτο ἐπαμφοτερίζοντες. Ὥσπερ τοίνυν τὸ ἀντισκληρύνεσθαι τοῖς ἐπίπαν διαφερομένοις ἡμῖν, ἐξαιρέτως ἐπὶ τῷ δόγματι τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, καθῆκον καὶ ὅσιον· οὕτω τὸ συγκαταβαίνειν τοῖς μὴ τοιούτοις, καὶ συνέρχεσθαι, οὐ προκρινεῖ τῷ ἀρχιερεῖ, ὡς οἰκονομίαν πεπιστευμένῳ καὶ μετερχομένῳ τὴν πρέπουσαν οἰκονόμοις ψυχῶν· ὅθεν καὶ εἰς τὰς Ἐκκλησίας αὐτῶν προσκληθεὶς οὗτος, ἀνενδοιάστως ἀφίξεται· τῶν ἁγίων γὰρ εἰκόνων εἰσὶ καὶ οὗτοι προσκυνηταὶ, καὶ ἐν τοῖς κατ᾽ αὐτοὺς ναοῖς ἀναστηλοῦσιν αὐτάς· καὶ προθύμως προσερχομένοις τού-

(1) Λουκ. ΙΑ΄, 20. — (2) Λουκ. ΙΕ΄, 22.

τοῖς μεταδώσει κατακλαστοῦ, ὅταν ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ παραγένωνται· ἡ τοιαύτη γὰρ συνήθεια δύναμιν ἔχει κατὰ μικρὸν μεθελκύσαι αὐτοὺς καθόλου πρὸς τὰ καθ' ἡμᾶς ἱερὰ ἔθη καὶ δόγματα. Πυκνοῦται δὲ καὶ ἡ Ἰταλία θείων Ἀποστόλων καὶ μαρτύρων ναοῖς, ὧν κορυφαῖος ὁ ἐν τῇ Ῥώμῃ περίκλυτος τοῦ ἐν Ἀποστόλοις κορυφαίου Πέτρου ναός· ἐν οἷς ἡμέτεροι εἰσερχόμενοι ἔκ τε τῆς ἱερατικῆς μερίδος καὶ τῆς λαϊκῆς, προσευχάς τε ποιοῦνται πρὸς Θεὸν, καὶ τοῖς ἐν αὐτοῖς τιμωμένοις ἁγίοις τὴν σχετικὴν προσκύνησιν καὶ τιμὴν ἀπονέμουσι· καὶ πρόκριμα ἐντεῦθεν οὐδόλως ὑφίστανται, ἐφ' οἷς δηλαδὴ ὑπὸ τοὺς Λατίνους εἰσὶ ναοῖς. Μεμνήμεθα δὲ, ὡς γεγόνασιν ἐρωτήσεις πρὸ ἐτῶν ἤδη ἱκανῶν παρὰ Μάρκου τοῦ τῆς θείας μνήμης πατριάρχου Ἀλεξανδρείας, καὶ ἐπ' αὐταῖς ἀποκρίσεις Θεοδώρου τοῦ μακαρίτου πατριάρχου Ἀντιοχείας τοῦ Βαλσαμών· αἷς συντεταγμένη ἦν καὶ περὶ Λατίνων αἰχμαλώτων ἐρώτησις, εἰ χρὴ δηλαδὴ τούτους προσδέχεσθαι παρουσιάζοντας εἰς τὰς καθολικὰς Ἐκκλησίας, καὶ ζητοῦντας μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων· καὶ ἀκολούθως ἐπὶ ταύτῃ ἀπόκρισις, καθόλου ἀπαγορεύουσα τοὺς εἰρημένους Λατίνους διὰ χειρῶν τῶν καθ' ἡμᾶς ἱερέων τῆς θείας κοινωνίας ἀξιοῦσθαι· ἥτις δὴ ἀπόκρισις τὸν οἰκεῖον λόγον συγκροτοῦσα ἀπὸ τῆς θείας Γραφῆς, τῷ Κυριακῷ ἐκείνῳ ἐχρήσατο ῥήματι, Ὁ μὴ ὢν, λέγοντι, μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐςι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει(1). Τῇ τοιαύτῃ δὲ ἀποκρίσει τηνικαῦτα πολλοὶ τῶν ἐλλογίμων οὐκ ἔθεντο, οἷα πολὺ ἐχούσῃ τὸ ἀπηνές τε καὶ ἰταμὸν, καὶ μὴ προσῆκον μέμψει Λατινικῶν τύπων τε καὶ ἐθῶν· ὅτι τε, φασὶν, οὐ διεγνώσθησαν ταῦτα συνοδικῶς· καὶ οὐδ' αὐτοὶ, ὡς αἱρεσιῶται, ἀπόβλητοι δημοσίᾳ γεγόνασιν· ἀλλὰ καὶ συνεσθίουσιν ἡμῖν, καὶ συνεύχονται. Καὶ δύναταί τις, φασὶ, τὸν λογισμὸν τοῦτον ἐκ τοῦ ιε. κανόνος τῆς ἐν Κωνσταντινουπόλει ἁγίας συνόδου, τῆς λεγομένης πρώτης καὶ δευτέρας, καλῶς ἀναδέξασθαι· καὶ ὅτι αὐτὸ τοῦτο τὸ προσέρχεσθαι Λατίνους ἡμῖν, καὶ ζητεῖν τῆς ἐνζύμου μεταλαμβάνειν ἁγίας προσφορᾶς ἐξ ἡμῶν,

(1) Λουκ. ΙΑ', 23. — ὅρα τὴν ἀνωτέρω ἀπόκρισιν τοῦ Βαλσαμῶνος ἐν τῷ τόμῳ Δ'. σελ. 460 τοῦ παρόντος συντάγματος.

δῆλον ποιεῖ, ὡς, εἰ μὴ περιεφρόνουν τὰ ἄζυμα, καὶ ὡς οὐ περὶ πολλοῦ ποιοῦνται τὸ στέργειν αὐτοῖς, οὐκ ἂν προσήρχοντο τῇ παρ' ἡμῶν γινομένῃ τῶν θείων μυστηρίων ἱερουργίᾳ. Τὸν οἰκεῖον δὲ λόγον καὶ οὗτοι συνιστῶντες ἐκ τοῦ Εὐαγγελίου, τὸ παρὰ τοῦ θείου Ἰωάννου πρὸς τὸν Δεσπότην εἰρημένον προέτεινον, Εἴδομεν, εἰπόντος, τινὰ ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα τὰ δαιμόνια· καὶ ἐκωλύσαμεν αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς· Μὴ κωλύετε· ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐςι (1). Προσεπήγαγον δὲ καὶ ὅτι τὸ μέν, Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐςι, προδήλως καὶ γυμνῶς κατὰ τοῦ διαβόλου παρὰ τοῦ Σωτῆρος ἀποτοξεύεται, καθὰ δὴ τοῦτο παρίςησιν ἡ αὐτόθι τοῦ Εὐαγγελίου περικοπή· καθὸ γὰρ ἐχθρός ἐςιν ἀπ' ἀρχῆς ὁ σατάν, καὶ ἀμετάτρεπτος ἀπὸ τῆς κακίας μένει, καὶ καθόλου μετανοίας ἐστέρηται, κατὰ τοῦτο μὴ ὢν μετὰ τοῦ Δεσπότου, κατ' αὐτοῦ ὢν καὶ ἔστι, καὶ ὀνομάζεται· ὡς αὐτοῦ μὲν ἀγαπῶντος τὸ ἑαυτοῦ πλάσμα, καὶ συνάγοντος· ἐκείνου δὲ μισοῦντος αὐτό, καὶ διασκορπίζοντος· τὸ δέ, Ὃς οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστι, πρὸς ἄνθρωπον εἴρηται οὐκ ἀκολουθοῦντα μὲν τῷ Ἰησοῦ, ζηλοῦντα δὲ τοὺς ἀκολουθοῦντας αὐτῷ, καὶ ἐπὶ τῷ ὀνόματι τούτου ἐκβάλλοντα δαιμόνια· καὶ οὕτω δυνάμενον, ἐκ τοῦ ἀποστάδην περιπατεῖν, ῥᾳδίως μεταθέσθαι εἰς τὸ ἀκολουθεῖν· τῆς ἀνθρωπίνης γὰρ μόνης ἀσθενείας βοήθημα, ἡ ἐπιστροφὴ καὶ μετάνοια, καὶ ἡ ἀπὸ τῶν χειρόνων εἰς τὰ κρείττω μεταβολή. Προέφερον δὲ καὶ γνώμην ἐπὶ τούτῳ Θεοφυλάκτου, τοῦ σοφωτάτου ἀρχιεπισκόπου Βουλγαρίας, ἧς τὴν σύνοψιν ἐν ἑτέρᾳ ἡμῶν ἀποκρίσει ἀνωτέρω ἐποιησάμεθα, θαυμαστὰ περὶ συγκαταβάσεως καὶ οἰκονομίας ἐκτιθεμένην, καὶ κἀξιέπαινα. Ἐντεῦθεν ἐκρίθησαν οἱ ἀντειπόντες, ὡς εἴρηται, καλῶς καὶ εὐλόγως ἐνστῆναι, ὡς τῆς ἱταμότητος προτιθέμενοι τὴν οἰκονομίαν, πρὸς τὸ μὴ καταβαλεῖν, ἀλλὰ κερδῆσαι ἠρέμα καὶ κατὰ μικρὸν τοὺς ἀδελφούς, ὑπὲρ ὧν ὁ κοινὸς Σωτὴρ καὶ Δεσπότης ἡμῶν τὸ ἑαυτοῦ αἷμα ἐξέχεεν(1).

—

(1) Ὅρα περὶ Λατίνων καὶ Ἀποκρίσεις Ἰωάννου Κίτρου ιϛ', καὶ ϛ', σελ. 405 τοῦ παρόντος τόμου.

Γ'. ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

Πάσης Βουλγαρίας, κυροῦ Δημητρίου τοῦ Χωματηνοῦ, σημείωμα περὶ τοῦ τοιούτου ζητήματος (1).

Μεγαλοδοξοτατε περιπόθητέ μοι αὐτάδελφε, κῦρε Στέφανε· ἠρώτησας ἡμᾶς διὰ γράμματός σου, εἰ ἔξεστι μιγέντα τινὶ γυναικὶ, συμμιγῆναι γαμικῶς τῇ ἐκείνης δισεξαδέλφῃ· καὶ πρὸς τὴν τοιαύτην ἐρώτησιν, τοιάνδε ποιούμεθα τὴν ἀπόκρισιν· ὡς τὸ τοιοῦτον συνάλλαγμα, καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ βασιλέως τοῦ πορφυρογεννήτου κυροῦ Μανουὴλ, καὶ μετὰ ταῦτα, εἰς ὅτι πολλὴν ἀντιλογίαν ἐνέπεσεν· ὡς ἐνίων μὲν ἀπαγορευόντων αὐτὸ ὡς ἀθέμιτον, ἐνίων δὲ μὴ ἀπειργόντων τοῦτο ὡς ἔννομον. Καὶ οἱ μὲν κωλύοντες τοῦτο, τὴν οἰκείαν ἔνστασιν συνεκρότουν ἔκ τε ἄλλων, καὶ ἐκ τοῦ διαγινώσκειν, ἑνὸς βαθμοῦ τυγχάνειν τὸν ἄνδρα μετὰ τῆς γυναικὸς, καὶ οὕτω τὸν ἕκτον βαθμὸν τῶν δισεξαδέλφων μένειν ἀκέραιον συνεπέραινον, μηδαμῶς δηλαδὴ τῇ ἐπεισαγωγῇ τοῦ ἀνδρὸς παρατιτρωσκόμενον, ὥστε ἀναβαίνειν εἰς ἕβδομον, τὸν τοῖς θείοις νόμοις ἀκώλυτον ἐπιγινωσκόμενον· ναὶ μὴν καὶ ἐκ τοῦ γραφικοῦ θείου ῥήματος, τοῦ θεσπίζοντος· Οὐκ εἰσελεύσῃ εἰς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ (2)· οἰκείαν σαρκὸς τοῦ ἀνδρὸς, τὴν δισεξαδέλφην τῆς, ὡς εἴρηται, μιγείσης αὐτῷ γυναικὸς ὀνομάζοντες· ᾧ δὴ ῥήματι καὶ ὁ μέγας ἐχρήσατο φωστὴρ τοῦ κόσμου Βασίλειος, ἀθέμιτον ἀπείργων συνάλλαγμα. Οἱ δέ γε τοῦτο τοῖς συγκεχωρημένοις ἐγγράφοντες, ἑβδόμου ἐξ ἀγχιστείας συνῆγον εἶναι βαθμοῦ, ὡς ἓξ μὲν ἐκ τοῦ ἑνὸς γένους εὑρισκομένων βαθμῶν, ἐκ δὲ τοῦ ἑτέρου γένους, βαθμοῦ ἄλλου ἑνός· καὶ οὕτω τὰ παρὰ τῶν ἀπειργόντων προτιθέμενα, ὡς ἀπᾴδοντα, καὶ ἀπεμφαίνοντα, διεγράφοντο. Εἰ γὰρ πᾶσα ἀνάγκη, φασὶ, δύο γένη ἀλλήλων ἀλλότρια συνελθεῖν, ἵνα τὴν ἀγχιστείαν ἐργάσωνται, ἐξ ἑκατέρων δὲ τῶν γενῶν τούτων συνάγονται οἱ βαθμοὶ, καὶ οὕτως ἡ

(1) Βλέπε Βαλσαμῶνος σχόλ. ἐν νομοκάνονι Τόμ. Α'. τοῦ παρόντος συντάγματος σελ. 284 καὶ 291, καὶ τοῦ αὐτοῦ μελέτην, Περὶ τοῦ, εἰ χρὴ τὸν αὐτὸν καὶ ἕνα κτλ. Τόμ. Δ', σελ. 556. — Βλέπε προσέτι ψήφισμα συνοδικὸν Ἰωάννου τοῦ Καματηροῦ, καὶ ψήφισμα πολιτικῶν δικαστῶν, σελ 103 καὶ 595 τοῦ παρόντος Τόμου. — (2) Λευΐτ, ιη', 6.

τὰ κεκωλυμένα, ἢ τὰ συγκεχωρημένα τῶν ἐντεῦθεν συναλλαγμάτων ἀναφαίνονται, πῶς ἄν τις εἰς βάθος πεπειραμένος τῆς νομικῆς συλλογίσαιτο, ἑνὸς βαθμοῦ εἶναι τὸν ἄνδρα μετὰ τῆς γυναικός; Ἐντεῦθεν γὰρ ἀσύμφωνα ἑαυταῖς αἱ θεσμοθεσίαι καὶ ἄτοπα θεσπίζουσαι εὑρεθήσονται, τὰ μὲν δευτέρου, καὶ τρίτου, καὶ τετάρτου, καὶ πέμπτου, ναὶ δὲ καὶ ἐκ τεσσάρων καὶ δύο, ἕκτου βαθμοῦ συναλλάγματα, κωλύουσαι ὡς ἀθέμιτα, τὰ δὲ τοῦ ἑνὸς, ἐπιτρέπουσαι γίνεσθαι· ὃ ποίας ἂν ἀτοπίας καταλείψῃ ὑπερβολήν; Ἄλλως τε δὲ, καὶ ἐκ τῆς τοῦ γένους σειρᾶς τῶν βαθμῶν εἰωθότων γεννᾶσθαι, ἑκάστης γεννήσεως κατὰ τοὺς νόμους ἕνα βαθμὸν ἀποτελούσης, ἐξ ἀνάγκης ὁ ἀνὴρ καὶ ἡ γυνὴ, ἢ ὡς πατὴρ καὶ θυγάτηρ λογισθήσονται, ὡς ἂν δηλαδὴ ὑπὸ βαθμὸν ἕνα γένωνται, καὶ ἀκολούθως, ἢ ὡς ἀδελφὸς καὶ ἀδελφὴ, ἢ ὡς θεῖος καὶ ἀνεψιά, ἢ ὡς ἐξάδελφος καὶ ἐξαδέλφη, καὶ ἐφεξῆς· κἀντεῦθεν ἀνέδην τὰ τοιαῦτα πρόσωπα χωρήσουσιν, ὥσπερ ἀπό τινος ὁρμητηρίου, πρὸς τὰς τῶν ἀθεμίτων γάμων συναλλαγάς. Καὶ μὴν συγγενείας μὴ μεσολαβούσης ἐν τῷ ἀνδρὶ καὶ τῇ γυναικὶ, νοῦν ὅλως οὐκ ἔχει τὸ λέγειν, ἑνὸς βαθμοῦ ἢ δύο εἶναι τὸν ἄνδρα μετὰ τῆς γυναικός· τὰ συγγενικὰ γὰρ πρόσωπα τοὺς βαθμοὺς ἀποτίκτουσιν, ὡς διείληπται· τούτων δὲ οὕτως ὁμολογουμένως ἐχόντων, ἀναιρεῖται λοιπὸν καὶ τὸ λογίζεσθαι οἰκείαν σαρκὸς τοῦ ἀνδρὸς τὴν δισεξαδέλφην τῆς αὐτοῦ γυναικός. Τὴν μέν τοι περὶ τοῦ γραφικοῦ τούτου ῥήματος ἔννοιαν Βασιλείου τοῦ μεγάλου καὶ θεοφόρου Πατρὸς γοργῶς καὶ συνεπτυγμένως ἐξενεχθεῖσαν, οἱ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου μακάριοι Πατέρες τρανῶς ἀναπτύσσοντες καὶ διαλευκαίνοντες, τὸν νδʹ. κανόνα ἐξέθεντο περὶ τὰ μέσα πρὸς λέξιν οὕτω θεσπίζοντα· « Ἐπεὶ δὲ »τῇ τοιαύτῃ σιγῇ, καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων γάμων »ἀπαγορεύσεως, ἑαυτὴν ἡ φύσις συνέχεε, συνείδομεν γυμνότερον »τὰ περὶ τούτων ἐκθέσθαι· ὁρίζοντες ἀπὸ τοῦ νῦν, τὸν τῇ οἰκείᾳ »ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν »μητρὶ καὶ θυγατρὶ, ἢ δύο κόραις ἀδελφαῖς πατέρα καὶ υἱὸν, ἢ »ἀδελφοῖς δυσὶ μητέρα καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελ»φαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας κανόνα πίπτειν, ἀφισταμένων αὐ»τῶν προδήλως τοῦ παρανόμου συνοικεσίου· ταῦτα τοῦ ἱεροῦ

κανόνος διαγορεύοντος, οὐδεμία τις μνήμη παρ' αὐτῷ τῶν οὕτως ἐχόντων πρὸς ἄλληλα προσώπων, καὶ τὸν γάμον, ὡς διείληπται, συναλλασσόντων εὑρίσκεται· οὐδὲ ὑπ' αἰτίαν ὅλως τι τούτων ἠνέχθη, ἢ διαστάσει ὑπέπεσε. Τοῖς τοιούτοις δὲ λογισμοῖς καὶ ταῖς πράξεσι μετέπειτα κινουμένη καὶ ἡ κατὰ τὴν Κωνσταντινούπολιν ἁγία σύνοδος, ἐπὶ τῆς ἐφημερίας τοῦ τῆς ὁσίας μνήμης Θεοδοσίου, τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, σημείωμα κατὰ τὴν λ'. τοῦ Ἰουλίου μηνὸς τῆς ιβ'. ἐπινεμήσεως, ἐξέθετο, οὕτως ἔχον ἐπὶ λέξεων.

»Ὁ ἱερώτατος μητροπολίτης Ἄπρω, ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, Ῥωμανὸς ὁ Ἀρτάβασδος, ἔγγραφον »προεκόμισε συνοδικῶς, τάδε κατὰ ῥῆμα διαλαμβάνον· Κόρη τις »Εἰρήνη καλουμένη, ἔλαβεν εὐχὴν μνηστείας μετά τινος Ἰωάννου, »δεκαετὴς τότε οὖσα τὴν ἡλικίαν· λαληθείσης δὲ τῆς περὶ τού»του παρανόμου μνηστείας, γέγονε σημείωμα συνοδικὸν, ἐπιτρέ»πον διαζυγῆναι τοὺς τάχα μνηστευσαμένους, διὰ τὸ εἶναι τὴν »μνηστείαν παράνομον, ὡς διείληπται. Βούλεται γοῦν σήμερον ἡ »Εἰρήνη νομίμως συναφθῆναι τῷ Θεοδώρῳ, δευτέρῳ ὄντι ἐξαδέλ»φῳ τοῦ Ἰωάννου· καὶ ἐρωτῶ, εἰ ἔχει τινὰ παρεμποδισμόν. Ἠξί»ωσεν οὖν τὴν ἡμῶν μετριότητα, καὶ τὴν ἱερὰν ἀδελφότητα, μα»θεῖν, εἴπερ οὐκ ἔχει κωλύμην τινὰ τὸ, περὶ οὗ γέγονεν ἡ γραφὴ, »συνάλλαγμα· ἤκουσε δὲ ἐκ ταύτης, καὶ ἐκ τῆς παρουσιαζούσης »τῶν ἀδελφῶν ὁμηγύρεως, ὅτι τὸ τοιοῦτον συνάλλαγμα παν»ταχόθεν ἀκώλυτόν ἐστιν. Ἐπεὶ γὰρ ἡ μετὰ Ἰωάννου τελεσθεῖσα »μνηστεία, ὡς ἀνυπόστατος λύεται διὰ τὴν τῆς Εἰρήνης ἀνη»βότητα, καλῶς ἡ Εἰρήνη δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ κατὰ νόμον »γάμου συζευχθήσεται· οὔτε γὰρ συγγενικὸν πρόσωπον τῇ Εἰ»ρήνῃ λογίζεται ὁ Θεόδωρος, οὔτε τοῖς ἐξ ἀγχιστείας δεσμοῖς »καὶ ὅροις συσφίγγεται, διὰ τὸ ὑπερβῆναι τὸν ἐξ ἀγχιστείας »βαθμόν.

Τοιαύτης οὖν τῆς συνοδικῆς ἀποφάσεως ἐξενεχθείσης περὶ τοῦ ἀνατεταγμένου συναλλάγματος, οὐ κωλυθήσεται καὶ ὁ πορνικῶς συναφθεὶς γυναικὶ, λαβεῖν εἰς γυναῖκα νόμῳ γάμου τὴν δισεξαδέλφην αὐτοῦ· ὅτι μηδὲ γάμον εἶναι τὴν πορνείαν, μηδὲ γάμου ἀρχὴν, ὁ μέγας γνωματεύει Βασίλειος, ἀλλ' ἁμάρτημα ἐπιτιμί-

αις ἐκκλησιαστικοῖς ὑποκείμενον· καὶ ὅτι εἰς τὸν ἐξ ἀγχιστείας ἕβδομον τὸ τοιοῦτον συνάλλαγμα περιΐσταται, καὶ ὃς δὴ ἐκ τεσσάρων καὶ τριῶν, δηλονότι πρωτεξαδέλφων μὲν ἐξ ἑτέρου γένους, θείας δὲ καὶ ἀνεψιᾶς ἐξ ἑτέρου· καὶ ἐκ πέντε καὶ δύο, ἤγουν πρώτου ἐξαδέλφου καὶ ἀνεψιοῦ ἐκ πρωτεξαδέλφου, καὶ δύο αὐταδέλφων· καὶ ἀκολούθως, ἀπὸ ἓξ καὶ ἑνός, ἤγουν δισεξαδέλφων, καὶ τοῦ ταύταις ἐξ ἑτέρου γένους συναπτομένου, συνίστασθαι πέφυκε· καὶ τὸ πλέον, ὅτι οὐδὲ τοῖς ἀπηγορευμένοις ὡς ἀθεμίτοις συντάττεται, κατὰ τὴν τοῦ ἀναπεφωνημένου νδ'. κανόνος τῆς οἰκουμενικῆς ἕκτης συνόδου περίληψιν· διά γε μὴν τὴν πορνείαν, ὀφείλει ὁ περὶ οὗ ὁ λόγος ἀνὴρ, δι' ἔργων ἑαυτὸν καθάραι, τῶν δυναμένων ἐξιλεοῦσθαι τὸν τοὺς μετανοῦντας δεχόμενον, καὶ ἐπὶ κακίαις ἀνθρώπων μετανοούντων φιλάνθρωπον κύριον.

ΝΙΚΗΤΑ ΗΡΑΚΛΕΙΑΣ (1).

ΝΙΚΗΤΑ, ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΗΡΑΚΛΕΙΑΣ,

Ἀποκρίσεις πρὸς Κωνσταντῖνον ἐπίσκοπον.

Ἐρώτησις.

Τοὺς εἰς δεύτερον συνοικέσιον ἐρχομένους, εἰ δεῖ λαβεῖν τὴν τοῦ διγάμου εὐχὴν παρὰ τοῦ κατὰ χώραν ἀρχιερέως;

Ἀπόκρισις.

Ἡ μὲν ἀκρίβεια, τοὺς διγάμους οὐκ οἶδε στεφανοῦν, ἡ δὲ ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ συνήθεια τὰ τοιαῦτα οὐ παρατηρεῖται, ἀλλὰ καὶ τοῖς διγάμοις τοὺς νυμφικοὺς στεφάνους ἐπιτίθησι· καὶ οὐδεὶς οὐδέ ποτε διὰ τοῦτο ἐνεκλήθη· ὥστε οὐδέ τις φοβηθήσεται τὸ ἐπίκλημα, τοὺς τοιούτους στεφανώσας. Πλὴν, ὀφείλουσιν ἕνα ἢ καὶ δεύτερον ἐνιαυτὸν κωλυθῆναι τῆς τῶν ἁγίων μυστηρίων μεταλήψεως· καὶ οὐδὲ τὸν ἱερολογήσαντα χρὴ συνεστιαθῆναι τούτοις.

Ἐρώτησις.

Εἰ δεῖ κόρην λαβεῖν ἕτερον ἄνδρα, τοῦ ἀνδρὸς αὐτῆς ἀπάραντος εἰς ἀλλοδαπὴν χώραν, κἀκεῖσε παλλακὴν κτησαμένου, καὶ αὐτῆς προσκαρτερησάσης τὴν τοῦ ἀνδρὸς ἄφιξιν χρόνους τρεῖς.

Ἀπόκρισις.

Ὁ τοιοῦτος, τῆς μὲν παλλακῆς ἀποστήσεται, τῆς δὲ γυναικὸς οὐ χωρισθήσεται· ἀλλὰ καὶ αὐτὴ πρὸς ἕτερον γάμον οὐκ ἀπονεύσει· ἐλευθέρα γάρ ἐστιν (ὥς φησιν ὁ Ἀπόστολος) ἀποθανόντος τοῦ ἀνδρὸς, ζῶντος δὲ, οὐκέτι. (2)

Ἐρώτησις.

Κόρη τις ἀνελάβετο ἄνδρα, καὶ γέγονεν εὐχὴ μνηστείας καὶ ἱερολογία, ἄνευ τῆς συναφείας· εἶθ' οὕτω περιέπεσεν ὁ ἀνὴρ εἰς τὴν αὐτοῦ πενθερὰν, καὶ ἐνεγάστρωσε ταύτην· τί δεῖ ποιεῖν;

---

(1) Νικήτας ὁ Ἡρακλείας ἔζη περὶ τὰ μέσα τῆς ιγ'. ἑκατονταετηρίδος, ἐπὶ τοῦ βασιλέως Μιχαὴλ τοῦ Παλαιολόγου. (Ὅρα Παχυμέρην ἐν βίῳ Μιχαὴλ τοῦ Παλαιολόγου, Βιβλ. Ϛ', κεφ. 15.) — (2) Γαλ. Ζ', 9. — ά. Κορ. Ζ', 39.

Ἀπόκρισις.

Περὶ ταύτης τῆς ὑποθέσεως καὶ πρότερον ἀπεκρίθημεν, καὶ νῦν δὲ τὸ παριστάμενον ἡμῖν ἀποκρινούμεθα· ὅτι ὁ ἀνὴρ τὴν ἑαυτοῦ μὲν γυναῖκα ἔχειν συγχωρηθήσεται, τῆς δὲ πενθερᾶς μακρυνθήσεται, διὰ τὴν φαύλην συνήθειαν· ἵνα μὴ ὑπὸ ταύτης καὶ ἔτι ἕλκηται.

Ἐρώτησις.

Ἐάν τις γυνὴ, τεκοῦσα παιδίον, διαβάλλῃ ἱερέα, ὡς ἐξ αὐτοῦ τεκοῦσα τοῦτο, τί δεῖ γενέσθαι, ἀπορίας οὔσης ἀποδείξεων; Ἐκτελέσει τὸν ὅρκον ἡ γυνὴ, καὶ κινδυνεύσει εἰς τὸν βαθμὸν ὁ ἱερεύς;

Ἀπόκρισις.

Τὰ ἐγκλήματα οὐ διὰ συκοφαντικοῦ καὶ τελείου λύονται, ἀλλὰ διὰ φωνῆς μαρτύρων ἀδιαβλήτων ὅρκῳ πιστουμένης ἀποδείκνυνται· τῇ δὲ πόρνῃ οὐδαμῶς προσεκτέον· ἀλλ' ἐάσθω ὁ ἱερεὺς τῇ τοῦ Θεοῦ κρίσει, καὶ αὐτὸς ποιήσει τὴν ἐκδίκησιν ἐν τάχει.

Ἐρώτησις.

Γυνή τις χήρα ἔχουσα αὐταδέλφην τεκοῦσαν δύο παῖδας ἄρρενας, γέγονεν ἀνάδοχος ἀπὸ τοῦ ἁγίου βαπτίσματος Κωνσταντίνου στρατιώτου· πειρᾶται γοῦν ἡ ἀδελφὴ τῆς χήρας Μαρία ἀναλαβέσθαι εἰς ἕνα τῶν ἑαυτῆς υἱῶν θυγατέρα τοῦ Κωνσταντίνου;

Ἀπόκρισις.

Οὐ κωλύεται ἡ Μαρία, θυγατέρα τοῦ Κωνσταντίνου, ὃν ἡ αὐταδέλφη αὐτῆς ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀνεδέξατο, υἱῷ αὐτῆς ἁρμόσαι· καὶ γενέσθω τὸ τοιοῦτον συνάλλαγμα.

Ἐρώτησις.

Εἰ τὸν ἐκ διγάμων τεχθέντα δεῖ γενέσθαι ἱερέα.

Ἀπόκρισις.

Ὁ ἐκ διγάμων, ἢ τριγάμων, ἢ πολυγάμων ἀποτεχθεὶς, ἐὰν τὸν οἰκεῖον βίον καλῶς διεξάγῃ, οὐ κωλύεται ἱερωθῆναι· οὐ γὰρ προκριματίζεται διὰ τοὺς γονεῖς (1).

(1) ὅρα Ἐρώτησιν Μάρκου Ἀλεξανδρείας, καὶ ἀπόκρισιν Βαλσαμῶνος ξδ'. Τόμ. Δ'. τοῦ παρόντος συντάγματος σελ. 493.

ΝΙΚΗΤΑ ΘΕΣΣΑΛΟΝΙΚΗΣ (1).

ΥΠΟΜΝΗΣΙΣ ΠΡΟΣ ΤΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Κυρὸν Νικήταν τὸν Μιτυληναῖον, περὶ δούλων, ἵνα ἱερολογῶνται(2).

Δέσποτα μου ἅγιε, ἐν τῷ κόσμῳ τὴν οἴκησιν ποιούμενος, καὶ τῶν προσερχομένων μοι τοὺς λογισμοὺς ἀναδεχόμενος, εὗρον ἐξ αὐτῶν τινας, δούλους καὶ δουλίδας ἔχοντας, καὶ τοὺς δούλους αὐτῶν ἐκτὸς ἱερολογίας πορνικῶς συναφθέντας. Τῇ δὲ δευτέρᾳ διατάξει τοῦ μεγάλου Παύλου ἐντυχὼν, τῇ λεγούσῃ, »Εἰ καὶ ἐθνικοῦ εἴη οἰκέτης, διδασκέσθω εὐαρεςεῖν τῷ δεσπότῃ, »ἵνα μὴ βλασφημῆται ὁ Λόγος· καὶ εἰ μὲν οὖν ἔχει γυναῖκα, »ἢ γυνὴ ἄνδρα, διδασκέσθωσαν ἀρκεῖσθαι αὐτοῖς· εἰ δὲ ἄγαμοί »εἰσι, μανθανέτωσαν μὴ πορνεύειν, ἀλλὰ γαμεῖν νόμῳ· εἰ δὲ »ὁ δεσπότης αὐτοῦ πιςὸς ὢν, καὶ εἰδὼς ὅτι πορνεύει, οὐ δίδωσιν αὐτῷ γυναῖκα, ἢ τῇ γυναικὶ ἄνδρα, ἀφοριζέσθω (3)·» ταύτῃ, ὡς εἴρηται, ἐντυχὼν, παρῄνεσα τοῖς δεσπόταις, εὐλογῆσαι τοὺς οἰκέτας αὐτῶν· ἀλλὰ καὶ αὐτὴν τὴν διάταξιν ὑπέδειξα αὐτοῖς· οἱ δὲ, τὴν μὲν διάταξιν τοῦ Ἀποστόλου ἐδέξαντο, ὡς ἁγίαν, καὶ Θεῷ φίλα λέγουσαν, ἀπελογοῦντο δὲ, ὅτι φοβούμεθα, εἰ πεισθῶμεν τῇ διατάξει εὐλογῆσαι τοὺς δούλους, μήπως ἐλευθερωθῶσιν ἀπὸ τῆς εὐλογίας, καὶ στερηθῶμεν τῆς αὐτῶν δουλείας. Ταῦτα τούτων λαλούντων, ἤμην πάλιν ἐναγώνιος πρὸς τὸ προκείμενον· καὶ ὅμως πολλὰ σπουδάσας, εὗρον καὶ τοῦ τρισμακαρίστου βασιλέως κυροῦ Ἀλεξίου νεαρὰν, κελεύουσαν εὐλογεῖσθαι τοὺς δούλους, καὶ μένειν αὐτοὺς πάλιν δούλους καὶ μετὰ τὴν εὐλογίαν· ὑπέδειξα οὖν ταύτην αὐτοῖς· οἱ δὲ πάλιν ἀπελογοῦντο, μὴ εἶναι ταύτην τὴν

(1) Νικήτας ὁ Μιτυληναῖος, ἀρχιεπίσκοπος Θεσσαλονίκης, ἔζη μετὰ τὰ μέσα τῆς ιγ΄. ἑκατονταετηρίδος. — (2) Περὶ τῆς αὐτῆς ὑποθέσεως βλέπε καὶ Πέτρον Χαρτοφύλακα σελ. 371 τοῦ παρόντος Τόμου, καὶ Νικηφόρον Χαρτοφύλακα σελ. 400 αὐτόθι, — (3) Τόμ. Δ΄. σελ. 399, διάτ. β΄. καὶ γ΄.

νομοθεσίαν τοῦ μακαρίτου βασιλέως. Μὴ ἔχων οὖν τί ποιῆσαι, δέομαι τῆς σῆς ἁγιωσύνης, ἵνα, εἰ ἀληθῶς ἡ τοιαύτη νεαρὰ παρ' ἐκείνου γέγονεν, ὄπισθεν ἐπικυρωθῇ δι' ἐπιγραφῆς σῆς, καὶ ὑπογραφῆς διὰ τῆς ἁγίας χειρός σου, πρὸς σύστασιν καὶ πληροφορίαν τῶν ἀπιστούντων αὐτῇ, καὶ ὠφέλειαν πολλῶν. Ἔτι δέομαι μαθεῖν παρὰ τῆς ἁγιωσύνης σου, τί ὀφείλω ποιῆσαι εἰς τοὺς πρὸς ἕνα ἔχοντας οἰκέτην· ὁ μὲν γὰρ ἔχει ἕνα δοῦλον, καὶ μὴ δυναμένου τοῦ δεσπότου ἐξωνήσασθαι καὶ δούλην, πορνεύει ὁ δοῦλος ἀπολελυμένως ἔξω· ὁ δὲ, δούλην, καὶ μὴ δυναμένου ὠνήσασθαι καὶ δοῦλον τοῦ δεσπότου, πορνεύει καὶ αὐτὴ ὁμοίως· καὶ αἰτῶ μαθεῖν τὴν σὴν οἰκονομίαν, καὶ τίς ἡ θεραπεία τῶν τοιούτων· καὶ εἰ ἄξιόν ἐστι τοὺς δεσπότας αὐτῶν, μετὰ τὴν κρίσιν τῆς Ἐκκλησίας μὴ ποιήσαντας διόρθωσιν, προσφέρειν δῶρον τῷ Θεῷ· καὶ εἰ ἐνδέχεται τὸν ἱερέα δέχεσθαι τὰ τούτων δῶρα, καὶ μάλιστα, ὅτε αἱ πορνεύουσαι τὰς προσφορὰς ζυμώσουσιν.

ΛΥΣΙΣ ΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Κυροῦ Νικήτα τοῦ Μιτυληναίου.

Τις μὲν εἶ, ἄνθρωπε, ἀγνοῶ, ὁ ταῦτα ἐπερωτῶν ἐκ μακροῦ διαστήματος, μήτε ἰδών σε, μήτε ἐντυχών σοι· ἐξ ἀνάγκης δὲ, ἃ διαλαμβάνει ἡ ὑπόμνησίς σου σφάλματα, διορθωτέα εἰσί· καὶ ἀποδέχομαί σου τὴν περὶ τούτων ἐρώτησιν, ὅτι τὰ ἁμαρτήματα τῶν ὑπηρετούντων τοῖς δεσπόταις, εἴτε δοῦλοί εἰσιν, εἴτε ἐλεύθεροι, καὶ μᾶλλον εἰ δοῦλοι, ἢ ὅλως ὑπεξούσιοι, ἐπὶ τοὺς οἰκοδεσπότας φέρονται, εἴ γε μὴ παντοίως φροντίζοι τις τῆς τούτων διορθώσεως· καὶ εἰ μέν εἰσιν ἀφανῆ, τῷ Θεῷ δώσει λόγον ὁ πράττων· εἰ δὲ φανερὰ, αὐτὸς ὁ οἰκοδεσπότης· ὃς καὶ ὀφείλει τῇ κατὰ τόπον Ἐκκλησίᾳ ταῦτα φανεροῦν, ἵνα ὁ ἐπίσκοπος, καὶ οἱ ἐκεῖσε ἱερεῖς, καὶ μοναχοὶ, περὶ τῆς τούτων διορθώσεως ἀγωνίζωνται· τότε γὰρ ὁ οἰκοδεσπότης, εἴπερ ἀμελοίη ὑπομνησθεὶς, καὶ οὐχὶ τὰ παρ' ἑαυτοῦ πάντα ποιοῖ πρὸς διόρθωσιν, ἐπιτιμητέος ἐστὶ κατὰ τὴν αὐτοῦ τάξιν, καὶ ἀφοριστέος. Ὅτε γοῦν οἱ δοῦλοι καὶ αἱ δουλίδες τινὸς πορνεύουσι, καὶ εἴδησιν λαμβάνων ὁ κύριος αὐτῶν, οὐ παντοίως διορθοῦται·

τὸ τοιοῦτον ἁμάρτημα, καὶ ἐπιτρέπει αὐτῶν τὴν ἱερολογίαν, ἀφορισμοῦ ἐστιν ἄξιος κατὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας, καθὼς καὶ αὐτὸς ἠκριβολογήσω. Ἐκεῖνο δὲ μάτην ὑποπτεύεται παρὰ τῶν δεσποτῶν, ὅτι, ἐὰν συγχωρηθῶσιν οἱ δοῦλοι ἱερολογηθῆναι μετὰ γυναικῶν νομίμων, ἢ αἱ δουλίδες μετὰ ἀνδρῶν, τοὺς οἰκείους οἰκέτας ἀπολέσουσιν, ὡς τῆς ἱερολογίας ἁρπαζούσης αὐτοὺς εἰς ἐλευθερίαν· ταύτην γὰρ τὴν ὑποψίαν ἀνεῖλεν ὁ ἀοίδιμος βασιλεὺς κυρὸς Ἀλέξιος διὰ νεαρᾶς, ἣν καὶ αἱ Ἐκκλησίαι ἐδέξαντο(1). Καὶ λοιπὸν, ἵνα μὴ πορνεύωσιν οἱ δοῦλοι, ἐδέχθη τὸ ἱερολογεῖσθαι τὰ δουλικὰ πρόσωπα, καὶ μένειν πάλιν ὑπὸ τὴν δουλείαν· καὶ οὐδεμίαν ἔχουσιν οἱ δεσπόται πρόφασιν εἰς τὸ μὴ συζευγνύειν τοὺς οἰκείους δούλους νομίμως ταῖς δούλαις γυναιξὶ, καὶ τὰς δουλίδας ἀνδράσι δούλοις μετὰ ἱερολογίας· καὶ εἰ μὴ τοῦτο ποιοῦσιν, ὑπεύθυνοί εἰσι τοῖς κανονικοῖς ἐπιτιμίοις, ἤγουν ἀφορισμοῖς καὶ ἀκοινωνησίαις· τῶν δὲ τοιούτων, οὐδὲ αἱ προσφοραὶ δεκταὶ, ἕως ἂν διορθώσωνται. Ἀλλὰ καὶ οἱ ἐπιτετραμμένοι ἐπιτηρεῖν τὰ τοιαῦτα καὶ διορθοῦν, εἰ μὴ τοῦτο ποιοῦσι, καὶ αὐτοὶ τοῖς ἱεροῖς κανόσιν ὑπεύθυνοι γίνονται. Εἰ δέ τις εὐπορεῖ ἑνὸς δούλου ἢ δουλίδος, ἀπορεῖ δὲ ἕτερον κτήσασθαι πρὸς τὸ συζεῦξαι αὐτὸν, καὶ διὰ τοῦτο ἀνέχεται πορνεύειν ὃν ἔχει, ἢ ἣν ἔχει ὑπὸ τὴν ἰδίαν ἐξουσίαν, ἔστω ὡς τοῦτο οὐκ ἐκβάλλει αὐτοὺς τῆς ἐκκλησιαστικῆς καὶ κανονικῆς ἐπιτιμήσεως· ἀλλὰ καὶ αὐτὸς παντοίως ἀπαιτεῖται διδάξαι τὸν οἰκεῖον οἰκέτην σωφρονεῖν, ἢ κωλῦσαι τὴν πορνείαν διὰ τρόπου παντὸς, γάμῳ ὁπωσδήποτε συζεύξας τὸ πορνεῦον πρόσωπον, καὶ οὕτως ἔσται ἀνεύθυνος. Μηνὶ Σεπτεμβρίῳ, ἐπινεμήσεως ιά.

Ὁ μητροπολίτης Θεσσαλονίκης, ΝΙΚΗΤΑΣ.

(1) Ζήτει αὐτὴν παρὰ Βαλσαμ. Τόμ. Β΄. σελ. 500.

ΑΡΜΕΝΟΠΟΥΛΟΥ (1).

ΑΡΜΕΝΟΠΟΥΛΟΥ ΠΕΡΙ ΑΙΡΕΣΕΩΝ.

Α'. ΑΡΕΙΑΝΟΙ.

Οἱ περὶ τὸν Ἄρειον, κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ λέγοντες, τὸ, Ἔμπροσθέν μου γέγονεν, ὅπερ Ἰωάννης ὁ Εὐαγγελιστὴς ἐκ προσώπου λέγει τοῦ Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου(2), ἀντὶ τοῦ, πρὸ ἐμοῦ ἐκτίσθη, παρεξηγοῦνται· ἐλέγχονται δὲ κακῶς φρονεῖν, ἐκ τοῦ μετ' αὐτὸ, Διότι πρῶτός μου ἦν· τοὐναντίον γὰρ πάντως εἰπεῖν ὤφειλεν, ὅτι πρῶτός μου ἐστὶ, διότι πρῶτός μου γέγονεν. Ἀλλ' ἡμεῖς τὸ, Ἔμπροσθέν μου γέγονεν, ἀντὶ τοῦ, ἐνδοξότερος καὶ προτιμότερός μου γέγονεν, ὀρθῶς φρονοῦντες νοοῦμεν. Ἐλέγχονται δὲ καὶ ἐξ ἄλλων πολλῶν, καὶ ἐκ τοῦ εἰπεῖν τὸν αὐτὸν Ἰωάννην· Ἐν ἀρχῇ ἦν ὁ Λόγος, ὅπερ ἐστὶν ἐξ ἀρχῆς, καὶ Θεὸς ἦν ὁ Λόγος. Οἱ αὐτοὶ καὶ τὸ, Πάντα δι' αὐτοῦ ἐγένετο(3), ὡς δι' ὀργάνου τινὸς ἐνόησαν, πρίονος τυχὸν, ἢ ἑτέρου τοιούτου· ἀλλ' ἡμεῖς ὡς δι' υἱοῦ φαμεν τὸν βασιλέα τήνδε τυχὸν κτίσαι τὴν πόλιν, οὕτω καὶ τοῦτο νοοῦμεν. Οἱ αὐτοὶ καὶ μονογενῆ τὸν Υἱὸν τοῦ Θεοῦ λέγουσιν, ὡς μόνον γενόμενον ὑπ' αὐτοῦ, ὡς τῶν ἄλλων ὑπ' αὐτοῦ τάχα τοῦ Χριστοῦ γενομένων· ἡμεῖς δὲ μονογενῆ τοῦτόν φαμεν, ὡς μόνον ἀῤῥήτως ἐξ αὐτοῦ πρὸ τῶν αἰώνων ἁπάντων γεγεννημένον. Καὶ ἄλλα πολλὰ τοιαῦτα παρεξηγοῦνται, τὴν οἰκείαν αἵρεσιν συνιστῶντες.

Β'. ΜΑΚΕΔΟΝΙΑΝΟΙ.

Οἱ περὶ τὸν Μακεδόνιον, δοῦλον καὶ κτίσμα τὸ πανάγιον λέγοντες Πνεῦμα, καὶ τὸ παρὰ τῷ Ἰωάννῃ ῥητὸν, τὸ φάσκον, Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν (4), ἐνταῦθα στίξαντες, ἀπ' ἄλλης ἀρχῆς λέγουσιν, Ὃ γέγονεν ἐν αὐτῷ, ζωὴ ἦν(5), περὶ τοῦ ἁγίου

(1) Ἀρμενόπουλος, διάσημος νομικὸς, καὶ συγγραφεὺς τῆς Ἑξαβίβλου, καὶ τῆς Ἐπιτομῆς τῶν ἱερῶν κανόνων, ἔζη κατὰ τὴν ιδ'. ἑκατονταετηρίδα. Διετέλεσε κριτὴς Θεσσαλονίκης, καὶ νομοφύλαξ. — (2) Ἰω. Α', 27. — (3) Ἰω. Α', 3. — (4) αὐτ. — (5) Ἰω. Α', 4.

Πνεύματος τοῦτο νοοῦντες· ἡμεῖς δὲ ἀναγινώσκοντες, ὡς ἐν ἀρχῇ προτέτακται, περὶ τοῦ Υἱοῦ τὸ ὅλον εἰρῆσθαι νοοῦμεν.

Γ'. ΣΑΒΕΛΛΙΑΝΟΙ.

Οἱ περὶ τὸν Σαβέλλιον, τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα, τὰς τρεῖς ὑποστάσεις, καὶ τὰ τρία πρόσωπα τῆς μακαρίας θεότητος, μίαν ὑπόστασιν, καὶ ἓν πρόσωπον ἐδογμάτιζον, ποτὲ μὲν ὡς Πατέρα, ποτὲ δὲ ὡς Υἱὸν, ἔστι δ' ὅτε, καὶ ὡς Πνεῦμα φαινόμενον. Ἐλέγχονται δὲ ἐκ τοῦ εἰπεῖν Ἰωάννην, Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν (1), ἀντὶ τοῦ, μετὰ Θεοῦ, δύο προσώπων ἐντεῦθεν εἰσαγομένων· καὶ ἐξ ἄλλων πολλῶν εὐαγγελικῶν ῥήσεων.

Δ'. ΑΠΟΛΙΝΑΡΙΑΝΟΙ.

Οἱ περὶ τὸν Ἀπολινάριον τὸν Λαοδικέα, ἄνουν σάρκα καὶ ἄψυχον προσειληφέναι τὸν Κύριον λέγουσιν, ὡς, ἀντὶ νοῦ καὶ ψυχῆς, ἀρκούσης αὐτῷ τῆς θεότητος· παρεξηγούμενοι τὸ, Καὶ ὁ Λόγος σὰρξ ἐγένετο (2)· μὴ εἰδότες, ὡς ἡ θεία Γραφὴ σάρκα τὸν ἄνθρωπον ὀνομάζει, ὡς ἔχει καὶ τὸ, Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ (3)· οἱ αὐτοὶ καὶ ἐκ τοῦ, Λύσατε τὸν ναὸν τοῦτον (4), συνηγορίαν ἑαυτοῖς πεποιήκασιν, οὕτω λέγοντες· Εἰ ναὸς ἡ σὰρξ τοῦ Κυρίου λέγεται, ἄψυχος δὲ ὁ ναὸς, ἄψυχος ἄρα καὶ αὕτη. Οἱ αὐτοὶ καὶ τὴν σάρκα ταύτην ἐκ τοῦ οὐρανοῦ λέγουσι τὸν Κύριον ἔχοντα, ὡς διὰ σωλῆνος, οὕτως ἐλθεῖν διὰ τῆς Παρθένου, ἐκ τοῦ, Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰμὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ὢν ἐν τῷ οὐρανῷ (5), τοῦτο δῆθεν πιστούμενοι· μὴ εἰδότες, ὡς διὰ τὸ ἐν δύο φύσεσι μίαν ὑπόστασιν τὸν Χριστὸν ἔχειν, οὕτως εἴρηται τοῦτο.

Ε'. ΕΥΤΥΧΙΑΝΟΙ.

Οἱ περὶ τὸν Εὐτυχῆ καὶ Διόσκορον, κατὰ φαντασίαν ἔλεγον τὸν Υἱὸν τοῦ Θεοῦ ἄνθρωπον γεγονέναι, μίαν ἔχοντα φύσιν· οὐκ οἶδ' ὅπως νοοῦντες τὸ παρὰ Ἰωάννῃ, Καὶ ὁ Λόγος σὰρξ ἐγένετο (6), καὶ ἄλλα τοιαῦτα πολλά.

(1) Ἰω. Α', 1. — (2) Ἰω. Α', 14. — (3) Λουκ. Γ', 6. — (4) Ἰω. Β', 19. — (5) Ἰω. Γ', 13. — (6) Ἰω. Α', 14.

ϛ'. ΠΑΥΛΙΑΝΟΙ.

Οἱ περὶ Παῦλον τὸν Σαμοσατέα, ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ἔλεγον, θείας χάριτος, καθάπερ οἱ Προφῆται, κατηξιωμένον. Ἐλέγχονται δὲ ἐκ τοῦ τὸν Βαπτιστὴν Ἰωάννην εἰπεῖν, Ὅτι πρῶτός μου ἦν(1), κατὰ τὴν προαιώνιον ὕπαρξιν δηλαδή· ἐπειδήπερ ὁ Βαπτιστὴς κατὰ σάρκα πρότερος ἦν τοῦ Χριστοῦ. Οἱ αὐτοὶ καὶ τὸ, Ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστὶ, μὴ θαυμάζετε τοῦτο(2), οὕτως ἀναγινώσκουσι· Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν· ἐνταῦθα στίξαντες, ἀπ' ἄλλης ἀρχῆς αὖθις ἀναγινώσκουσι· Μὴ θαυμάζετε τοῦτο.

Ζ'. ΝΕΣΤΟΡΙΑΝΟΙ.

Οἱ περὶ τὸν Νεστόριον, τὸν Χριστὸν ἔλεγον συνημμένον ἀδιασπάστως ἑαυτῷ τὸν τοῦ Θεοῦ Λόγον δι' ἀρετὴν ἔχειν, ὡς δύο υἱοὺς ἐν αὐτῷ θεωρεῖσθαι, ἕνα τὸν τοῦ Θεοῦ, καὶ ἕνα τὸν τῆς Παρθένου· καὶ διὰ τοῦτο καὶ Χριστοτόκον, ἀλλ' οὐ Θεοτόκον, τὴν ὄντως ἔλεγον Θεοτόκον. Ἐλέγχονται δὲ καὶ αὐτοὶ ἐξ ἄλλων τε πολλῶν, καὶ ἐκ τοῦ, Καὶ ὁ Λόγος σὰρξ ἐγένετο (3).

Η'. ΜΟΝΟΘΕΛΗΤΑΙ.

Οἱ περὶ Σέργιον καὶ Πύῤῥον, μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ ἔλεγον, τοῦ ἐκ δύο φύσεων πεφυκότος.

Θ'. ΩΡΙΓΕΝΕΙΑΣΤΑΙ.

Οἱ περὶ Ὠριγένην, προΰπαρξιν τῶν ψυχῶν κατὰ τοὺς Ἕλληνας ἐδογμάτιζον, καὶ τέλος τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο, καὶ τὰς ψυχὰς γυμνὰς τῶν σωμάτων ἀνίστασθαι.

Ι'. ΘΕΟΠΑΣΧΙΤΑΙ.

Οἱ περὶ Πέτρον τὸν Κναφέα, τῷ τρισαγίῳ προσέθηκαν τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς· παθητὴν τὴν ἀπαθῆ ποιοῦντες θεότητα.

(1) Ἰω. Α', 15, 30. = (2) Ἰω. Ε', 27. = (3) Ἰω. Α', 14.

ΙΑ'. ΜΑΝΙΧΑΙΟΙ.

Οι περὶ Μαρκίωνα καὶ Μάνεντα, τὴν Παλαιὰν, τοῦ πονηροῦ δημιουργοῦ λέγουσιν εἶναι νομοθεσίαν. Οἱ αὐτοὶ, καὶ ἐπειδάν τις ἀβάπτιστος παρ' αὐτοῖς ἀποθάνῃ, ὑπὸ τὴν κλίνην τοῦ τετελευτηκότος κρύψαντές τινα ζῶντα, προσιᾶσι τῇ κλίνῃ, καὶ ἐρωτῶσι τὸν νεκρὸν, εἰ βούλοιτο βαπτισθῆναι, καὶ ἀποκρίνεται κάτωθεν ὁ κεκρυμμένος, ναί· καὶ οὕτως αὐτὸν ἀντὶ τοῦ ἀπελθόντος βαπτίζουσι· καὶ ἐρωτώμενοι, λέγουσι τὸν Ἀπόστολον τοῦτο διδάξαι ἐν τῷ λέγειν· Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν (1); ἀγνοοῦντες, ὡς διὰ τὸ ἐπὶ ὁμολογίᾳ τῆς τῶν νεκρῶν ἀναστάσεως, καὶ ἐπ' ἐλπίδι ταύτῃ, τοὺς βαπτιζομένους βαπτίζεσθαι, τοῦθ' οὕτως εἴρηται. Οὗτοι οἱ Μανιχαῖοι λέγουσι τὸν Χριστὸν, ἀποθέμενον ἐν τῇ γῇ τὸ σῶμα, ψιλὸν Θεὸν εἰς οὐρανὸν ἀνελθεῖν. Οἱ αὐτοὶ καὶ τὸν κόσμον πονηρὸν [λέγουσι], καὶ τὴν σάρκα διαβάλλουσι, τῆς τοῦ Θεοῦ ταύτην δημιουργίας ἀλλοτριοῦντες. Οὗτοι καὶ δύο ἀρχὰς δογματίζουσι, πονηράν τε καὶ ἀγαθὴν, ἤτοι Θεόν τε καὶ ὕλην· τὴν Παλαιὰν βλασφημοῦσι Διαθήκην· σελήνην καὶ ἀστέρας προσκυνεῖν, οἷα θεοὺς, ἐπιτρέπουσι· σαρκὸς ἀνάστασιν ἀρνοῦνται· μετεμψύχωσιν διδάσκουσι· βοτάνας, καὶ δένδρα, καὶ ὕδωρ, ἔμψυχα εἶναι φάσκουσι. Μανιχαῖοι δὲ λέγονται, ὡς πρεσβεύοντες τὰ τοῦ Μάνεντος, ὃς Παράκλητον ἑαυτὸν ἐκάλει, καὶ τὸν Χριστὸν δοκήσει καὶ φαντασίᾳ εἰσηγεῖτο πεφηνέναι.

ΙΒ'. ΦΩΤΕΙΝΙΑΝΟΙ.

Οι περὶ τὸν Μάρκελλον, καὶ Φωτεινὸν, καὶ Σωφρόνιον, τὴν ἁγίαν Τριάδα μὴ ὁμολογοῦντες, ἀλλὰ Πνεῦμα μόνον τὸν Θεὸν ὀνομάζοντες, τὸν τούτου Λόγον ἐνέργειαν ἔλεγον εἶναι, τῷ ἐκ σπέρματος Δαυὶδ ἐνοικήσασαν, οὐκ οὐσίαν ἐνυποστάτως, κακῶς φρονοῦντες· ὁ γὰρ τοῦ Θεοῦ Λόγος, οὔτε προφορικός ἐστιν, οὔτε ἐνδιάθετος· οὗτοι γὰρ, τῶν καθ' ἡμᾶς τε, ἐκ φυσικῶν· ἀλλ' ὁ ὑπὲρ φύσιν ὢν, οὐχ ὑποβάλλεται τοῖς κάτω τεχνολογήμασιν.

ΙΓ'. ΕΥΝΟΜΙΑΝΟΙ.

Οι περὶ τὸν Εὐνόμιον ταὐτὰ τῷ Ἀρείῳ καὶ Μακεδονίῳ φρο-

(1) ά. Κορ. ΙΈ, 29.

νοῦντες, καὶ τοὺς αὐτοῖς προσερχομένους κατὰ κεφαλῆς ἐβάπτιζον εἰς μίαν κατάδυσιν. Καὶ τὴν κόλασιν δὲ τὴν μέλλουσαν, καὶ τὴν γέενναν, οὐ κατὰ ἀλήθειαν, ἀλλὰ διὰ φόβον ἔλεγον ἀπειληθῆναι. Οἱ αὐτοὶ καὶ Ἀνόμοιοι καλοῦνται, διὰ τὸ λέγειν, μηδεμίαν ἔχειν ὁμοιότητα κατ' οὐσίαν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα πρὸς τὸν Πατέρα.

ΙΔʹ. ΝΑΥΑΤΙΑΝΟΙ.

Οἱ περὶ τὸν Ναυάτον, τἄλλα εὐσεβοῦντες, τὴν διγαμίαν ἐβδελύσσοντο, καὶ τοὺς παραπεσόντας, μετανοήσαντας οὐκ ἐδέχοντο.

ΙΕʹ. ΣΑΒΒΑΤΙΑΝΟΙ.

Οἱ περὶ τὸν Σαββάτιον ταὐτὰ φρονοῦντες τοῖς Ναυατιανοῖς, καὶ τοῖς Ἰουδαίοις ἦσαν συνεορτάζοντες. Οἱ αὐτοὶ καὶ Ἀριστεροὶ καλοῦνται, ὅτι τὴν ἀριστεράν εἰσι βδελυσσόμενοι χεῖρα, δι' αὐτῆς προσίεσθαι τὸ οἱονοῦν μὴ τολμῶντες. Οἱ αὐτοὶ καὶ Τεσσαρεσκαιδεκατῖται, ὅτι μὴ κατὰ τὴν Κυριακὴν, ὡς ἡμεῖς, ἀλλὰ κατὰ τὴν τεσσαρεσκαιδεκάτην τῆς σελήνης τὸ Πάσχα μετὰ Ἰουδαίων τελοῦσιν. Οἱ αὐτοὶ καὶ Τετραδῖται, ὅτι τὸ Πάσχα ἑορτάζοντες, οὐ καταλύειν, ἀλλὰ νηστεύειν αἱροῦνται, ὡς ἐν ταῖς τετράσιν ἡμεῖς, Ἰουδαίους κἀν τούτῳ μιμούμενοι, τοὺς μετὰ τὸ Πάσχα ἄζυμα καὶ πικρίδας ἐσθίοντας.

Ιϛʹ. ΜΟΥΝΤΑΝΙΣΤΑΙ.

Οἱ περὶ τὸν Μουντανὸν, ὃς ἑαυτὸν Παράκλητον προσηγόρευε, καὶ γυναῖκας εἶχε δύο παρεπομένας αὐτῷ, Πρίσκιλλαν καὶ Μαξιμίλλαν, ἃς καὶ προφήτιδας ἐκάλει, καὶ Πέπουζάν τινα, κώμην Φρυγίας, ἐκθειάζων, Ἱερουσαλὴμ ὠνόμαζεν· οὗτοι οὖν εἰς ἓν πρόσωπον τὴν ἁγίαν συναιροῦντες Τριάδα, καὶ τὸ Πάσχα διέστρεφον, καὶ αἷμα παιδὸς κατακεντουμένου ἀλεύρῳ συμφύροντες, καὶ ἀρτοποιοῦντες, προσέφερον καὶ μετελάμβανον ἐξ αὐτοῦ· καὶ τὸν γάμον ἐκώλυον, καὶ βρωμάτων τινῶν ἐδίδασκον ἀποχήν.

ΙΖʹ. ΔΟΝΑΤΙΣΤΑΙ.

Οἱ περὶ τὸν Δονάτον ὀστοῦν τῇ χειρὶ κατέχοντες, ἐκεῖνο πρότερον ἠσπάζοντο, καὶ οὕτω μετελάμβανον τῶν ἁγιασμάτων.

ΙΗ'. ΜΑΣΣΑΛΙΑΝΟΙ.

Οἱ Μασαλιανοὶ τὰ τῶν Μανιχαίων νοσοῦντες, προσεξεῦρον καὶ ἄλλ' ἄττα μιαρώτερα· τὸν γὰρ νοῦν τῶν ἀνθρώπων ὑπὸ τῶν δαιμόνων κατέχεσθαι λέγουσι· τὴν ἀνθρωπείαν φύσιν, τῶν δαιμόνων εἶναι κοινωνικήν· τὸ βάπτισμα μὴ τελειοῦν τὸν ἄνθρωπον, μηδὲ τὴν μετάληψιν, ἀλλὰ μόνην τὴν παρ' αὐτοῖς εὐχήν· φύσει εἶναι τὰ κακὰ ἐν ἡμῖν· τῆς κοινωνίας τοῦ νυμφίου αἰσθάνεσθαι τὴν ψυχήν, ὡς ἡ γυνὴ αἰσθάνεται τῆς τοῦ ἀνδρὸς συνουσίας· τὸν Σταυρὸν βδελύσσονται· τὴν Θεοτόκον οὐ τιμῶσιν, οὐδὲ τὸν Πρόδρομον καὶ Βαπτιστὴν Ἰωάννην, οὐδὲ τοὺς ὁσίους, εἰ μὴ μόνον τοὺς μάρτυρας· οἱ βουλόμενοι, ἀποτέμνονται· λύουσι τοὺς γάμους· ὀμνύουσιν ἀδεῶς· ἐπιορκοῦσιν· ἀναθεματίζουσι τὴν αἵρεσιν αὐτῶν.

Ταύτης τῆς λύμης ὑποπλησθεὶς καὶ Ἐλευθέριος ὁ Παφλαγών, προσεξεῦρε καὶ αὐτὸς ἄξια ἑαυτοῦ· τὸν μοναχὸν δυσὶ συνευνάζεσθαι γυναιξί, καὶ χρόνον ἕνα ἐγκρατευσάμενον, τοῦ λοιποῦ καὶ ταῖς συγγενέσιν ἀδεῶς χρῆσθαι, μηδὲν διαστέλλοντα.

Τὸ δὲ τῶν Μασαλιανῶν ὄνομα ἐξελληνιζόμενον, Εὐχίτας δηλοῖ· πολὺ γὰρ παρ' αὐτοῖς τὸ τῆς εὐχῆς ὄνομα, ἣν καὶ τοῖς πολλοῖς ποιοῦσιν ἀνέκφορον. Καλοῦνται δὲ ἐκ τοῦ πράγματος καὶ Ἐνθουσιασταί· δαίμονος γὰρ ἐνέργειαν λαβόντες, Πνεύματος ἁγίου εἶναι ταύτην ὑπολαμβάνουσιν· οἱ γὰρ τέλεον τὴν νόσον ταύτην εἰσδεδεγμένοι, ἀποστρέφονται μὲν τὴν τῶν χειρῶν ἐργασίαν, ὡς πονηράν· ὕπνῳ δὲ τὰ πολλὰ σφᾶς αὐτοὺς ἐκδιδόντες, ἐνθουσιασμὸν τὰς τῶν ὀνείρων φαντασίας καλοῦσι. Φύσει λέγουσιν εἶναι τὰ κακά, καὶ ἐν ἑκάστῳ ἀνθρώπῳ Πνεῦμά τε θεῖον συνοικεῖν καὶ δαίμονα. Τοὺς τικτομένους παῖδας ἐκ τοῦ προπάτορος ἕλκειν Ἀδάμ, ὥσπερ τὴν φύσιν, οὕτω δὴ καὶ τὴν πρὸς τοὺς δαίμονας δουλείαν, καὶ συνουσιωμένον φέρειν δαίμονα, ἑκάστῳ τούτων συνοικοῦντα καὶ κατεξουσιάζοντα· καὶ τὸ μὲν βάπτισμα ἀδυνάτως ἔχειν ἐξελαύνειν αὐτόν, ἢ τὰς ῥίζας ἀνασπᾶν τῶν ἁμαρτημάτων· μόνην δὲ τὴν ἐπιτεταγμένην αὐτοῖς εὐχὴν ἐκεῖνόν τε ἐξωθεῖν, καὶ ταύτας καθαίρειν· καὶ μετὰ τὴν γενομένην τοῖς αὐτῶν τελειοτέροις ἀπάθειαν, ἐπιφοιτᾶν αὐ-

τοῖς ὁρατῶς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τῆς τῶν παθῶν κινήσεως τὸ σῶμα ἐλευθεροῦν, ὡς μηκέτι λοιπὸν δεῖσθαι μήτε νηστείας πιεζούσης αὐτὸ, μήτε διδασκαλίας χαλινούσης, καὶ μὴ βαίνειν ἄτακτα παιδευούσης.

Τὴν ἁγίαν Τριάδα τοῖς αἰσθητοῖς λέγουσιν ὁρᾷν ὀφθαλμοῖς· κἀντεῦθεν τὰ μέλλοντα προβλέπειν. Νομοθετοῦσι μὴ δεῖν μεταδιδόναι τοῖς προσαιτοῦσιν, ἀλλ' ἑαυτοῖς καὶ μόνοις· ἑαυτοὺς εἶναι λέγοντες πτωχοὺς τῷ πνεύματι, οὓς καὶ ὁ Κύριος ἐμακάρισεν. Οἱ αὐτοὶ καὶ Οὐαλεντινιανοὶ καλοῦνται, ὅτι κατὰ τοὺς χρόνους Οὐαλεντίνου καὶ Οὐάλεντος ἡ τούτων ἐβλάστησεν αἵρεσις· λέγονται δὲ καὶ Βογόμιλοι.

ΙΘ'. ΒΟΓΟΜΙΛΟΙ.

Η τῶν Βογομίλων αἵρεσις, οὐ πρὸ πολλοῦ συνέστη τῆς καθ' ἡμᾶς γενεᾶς, μέρος οὖσα τῆς τῶν Μασαλιανῶν, καὶ συμφερομένη τὰ πολλὰ τοῖς ἐκείνων δόγμασιν, ἔστι δὲ ἃ καὶ προσεξευροῦσα, καὶ τὴν λύμην αὐξήσασα· εἴη δ' ἂν ὁ Βογόμιλος, κατὰ τὴν τῶν Μυσῶν γλῶτταν, ὁ τοῦ Θεοῦ τὸν ἔλεον ἐπισπώμενος. Οὗτοι τὰς τῆς Παλαιᾶς καὶ Καινῆς ἀθετοῦσι βίβλους, μετὰ τοῦ ἐν αὐταῖς γεγραμμένου Θεοῦ, ὡς κατ' ἐπίπνοιαν γραφείσας τοῦ Σατανᾶ, πλὴν μόνων ἑπτά· ὧν ἔστι καὶ τὸ Εὐαγγέλιον. Παρερμηνεύουσι δὲ καὶ ταύτας, καὶ βλασφήμοις ἐννοίαις καὶ μυσαραῖς πρὸς τὸ δοκοῦν αὐτοῖς μεταφέρουσιν. Ἀτιμάζουσι τὸν θεῖον Σταυρὸν, ὡς ἀναιρέτην τοῦ Κυρίου· ἔτι δὲ καὶ τὴν φρικτὴν ἱερουργίαν τοῦ Δεσποτικοῦ σώματος καὶ αἵματος, τῶν ἐνοικούντων τοῖς ναοῖς δαιμόνων θυσίαν ταύτην ἀποκαλοῦντες· λέγουσι γὰρ ἐν πᾶσι τοῖς ἱεροῖς ναοῖς τοὺς δαίμονας κατοικεῖν. Καὶ τὸ μὲν παρ' ἡμῖν βάπτισμα τοῦ Ἰωάννου λέγοντες, τὸ δὲ παρ' αὐτοῖς τοῦ Σωτῆρος, μόνην ὀνομάζουσι προσευχὴν τὸ, Πάτερ ἡμῶν· τὰς δ' ἄλλας ἀθετοῦσι, βαττολογίαν καλοῦντες. Θεοτόκους λέγουσι, τοὺς παρ' αὐτοῖς ἔνοικον κτησαμένους τὸ ἅγιον Πνεῦμα, ὡς τὸν Λόγον ἐν τῷ διδάσκειν γεννῶντας. Λέγουσιν, οὐ μόνον ὄναρ, ἀλλὰ καὶ ὕπαρ βλέπειν, τὸν μὲν Πατέρα ὡς γέροντα, καθειμένον ἱκανῶς τὴν ὑπήνην· τὸν δὲ Υἱὸν, ἄρτι τὸν ἴουλον παραμείβοντι ἐοικότα·

τὸ δὲ ἅγιον Πνεῦμα, ὡς νεανίαν δεινῶς ἐψιλωμένον τὰς παρειάς· τῶν δαιμόνων οὕτως ἐξαπατώντων αὐτοὺς, καὶ διδασκόντων ἄνισον εἶναι τὴν ἁγίαν Τριάδα, καὶ τὴν τῶν σχημάτων τούτων διαφοράν.

ΤΟΥ ΑΥΤΟΥ ΑΡΜΕΝΟΠΟΥΛΟΥ

Τῆς πίστεως ὀρθοδόξου ἔκθεσις.

ΠΙΣΤΕΥΕΙΝ δεῖ τὸν ὄντως Χριστιανὸν, ὡς αἱ ἁγίαι καὶ οἰκουμενικαὶ σύνοδοι ἐπεκύρωσαν, εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ἄναρχόν τε καὶ ἀτελεύτητον, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἀϊδίως καὶ ἀπαθῶς ἐξ αὐτοῦ τοῦ Θεοῦ καὶ Πατρὸς γεννηθέντα· φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ὁμοούσιον τῷ Πατρὶ καὶ συναΐδιον, δι' οὗ τὰ πάντα γέγονε· καὶ εἰς Πνεῦμα ἅγιον, τὸ συναϊδίως ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον, φῶς ὂν καὶ αὐτὸ, καὶ Θεὸν ἀληθινὸν, καὶ τῷ Πατρὶ καὶ Υἱῷ συναΐδιόν τε καὶ ὁμοούσιον· Τριάδα ὁμοούσιον, καὶ ὁμότιμον, καὶ ὁμόθρονον, εἰς μίαν συνιοῦσαν θεότητα. Τριάδα γὰρ ἐν μονάδι πιστεύομεν, καὶ μονάδα ἐν Τριάδι δοξάζομεν· Τριάδα μὲν, ὡς ἐν τρισὶ προσώποις καὶ ὑποστάσεσι τὴν θεότητα θεωρουμένην. μονάδα δὲ, ὡς μιᾶς ὄντα ταῦτα οὐσίας τε καὶ θεότητος, καὶ ἕνα Θεόν· ἕνα γὰρ Θεὸν πιστεύομεν, κἂν ἐν Τριάδι γινώσκηται. καὶ ἕνα Κύριον ὁμολογοῦμεν, κἂν ἐν τρισὶν ὑποστάσεσι δείκνυται· καὶ οὔτε εἰς τρεῖς θεότητας, οὔτε εἰς τρεῖς κυριότητας ἡ μία θεότης, καὶ ἡ μία κυριότης ἐκφέρεται· οὔτε μὴν ἕτερός τίς ἐστιν ὁ Θεὸς, παρὰ τὰ τρία ταῦτα πρόσωπα, ἅπερ ἐστὶν ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα, οὐκ οὐσίαις ταῦτα καὶ φύσεσιν ἀριθμούμενα, ἀλλ' ὑποστάσεσι καὶ ἰδιότησι νοεραῖς καὶ τελείαις· ἡ γὰρ παναγία Τριὰς, τοῖς προσώποις διαιρουμένη, ἀδιαίρετός ἐστι τῇ οὐσίᾳ καὶ τῇ θεότητι. Μίαν οὖν οὐσίαν, μίαν βασιλείαν, μίαν ἐξουσίαν, μίαν ἐνέργειαν, μίαν βουλὴν, μίαν θέλησιν, μίαν δεσποτείαν, μίαν κυριότητα, ἐν μιᾷ οὐσίᾳ καὶ φύσει τῆς παναγίας Τριάδος γινώσκομεν, μὴ εἰς ἓν πρόσωπον, ἢ μίαν ὑπόστασιν ταύτην συγχέοντες· διὰ

τοῦτο τέλειος Θεὸς ὁ Πατὴρ, τέλειος Θεὸς ὁ Υἱὸς, τέλειος Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἐπειδὴ τὴν αὐτὴν καὶ μίαν ἕκαστον ἀνελλιπῆ καὶ τελείαν ἔχει θεότητα· Θεὸς γὰρ, καὶ Θεὸς, καὶ Θεός· ἀλλ' εἷς τὰ τρία Θεὸς, ὡς τοῖς ὁσίοις Πατράσι κηρύττεται· οὐδὲν γὰρ κτιστὸν ἐν αὐτοῖς, ἢ δοῦλον, ἢ ἐπείσακτον, ὡς ὕστερον γεγονός. Οὕτω δὴ τοῦ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ἔχοντος λόγου, συνομολογεῖν ἀνάγκη καὶ τὰ τῆς ἐνανθρωπήσεως οὕτω μυστήρια· ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὢν ὁ τῆς ἁγίας Τριάδος εἷς, ὁ Υἱὸς τοῦ Θεοῦ, διὰ τὴν ἡμετέραν σωτηρίαν, ἑκουσίᾳ βουλῇ καὶ Θεοῦ θελήματι τοῦ γεννήσαντος, ἐπὶ γῆν κατελθὼν, ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας κατὰ ἀλήθειαν, οὐ κατὰ φαντασίαν γεγέννηται, σάρκα ἐξ αὐτῆς ἔννουν καὶ ἔμψυχον ἑαυτῷ συστησάμενος, καὶ τέλειος γεγονὼς ἄνθρωπος τέλειος ὢν Θεός· ὡς εἶναι τὸν αὐτὸν ὅλον τε Θεὸν καὶ ὅλον ἄνθρωπον, ἐκ δύο φύσεων θεότητός τε καὶ ἀνθρωπότητος, ἐν ὑποστάσει μιᾷ τὴν σύστασιν ἔχοντα ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως· καὶ διὰ τοῦτο δύο φυσικὰς θελήσεις, καὶ δύο ἐνεργείας κεκτημένον. Τοιγαροῦν οὐ δύο Υἱοὺς, ἢ δύο Χριστοὺς, ἢ δύο Κυρίους φαμὲν, ἀλλ' ἕνα Υἱὸν, τὸν αὐτὸν καὶ πρὸ τῆς ἐνανθρωπήσεως, καὶ μετὰ τὴν ἐνανθρώπησιν· ὁμοούσιον τῷ τε Θεῷ καὶ Πατρὶ, καὶ ἡμῖν τοῖς ἀνθρώποις. Διὸ καὶ τὴν ἁγίαν Παρθένον, τὴν ἀῤῥήτως αὐτὸν τέξασαν, Θεοτόκον προσαγορεύομεν, ὡς τὸν ἕνα τῆς Τριάδος τετοκυῖαν Θεόν· ὃς καὶ σταυρὸν ὡς ἄνθρωπος ὑπομείνας, ὡς Θεὸς ἀνέστη τριήμερος ἐν ἀφθάρτῳ τῷ σώματι· καὶ τοῖς μαθηταῖς πολλάκις ἐμφανισθεὶς, εἰς τὸν οὐρανὸν μετὰ σώματος ἀνελήλυθε, μέλλων πάλιν οὕτως ἐλεύσεσθαι, κρίσιν ζώντων καὶ νεκρῶν ποιησόμενος, ἀτελεύτητον βασιλείαν ἔχων, καὶ τὸ κράτος ἀπέραντον. Προσδοκητέον δὲ καὶ ἑκάστου τῶν ἀνθρώπων ἀνάστασιν μετὰ τοῦ οἰκείου σώματος ἀφθαρτισθέντος, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος, τήν τε τῶν δικαίων ἀγαλλίασιν αἰώνιον ἔχουσαν, καὶ τὴν τῶν ἁμαρτωλῶν κόλασιν ἀτελεύτητον.

ΘΡΟΝΟΙ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ.

Α'. ΤΑΞΙΣ ΠΡΟΚΑΘΕΔΡΙΑΣ ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ ΠΑΤΡΙΑΡΧΩΝ.

ά. Ὁ Ῥώμης. β'. ὁ Κωνσταντινουπόλεως. γ'. ὁ Ἀλεξανδρείας. δ'. ὁ Ἀντιοχείας. έ. ὁ Αἰλίας, ἤτοι Ἱεροσολύμων (1).

Τάξις προκαθεδρίας μητροπολιτῶν, καὶ αὐτοκεφάλων, καὶ ἐπισκόπων, τελούντων ὑπὸ τὸν Ἀποστολικὸν θρόνον ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως.

Επαρχιας Καππαδοκίας,	ὁ Καισαρείας.
ἐπαρχίας Ἀσίας,	ὁ Ἐφέσου.
ἐπαρχίας Εὐρώπης,	ὁ Ἡρακλείας Θράκης.
ἐπαρχίας Γαλατίας,	ὁ Ἀγκύρας.
ἐπαρχίας Ἑλλησπόντου,	ὁ Κυζίκου.
ἐπαρχίας Λυδίας,	ὁ Σάρδεων.
ἐπαρχίας Βιθυνίας,	ὁ Νικομηδείας.
ἐπαρχίας τῆς αὐτῆς,	ὁ Νικαίας.
ἐπαρχίας τῆς αὐτῆς,	ὁ Χαλκηδόνος.
ἐπαρχίας Παμφυλίας,	ὁ Σίδης.
ἐπαρχίας Ἀρμενίας,	ὁ Σεβαστείας.
ἐπαρχίας Ἑλενοπόντου,	ὁ Ἀμασείας.
ἐπαρχίας Ἀρμενίας,	ὁ Μελιτηνῆς.
ἐπαρχίας Καππαδοκίας,	ὁ Τυάνων, ἢ Χρισουπόλεως.

(1) Ὁ ἀρχαιότατος οὗτος κατάλογος εὕρηται ἐν τῷ Συνοδικῷ τοῦ Βευερηγίου, Τόμ. Β'. ἐν τῷ παραρτήματι σελ. 125 καὶ ἑπομ. Ὁ αὐτὸς δὲ ἀναγινώσκεται ἀπαραλλάκτως καὶ ἐν τῇ παρὰ Γοάρου ἐκδόσει Κωδινοῦ τοῦ Κουροπαλάτου, σελ. 337. Παραβαλόντες δὲ αὐτὸν πρὸς τὸν ἐν τῇ αὐτῇ ἐκδόσει τοῦ Γοάρου σελ. 365 ἕτερον κατάλογον τῶν θρόνων, ὑπεσημειώσαμεν ἐν οἰκείῳ τόπῳ τὰς ὑφισταμένας μικρὰς διαφοράς. Ἐν ταῖς σημειώσεσι ταύταις, διὰ τοῦ Β. δηλοῦται ὁ κατάλογος τοῦ Βευερηγίου, διὰ τοῦ Γ. ά. ὁ πρῶτος τοῦ Γοάρου, καὶ διὰ τοῦ Γ. β'. ὁ ἕτερος. Τὸ δὲ στοιχεῖον L. ἐμφαίνει τὸ σύγγραμμα τοῦ Lequien, Oriens Christianus.

ἐπαρχίας Παφλαγονίας,	ὁ Γαγγρῶν.
ἐπαρχίας Ὀνωριάδος,	ὁ Κλαυδιουπόλεως.
ἐπαρχίας Πόντου Πολεμωνιακοῦ,	ὁ Νεοκαισαρείας. [νουπόλεως.
ἐπαρχίας Γαλατίας,	ὁ Πισσηνοῦντος, ἤτοι Ἰουστινια-
ἐπαρχίας Λυκίας,	ὁ Μύρων.
ἐπαρχίας Καρίας,	ὁ Σταυρουπόλεως.
ἐπαρχίας Φρυγίας Καππατιανῆς,	ὁ Λαοδικείας.
ἐπαρχίας Φρυγίας Σαλουταρίας,	ὁ Συνάδων.
ἐπαρχίας Λυκαονίας,	ὁ τοῦ Ἰκονίου.
ἐπαρχίας Πισιδίας,	ὁ Ἀντιοχείας.
ἐπαρχίας Παμφυλίας,	ὁ Πέργης, ἤτοι Συλαίου.
ἐπαρχίας Καππαδοκίας,	ὁ Μωκησσοῦ.
ἐπαρχίας Λαζικῆς,	ὁ τοῦ Φάσιδος.
ἐπαρχίας Θράκης,	ὁ Φιλιππουπόλεως.
ἐπαρχίας Ῥοδόπης,	ὁ Τραϊανουπόλεως.
ἐπαρχίας Νήσων Κυκλάδων,	ὁ Ῥόδου.
ἐπαρχίας Αἱμιμόντου,	ὁ Ἀδριανουπόλεως.
ἐπαρχίας τῆς αὐτῆς,	ὁ Μαρκιανουπόλεως.
ἐπαρχίας Φρυγίας Πακατιανῆς,	ὁ Ἱεραπόλεως (1).

Μέχρι τούτων οἱ μητροπολῖται· καὶ λοιπὸν ἐντεῦθεν ἄρχονται οἱ αὐτοκέφαλοι.

ἐπαρχίας Μυσίας,	ὁ Ὀδύσσου (2).
ἐπαρχίας Σκυθίας,	ὁ Τόμης.
ἐπαρχίας Εὐρώπης,	ὁ Βιζύης.
ἐπαρχίας Παφλαγονίας,	ὁ Πομπηϊουπόλεως.
ἐπαρχίας Ἀσίας,	ὁ Σμύρνης.
ἐπαρχίας Ἰσαυρίας,	ὁ Λεοντουπόλεως.
ἐπαρχίας Ῥοδόπης,	ὁ Μαρωνείας.
ἐπαρχίας Βιθυνίας,	ὁ Ἀπαμείας.
ἐπαρχίας Ῥοδόπης,	ὁ Μαξιμιανουπόλεως.
ἐπαρχίας Γαλατίας,	ὁ τῶν Γερμίων.

(1) Σημείωσαι ὅτι ἐν τῷ κατωτέρῳ καταλόγῳ τῶν ἐπισκοπῶν προστέθειται καὶ ἑτέρα μητρόπολις ἡ τῆς Δευτέρας Γαλατίας τοῦ Ἀμορίου, μὴ ἀναφερομένη ἐνταῦθα. — (2) Ὀδύσσου, ὅστις καὶ Βάρης λέγεται Γ. Β´.

ἐπαρχίας Εὐρώπης,	ὁ Ἀρκαδιουπόλεως.
ἐπαρχίας Θράκης,	ὁ Βερόης.
ἐπαρχίας νήσου Λέσβου,	ὁ Μιτυλήνης.
ἐπαρχίας Ἑλλησπόντου,	ὁ τοῦ Παρίου.
ἐπαρχίας Καρίας,	ὁ Μιλήτου.
ἐπαρχίας Θράκης,	ὁ Νικοπόλεως.
ἐπαρχίας Νήσου,	ὁ Προικοννήσου.
ἐπαρχίας Ῥοδόπης,	ὁ Ἀγχιάλου.
ἐπαρχίας Εὐρώπης,	ὁ Σηλυβρίας.
ἐπαρχίας νήσου Λέσβου,	ὁ Μεθύμνης.
ἐπαρχίας Βιθυνίας,	ὁ τῆς Κίου.
ἐπαρχίας Εὐρώπης,	ὁ Ἄπρου.
ἐπαρχίας Ῥοδόπης,	ὁ Κυψέλων.
ἐπαρχίας Ζικχίας,	ὁ Χερσῶνος.
ἐπαρχίας τῆς αὐτῆς,	ὁ Βοσπόρων.
ἐπαρχίας τῆς αὐτῆς,	ὁ Νικόψεως.
ἐπαρχίας Ἰσαυρίας,	ὁ Κοτράδων.
ἐπαρχίας Ἑλενοπόντου,	ὁ Εὐχαΐτων (1).
ἐπαρχίας νήσων Κυκλάδων,	ὁ Καρπάθου.
ἐπαρχίας Ῥοδόπης,	ὁ Αἴνου.
ἐπαρχίας Εὐρώπης,	ὁ Δριζιπάρων ἤτοι Μεσήνης.
ἐπαρχίας Αἱμιμόντου,	ὁ Μεσημβρίας.
ἐπαρχίας Ἀρμενίας,	ὁ Ἡρακλουπόλεως, ἢ Πιδαχθόνης.
ἐπαρχίας Ἀβασγίας,	ὁ Σεβαστουπόλεως.
ἐπαρχίας Πόντου Πολεμωνιακοῦ,	ὁ Τραπεζοῦντος.
ἐπαρχίας Παφλαγονίας,	ὁ Ἀμάστριδος.
ἐπαρχίας Λυκαονίας,	ὁ Μισθείων.
ἐπαρχίας Πισιδίας,	ὁ Νεοπόλεως.
ἐπαρχίας Αἰγαίου πελάγους,	ὁ Αἰγίνης.
ἐπαρχίας Φρυγίας Σαλουταρίας,	ὁ Κοτυαείου.
ἐπαρχίας Παμφυλίας,	ὁ Σέλγης.

Ἐπαρχία Καππαδοκίας (2).

α. ὁ Καισαρείας. — β. ὁ τῶν Βασιλικῶν Θερμῶν. — γ. ὁ

(1) Παρὰ F. ά. ἀναγινώσκεται μεταξὺ Ἑλενοπόντου καὶ Κυκλάδων· ἐπαρχίας Ἀρμενίας, ὁ Ῥοίνων. — (2) Á.

Νύσης. — δ. ὁ Μεθοδιουπόλεως Ἀρμενίας(1). — ε. ὁ Καμουλιανῶν. — ς. ὁ Κισκισσοῦ.

Ἐπαρχία Ἀσίας.

α. ὁ Ἐφέσου. — β. ὁ Ὑπαίπων. — γ. ὁ Τράλλεων. — δ. ὁ Μαγνησίας πρὸς Μαίανδρον. — ε. ὁ Ἐλαίας. — ς. ὁ Ἀδραμυττίου. — ζ. ὁ Ἄσσου. — η. ὁ Γαργάρων. — θ. ὁ Μασταύρων. — ι. ὁ Καλόης. — ια. ὁ Βριούλων. — ιβ. ὁ Πιτάνης. — ιγ. ὁ Μυρίνης. — ιδ. ὁ Φωκαίας. — ιε. ὁ Αὐρηλιουπόλεως. — ις. ὁ Νύσης. — ιζ. ὁ Μασχακώμης. — ιη. ὁ Μητροπόλεως. — ιθ. ὁ Βαρέττων. — κ. ὁ Μαγνησίας (2). — κα. ὁ Ἀνινήτων. — κβ. ὁ Περγάμου. — κγ. ὁ Αναίων. — κδ. ὁ Πριήνης. — κε. ὁ Ἀρκαδιουπόλεως. — κς. ὁ Νέας Αὐλῆς. — κζ. ὁ Διὸς Ἱεροῦ (3). — κη. ὁ Ἀλγίζων(4). — κθ. ὁ Σιών. — λ. ὁ Κολοφῶνος. — λα ὁ Λεβέδου. — λβ. ὁ Τέου. — λγ. ὁ Ἐρυθρῶν. — λδ. ὁ Κλαζομενῶν. — λε. ὁ Ἀντάνδρων. — λς. ὁ Θεοδοσιουπόλεως, ἤτοι Περπερήνης. — λζ. ὁ Κύμης. — λη. ὁ Παλαιουπόλεως.

Ἐπαρχία Εὐρώπης.

α. ὁ Ἡρακλείας Θράκης. — β. ὁ τοῦ Πανίου. — γ. ὁ Καλλιπόλεως. — δ. ὁ Χεῤῥονήσου. — ε. ὁ Κοίλης. — ς. ὁ Ῥαιδεστοῦ (5).

Ἐπαρχία Γαλατίας (6).

α. ὁ Ἀγκύρας. — β. ὁ Ταβίας. — γ. ὁ Ἡλιουπόλεως (7). — δ. ὁ Ἀσπόνης. — ε. ὁ Βηρινουπόλεως. — ς. ὁ Μνίζου. — ζ. ὁ Κίννης. — η. ὁ Ἀναστασιουπόλεως.

Ἐπαρχία Ἑλλησπόντου.

α. ὁ Κυζίκου. — β. ὁ Γέρμης. — γ. ὁ Ποιμανηνοῦ. — δ. ὁ Ὤκης. — ε. ὁ Βάρεως. — ς. ὁ Ἀδριανοῦ Θηρῶν. — ζ. ὁ Λαμψάκου. — η. ὁ Ἀβύδου. — θ. ὁ Δαρδάνου. — ι. ὁ Ἰλίου. — ια. Τρωάδος. ιβ. ὁ Πιονίας. — ιγ. ὁ Μιλητουπόλεως.

Ἐπαρχία Λυδίας.

α. ὁ Σάρδεων. — β. ὁ Φιλαδελφείας. — γ. ὁ Τριπόλεως. — δ. ὁ Θυατείρων. — ε. ὁ Σετῶν. — ς. ὁ Αὐρηλιουπόλεως. —

---

(1) Ἴσως Θεοδοσιουπόλεως Ἀρμενίας. — (2) τῆς ἀνηλίου Χ. Τρ. L. — (3) ἡ Χριστουπόλεως L. — (4) Αὐγάζων Β. καὶ Γ. — (5) παρὰ δὲ Γ. β΄. καὶ αἱ ἑξῆς· Ἀδρανείας, Δυζικοῦ, Τζορύλλου, καὶ Θεοδωρουπόλεως. — (6) Γαλατίας Α΄. — (7) παρέφθαρται ἐκ τοῦ Ἰουλιουπόλεως, τῆς καὶ Βασιλείου λεγομένης. L. —

ζ. ὁ Γόρδων. — η. ὁ Τράλλεων. — θ. ὁ Σάλων. — ι. ὁ Σιλάνδου. — ια. ὁ Μαιονίας. — ιϐ. ὁ Ἀπόλλωνος ἱεροῦ. — ιγ. ὁ Τρκανίδος. — ιδ. ὁ Μοστίνης. — ιε. ὁ Ἀκρασσοῦ. — ις. ὁ Ἀπολλωνίδος. — ιζ. ὁ Ἀτταλείας. — ιη. ὁ Βάγης. — ιθ. ὁ Βαλάνδου. — κ. ὁ Μεσοτυμώλου. — κα. ὁ Ἱεροκαισαρείας. — κϐ. ὁ Δάλδης. — κγ. ὁ Στρατονικείας. — κδ. ὁ Κερασέων. — κε. ὁ Σαττάλων. — κς. ὁ Γαϐάλων. — κζ. ὁ Ἑρμοκαπηλείας.

Ἐπαρχία Βιθυνίας (1).

α. ὁ Νικομηδείας. — ϐ. ὁ Προύσης, ἤτοι Θεουπόλεως. — γ. ὁ Πραινέτου. — δ. ὁ Ἑλενουπόλεως. — ε. ὁ Βασιλινουπόλεως. — ς. ὁ τοῦ Δασκυλίου. — ζ. ὁ Ἀπολλωνιάδος. — η. ὁ Ἀδριανῶν. — θ. ὁ Καισαρείας. — ι. ὁ Γάλλου, ἤτοι Λόφων. — ια. ὁ Δαφνουσίας. — ιϐ. ὁ Ἀρίστης (2).

Ἐπαρχία τῆς αὐτῆς.

ά. ὁ Νικαίας(3). — ϐ ὁ Μοδρήνης, ἤτοι Μελίνων (4). — γ. ὁ Λινόης. — δ. ὁ τοῦ Ταΐου. — ε. ὁ Γορδοσέρϐων. — ς. ὁ Νουμερικῶν. — ζ. ὁ Μαξιμιανῶν.

Ἐπαρχία Παμφυλίας (5).

α. ὁ Σίδης. — ϐ. ὁ Ἀσπένδου. — γ. ὁ Ἐτενίας. — δ. ὁ Ὀρύμνης. — ε. ὁ Κάσσων. — ς. ὁ Σεμνέων. — ζ. ὁ Καραλλίων. — η. ὁ τοῦ Κορακησίου. — θ. ὁ Συέδρων. — ι. ὁ Μυλώνης, ἤτοι Ἰουστινιανουπόλεως. — ια. ὁ Ἀναμάνδρων. — ιϐ. ὁ Δαλισανδοῦ. — ιγ. ὁ Ἴσϐων. — ιδ. ὁ Λύρϐης. — ιδ. ὁ Κολυϐρυσσοῦ. — ιε. ὁ Μαναίων (6).

---

(1) Λ΄. — (2) τῆς καὶ Νεοκαισαρείας τῆς Βιθυνίας λεγομένης. L. — (3) Τὸ ἑξῆς σχόλιον εὕρηται παρὰ Βευερ. οὐχὶ δὲ παρὰ Γοάρῳ. — Νίκαια πόλις ἐν τῇ κατὰ Βιθυνίαν Μυσίᾳ· ἐκτίσθη ὑπὸ Λυσιμάχου ἐπὶ τῆς Ἀσκανίας λίμνης· ἐκαλεῖτο δὲ πρότερον Ἑλικόρη, καὶ ἐθαυμάζετο ὑπὸ τῶν Ἑλλήνων ἐπ' ἀνδρίᾳ καὶ εὐδαιμονίᾳ· δόλῳ δὲ ληφθείσης ὑπὸ Μυσῶν, τῶν ἀνδρῶν οἱ μὲν διεφθάρησαν, οἱ δὲ διέφυγον, καὶ ᾤκησαν τὰς παρακειμένας πόλεις, καὶ ἡ χώρα αὐτῶν κατεσκάφη· μετὰ δὲ τὴν Ἀλεξάνδρου τελευτὴν ἐκτίσθη ὑπὸ Λυσιμάχου, καὶ ὠνομάσθη Νίκαια, ἀπὸ τῆς Ἀντιπάτρου θυγατρός. Ἐκ ταύτης ὁ στωϊκὸς φιλόσοφος Ἀπολλῶ, Ἀπολλωνίου τοῦ μετὰ Δάρδανον γνώριμος· Λύκων καὶ Λύκανδρος, ὁμοίως στωϊκοὶ φιλόσοφοι· Ἱέραξ καὶ Ἡλιόδωρος, δόκιμοι γραμματικοί. — (4) Μέλης Χ. Τρ. — (5) Λ΄. — (6) ἐν Γ. ϐ΄. εὕρηται καὶ ἐπισκοπὴ Σέλγης, ἡ ἐνταῦθα ὡς ἀρχιεπισκοπὴ σημειουμένη.

Ἐπαρχία Ἀρμενίας (1).

α. ὁ Σεβαστείας. — β. ὁ Σεβαστουπόλεως. — γ. ὁ Νικοπόλεως. — δ. ὁ Σατάλων. — ε. Κολωνείας. — ς. ὁ Βηρίσσης.

Ἐπαρχία Ἑλενοπόντου.

α. ὁ Ἀμασείας. — β. ὁ Ἀμισσοῦ. — γ. ὁ Σινώπης. — δ. ὁ Ἰβόρων. — ε. ὁ Ἀνδράπων. — ς. ὁ Ζαλίχου, ἤτοι Λεοντουπόλεως. — ζ. ὁ Ζήλων.

Ἐπαρχία Ἀρμενίας(2).

α. ὁ Μελιτηνῆς. — β. ὁ Ἄρκης. — γ. ὁ Κουκουσοῦ. — δ. ὁ Ἀραβισσοῦ. — ε. ὁ Ἀριαραθείας. — ς. ὁ Κομάνων.

Ἐπαρχία Καππαδοκίας(3).

α. ὁ Τυάνων, ἤτοι Χριστουπόλεως. — β. ὁ Κυβίστρων. — γ. ὁ Φαυστινουπόλεως. — δ. ὁ Σασίμων.

Ἐπαρχία Παφλαγονίας.

α. ὁ Γαγγρῶν. — β. ὁ Ἰουνουπόλεως. — γ. ὁ Δαδύβρων. — δ. ὁ Σωρῶν (4).

Ἐπαρχία Ὁνωριάδος.

α. ὁ Κλαυδιουπόλεως. — β. ὁ Ἡρακλείας Πόντου. — γ. ὁ Προυσιάδος. — δ. ὁ Τίου. — ε. ὁ Κρατείας. — ς. ὁ Ἀδριανουπόλεως.

Ἐπαρχία Πόντου Πολεμωνιακοῦ.

α. ὁ Νεοκαισαρείας. — β. ὁ Τραπεζοῦντος. — γ. ὁ Κερασοῦντος. — δ. ὁ τοῦ Πολεμωνίου. — ε. ὁ Κομάνων.

Ἐπαρχία Γαλατίας (5).

α. ὁ Πισηνοῦντος. — β. ὁ τοῦ Μυρικίου. — γ. ὁ Εὐδοξιάδος. — δ. ὁ Πετενησσοῦ. — ε. ὁ Τροκμάδων. — ς. ὁ Γερμοκολωνείας. — ζ. ὁ Σπαλείας, ἤτοι Ἰουστινιανουπόλεως. — η. ὁ Ὀρκίστου(6).

Ἐπαρχία Λυκίας.

α. ὁ Μύρων. — β. ὁ Μασταύρων. — γ. ὁ Τελμησσοῦ. — δ. ὁ Λιμύρων. — ε. ὁ Ἀράξων. — ς. ὁ Ἀπρίλλων. — ζ. ὁ Τάτλων.

---

(1) Ἀρμενίας Α'. — (2) Ἀρμενίας Β'. — (3) Β'. — (4) παρὰ Γ. Β'. ἀναγινώσκεται καὶ ἐπισκοπὴ Ἀμάστριδος ἡ ἐνταῦθα ἀρχιεπισκοπή. — (5) Γαλατίας Β'. — (6) παρὰ Γ. Β'. ἀπαντῶνται καὶ αἱ ἐπισκοπαὶ Ἀμορίου καὶ Κλανίου· ἐν δὲ τῷ παρόντι καταλόγῳ τὸ Ἀμόριον χαρακτηρίζεται μητρόπολις.

— η. ὁ Ἀρνεῶν. — θ. ὁ Σιδύμων. — ι. ὁ Ζηνουπόλεως. — ια. ὁ Ὀλύμπου. — ιβ. ὁ Τλῶν. — ιγ. ὁ Κορυδάλων. — ιδ. ὁ Καύνου. — ιε. ὁ Ξάνθου. — ιζ. ὁ Ἀκρασσοῦ. — ιη. ὁ Μαρκιανῆς. — ιθ. ὁ Βουβῶνος, ἤτοι Σοφιανουπόλεως. — κ. ὁ Χώματος. — κα. ὁ Οἰνιάνδων. — κβ. ὁ Φέλλου. — κγ. ὁ Κανδίβων. — κδ. ὁ Φασηλίδος. — κε. ὁ Ἀντιφέλλου. — κϛ. ὁ Ἀκαλισσοῦ. — κζ. ὁ Ῥοδιουπόλεως. — κη. ὁ Λυκάνδων. — κθ. ὁ Λεβισσοῦ. — λ. ὁ Εὐδοκιάδος. — λα. ὁ Παλιωτῶν. — λβ. ὁ Κόμβων. — λγ. ὁ Πατάρων. — λδ. ὁ Βαλβούρων. — λε. ὁ Νήσσων. — λϛ. ὁ Κιανέων. — λζ. ὁ Μελοϊτῶν (1).

Ἐπαρχία Καρίας.

α. ὁ Σταυρουπόλεως(2). — β. ὁ Κιβύρας. — γ. ὁ Σίζων. — δ. ὁ Ἡρακλείας Σαλβάκης. — ε. ὁ Ἀπολλωνιάδος. — ϛ. ὁ Ἡρακλείας. — ζ. ὁ Λακύμων(3). — η. ὁ Ταβῶν. — θ. ὁ Λάρβων. — ι. ὁ Ἀντιοχείας τῆς Μαιάνδρου. — κ. ὁ Ταπασσῶν. — κα. ὁ Ἁρπάσων. — κβ. ὁ Νεαπόλεως. — κγ. ὁ Ὀρθοσιάδος. — κδ. ὁ Ἀνωτετάρτης. — κε. ὁ Ἀλλαβάνδων. — κϛ. ὁ Στρατονικείας. κζ. ὁ Ἀλίνδων. — κη. ὁ Μυλάσσων. — κθ. ὁ Ἀμύζωνος. — λ. ὁ Ἰάσσου. — λα. ὁ τοῦ Βαργυλίας. — λβ. ὁ Ἁλικαρνασσοῦ. — λγ. ὁ Ὑλαρύμων. — λδ. ὁ Κνίδου. — λε. ὁ Μετάβων. — λϛ. ὁ Μύνδου. — λζ. ὁ τοῦ Ἱεροῦ. — λη. ὁ Κινδράμων. — λθ. ὁ Κεράμων. — μ. ὁ Προμισσοῦ.

Ἐπαρχία Φρυγίας Καππατιανῆς (4).

α. ὁ Λαοδικείας. — β. ὁ Τιβεριουπόλεως. — γ. ὁ Ἀζανῶν. δ. ὁ Ἀγκυροσυνάου. — ε. ὁ Πελτῶν. — ϛ. ὁ Ἀππίας. — ζ. ὁ Κάδων. — η. ὁ Ἰκρίων. — θ. ὁ Ἰλούζων. — ι. ὁ Τρανουπόλεως. — ια. ὁ Σεβαστῆς. — ιβ. ὁ Εὐμενείας. — ιγ. ὁ Τημενοθηρῶν (5). — ιδ. Ἀγαθῆς Κώμης. — ιε. ὁ Ἀλιανῶν. — ιϛ. ὁ Τριπόλεως. — ιζ. ὁ Ἀθανασσοῦ. — ιη. ὁ Τραπεζουπόλεως. — ιθ. ὁ Σιβλίου.

---

(1) παρὰ Γ. Β΄. ἀπαντῶνται καὶ αἱ ἐπισκοπαὶ Ποδαλείας καὶ Ὀρικάνδου. — (2) ἡ Ἀφροδισιάδος. L — (3) ὁ Ἡρακλείας Λάτμου ὡς μία ἐπισκοπή, L. ὡσαύτως ἐν Χ. Τρ. Ἡρακλείας Λακίμων. — (4) ἡ Πακατιανῆς L. — (5) ἡ Τιμένου Θηρῶν.

Ἐπαρχία Φρυγίας Σαλουταρίας.

α. ὁ Συνάδων. — β. ὁ Δορυλαίου. — γ. ὁ Νακωλείας. — δ. ὁ τοῦ Μιδαείου. — ε. ὁ Ἴψου. — ς. ὁ Πρυμνήσου. — ζ. ὁ Μηροῦ. — η. ὁ Σιλάνδου (1). — θ. ὁ Φυτείας. — ι. ὁ Ἱεραπόλεως. — ια. ὁ Εὐκαρπίας. — ιβ. ὁ Λυσιάδος. — ιγ. ὁ Αὐγουστουπόλεως. — ιδ. ὁ Βρύζου. — ιε. ὁ Ὄτρου. — ις. ὁ Λυκαόνων. — ιζ. ὁ Στεκτωρίου. — ιη. ὁ Κιναβορίου. — ιθ. ὁ Κόνης. — κ. ὁ Σκορδαπίας. — κα. ὁ Νικοπόλεως. — κβ. ὁ Ἀβρόκλων (2).

Ἐπαρχία Λυκαονίας.

α. ὁ τοῦ Ἰκονίου. — β. ὁ Λύστρων. — γ. ὁ Οὐασάδων. — δ. ὁ Ἀμβλάδων. — ε. ὁ Ὁμονάδων. — ς. ὁ Λαράνδων. — ζ. ὁ Βαράτων. — η. ὁ Δέρβης. — θ. ὁ Ὕδης. — ι. ὁ Σαβάτρων. — ια. ὁ Κάννων. — ιβ. ὁ Βηρινουπόλεως. — ιγ. ὁ Γαλβάνων, ἤτοι Εὐδοκιάδος. — ιδ. ὁ Ἰλίστρων. — ιε. ὁ Πέρτων (3).

Ἐπαρχία Πισιδίας.

α. ὁ Ἀντιοχείας. — β. ὁ Σαγαλασσοῦ. — γ. ὁ Σωζουπόλεως. — δ. ὁ Ἀπαμείας. — ε. ὁ τοῦ Κιβοῦ (4). — ς. ὁ Τυριαίου. — ζ. ὁ Βάρεως. — η. ὁ Ἀδριανουπόλεως. — θ. ὁ Λιμενῶν. — ι. ὁ Λαοδικείας τῆς Κεκαυμένης. — ια. ὁ Σελευκείας τῆς Σιδηρᾶς. — ιβ. ὁ Ἀδάδων. — ιγ. ὁ Ζαρζήλων. — ιδ. ὁ Τιμβριάδος. — ιε. ὁ Τυμανδοῦ. — ις. ὁ Κονάνης. — ιζ. ὁ Μάλλου. — ιη. ὁ Σινιάνδου. — ιθ. ὁ Τιτυασσοῦ. — κ. ὁ Μητροπόλεως. — κα. ὁ Πάππων. — κβ. ὁ Παράλλης, ἤτοι Παράλλων. — κγ. ὁ τοῦ Βινδέου (5).

Ἐπαρχία Παμφυλίας (6).

α. ὁ Πέργης, ἤτοι Συλαίου. — β. ὁ Ἀτταλείας. — γ. ὁ Μαγύδου. — δ. ὁ Εὐδοκιάδος. — ε. ὁ Τερμισσοῦ. — ς. ὁ Ἰσίνδων. — ζ. ὁ Μαξιμιανουπόλεως. — η. ὁ Λαγίνων. — θ. ὁ Παλαιου-

(1) Σιβίνδου Β. καὶ Γ. α΄. β΄. — (2) παρὰ Γ. β΄. ἀπαντῶνται καὶ ἐπισκοπαὶ Κομετίου, Δοκιμίου, καὶ Πολυβότου, αἱ ἐνταῦθα τῇ Ἀμορίου μητροπόλει ἀπονεμόμεναι. — (3) καὶ ὁ Μισθείων παρὰ Γ. β΄. ἡ ἐνταῦθα Ἀρχιεπισκοπή. — (4) τῆς Κιβωτοῦ L. καὶ Γ. β΄. — (5) παρὰ Γ. β΄. ἀπαντῶνται καὶ Φιλομηλίου, καὶ Ἰουστινιανουπόλεως, ὧν ἡ πρώτη ἐνταῦθα τῇ μητροπόλει Ἀμορίου ἀπονέμεται. — (6) Β΄.

πόλεως. — ι. ὁ Κρημνῶν. — ια. ὁ Κορδύλων. — ιϐ. ὁ Πεδνηλισσοῦ. — ιγ. ὁ Δικυοζανάϐρων (1). — ιδ. ὁ Ἀριασσοῦ. — ιε. ὁ Πούγλων. — ις. ὁ Ἀδριανῆς. — ιζ. ὁ Σανδίδων. — ιη. ὁ Βάρϐης. — ιθ. ὁ Περϐαίνων. — κ. ὁ Κώου.

Ἐπαρχία Καππαδοκίας(2).

α. ὁ Μωκησσοῦ. — ϐ. ὁ Ναζιανζοῦ. γ. ὁ Κολωνείας. — δ. ὁ Παρνασοῦ. — ε. ὁ Δοάρων.

Ἐπαρχία Λαζικῆς.

α. ὁ Φάσιδος. — ϐ. ὁ Ῥοδοπόλεως. — γ. ὁ τῆς Ἀϐισσηνοῦ. — δ. ὁ Πέτρας. — ε. ὁ τῆς Τζιγγανέων.

Ἐπαρχία Θράκης.

α. ὁ Φιλιππουπόλεως. — ϐ. ὁ Διοκλητιανουπόλεως. — γ. ὁ Διοσπόλεως (3).

Ἐπαρχία Νήσων Κυκλάδων.

α. ὁ Ῥόδου. — ϐ. ὁ Σάμου. — γ. ὁ Χίου. — δ. ὁ Κώων. — ε. ὁ Ναξίας. — ς. ὁ Θήρας. — ζ. ὁ Πάρου. — η. ὁ Λέρου. — θ. ὁ Ἄνδρου. — ι. ὁ Τήνου. — ια. ὁ Μήλου. — ιϐ. ὁ Πισύνης (4).

Ἐπαρχία Αἱμιμόντου.

α. ὁ Ἀδριανουπόλεως. — ϐ. ὁ Μεσημϐρίας. — γ. ὁ Σωζουπόλεως. — δ. ὁ Πλουτινουπόλεως. — ε. ὁ Τζοίδων.

Ἐπαρχία τῆς αὐτῆς.

α. ὁ Μαρκιανουπόλεως. — ϐ. ὁ Ῥοδοστόλου. — γ. ὁ Ταμαρίσκου. — δ. ὁ Νοϐῶν. — ε. ὁ Ζεκεδέπων. — ς. ὁ Σαρκάρης.

Ἐπαρχία Ῥοδόπης.

α. ὁ Τραϊανουπόλεως. ϐ. — ὁ Ἀναστασιουπόλεως. — γ. ὁ Τοπήρου.

Ἐπαρχία Φρυγίας Καππατιανῆς.

α. ὁ Ἱεραπόλεως. — ϐ. ὁ Μετελλουπόλεως. — γ. ὁ Διονυσουπόλεως. — δ. ὁ Ἀναστασιουπόλεως. — ε. ὁ Ἀττούδων. — ς. ὁ Μοσύνων.

Ἐπαρχία Γαλατίας Δευτέρας.

α. ὁ τοῦ Ἀμορίου(5). — ϐ. ὁ Φιλομηλίου. — γ. ὁ τοῦ Δο-

---

(1) Ἀδικηταναύρων Χ. Τρ. — (2) Γ'. — (3) παρὰ Γ. ϐ'. καὶ Σεϐαστουπόλεως. — (4) Σίφνου L. — (5) Ἡ μητρόπολις Ἀμορίου οὐκ ἀναγινώσκεται ἐν,

κιμίου. — δ. ὁ Κελανείου. — ε. ὁ Πολυβότου. — ς. ὁ Πισσίας.

Εἰσὶ δὲ καὶ οἱ ἀποσπασθέντες ἐκ τῆς Ῥωμαϊκῆς διοικήσεως, νῦν δὲ τελοῦντες ὑπὸ τὸν θρόνον Κωνσταντινουπόλεως μητροπολῖται, καὶ οἱ ὑπ' αὐτοὺς ὄντες ἐπίσκοποι.

α. ὁ Θεσσαλονίκης. — β. ὁ Συρακούσης. — γ. ὁ Κορίνθου. — δ. ὁ τοῦ Ῥηγίου. — ε. ὁ Νικοπόλεως. — ς. ὁ Ἀθηνῶν. — ζ. ὁ Πατρῶν. — η. ὁ Νέων Πατρῶν(1).

Οὗτοι προσετέθησαν τῇ συνόδῳ τῆς Κωνσταντινουπόλεως, διὰ τὸ ὑπὸ τῶν ἐθνῶν κατέχεσθαι τὸν πάπαν τῆς πρεσβυτέρας Ῥώμης. Ὡσαύτως καὶ ἀπὸ τῆς ἀνατολικῆς διοικήσεως ἀποσπασθεὶς ὁ Σέλευκείας Ἰσαυρίας, καὶ αὐτὸς τελεῖ ὑπὸ τὸν Κωνσταντινουπόλεως, μετὰ τῶν ὑπ' αὐτὸν ὄντων κδ'. ἐπισκόπων.

Ἐπαρχία ὑπὸ τὸν ἐνδοξότατον ἔπαρχον Ῥώμης, ἤτοι Ἰταλίας.

Ἐπαρχία Οὐρβικαρίας.

α. Ῥώμη Βριττίων. — β. Νουκερία. — γ. Λούνη. — δ. Νεά-

τῇ τοῦ παρόντος καταλόγου προτεταγμένῃ ἀπαριθμήσει τῶν μητροπόλεων· ἀλλ' οὐδ' ἐν τῷ καταλόγῳ Γ. β'. ἀπαντᾶται· ὅπου αἱ ὑπ' αὐτὴν ἐπισκοπαὶ τάττονται ὑπὸ ἑτέρας μητροπόλεις, ὡς ἤδη ἐν οἰκείῳ τόπῳ ἐσημειώθη.

(1) Ἐν τῷ καταλόγῳ Γ. β'. μετὰ τὴν θ'. τῶν μητροπόλεων, τὴν Χαλκηδόνα, ἀναγινώσκονται τὰ ἑξῆς· Ἀπὸ τούτων οἱ ἀρχιεπίσκοποι· ἐπαρχία νήσου, ὁ Κρήτης· ἐπαρχία Πελοποννήσου, ὁ Κορίνθου· ἐπαρχία νήσου, ὁ Σικελίας· ἐπαρχία Ἰλλυρικῆς Μακεδονίας, ὁ Θεσσαλονίκης· ἕπονται δὲ, ι'. ὁ Σίδης, καὶ αἱ λοιπαὶ ἐφεξῆς μητροπόλεις. Ὡσαύτως μετὰ τὴν Ἱεράπολιν, ἀπαντῶνται τὰ ἑξῆς. λε'. ἐπαρχίας Ἑλλάδος, ὁ Ἀθηνῶν· λς'. ἐπαρχίας Ἀχαΐας, Πατρῶν· λζ'. ἐπαρχίας Ἑλλάδος, ὁ Λαρίσσης· λη'. ἐπαρχίας Μακεδονίας, ὁ Φιλίππων. Μεταξὺ δὲ τῶν αὐτοκεφάλων ἀρχιεπισκόπων ἀναγινώσκονται μετα τὸν Τραπεζοῦντος· λη'. ἐπαρχίας Ἑλλάδος, ὁ Ἀθηνῶν· μγ'. ἐπαρχίας Θρᾴκης, ὁ Δέρκων. μγ'. ἐπαρχίας Σικελίας, ὁ Μεσήνης· μδ'. ἐπαρχίας τῆς αὐτῆς, ὁ Γαριάλων· με'. ἐπαρχίας Σικελίας, ὁ Κατάνης· μς'. ἐπαρχίας Καλαβρίας, ὁ τοῦ Ῥηγίου.

Ἐν τῷ αὐτῷ καταλόγῳ Γ. β'. ἀναγινώσκονται ὡς ἑξῆς· αἱ ὑπὸ τὰς ἀρχιεπισκοπὰς Κρήτης, καὶ Συρακούσης ἐπισκοπαί·

Ἐπαρχία Κρήτης· ὁ Γορτύνης. — ὁ Βιέννης. — ὁ Καμάρας. — ὁ Χερσονήσου. — ὁ Ἀρκαδίας. — ὁ Σουβρίτου. — ὁ Ἐλευθερνῶν. — ὁ Πετερίνης. — ὁ Κισσάμου. — ὁ Ἐλύρου. — ὁ Φοινίκης ἤτοι Ἀραδῆνος. — ὁ Ἱεραπύδνας. — ὁ Ἀλίγγου. — ὁ Λύκτου. — ὁ Κνωσσοῦ. — ὁ Ὀάξου. — ὁ Λαμπῶν. — ὁ Κυδωνίας. — ὁ Καντανίας. — ὁ Λίσσου. — ὁ νήσου Κλαύδης.

Ἐπαρχίας Σικελίας, ὁ Συρακούσης. — ὁ Κατάνης. — ὁ Ταυρομενίου. — ὁ Μεσήνης. — ὁ τοῦ Κεφαλουδίου. — ὁ Θερμῶν. — ὁ Πανόρμου. — ὁ Λιλυβαίου. — ὁ Τροκαλέης. — ὁ Ἀκράγαντος. — ὁ Τυνδαρίου. — ὁ Λεοντίνης. — ὁ Ἀλέσης. — ὁ Μελίτης.

πολις. — ε. Φέρεντα. — ς. Βιγιντιμίλια. — ζ. Γενούη. — η. Σιπόντος. — θ. Πόρτου Ῥώμης. — ι. Νῆσοι Κεντουμκέλε. — ια. Κάστρον Ἐβολίας, ἔνθα ὁ ἅγιος Λουκιανός. — ιβ. Κάστρον Ἀμάλφης. — ιγ. Κάστρον Γετταίων. — ιδ. Κάστρον Τιβερίας. — ιε. Κάστρον Νέπης. — ις. Νῆσος Κωμανίκεια. — ιζ. Κάστρον Μούλιον. — ιη. Κάστρον Κόμψας. — ιθ. Κάστρον Σωρέων. — κ. Κάςρον Φούνδας. — κα. Κάςρον Ἴλβας. — κβ. Κάςρον Ἀνάγνια.

Ἐπαρχία Καμπανίας.

α. Νεάπολις. — β. Βρεττανία. — γ. Πανωνία. — δ. Καλαβρία. — ε. Βενετία. — ς. Μεσήνα. — ζ. Βικοβαρίνα. — η. Ταύρατα. — θ. Ἀπουλλία. — ι. Κάστρον Ὀπιτέρβητος. — ια. Κάστρον Σάμνιος. — ιβ. Κάστρον Σουσίας. — ιγ. Κάστρον Ῥήγιον. — ιδ. Κάστρον Ταύρατα. — ιε. Κάστρον Σιγνίας. — ις. Κάστρον Γράδων. — ιζ. Κάστρον Πατριαρχίας. — ιη. Κάστρον Σκυλάκιον. — ιθ. Κάστρον Μαρτύριον. — κ. Κάστρον Ὀρμούβερα. — κα. Κάστρον Ὀρτόνος. — κβ. Κάστρον Ὀσπιτέρβηκτον.

Νῆσος Σικελίας.

α. Συράκουσα. — β. Κατάνη. — γ. Ταυρομένιον. — δ. Μεσήνη. — ε. Κεφαλοῦδιν. — ς. Θερμῶν. — ζ. Πάνορμος. — η. Λιλύβαιον. — θ. Τρόκαλις. — ι. Ἀκράγαντος. — ια. Τυνδάριον. — ιβ. Καμαρίνης. — ιγ. Λεοντίνης. — ιδ. Ἄλεσα. — ιε. Γαῦδος. — ις. Μελίτη. — ιζ. Λιπάρα. — ιη. Βουρκάνος. — ιθ. Δίδυμοι. — κ. Οὔστικα. — κα. τὰ Ὀναρέα. — κβ. Βασιλοῦδιν.

Ἐπαρχία Καλαβρίας.

α. Ῥήγιον. — β. Λούκρης. (ἴσ. Λοκρίς.) — γ. Σκυλακίας. — δ. Κουτρόνων. (ἴσ. Κρότωνος.) — ε. Κονσεντία. — ς. Τροπαίων. — ζ. Ταυριάνα. — η. Κιβώνων.

Ἐπαρχία Ἀννωναρίας.

α. Ῥάβεννα. — β. Φάνους. — γ. Ὀλκοῦσα. — δ. Φόλους. — ε. Πεκίνους. — ς. Πισαύρων. — ζ. Τεργέστα. — η. Αὐγουστόπολις. — θ. Τολβιτάου. — ι. Κάστρον Τερεντίνον. — ια. Κάστρον Σολέρνος. — ιβ. Τρυλέρικον. — ιγ. Κάστρον Σάγγας.

— ιδ. Κάστρον Νοβώ. — ιε. Κάστρον Ἐρεύνικα. — ις. Κάστρον Σημανία. — ιζ. Κάςρον Βισιμάντω. — ιη. Κάςρον Βερέλης. — ιθ. Κάστρον Ταμία. — κ. Κάστρον Βαρακτηλία. — κα. Κάστρον Σαμουργία. — κβ. Κάστρον Σώρα. — κγ. Κάστρον Σαινογάλεια. — κδ. Κάστρον Κησήνης.

Ἐπαρχία Αἰμιλίας.

α. Κάστρον Φοροπομπόλεως. — β. Κάστρον Βριξίλιον. — Κάστρον Βρίντου.

Ὑπὸ τὸν ἐνδοξότατον ἔπαρχον Ἀφρικῆς.

Ἐπαρχία Βυζακίας.

α. Καρθάγενα Προκουνσουλαρέα. — β. Σούβιβα. — γ. Κανταχίλεως (1). — ε. Ἰούγκης (2). — ς. Τὰ Λέπτης. — ζ. Μάσκουλα (3). — η. Καστέλλαι. — θ. Πέζανα. — ι. Μάμιδα. — ια. Μαδασούβα. — ιβ. Κουϊνκούλης (4). — ιγ. Κάψης. — ιδ. Ἀδρυμήτου (5).

Ἐπαρχία Νουμιδίας.

α. Καλάμα. — β. Τελέπτη. — γ. Ἱππῶν(6) Νουμιδίας. — δ. Κασταβάγαι. — ε. Βάδης Μηλέων. — ς. Ἀλκάδους (7). — ζ. Κάστρον Βέδερα. — η. Σκήλη. — θ. Ἡγηρηνίσιον. — ι. Τετήσσιν. — ια. Βάγης. — ιβ. Κωνσταντίνη. — ιγ. Σίτιφνος.

Ἐπαρχία Μαυριτανίας ά.

α. Ῥινοκορούρων.

ἐπαρχία Μαυριτανίας β'.

α. Βεπτὸν εἰς τὸ μέρος Ἱσπανίας (8). — β. Βεπτὸν Θεήσσου — γ. Μεσοποταμηνοὶ εἰς τὸ μέρος Ἱσπανίας. — ε. Μαϊώρικα, νῆσος. — ς. Μινώρικα νῆσος. — ζ. Νῆσος Σαρδῶν. — η. Κάραλλις μητρόπολις. — θ. Τούρης. — ι. Σουμάφας. — ια. Σίνης. — ιγ. Σούλκης. — ιδ. Φασιάνη (9). — ιε. Χρυσόπολις. — ις. Χριστιάνης. — ιζ. Λίμνη. — ιθ. Κάστρον Τοῦκα (10).

---

(1) Γ. α'. — παρὰ δὲ Β. γ'. Καμψία. — δ'. Κίλεως. — Μίλεως, ἀντὶ Κίλεως, ἐν Πρακτικοῖς τῆς ἐν Καρθαγένῃ Συνόδου. — (2) Λεύγκης, Πρακτ. Συνόδ. — (3) Πρακτ. Συν. — Κάσκαλα Β. Γ. ά. — (4) Πρακτ. Συν. — Κουκούλης Γ. ά. Κολούλης Β. — (5) Ἀδραμέντου, Πρακτ. Συν. — (6) Ῥήγιος, ἢ βασιλικός. — (7) Γ. ά. Αηράδους Β. — (8) Ἴσως Βενέποτον. — (9) Ἴσως Σαταφένσης, ἢ Λεταφένσης. — (10) Τοῦταρ Β. Τοῦξα Γ. ά.

Διὰ τῆς Αἰγυπτιακῆς διοικήσεως.

Ἐπαρχία Αἰγύπτου ά.

α. Ἀλεξάνδρεια ὑπὸ Δοῦκα καὶ Αὐγουστάλιον. — β. Ἑρμούπολις. — γ. Μετήλεως. — δ. Βοῦτος (1). — ε. Ψάνεως Κώμη. — ς. Κοπρίδεως Κώμη. — ζ. Σάϊς. — η. Λεοντούπολις (2). — θ. Ναυκράτεια. — ι. Ἀνδρῶ. — ια. Νικίου κώμη (3). — ιβ. Ζηνωνούπολις. — ιβ. Πάφνα. — ιγ. Ὄνουφις. — ιδ. Ταύα. — ιε. Κλεοπατρίς. — ις. Μαρεῶτις. — ιζ. Μενελαΐτῶν. — ιη. Σχεδία. — ιθ. Θέρμουθις (4). — κ. Σόνδρα.

Ἐπαρχία Αὐγουσταμνίκης.

α. Πηλούσιον, μητρόπολις. — β. Σεθρωΐτης. — γ. Τάνις. — δ. Θμοῦϊς. — ε. Ῥινοκούρουρα. — ς. Ὀςρακίνη. — ζ. Πεντάσχοινον. — η. Κάσσιον. — θ. Ἀφθαῖον (5). — ι. Ἥφαιςος. — ια. Παναίφυσος. — ιβ. Γέῤῥα. — ιγ. Ἰτάγερος. — ιδ. Θένησος.

Ἐπαρχία Αὐγουσταμνίκης β'.

α. Λεοντῶ, μητρόπολις. — β. Ἀθρίβης. — γ. Ἡλιοῦς. — δ. Βούβαστος. — ε. Φάρβαθος. — ς. Ἀραβιούς.

Ἐπαρχία Αἰγύπτου β'.

α. Κάβασα. — β. Φράγωνις. — γ. Παχνεμουνίς. — δ. Διόσπολις. — ε. Σεβεννυτός. — ς. Κυνῶ. — ζ. Βούσιρις. — η. Ἐλεαρχία. — θ. Ῥηγεὼν Πάραλος. — ι. Κώμη Παριάνη. — ια. Κώμη Ῥηχομήριον. — ιβ. Ξόεως.

Ἐπαρχία Ἀρκαδίας.

α. Ὀξύρυγχος, μητρόπολις. — β. Ἡρακλέους. — γ. Κυνῶ. — δ. Νειλούπολις. — ε. Ἀρσινοήτης (6). — ς. Μέμφις. ζ. Λητῶ. — Ἔχει ὁ Νεῖλος στόματα ζ'. — α. Ἀλεξάνδρεια. — β. Κολίνθιν. — γ. Ἄγνου. — δ. Πανάλλου. — ε. Χάσματος. — ς. Ταμιάθη. — ζ. Τενέση.

Ἐπαρχία Θηβαΐδος πρώτης.

α. Ἀντινῶ, μητρόπολις. — β. Ἑρμούπολις. — γ. Θεοδοσιούπολις. — δ. Κάσος. — ε. Λυκῶ. — ς. Ὑψηλή. — ζ. Ἀπόλλωνος. — η. Ἀνταίου. — ζ. Πανός.

(1) Κόστος Β. Γ. ά. — (2) ἴσως Λατόπολις. — (3) Ἀνδρονικίους Β. Γ. ά. — (4) Τερνούθης Γ. ά. Β. — (5) Ἀφναῖον, Ἱεροκλῆς. — (6) Παρὰ Γ. ά. ἀναγινώσκονται καί, Θεοδοσιούπολις· Ἀφροδιτώ.

Ἐπαρχία Θηβαΐδος β'.

α. Πτολεμαΐς, μητρόπολις. — β. Κοπτῶ, ἤτοι Ἰουστινιανούπολις. — γ. Διοκλητιανούπολις. — δ. Διόσπολις. — ε. Τέντυρα. — ς. Μαξιμιανούπολις. — ζ. Θηβαΐς. — η. Λάτων. — θ. Ὄμβων. — ι. Ἑρμουθίς. — ια. Ἀπόλλωνος. — ιβ. Κώμη ἀνάσσης μεγάλης. — ιγ. Θηβαΐδος ἄνω. — ιδ. Ἴβεως. — ιε. Μαθῶν. — ις. Τριμούνθων. — ιζ. Ἑρμῶν.

Ἐπαρχία Λιβύης.

α. Δρανιέων, μητρόπολις. — β. Παραιτόνιον. — γ. ὁ Τρανζάλης (1). — δ. Ἀμμωνιακή. — ε. Ἀντίπυργος. — ς. Ἀντίφραι. — ζ. Πηδωνίας. — η. Μαρμαρικῆς.

Ἐπαρχία Λιβύης Πεντάπολις.

α. Σώζουσα. — β. Κυρήνη. — γ. Πτολεμαΐς. — δ. Τεύχειρα. — ε. Ἀδριανή. — ς. Βερονίκη.

Ἐπαρχία Τριπόλεως.

α. Τοσίβων. — β. Λεπτίδος. — γ. Ὑῶν.

Διὰ τῆς Ἀνατολικῆς διοικήσεως.

Ἐπαρχία Κιλικίας.

α. Ταρσὸς, μητρόπολις. — β. Πομπηϊούπολις. — γ. Σεβαστή. — δ. Κώρυκος. — ε. Ἄδανα. — ς. Αὐγουστόπολις. — ζ. Μάλλος. — η. Ζεφύριον.

Ἐπαρχία Κιλικίας β'.

α. Ἀνάζαρβος μητρόπολις. — β. Μοψουεστία. — γ. Αἴγειαι. — δ. Ἐπιφάνεια. — ε. Εἰρηνούπολις. — ς. Φλαβιάς. — ζ. Ἀλεξάνδρεια. — η. Κάβισσος. — θ. Κασάβαλα. — ι. Ῥῶσος.

Ἐπαρχία Ἰσαυρίας.

α. Σελεύκεια, μητρόπολις. — β. Κελένδερις. — γ. Ἀνεμούριον. — δ. Τιτιούπολις. — ε. Λάμοι. — ς. Ἀντιόχεια. — ζ. Ἡλίου Σεβαστή. — η. Κέστροι. — θ. Σεληνοῦς. — ι. Ἰωτάπη. — ια. Διοκαισάρεια. — ιβ. Ὄλβα. — ιγ. Ἱεράπολις. — ιδ. Δααλισανδός. — ιε. Κλαυδιούπολις. — ις. Εἰρηνούπολις. — ιζ. Γερμανικούπολις. — ιη. Νεάπολις. — ιθ. Ζηνωνόπολις. — κ. Σβίδη. — κα. Φιλαδέλφεια. — κβ. Ἀδρασσός. — κγ.

(1) ἴσως Ζώγρα, Ζάγυλις, Ἱεροκλῆς.

Μωλώη. — κδ. Δομιτιούπολις. — κε. Λαύζαδος. — Τὰ δὲ κλίματα. — κς. Κάσσων. — κζ. Βαναίων. — κη. Γολγοσσοῦ. — κθ. Κόστραδος.

Ἐπαρχία Συρίας ά.

α. Ἀντιόχεια ἡ πρὸς Δάφνην, θρόνος πατριαρχικός. — β. Πάλτος(1). — γ. Σελεύκεια. — δ. Βέῤῥοια. — ε. Χαλκίς.

Ἐπαρχία Συρίας β'.

α. Ἀπάμεια, μητρόπολις. — β. Ἀρέθουσα. — γ. Ἐπιφάνεια. — δ. Λάρισσα. — ε. Μαριάμνη. — ς. Σελευκόβηλος. — ζ. Ῥαφανέαι.

Ἐπαρχία Εὐφρατησίας καὶ Ἁγιουπόλεως.

α. Ἱεράπολις. — β. Κύρος, ἤτοι Ἁγιούπολις. — γ. Σαμόσατα. — δ. Δολίχη. — ε. Γερμανίκεια. — ς. Ζεῦγμα. — ζ. Πέῤῥη. — η. Εὔρωπος. — θ. Νικόπολις. — ι. Σκηναρχαία. — ια. Καισάρεια, ἔνθα ἦν ἐν ἐξορίᾳ ὁ ἅγιος Σέργιος. — ιβ. Σεργιούπολις, ἤτοι Ἀναστασιούπολις, ἡ σήμερον Ῥαταφνά, ἔνθα ἐμαρτύρησεν ὁ ἅγιος Σέργιος. — ιγ. Ὀρίμων. — ιδ. Σάντων.

Ἐπαρχία Θεοδωριάδος.

α. Λαοδίκεια, μητρόπολις. — β. Βαλανέα. — γ. Γάβαλα.

Ἐπαρχία Ὀσροϊνῆς.

α. Ἔδεσσα, μητρόπολις. — β. Κάραι. — γ. Κωνστάντεια. — δ. Θεοδοσιούπολις. — ε. Βάτναι. — ς. Καλλίνικος, ἤτοι Λεοντούπολις. — ζ. Νεαουαλεντία. — η. Βίρθων. — θ. Μονιθίλλα. — ι. Θηριμάχων. — ια. Μονιαύγα. — ιβ. Μάκαρτα. — ιγ. Μαρκούπολις. — ιδ. Ἀναστασία. — ιε. Ἡμέριος. — ις. Κιρκισία.

Μέχρι τῶν ὧδε ἐστὶ τὸ πλήρωμα Μεσοποταμίας, καὶ ἄρχεται τῆς Περσίδος.

Ἐπαρχία Μεσοποταμίας τῆς ἄνω, ἤτοι Τετάρτης Ἀρμενίας.

α. Ἄμιδα, μητρόπολις. — β. Μαρτυρόπολις· ἀπὸ δεκαπέντε μιλίων τῆς αὐτῆς πόλεως γεννᾶται ὁ Τίγρις ποταμός. — γ. Δάρας, ἀπὸ ἕξ μιλίων τῆς αὐτῆς πόλεως εἰσὶ τὰ μεθόρια, καὶ οἱ ὅροι Περσίδος, καὶ Ἀσσυρίας. — δ. Κάστρον Ῥισκηφᾶς.

(1) Παρὰ Γ. ά. ἐν τῇ ἐπαρχίᾳ Θεοδωριάδος.

— ε. Κάστρον Τουράνδιος (1). — ς. Κάστρον Μάρδης. — ζ. Κάστρον Λόρνης. — η. Κάςρον Ῥίφθον. — θ. Κάςρον Ἴσφριος. — ι. Κάστρον Τζαύρας. — ια. Κάστρον Αὐδάσσων. — ιϐ. Κάστρον Ἀμάρμης. — ιγ. Κάστρον Τζινοϐίας. — ιδ. Κάστρον Ἰντζιέτων. — ιε. Κάστρον Βαναϐήλων. — ιϛ. Κάστρον Χούδδων. — ιζ. Κάςρον Ἀΐσουδοῦος (2). — ιη. Κάςρον Μασφρόνας. — ιθ. Κάστρον Βασιλικόν. — κ. Κάστρον Σπήλων καὶ Ὀδήλων. — κα. Κάστρον Βιϊϐαϊθᾶς. — κϐ. Κάστρον Μανασσάρων. — κγ. Κάστρον Φιρθαχαϐράης. — κδ. Κάστρον Σίτεον Χίφας. — κε. Κάστρον Κάλωνος. — κϛ. Κάστρον Βιϐασάρων. — κζ. Καστρον Τζαύρας. — κη. Κάστρον Βίρθας. — κθ. Κάστρον Ἀτταχᾶς. — λ. Κάστρον Ἀφούϐων. — *Κλίματος Ἀρζανινῆς.* — λα. Κάστρον Φλωριανῶν. — λϐ. Κάστρον Ἀριμάχων. — λγ. Κάστρον Βαλοῦος. — λδ. Κάστρον Λαφνοῦδιν. — λε. Κάστρον Σαμοχάρτων.

Ὧδε πληροῦται ἡ Μεσοποταμία, καὶ ἔστιν ὁ Ταῦρος καὶ ἡ Κλεισοῦρα Βαλαλέσων, καὶ ἄρχεται τὸ ἀρκτῶον μέρος, ἡ μεγάλη Ἀρμενία. Εἰσὶ δὲ οἰκοῦντες τὸ ὄρος τοῦ Ταύρου πλησίον τοῦ αὐτοῦ κλίματος λαοὶ δύο, ὀνομαζόμενοι, ὁ μὲν Ἰχθομαΐται, ὁ δὲ ἕτερος Νασουνῖται· καὶ ἔστιν ὄρος ὑψηλὸν ἐπονομαζόμενον Βαραθκέν, ἐν ᾧ καὶ ἡ Κιϐωτὸς τοῦ Νῶε ἐπιφερομένη τοῖς ὕδασιν προσέκρουσεν εἰς τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἔστι τοῦτο γνωστὸν πᾶσι τοῖς τῶν ἐκεῖσε μερῶν μέχρι τῆς σήμερον.

Ἐπαρχία Ἀρμενίας ἄλλης.

α. Δαδήμων, νῦν μητρόπολις. — ϐ. Ἀρσαμουσάτων. — γ. Πολίχνη. — δ. Χοζάνων. — ε. Χοσομάχων. — ς. Κιθαριζῶν. — ζ. Κάστρον Μαρτικέρτων. — η. Κάστρον Βαιουλοῦος. — θ. Κάστρον Πολιός. — ι. Κάστρον Ἀρδών. — ια. Κλίμα Σοφίνης. — ιϐ. Χωρίον ὑπὸ τὸ αὐτὸ κλίμα λεγόμενον Ἰαλιμϐάνων, ὅθεν ὁρμᾶται ὁ τὴν παροῦσαν φιλοπονήσας βίϐλον Βασίλειος. — ιγ. Κλίμα Ἀνζητινῆς. — ιδ. Κλίμα Διγησινῆς. — ιε. Κλίμα Γαρινῆς. — ις. Κλίμα Ὀρζιακινῆς. — ιζ. Κλίμα

(1) Τουριτίδις Γ. ά. — (2) Αἰσδαδοῖος Γ. ά.

Βιλαβιτινῆς. — ιη. Κλίμα Ἀστιανικῆς. — ιθ. Κλίμα Μαμουζουρῶν.

Ἐπαρχία Φοινίκης παραλίας.

α. Τύρος μητρόπολις. — β. Σιδών. — γ. Πτολεμαΐς. — δ. Βηρυτός. — ε. Βύβλος. — ς. Τρίπολις. — ζ. Ἀρκαί. — η. Ὀρθωσιάς. — θ. Βότρυς. — ι. Κώμη Γήγαρτα. — ιά. — Ἄραδος. — ιβ. Ἀντάραδος. — ιγ. Πανειάς. — ιδ. Γονασίτιον Σάλτον. — ιε. Κώμη Πολιτιανή. — ις. Κώμη Τριερίς.

Ἐπαρχία Φοινίκης Λιβανισίας.

α. Ἔμεσσα, μητρόπολις. — β. Λαοδίκεια. — γ. Ἡλιούπολις. — δ. Ἄβιλλα. — ε. Δαμασκός. — ς. Κλίμα Ἰαβρούδων. ζ. Εὐάριος, ἤτοι Ἰουςινιανούπολις. — η. Παλμύρα. — Κλίμα Μαγλούδων. — θ. Σάλτον Γοναΐτικόν. — ι. Σαλαμίας. ιά. Κλίμα Ἀνατολικόν.

Ἐπαρχία Παλαιστίνης ά (1).

α. Αἰλία, Ἱεροσολύμων ἁγία Πόλις. — β. Καισάρεια, μητρόπολις. — γ. Δῶρα. — δ. Ἀντιπατρίς. — ε. Διόσπολις, ἤτοι Γεωργιούπολις. — ς. Ἰάμνια. — ζ. Νικόπολις. — η. Ὀνοῦς. — θ. Σώζουσα. — ι. Ἰόππη. — ια. Ἀσκαλών. — ιβ. Γάζα. — ιγ. Ῥαφία. — ιδ. Ἀνθηδών. — ιε. Διοκλητιανούπολις. — ις. Ἐλευθερόπολις. — ιζ. Νεάπολις. — ιη. Σεβαστή. — ιθ. Ῥεγιὼν Ἀπάθους. — κ. Ῥεγιὼν Ἱεριχώ. — κα. Ῥεγιὼν Διβιάς. — κβ. Ῥεγιὼν Γάδαρα. — κγ. Ἄζωτος ἢ Ἱππῖνος. — κδ. Ἀκωμάζων. — κε. Βιττύμος. — κς. Τρικωμίας. — κζ. Τόξος. — κη. Σάλτον Κωνσταντινιάνον. κθ. Σάλτον Γεραΐτικόν, ἤτοι Βαρσάμων.

Ἐπαρχία Παλαιστίνης β'.

α. Σκυθόπολις. — β. Γάδαρα. — γ. Πέλλαι. — δ. Ἄβιλα. — ε. Καπιτωλιάς. — ς. Διοκαισάρεια. — ζ. Μαξιμιανούπολις. — η. Γάβαι. — θ. Τιβεριάς. — ι. Ἵππος. — ια. Ἑλενούπολις. — ιβ. Κλίμα Γαιλάνης. — ιγ. Τετρακωμία. — ιδ. Κωμηναΐς.

---

(1) Παρὰ Γ. ά. οὐ κεῖνται ἡ Α'. καὶ Β'. Παλαιστίνη.

Ἐπαρχία Παλαιστίνης.

α. Πέτραι, μητρόπολις. — β. Αὐγουστόπολις. — γ. Ἀρίνδηλα. — δ. Χαραγμοῦβα. — ε. Ἀρεόπολις. — ς. Μάψις. — ζ. Ἔλουσα. — η. Ζώορα. — θ. Βιροσάβων. — ι. Ἔλας. — ια. Πεντακωμία. — ιβ. Μαμόψωρα. — ιγ. Μητροκωμία. — ιδ. Σάλτον Ἱερατικόν.

Ἐπαρχία Ἀραβίας.

α. Βόστρα, μητρόπολις. — β. ὁ Ἀδρασός. — γ. Δία. — δ. Μήδαβα. — ε. Γέρασσα. — ς. Νεύη. — ζ. Φιλαδέλφεια. — η. Ἔσβους. — θ. Νεάπολις. — ι. Φιλιππούπολις. — ια. Φενοῦτος (1). — ιβ. Κωνσταντίνη. — ιγ. Διονυσιάς. — ιδ. Πεντακωμία, — ιε. Τρικωμία. — ις. Κανόθας. — ιζ. Σάλτον. — ιη. Βατάνεως. — ιθ. Ἐξακωμία. — κ. Ἐννεακωμία. — κα. Κώμη Γωνίας. — κβ. Κώμη Χεροῦς. — κγ. Κώμη Στάνες. — κδ. Κώμη Χαβέρας (2). — κε. Κώμη Κωρεάθης. — κς. Κώμη Βιλβανοῦς. — κζ. Κώμη Κάπρων. — κη. Κώμη Πυργοαρετῶν. — κθ. Κώμη Σέτνης. — λ. Κώμη Ἀριαχῶν. — λα. Νεότης. — λβ. Κλίμα Ἀνατολικῶν καὶ Δυσμῶν. — λγ. Κώμη Ἀριάθας Τράχωνος. — λδ. Κώμη Βεδδάμους.

Ἐπαρχία Ἀρμενίας μεγάλης.

Δεῖ εἰδέναι, ὅτι αὕτη αὐτοκέφαλός ἐστι, μὴ τελοῦσα ὑπὸ Ἀποστολικὸν θρόνον, ἀλλὰ τιμηθεῖσα διὰ τὸν ἅγιον Γρηγόριον Ἀρμενίας, ἔχουσα πόλεις καὶ κάστρα σ'. Ὡσαύτως καὶ ἡ ἐπαρχία τῆς Κύπρου διαμεμένηκεν, ἔχουσα παρ' ἑαυτὴν δεσποτείαν, διὰ τὸ εὑρεθῆναι ἐν αὐτῇ τὸν ἅγιον Ἀπόστολον Βαρνάβαν, ἔχοντα ἐπὶ στήθους τὸ κατὰ Μάρκον Εὐαγγέλιον. Εἰσὶ δὲ ἐν αὐτῇ αἱ πόλεις αὗται.

α. Κωνσταντία, μητρόπολις. — β. Κίτιον. — γ. Ἀμαθούς. — δ. Κούριον. — ε. Πάφος. — ς. Ἀρσινόη. — ζ. Σόλοι. — η. Λάπιθος, ἐν ᾗ ἐγεννήθη Γεώργιος ὁ Κύπριος, ὁ γράψας τὴν βίβλον, ἐξ ἧς ταῦτα μετελήφθησαν. — θ. Κυρηνία. — ι. Ταμασός. — ια. Κύθροι. — ιβ. Τριμυθούς. — ιγ. Καρπάσιν.

Ἡ παροῦσα ἔκθεσις ἐγεγόνει ἐν ἔτει ,ςτλά, ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ, καὶ Φωτίου πατριάρχου.

(1) Ἴσως Φινώ. — (2) Μαχαβέρους Γ. ἐ.

*ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΙΟΥ**

Περὶ τῆς κατὰ τὴν καθέδραν τάξεως τῶν μητροπολιτῶν καὶ ἀρχιεπισκόπων, καθὼς ἐν τῷ Χαρτοφυλακίῳ ἐπαναγράφονται (1).

ΕΔΕΙ τὰς πόλεις, αἳ τῷ τῆς ἀρχιερωσύνης τετίμηνται ἀξιώματι, καὶ αἷς ἱεροὶ ποιμένες παρὰ τῆς πατριαρχικῆς προχειρίζονται δεξιᾶς, ἐνταυθοῖ διαγράφεσθαι, ὥσπερ τινὶ οἰκουμένῃ βραχείᾳ συνεχομένας, καὶ τῷ βουλομένῳ ἀταλαιπώρως προσφαινομένας. Τῇ γὰρ ἀναιμάκτῳ ἀνηκούσας ἀρχῇ ἀξιόχρεων ταύτας τῷ ἰδίῳ σηκῷ κατατάττεσθαι· ὡσαύτως τε καὶ πᾶσι τοῖς ἄλλοις τὴν ἐπ' αὐταῖς ἐξουσίαν καὶ τὴν τάξιν αὐτῶν εὐσύνοπτον εἶναι καὶ εὐεπίγνωστον. Σὺν ταῖς πρὸς ἀνίσχοντα δὲ ἥλιον, καὶ αἱ πρὸς δυόμενον καταγράφονται· ἐκ παλαιοῦ γὰρ αὐτὰς οὔπω μέχρι τῆς δεῦρο ταῖς ἄλλαις συντετάχαμεν, ὧν οἱ τὴν ἐφορείαν πεπιςευμένοι, ἡνίκα καθέδρας καιρὸς ἐκάλει, παρὰ τῶν ὁμοταγῶν διωθοῦντο, καὶ ἀντώθουν τούτους, φεῦ τῆς ὕβρεως, τῷ ἴσῳ μέτρῳ τῆς ἐπιπλήξεως. Ἀλλ' ὅγε φιλόχριστος πανευσεβὴς βασιλεὺς ἡμῶν προὐκάθητο μὲν ἅμα ἡμῖν ἐν τῷ σεβασμίῳ ναῷ τῆς ἁγίας Εἰρήνης, ἡνίκα τε τῶν ἀοιδίμων πατριαρχῶν μνήμην ἐπετελοῦμεν· σὺν τούτῳ δὲ καὶ μητροπολῖται θεοφιλεῖς· μεθ' ὧν τὸ ἑκάστου θρόνου αἰδέσιμον συνδιασκεψάμενοι, πρόσφορον πᾶσι χώραν ἀπεκληρώσαμεν· καθὰ καὶ ἡ παροῦσα τάξις, ἡ τῷ ἡμετέρῳ τῆς προτροπῆς λόγῳ περιεσκεμμένως γραφεῖσα, δηλοῖ. Ἄτοπον γὰρ ἐδόκει, τοὺς τοῦ βήματος, πρωτείων ἀντιποιεῖσθαι, καὶ δόξης ἕνεκα, ἥτις ἐστὶν ἀδοξία, εἰπεῖν δὲ μᾶλλον, αἰσχύνη, τὸ τῆς ἀρχιερωσύνης τίμιον τοῦ λοιποῦ καθυβρίζεσθαι· μόνης τῆς ἀθανάτου δόξης φροντίζειν ὀφειλόντων ἡμῶν, ἣ μαρασμὸν οὐ προσίεται, ἀλλ' ἀεὶ ἐπανθεῖ, καὶ τοὺς ἐραστὰς δόξῃ ἀκηράτῳ κατακοσμεῖ καὶ ἀποσεμνύνει.

---

(1) Ἡ ἀνωτέρω διάταξις φαίνεται, ὡς ἐκ τοῦ περιεχομένου, ἀναγομένη εἰς τὰ τέλη τῆς Ι. ἢ ἀρχὰς τῆς ΙΑ'. ἑκατονταετηρίδος. Ταύτην βεβαίως τὴν διάταξιν ἐννοεῖ ὁ Κ. Μορτρέλλιος (Τόμ. 3. σελ. 393 σημ. c.) ἐκδοθεῖσαν ὑπὸ τοῦ πατριάρχου Ἀλεξίου κατὰ τὸ ἔτος 1025, εἰ καὶ ἐσφαλμένως παραπέμπει εἰς σελ. 293—296, ἀντὶ 243—246 τοῦ Γραικο-Ῥωμ. Νομίμου τοῦ Φρεέρου.

Β'. Η ΓΕΓΟΝΥΙΑ ΔΙΑΤΥΠΩΣΙΣ

Παρὰ τοῦ βασιλέως Λέοντος τοῦ Σοφοῦ, ὅπως ἔχουσι τάξεως οἱ θρόνοι τῶν Ἐκκλησιῶν, τῶν ὑποκειμένων τῷ πατριάρχῃ Κωνσταντινουπόλεως.

—

Αἱ μητροπόλεις.

α. Η ΚΑΙΣΑΡΕΙΑ. — β. ἡ Ἔφεσος. — γ. ἡ Ἡράκλεια. — δ. ἡ Ἄγκυρα. — ε. ἡ Κύζικος. — ς. αἱ Σάρδεις. — ζ. ἡ Νικομήδεια. — η. ἡ Νίκαια. — θ. ἡ Χαλκηδών. — ι. ἡ Σίδη. — ια. — ἡ Σεβάστεια. — ιβ. ἡ Ἀμάσεια. — ιγ. ἡ Μελιτηνή. — ιδ. τὰ Τύανα. — ιε. ἡ Γάγγρα. — ις. ἡ Θεσσαλονίκη. — ιζ. ἡ Κλαυδιούπολις. — ιη. ἡ Νεοκαισάρεια. — ιθ. ἡ Πισηνούς. — κ. τὰ Μύρα. — κα. ἡ Καρία (2). — κβ. ἡ Λαοδίκεια. — κγ. τὰ Σύναδα. — κδ. τὸ Ἰκόνιον. — κε. ἡ Ἀντιόχεια. — κς. τὸ Σύλαιον. — κζ. ἡ Κόρινθος. — κη. αἱ Ἀθῆναι. — κθ. ἡ Μωκησσός. — λ. ἡ Κρήτη (3). — λα. ἡ Σελεύκεια. — λβ. ἡ Καλαυρία. — λγ. αἱ Πάτραι. — λδ. ἡ Τραπεζούς. — λε. ἡ Λάρισσα. — λς. ἡ Ναύπακτος. — λζ. ἡ Φιλιππούπολις. — λη. ἡ Τραϊανούπολις. — λθ. ἡ Ῥόδος. — μ. ἡ Φιλίππων. — μα. ἡ Ἀδριανούπολις. — μβ. ἡ Ἱεράπολις. — μγ. τὸ Δυῤῥάχιον. — μδ. ἡ Σμύρνα. — με. ἡ Κατάνη (4). — μς. τὸ Ἀμόριον. — μζ. ἡ Κάμαχος. — μη. τὸ Κοτυάειον. — μθ. ἡ ἁγία Σεβηριανή. — ν. ἡ Μιτυλήνη. — να. αἱ Νέαι Πάτραι. — νβ. τὰ Εὐχάϊτα. — νγ. ἡ Ἄμαστρις. — νδ. αἱ Χῶναι. — νε. ἡ Ὑδρούς. — νς. ἡ Κελτζινή. — νζ. ἡ Κολώνεια. — νη. αἱ Θῆβαι. — νθ. αἱ Σέῤῥαι. — ξ. ἡ Πομπηϊούπολις. — ξα. ἡ Ῥωσσία. — ξβ.

---

(1) Ἐν τῇ ἐκδόσει τοῦ β'. τούτου καταλόγου, τοῦ ὑπὸ τὸ ὄνομα Λέοντος τοῦ Σοφοῦ κοινῶς ἀναφερομένου, ἀναγομένου δὲ εἰς τὴν ιά. ἑκατονταετηρίδα, ἐλήφθη ὡς βάσις ὁ παρὰ Λεϋγκλαυΐῳ σελ. 88—102. Παρεβλήθη δὲ οὗτος καὶ πρὸς τὸν παρὰ Γοάρῳ σελ. 379—391, καὶ πρὸς τὸν τοῦ Νείλου τοῦ Δοξαπατρῆ, παρ' Ἀλλατίῳ de Consensu σελ. 411. — (2) ἡ Σταυρούπολις (Νεῖλος.) — (3) Παρὰ Γ. οὐκ ἀπαντᾶται ἡ Κρήτη, ὡς οὐδ' ἐν τῷ παρὰ Λεϋγκλαυΐῳ δευτέρῳ καταλόγῳ σελ. 244. Ἐν ἄλλοις χειρογράφοις καταλόγοις ἀναγινώσκεται· λ'. Σελεύκεια, ἡ Κρήτη· παρὰ δὲ Νείλῳ παραλείπεται ἡ Σελεύκεια. — (4) μέ. ἡ Συράκουσα. μς'. Κατάνη. (Νεῖλος).

ἡ Ἀλανία. — ξγ. ἡ Αἶνος. — ξδ. ἡ Τιβεριούπολις. — ξε. ἡ Εὐχανία. — ξς. ἡ Κερασούς. — ξζ. ἡ Νακώλεια. — ξη. Τὰ Γέρμια. — ξθ. τὰ Μάδυτα. — ο. ἡ Ἀπάμεια. — οα. τὸ Βασίλεον. — οβ. ἡ Δρύστρα(1). — ογ. ἡ Ναζιανζός. — οδ. τὰ Κέρκυρα. — οε. ἡ Ἄβυδος. — ος. ἡ Μήθυμνα. — οζ. ἡ Χριστιανούπολις. — οη. τὸ Ῥούσιον. — οθ. ἡ Λακεδαιμονία. — π. ἡ Ναξία. — πα. ἡ Ἀττάλεια(2).

Σχόλ. Μετὰ τὰ Κέρκυρα ἦσαν τελευταῖαι τρεῖς αὗται, ἡ Σεβαςόπολις, ὁ Εὔριπος, τὰ Κύβιςα, ἤτοι τὰ Ἡρακλέως· ἔνθα καὶ παρεγράφη, ὅτι μετετέθη, ἀπὸ τοῦ εἶναι ἐπισκοπὴ τοῦ Τυάνων, εἰς ἀρχιεπισκοπὴν, ἐπὶ Κωνσταντίνου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου.

Αἱ ἀρχιεπισκοπαί.

α. ἡ Βιζύη. — β. ἡ Λεοντόπολις. — γ. ἡ Μαρώνεια. — δ. τὰ Γέρμια. — ε. ἡ Ἀρκαδιούπολις. — ς. τὸ Πάρειον. — ζ. ἡ Μίλητος. — η. ἡ Προικόνησος. — θ. ἡ Σηλυμβρία. — ι. ἡ Κίος. — ια. ἡ Ἄπρως. — ιβ. τὰ Κύψελλα. — ιγ. ἡ Νίκη. — ιδ. ἡ Νεάπολις. — ιε. ἡ Σέλγη. — ις. ἡ Χερσών. — ιζ. ἡ Μεσήνη. — ιη. ἡ Γαρέλλα. — ιθ. ἡ Βρύσις. — κ. ἡ Δέρκως. — κα. ἡ Καραβιζύη. — κβ. ἡ Λῆμνος. — κγ. ἡ Λευκάς. — κδ. ἡ Μίσθεια. — κε. αἱ Κοῦδραι. — κς. ἡ Σωτηρόπολις. — κζ. ἡ Πιδαχθόη. — κη. ἡ Γέρμη. — κθ. ὁ Βόσπορος. — λ. ἡ Κάτραδις. — λα. ἡ Ἐρωΐνη. — λβ. ἡ Κάρπαθος. — λγ. ἡ Μεσημβρία. — λδ. ἡ Γοτθία. — λε. ἡ Σουγδαία. — λς. αἱ Φοῦλλαι. — λζ. ἡ Αἴγινα. — λη. τὰ Φάρσαλα. — λθ. τὰ Μέτραχα.

Τάξις προκαθεδρίας τῶν ὑπὸ τὸν ἀποστολικὸν θρόνον Κωνσταντινουπόλεως τελούντων μητροπολιτῶν, καὶ τῶν ὑπ' αὐτοὺς ἐπισκόπων.

α. Τῷ Καισαρείας, Καππαδοκίας.

α. ὁ Νύσσης. — β. ὁ Καμουλιανῶν. — γ. ὁ τῶν Βασιλικῶν

(1) Παρὰ Νείλῳ Δοξαπατρῇ ἡ Δρύστρα ἢ Ῥοδόστολον φέρεται ὡς θρόνος μβ'. — (2) ἐν περισελ. τοῦ Γ. σημειοῦνται ἐξ ἑτέρου χειρογράφου καὶ ἡ Μίλητος, ἡ Σηλυμβρία, καὶ ἡ Ἄπρως, αἱ ἐνταῦθα μεταξὺ τῶν ἀρχιεπισκοπῶν ἀναφερόμεναι. — (3) παρὰ Νείλῳ ἡ Ἀγχίαλος καὶ τοῦ Ἡρακλέους ἀναφέρονται ὡς τελευταῖαι ἀρχιεπισκοπαί.

Θερμῶν. — δ. ὁ Κισκισσοῦ. — ε. ὁ Εὐαΐσσων. — ς. ὁ Σεριάδος. — ζ. ὁ Ἀριαραθείας. — η. ὁ τῶν Αἰπολίων.

β. Τῷ Ἐφέσου, Ἀσίας.

α. ὁ Ὑπαίπων (1). — β. ὁ Τράλλεων. — γ. ὁ Μαγνησίας πρὸς Μαίανδρον — δ. ὁ Ἐλαίας. — ε. ὁ Ἀτραμυττίου. — ς. ὁ Ἀσσοῦ. — ζ. ὁ Γαργάρων. — η. ὁ Μαςαύρων — θ. ὁ Καλόης. — ι. ὁ Βριούλων. — ια. ὁ Πιτάνης. — ιβ. ὁ Μυρίνης. — ιγ. ὁ Αὐρηλιουπόλεως, — ιδ. ὁ Νύσης τῆς ἑτέρας. — ιε. ὁ Μασχακώμης. — ις. ὁ Μητροπόλεως. — ιζ. ὁ Βαρέττων. — ιη. ὁ Ἀνινήτων. — ιθ. ὁ Περγάμου — κ. ὁ Αναίων. — κα. ὁ Πριήνης. κβ. ὁ Ἀρκαδιουπόλεως. — κγ. ὁ Νέας Αὐλῆς. — κδ. ὁ Διὸς Ἱεροῦ. κε. ὁ Ἀλγίζων. — κς. ὁ Σιών. — κζ. ὁ Κολοφῶνος. — κη. ὁ Λεβέδου. — κθ. ὁ Τέου. — λ. ὁ Ἐρυθρᾶς. — λα. ὁ Ἀντάνδρων. — λβ. ὁ Θεοδοσιουπόλεως, ἤτοι Περπερήνης. — λγ. ὁ Κύρης. — λδ. ὁ Παλαιουπόλεως. — λε. ὁ Θυραίων. — λς. ὁ Χλιαρῶν.

γ. Τῷ Ἡρακλείας, Θράκης καὶ Μακεδονίας.

α. ὁ Θεοδωρουπόλεως. — β. ὁ Ῥαιδεστοῦ. — γ. ὁ Πανίου. — δ. ὁ Ἐξαμιλίου. — ε. ὁ Καλλιουπόλεως. — ς. ὁ Περιστάσεως. — ζ. ὁ Χαριουπόλεως. — η. ὁ Χαλκίδος. — θ. ὁ Δαονείου. — ι. ὁ Μαδύτων (2). — ια. ὁ Παμφίλου. — ιβ. ὁ Μηδείας. — ιγ. ὁ Λιζίκου. — ιδ. ὁ Σεργέντζης. — ιε. ὁ Μέτρων. — ις. ὁ Τζουρολλόης. — ιζ. ὁ Ἀθύρων.

δ. Τῷ Ἀγκύρας, Γαλατίας.

α. ὁ Ἀτταβίας. — β. ὁ Ἡλιουπόλεως. — γ. ὁ Ἀσπόνης. — δ. ὁ Βηρινουπόλεως, ἤτοι Σταυροῦ. — ε. ὁ Μνίζου. — ς. ὁ Κίνης. — ζ. ὁ Ἀναστασιουπόλεως. — η. ὁ Καλουμένης.

Σχόλ. Ἐτέθησαν εἰς μητροπόλεις ὁ Ἀσπόνης, καὶ ὁ Βηρινουπόλεως.

ε. Τῷ Κυζίκου, Ἑλλησπόντου.

α. ὁ Γέρμης. — β. ὁ Ὤκης. — γ. ὁ Ποιμανηνοῦ. — δ. ὁ Βάρεως. — ε. ὁ Δαφνουσίας — ς. Ἀδριανοῦ Θηρῶν (3). — ζ. ὁ

---

(1) Ἐτιμήθη εἰς μητρόπολιν παρὰ τοῦ βασιλέως Ἰσαακίου τοῦ Ἀγγέλου Γ. καὶ Ἀ. ἐν περισσ. — (2) Ἐτιμήθη εἰς μητρόπολιν. Α. ἐν περισσ. — (3) ἤτοι Ἀχυράους. Α. ἐν περισσ.

Λαμψάκου. — η. ὁ Ἀβύδου. — θ. ὁ Δαρδάνου. — ι. ὁ Ἰλίου. — ια. ὁ Τρωάδος. — ιβ. ὁ Πιονίας. — ιγ. ὁ Μιλητουπόλεως.

Σχολ. Ἡ Μιλητουπόλεως ἐτιμήθη εἰς ἀρχιεπισκοπήν· ἡ Ἄβυδος, εἰς μητρόπολιν.

ς. Τῷ Σάρδεων, Λυδίας.

α. ὁ Φιλαδελφείας (1). — β. ὁ Τριπόλεως. — γ. ὁ Θυατείρου. — δ. ὁ Σετῶν (2). — ε. ὁ Αὐρηλιουπόλεως (3). — ς. ὁ Γόρδου. — ζ. ὁ Τράλλεων. — η. ὁ Σάλων. — θ. ὁ Σιλανδοῦ· — ι. ὁ Μαιονίας (4). — ια. ὁ Ἀπόλλωνος ἱεροῦ (5). — ιβ. ὁ Ὑρκανίδος (6). — ιγ. ὁ Μουστίνης (7). — ιδ. ὁ Ἀκαρασοῦ (8). — ιε. ὁ Ἀπολλωνιάδος. — ις. ὁ Ἀτταλείας. — ιζ. ὁ Βάγης. — ιη. ὁ Βαλάνδου. — ιθ. ὁ Μεσοτυμώλου. — κ. ὁ Ἱεροκαισαρείας. — κα. ὁ Δαλδέων. — κβ. ὁ Στρατονικείας. — κγ. ὁ Κερασέων (9). — κδ. Σατάλων. — κε. ὁ Γαβάλων. — κς. ὁ Ἑρμοκαπηλείας.

Σχόλ. Ἀντὶ τοῦ, ὁ Κερασέων· γράφεται, ὁ Δάλης· καὶ ἀντὶ τοῦ, ὁ Σατάλων· γράφεται, ὁ Κερασέων.

ζ. Τῷ Νικομηδείας, Βιθυνίας.

α. ὁ Προύσης, ἤτοι Θεουπόλεως. — β. ὁ Πραινέτου. — γ. ὁ Ἑλενοπόλεως. — δ. ὁ Βασιλινουπόλεως. — ε. ὁ Δασκυλίου. — ς. ὁ Ἀπολλωνιάδος. — ζ. ὁ Νεοκαισαρείας. — η. ὁ Ἀδρανοῦς. — θ. ὁ Καισαρείας. — ι. ὁ Γάλλου, ἤτοι Λόφων. — ια. ὁ Δαφνουσίας. — ιβ. ὁ Ἀρίστης.

η. Τῷ Νικαίας, Βιθυνίας.

α. ὁ Μοδρήνης, ἤτοι Μέλης. — β. ὁ Λινόης. — γ. ὁ Γορδοσέρβων. — δ. ὁ Νουμερικῶν. — ε. ὁ Ταΐου. — ς. ὁ Μαξιμιανῶν (10).

---

(1) Ὁ Φιλαδελφείας ἐτιμήθη εἰς μητρόπολιν Α. ἐν περισελ. — (2) ἤτοι Μαγιδίου. Α. ἐν περισελ. — (3) ἤτοι Περικώμης. Α. ἐν περισελ. — (4) ἤτοι Ὀψικίου. Α. ἐν περισελ. — (5) ἤτοι Ἀετοῦ. Α. ἐν περισελ. — (6) ἤτοι Μύρωνος. Α. ἐν περισελ. — (7) ἤτοι Ὑρτακώμεως Α. ἐν περισελ. — (8) ἤτοι Λειπάρων. Α. ἐν περισελ. Αιγάρων Γ. — Ὁ Γαβδίας, ἤτοι Τρακουλέων. Α. ἐν περισελ. — (9) ἤτοι Καλάμου. Α. ἐν περισελ. — (10) ἐνταῦθα εὑρίσκεται παρὰ Α. τὸ ἐν σημ. 3 τῆς σελ. 469 τοῦ παρόντος τόμου σχόλιον.

θ. Τῷ Χαλκηδόνος Βιθυνίας, θρόνος ὑποκείμενος οὐκ ἔχει.

ι. Τῷ Σίδης, Παμφυλίας.

α. ὁ Ἀσπένδου. — β. ὁ Τένης. — γ. ὁ Ἐταίνου. — δ. ὁ Ὀρύμνης. — ε. ὁ Κάσσων. — ς. ὁ Σεμνέων. — ζ. ὁ Καραλλίων. — η. ὁ Κορακησίου· — θ. ὁ Συέδρων. — ι. ὁ Μύλων, ἤτοι Ἰουςινιανουπόλεως. — ια. ὁ Οὐμάνδων. — ιβ. ὁ Δαλισανδοῦ. — ιγ. ὁ Ἴσβων. — ιδ. ὁ Λύρβης. — ιε. ὁ Κολυβρυσσοῦ. — ις. ὁ Μαναίων.

ια. Τῷ Σεβαστείας, Ἀρμενίας.

α. ὁ Σεβαστουπόλεως. — β. ὁ Νικοπόλεως. — γ. ὁ Σατάλων. — δ. ὁ Κολωνείας. — ε. ὁ Βηρίσσης.

ιβ. Τῷ Ἀμασείας, Ἑλενοπόντου.

α. ὁ Ἀμισσοῦ. — β. ὁ Σινώπης. — γ. ὁ Ἰβόρων, ἤτοι Πιμολίσσης. — δ. ὁ Ἀνδράπων. — ε. ὁ Ζαλίχου, ἤτοι Λεοντοπόλεως. — ς. ὁ Ζήλων.

ιγ. Τῷ Μελιτηνῆς, δευτέρας Ἀρμενίας.

α. ὁ Ἄρκης — β. ὁ Κουκουσοῦ. — γ. ὁ Ἀραβισοῦ. — δ. ὁ Ἀριαράθης. — ε. ὁ Κομάνων.

ιδ. Τῷ Τυάνων, δευτέρας Καππαδοκίας.

α. ὁ Κυβιςρῶν. — β. ὁ Φαυςινουπόλεως. — γ. ὁ Σασίμων. Σχολ. Ἀντὶ τοῦ Κυβιςρῶν, γράφεται καί, Κυβίςων. Ἐτιμήθη εἰς ἀρχιεπισκοπὴν ἐπὶ Κωνςαντίνου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου.

ιε. Τῷ Γάγγρας, Παφλαγονίας.

α. ὁ Ἰουνουπόλεως. — β. ὁ Δαδύβρων. — γ. ὁ Σωρῶν.

ις. Τῷ Θεσσαλονίκης, Θετταλίας.

α. ὁ Κίτρους. — β. ὁ Βεῤῥοίας. — γ. ὁ Δρουγουβιτίας. — δ. ὁ Σερβίων. — ε. ὁ Κασσανδρίας. — ς. ὁ Καμπανίας, ἤτοι Καςρίου. — ζ. ὁ Πέτρας. — η. ὁ Ἐρκουλίων, ἤτοι Ἀρδαμερίου. — θ. ὁ Ἰερισσοῦ, ἤτοι Ἁγίου Ὄρους. — ι. ὁ Αἴτης καὶ Ῥεντίνης. — ια. ὁ Βαρδαριωτῶν, ἤτοι Τούρκων.

ιζ. Τῷ Κλαυδιουπόλεως, Ὁνωριάδος.

α. ὁ Ἡρακλείας Πόντου. — β. ὁ Προυσιάδος. — γ. ὁ Τίου. — δ. ὁ Κρατείας. — ε. ὁ Ἀδριανουπόλεως.

ιη. Τῷ Νεοκαισαρείας, Πόντου Πολεμωνιακοῦ.

α ὁ Κερασοῦντος. — β. ὁ τοῦ Πολεμωνείου. — γ. ὁ Κομάνων. — δ. ὁ Ἀλύας. — ε. ὁ Ῥιζαίου. — ς. ὁ Κόκκου, — ζ. ὁ Εὐνίκου.

Σχολ. Τῷ Νεοκαισαρείας εἰσὶ καὶ αὗται· ὁ Ἀραβάσης· ὁ Μαρτυροπόλεως· ὁ Ὑψηλός (1).

ιθ. Τῷ Πισηνοῦντος, δευτέρας Γαλατίας.

α. ὁ Γερμοκολωνείας. — β. ὁ Πετενησοῦ. — γ. ὁ Συνοδέων. — δ. ὁ τοῦ ἁγίου Ἀγαπητοῦ. — ε. ὁ Λωτίνου. — ς. ὁ Ὀρκίςου. — ζ. ὁ Σπαλείας.

κ. Τῷ Μύρων, Λυκίας.

α. ὁ Μαςαύρων. — β. ὁ Τελμησσοῦ. — γ. ὁ Λιμύρων. — δ. ὁ Αράξης. — ε. ὁ Ἀπρίλλων. — ς. ὁ Ποδαλείας. — ζ. ὁ Ὀρυκάνδων. — η. ὁ Τάτλων. — θ. ὁ Ἀρνεῶν. — ι. ὁ Σιδύμων. — ια. ὁ Ζηνωνουπόλεως. — ιβ. ὁ Ὀλύμπου. — ιγ. ὁ Τλῶν. — ιδ. ὁ Κορυδάλων. — ιε. ὁ Καύνου. — ις. ὁ Ἀκρασοῦ. — ιζ. ὁ Ξάνθου. — ιη. ὁ Βώβου, ἤτοι Σοφιανουπόλεως. — ιθ. ὁ Μαρκιανῆς. — κ. ὁ Οἰνιάνδων. — κα. ὁ Χώματος. κβ. ὁ Κανδίβων. — κγ. ὁ Φέλλου. — κδ. ὁ Ἀντιφέλλου. — κε. ὁ Φασηλίδος. — κς. ὁ Ῥοδιουπόλεως. — κζ. ὁ Ἀκαλισοῦ· κη. ὁ Αὐκάνδων. — κθ. ὁ Παλλιωτῶν. — λ. ὁ Εὐδοκιάδος. — λα. ὁ Πατάρων. — λβ. ὁ Κόμβων. — λγ. ὁ Νήσσων. — λδ. ὁ Βαλβούρων. — λε. ὁ Μελοϊτῶν. — λς. ὁ Κυανέων.

κα. Τῷ Σταυρουπόλεως, Καρίας.

α. ὁ Κιβύρας. — β. ὁ Ἡρακλείας Σαλβάκης. — γ. ὁ Ἀπολλωνιάδος. — δ. ὁ Ἡρακλείας Λαχύμων(2). — ε. ὁ Ταβῶν. — ς. ὁ Λάρβων. — ζ. ὁ Ἀντιοχείας Μαιάνδρου. — η. ὁ Ταπασσῶν. — θ. ὁ Ἀρπάσων. — ι. ὁ Νεαπόλεως. — ια. ὁ Ὀρθοσιάδος. — ιβ ὁ Ἀνωτετάρτης. — ιγ. ὁ Ἀλλαβάνδων. — ιδ.

(1) ἴσως Ὑψηλῶν. — (2) Λάτμου.

ὁ Στρατονικείας. — ιε. ὁ Ἀλίνδων. — ις. ὁ Μυλάσσων. — ιζ. ὁ Μήζου, ἤτοι Ἀμύζωνος. — ιη. ὁ Σίζων. — ιθ. ὁ Ἰασσοῦ. — κ. ὁ Βαρβυλίου. — κα. ὁ Ἁλικαρνασσοῦ. — κβ. ὁ Λαρύμων. — κγ. ὁ Κνίδου. — κδ. ὁ Μύνδου (1). — κε. ὁ τοῦ Ἱεροῦ. — κς. ὁ Κινδράμων. — κζ. ὁ Κεράμων.

κβ. Τῷ Λαοδικείας, Φρυγίας Καππατιανῆς.

α. ὁ Τραπεζουπόλεως. — β ὁ Ἀκμωνείας. — γ. ὁ Σεβαςείας. — δ. ὁ Κερετάπων. — ε. ὁ Ἀππίας. — ς. ὁ Πελτῶν — ζ. ὁ Εὐμενείας. — η. ὁ Συβλίου. — θ. ὁ Τημενοθηρῶν. — ι. ὁ Τρανουπόλεως. — ια. ὁ Ἀθανασσοῦ. — ιβ. ὁ Λούνδων. — ιγ. ὁ Κυδισσοῦ. — ιδ. ὁ Ὡράκων. — ιε. ὁ Ὠρίνων. ις. ὁ Ἰλούζης. — ιζ. ὁ Συννάου. — ιη. ὁ Θαμψιουπόλεως. — ιθ. ὁ Διοκλείας. — κ. ὁ Ἀριστείου. — κα. ὁ Οἰνοκώμου, ἤτοι Ἰουςινιανουπόλεως.

κγ. Τῷ Συνάδων, Φρυγίας Σαλουταρίας.

α. ὁ Δορυλαίου. — β. ὁ Μιδαΐου. — γ. ὁ Ὑψοῦ. — δ. ὁ Ἀβρόκλου. — ε. ὁ Πρυμνήσου. — ς. ὁ Μηροῦ. — ζ. ὁ Σιβίνδου. — η. ὁ Φυτείας. — θ. ὁ Ἱεραπόλεως. — ι. ὁ Εὐκαρπίας. — ια. ὁ Λυσιάδος. — ιβ. ὁ Αὐγουστοπόλεως. — ιγ. ὁ Βρύζου. — ιδ. ὁ Ὄτρου. — ιε. ὁ Λυκαόνων. — ις. ὁ Στεκτωρίου. — ιζ. ὁ Γορδορινίας. — ιη. ὁ Καβορκίου(2). — ιθ. ὁ Δαφνουσίου. — κ. ὁ Κλήρων.

κδ. Τῷ Ἰκονίου, Λυκαονίας.

α. ὁ Λύστρων. — β. ὁ Βασάδων. — γ ὁ Ἀμβλάδων. — δ. ὁ Ὀμονάδων. — ε. ὁ Ψιβήλλων. — ς. ὁ Σαβάτρων. ζ. ὁ Κάννης — η. ὁ Εὐδοκιάδος. — θ. ὁ Πύργων. — ι. ὁ Λαράνδων. — ια. ὁ Ἰλίστρων. — ιβ. ὁ Πασσάλων. — ιγ. ὁ Τιβασσάδων. — ιδ. ὁ Βαράτων, — ιε. ὁ Ηέρτων.

κε. Τῷ Ἀντιοχείας, Πισιδίας.

α. ὁ Σαγαλασσοῦ. — β. ὁ Σωζοπόλεως. γ. ὁ Ἀπαμείας. — δ. ὁ Τυριαίου. — ε. ὁ Βάρεως. — ς. ὁ Ἀδριανουπόλεως. — ζ. ὁ Λιμενῶν. — η. ὁ Λαοδικείας. θ. ὁ Σελευκείας. — ι ὁ Λάδων. — ια. ὁ Ζαρζήλων. — ιβ. ὁ Τιμβριάδος. — ιγ. ὁ Τυμαν-

(1) ἤτοι Σταδίας. Δ. ἐν περισελ. — (2) ἴσ. Κιναβορίου.

δοῦ. — ιδ. ὁ Κανάνης. — ιε. ὁ Μάλλου. — ις. ὁ Σινιάνδου. — ιζ. ὁ Τιτυασσοῦ. — ιη. ὁ Μητροπόλεως — ιθ. ὁ Πάππων. — κ. ὁ Παράλλης. — κα. ὁ τοῦ Βινδέου.

κς. Τῷ Συλαίου, ἤτοι τῷ Πέργης, δευτέρας Παμφυλίας.

α. ὁ Ἀτταλείας. — β. ὁ Μαγύδου. — γ. ὁ Εὐδοκιάδος. —

Σχόλ. Ἡ Ἀττάλεια γέγονε μητρόπολις ἐν ἔτει ,ςφ'. ἐνενηκοςῷ δευτέρῳ, ἐπὶ Εὐςρατίου τοῦ ἁγιωτάτου πατριάρχου, παρὰ τοῦ βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ.

δ. ὁ Τερμισοῦ. — ε. ὁ Ἰσινδοῦ. — ς. ὁ Μαξιμιανουπόλεως. — ζ. ὁ Κρημνῶν. — η. ὁ Κορδύλων. — θ. ὁ Ἀριασσοῦ. — ι. ὁ Πεδλινησοῦ. — ια. ὁ Ἀδικητανκύρων. — ιβ. ὁ Πούγλων — ιγ. ὁ Ἀδριανῆς. — ιδ. ὁ Σανδίδων. — ιε. ὁ Βάρβης. — ις. ὁ Περβαίνων.

Σχόλ. Ὑπόκεινται τῇ Πέργῃ καὶ ἕτεροι δύο, ὁ Λαγίνων, καὶ ὁ Παλαιουπόλεως, ἤτοι Ἀλειρῶν.

κζ. Τῷ Κορίνθου, Πελοποννήσου.

α. ὁ τοῦ Δαμαλᾶ. — β. ὁ Ἄργους. — γ. ὁ Μονεμβασίας. —

Σχόλ. Ὁ Ἄργους γέγονε μητροπολίτης ἐπὶ τῆς βασιλείας Ἰσαακίου τοῦ Ἀγγέλου, ἐν ἔτει ,ςφϞζ.

δ. ὁ Κεφαλληνίας. — ε. ὁ Ζακύνθου. — ς. ὁ Ζημενᾶς. — ζ. ὁ Ματίνης.

κη. Τῷ Ἀθηνῶν, Ἑλλάδος.

α. ὁ Εὐρίπου. — β. ὁ Διαυλίας. — γ. ὁ Κορωνείας. — δ. ὁ Ἄνδρου. — ε. ὁ Ὠρεοῦ. — ς. ὁ Σκύρου. — ζ. ὁ Καρύςου. — η. ὁ Πορθμοῦ — θ. ὁ Αὐλῶνος. — ι. ὁ Σύρας (1).

κθ. Τῷ Μωκησσοῦ, Καππαδοκίας.

α. ὁ Ναζιανζοῦ. — β. ὁ Κολωνείας. — γ. ὁ Παρνασσοῦ. — δ. ὁ Δοάρων. — ε. ὁ Μετιάνης.

λ. Τῷ τῆς Νήσου Κρήτης.

α. ὁ Γορτύνης. — β. ὁ Κνωσσοῦ. — γ. ὁ Ἀρκαδίας. — δ. ὁ Χεῤῥονήσου. — ε. ὁ Αὐλοποτάμου. — ς. ὁ τοῦ Ἀγρίου. — ζ.

(1) ι'. ἡ Σύρας καὶ Σερίφου, ιά. ἡ Κίω καὶ Θερμιῶν. Νεῖλος παρ' Ἀλλατίῳ.

ὁ Λάμπης. — η. ὁ Κυδωνίας. — θ. ὁ Ἱερᾶς. — ι. ὁ Πέτρας (1). — ια. ὁ Σιτείας. — ιβ. ὁ Κισσάμου.

λα. Τῷ Σελευκείας θρόνος ὑποκείμενος οὐκ ἔςι.

λβ. Τῷ Ῥηγίου, ἤτοι τῷ Καλαβρίας.

α. ὁ Βιβώννης. — β. ὁ Ταυριάνης. — γ. ὁ Λοκρίδος. — δ. ὁ Ῥουσιάνου. — ε. ὁ Σκυλακίου. — ς. ὁ Τροπαίου. — ζ. ὁ Ἀμαντείας. — η. ὁ Κρότωνος. — ὁ Κωνσταντίας. ι. ὁ Νικοτέρων. — ια. ὁ Βισουνιάνου. — ιβ. ὁ Νεοκάστρου. — ιγ ὁ Κασάνου.

λγ. Τῷ Πατρῶν, Πελοποννήσου.

α. ὁ Λακεδαιμονίας. — β. ὁ Μεθώνης. — γ. ὁ Κορώνης. δ. ὁ Ἕλους. — ε. ὁ Βολαίνης.

Σχόλ. Ἡ Λακεδαιμονίας ἐτιμήθη εἰς μητρόπολιν παρὰ τοῦ Βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐπὶ τοῦ κυρίου Εὐςρατίου τοῦ πατριάρχου, ἔτει ͵ςφἡ΄.

λδ. Τῷ Τραπεζοῦντος, Λαζικῆς.

α. ὁ Χεριάννων. — β. ὁ Χαμούζουρ. — γ. ὁ Χαχαίου. — δ. ὁ Παίπερ. — ε. ὁ Κεραμέων. — ς. ὁ Αερίου. — ζ. ὁ Βιζάνων. — η. ὁ Σκκάβου. θ. ὁ Τοχαβτζίτζου. — ι. ὁ Τοχαντίερτζ. — ια. ὁ Τοσυλνούτου. — ιβ. ὁ Φασιανῆς, — ιγ. ὁ Τοσερμάτζου. — ιδ. ὁ Ἀνδάκτων. — ιε. ὁ Ζαριμάκων.

λε. Τῷ Λαρίσσης, δευτέρας Θεσσαλίας καὶ πάσης Ἑλλάδος.

α. ὁ Δημητριάδος. — β. ὁ Φαρσάλου. — γ. ὁ Δομοκοῦ — δ. ὁ Ζητουνίου. — ε. ὁ Ἐζεροῦ. — ς. ὁ Λοιδορικίου. — ζ. ὁ Τρίκκης. — η. ὁ Ἐχίνου. — θ. ὁ Κολυνδροῦ. — ι. ὁ Σταγῶν. — ια. ὁ Κατρίας (2). — ιβ. ὁ Γαρδικίου. — ιγ. ὁ ἑτέρας Γαρδικίας. — ιδ. ὁ Περιστερᾶς. — ιε. ὁ Ῥαδοβιστίου. — ις. ὁ Πατζουνᾶς. — ιζ. ὁ Βεσαίνης. — ιη. ὁ Σκοπέλου. — ὁ Καλλινδοῦ. — ιθ. ὁ Μαρμαριτζίου. — κ. ὁ Λιτζᾶς. — κα. ὁ Χαρμένων. — κβ. ὁ Βωδένης. — κγ. ὁ Ἀλμυροῦ. — κδ. ὁ Σομωκόβου. — κε. ὁ Βιαίνης (3).

---

(1) Ἄλλοτε ἦν εἷς θρόνος, ὁ Ἱεραπύδνης, ἢ Ἱερᾶς Πέτρας. — (2) ἴσ. Καιερίνας. — (3) Αἱ ἀπὸ τῆς ια΄ ἐπισκοπαὶ ἐλήφθησαν ἐκ τοῦ παρὰ Γ. καταλόγου· οὐ κεῖνται δὲ παρὰ Λ.

λς. Τῷ Ναυπάκτου, Αἰτωλίας.

α. ὁ Βονδίτζης. — β. ὁ Ἀετοῦ. — γ. ὁ Ἀχελώου. — δ. ὁ Ῥογῶν. — ε. ὁ Ἰωαννίνων. — ς. ὁ Φωτικῆς. — ζ. ὁ Ἀδριανουπόλεως. — η. ὁ Βουθρωτοῦ. — θ. ὁ Χιμάρας.

λζ. Τῷ Φιλιππουπόλεως, Θράκης.

α. ὁ Ἀγαθονικείας. — β. ὁ Λιοτίτζης. — γ. ὁ Σκουταρίου. δ. ὁ Λεύκης. — ε. ὁ Βλέπτου. — ς. ὁ Δραμίτζης. — ζ. ὁ Ἰωαννίτζων. — η. ὁ Κωνςαντείας. — θ. ὁ Βελικείας. — ι. ὁ Βουκούβων.

λη. Τῷ Τραϊανουπόλεως, Ῥοδόπης.

α. ὁ Διδυμοτείχου. — β. ὁ Μάκρης. — γ. ὁ Μοσινουπόλεως. — δ. ὁ Ἀναστασιουπόλεως. — ε. ὁ Πόρων (1). — ς. ὁ Ξανθείας. — ζ. ὁ Περιθεωρίου. — η. ὁ Θεοδωρίου.

λθ. Τῷ Ῥόδου, τῶν Κυκλάδων νήσων.

α. ὁ Σάμου. — β. ὁ Χίου. — γ. ὁ Κῶ. — δ. ὁ Ναξίας. — ε. ὁ Θηρασιῶν. — ς. ὁ Πάρου. — ζ. ὁ Τήνου. — η. ὁ Μήλου. — θ. ὁ Πισσίνης. — ι. ὁ Ἰκαρίας. — ια. ὁ Λέρου. — ιβ. ὁ Ἀςυπαλαίας. — ιγ. ὁ Τραχείας. — ιδ. ὁ Νησσούρων.

Σχόλ. Ἡ Πάρος καὶ ἡ Ναξία ἡνώθησαν, καὶ γεγόνασι μητρόπολις, μηνὶ Μαΐῳ, ἐπινεμήσεως ἕκτης, ἐν ἔτει ,ςφλά.

μ. Τῷ Φιλίππων, Μακεδονίας.

α. ὁ Θεωρίου. — β. ὁ Πολυςύλου. — γ. ὁ Βελικείας. — δ. ὁ Χριστουπόλεως. — ε. ὁ Σμολαίνων. — ς. ὁ Καισαροπόλεως. — ζ. ὁ Ἀλεκτρυοπόλεως.

μα. Τῷ Ἀδριανουπόλεως, Αἱμιμόντου.

α. ὁ Σωζοπόλεως. — β. ὁ Ἀγαθοπόλεως. — γ. ὁ Δεβελτοῦ. δ. ὁ Τραβιζύης. — ε. ὁ Καράβου. — ς. ὁ Βουκέλλου. — ζ. ὁ Προβάτου. — η. ὁ Σκοπέλου. — θ. ὁ Βρύσεως. — ι. ὁ Βουλγαροφύγου. — ι. ὁ Τζωΐδων.

μβ. Τῷ Ἱεραπόλεως, Φρυγίας Καππατιανῆς.

α. ὁ Μετελλουπόλεως. — β. ὁ Ἀτούδων. — γ. ὁ Μοσύ-

(1) Ἰσ. Τοπείρου.

νων. — δ. ὁ Φόβων. — ε. ὁ Ἀγκύρας. — ϛ. ὁ Συναοῦ. — ζ. ὁ Τιβεριουπόλεως. — η. ὁ Κανῶν. — θ. ὁ Ζανῶν.

μγ. Τῷ Δυῤῥαχίου.

α. ὁ τῶν Στεφανιακῶν. — β. ὁ Χουνουβίας. — γ. ὁ Κροῶν. — δ. ὁ Ἐλισσοῦ. — ε. ὁ Διοκλείας. — ϛ. ὁ Σκοδρῶν. — ζ. ὁ Δριβάστου. — η. ὁ Παλάθων. — θ. ὁ Γλαβινίτζας, ἤτοι Ἀκροκεραυνείας. — ι. ὁ Αὐλωνείας. — ια. ὁ Λυχνίδων. — ιβ. ὁ Ἀντιβάρεως. — ιγ. ὁ Τζερινίκου. — ιδ. ὁ Πουλχεριοπόλεως. — ιε. ὁ Γραδιτζίου.

μδ. Τῷ Σμύρνης, Ἀσίας.

α. ὁ Φωκαίας. — β. ὁ Μαγνησίας τῆς Ἀνηλίου — γ. ὁ Κλαζομενῶν. — δ. ὁ Σωσάνδρου. — ε. ὁ τοῦ Ἀρχαγγέλου. — ϛ. ὁ τῆς Πέτρας.

με. Τῷ Κατάνης, θρόνος ὑποκείμενος οὐκ ἔςιν.

μϛ. Τῷ Ἀμορίου, Φρυγίας.

α. ὁ Φιλομηλίου. — β. ὁ τοῦ Δοκιμίου — γ. ὁ Κλανέου — δ. ὁ Πολυβότου. — ε. ὁ Πισσίας.

μζ. Τῷ Καμάχου, Ἀρμενίας.

α. ὁ Κελτζηνῆς. — β. ὁ Ἀραβράκων. — γ. ὁ Βαρζανίσσης. — δ. ὁ Μελοῦ. — ε. ὁ Μελοῦ ἕτερος. — ϛ. ὁ Ῥωμανουπόλεως. — ζ. ὁ Τουτιλείου.

μη. Τῷ Κοτυαείου, Φρυγίας.

α. ὁ Σπορῆς. — β. ὁ Κονῆς. — γ. ὁ Γαϊουκώμεως.

μθ. Τῷ ἁγίας Σεβηριανῆς, Καλαβρίας.

α. ὁ Εὐρυάτων. — β. ὁ Ἀκεραντείας. — γ. ὁ Καλλιπόλεως. — δ. ὁ τῶν Αἰσύλων — ε. ὁ τοῦ Παλαιοκάστρου.

ν. Τῷ Μιτυλήνης, Λέσβου.

α. ὁ Ἐρέσσου. — β. ὁ Στρογγύλης. — γ. ὁ Τενέδου. — δ. ὁ Βερβίνου. — ε. ὁ Περπερίνης. — ϛ. ὁ Μαρμαριτζάνης.

να. Τῷ Νέων Πατρῶν, Ἑλλάδος.

α. ὁ Γαλάζων. — β. ὁ Κουτζιάγρου. — γ. ὁ Σιδίκτου. — δ. ὁ Βαριάνης.

νβ. Τῷ Εὐχαΐτων, θρόνος ὑποκείμενος οὐκ ἔστι.

νγ. Τῷ Ἀμάστριδος, ὁμοίως.

νδ. Τῷ Χωνῶν, ὁμοίως.

νε. Τῷ Ἱδροῦντος, ὁμοίως.

νς. Τῷ Κελτζηνῆς, σὺν τῇ Κορτζενῇ καὶ Ταρῶν.

α. ὁ Τόμεως. — β. ὁ Χατζτοῦν. — γ. ὁ Λυκοποταμίας. δ. ὁ Κορτζενῆς. — ε. ὁ Μαςραβάτζ. — ς. ὁ Χουτ. — ζ. ὁ Τοπάρχου. — η. ὁ Ἀμβρῆς. — θ. ὁ Τουτάρων. — ι. ὁ Μαρμεντιτζούρ. — ια. ὁ Ματζίερτε. — ιβ. ὁ τοῦ ἁγίου Νικολάου. — ιγ. ὁ Εὔας, ἡ τῆς Θεοτόκου. — ιδ. ὁ Ἀρτζεσίου, ἤγουν ἁγίου Νικολάου. — ιε ὁ Ἀρτζικὲ, ἤτοι Ἀρκεράβου. — ις. ὁ Ἀμουκίου. — ιζ. ὁ Πετρκίν. — ιη. ὁ τοῦ Ἁγίου Γεωργίου. — ιθ. ὁ Ὀστᾶν. — κ. ὁ τοῦ ἁγίου Ἐλισσαίου. — κα. ὁ τοῦ Σεδράκ, ἡ Θεοτόκου.

νζ. Τῷ Κολωνείας θρόνος ὑποκείμενος οὐκ ἔστιν.

Οἱ ἀποσπασθέντες ἐκ τῆς Ῥωμαϊκῆς διοικήσεως, καὶ νῦν τελοῦντες ὑπὸ τὸν θρόνον Κωνσταντινουπόλεως μητροπολῖται, καὶ οἱ ὑπ' αὐτοὺς ἐπίσκοποι, εἰσίν·

α. ὁ Θεσσαλονίκης. — β. ὁ Συρακούσης. — γ. ὁ Κορίνθου. δ. ὁ τοῦ Ῥηγίου. — ε. ὁ Νικοπόλεως. — ς. ὁ Ἀθηνῶν. — ζ. ὁ Πατρῶν.

Τῷ Συρακούσης, Σικελίας.

α. ὁ Ταυρομενίου. — β. ὁ Μεσσήνης. — γ. ὁ Ἀκράγαντος. — δ. ὁ Κρονίου. — ε. ὁ Λιλυβαίου. — ς. ὁ τοῦ Δρεπάνου. — ζ. ὁ τοῦ Πανόρμου. — η. ὁ τῶν Θερμῶν. — θ. ὁ Κεφαλουδίου. — ι. ὁ Ἀλέσης. — ια. ὁ Τυνδαρίου. — ιβ. ὁ Μελίτης. — ιγ. ὁ Λιπάρας(1).

Καὶ ἀπὸ τῆς ἀνατολικῆς διοικήσεως, ὁ Σελευκείας Παμφυλίας μετὰ τῶν ὑπ' αὐτὸν κγ'. ἐπισκόπων, οἵτινές εἰσιν οὗτοι·

α. ὁ Κελεντέρεως. — β. ὁ Ἀνεμόης. — γ. ὁ Τιτυουπόλεως.

---

(1) παρὰ Δοξαπατρῇ εὕρηνται καὶ αἱ ἑξῆς ἐπισκοπαί· ἡ Κατάνη· τὰ Τρίκαλα· ἡ Καμαρίνη· ἡ Λεοντίνη· αἱ Γαῦδος, νῆσος· Θουρκάνος· Λίδυμοι· Οὔσταρ· Ζαίναρος· ἡ δὲ Κατάνη ἀναφέρεται παρὰ τῷ αὐτῷ καὶ ὡς μητρόπολις.

δ. ὁ Λάμων. — ε. ὁ Ἀντιοχείας. — ϛ. ὁ Σελινοῦντος. — ζ. ὁ Ἡλίου Σεβαστῆς. — η. ὁ Ζηνωνοπόλεως. — θ. ὁ Δαυσάδων. — ι. ὁ Διοκαισαρείας. — ια. ὁ Ὄλβας. — ιβ. ὁ Κλαυδιουπόλεως. — ιγ. ὁ Νεαπόλεως. — ιδ. ὁ Δαλισανδοῦ. — ιε. ὁ Φιλαδελφείας. — ιϛ. ὁ Ἀδράσου. — ιζ. ὁ Μελόης. — ιη. ὁ Εἰρηνουπόλεως. ιθ. ὁ Γερμανικουπόλεως. — κ. ὁ Δομετιουπόλεως. — κα. ὁ Τιβήλων. — κβ. ὁ Κοδάκων. — κγ. ὁ Συνήδων.

Τῷ Κυέβῳ τῆς Ῥωσσίας ὑπόκεινται αἱ ἐπισκοπαὶ αὗται(1).

α. Τὸ μεγάλον Νοβογόροδον. — β. ἡ Τζερνιχόβη. — γ. ἡ Σούσδαλη. — δ. ἡ Ῥοστόβη. — ε. ἡ Μεγάλη Βλαδιμίρη. — ϛ. ἡ Περιεσθλάβη Ῥούσισκος. — ζ. τὸ Ἀσπρόκαστρον τὸ μεγάλον πλησίον τοῦ Κυέβου. — η. ὁ Ἅγιος Γεώργιος εἰς τὸν Ῥῶσον ποταμόν. — θ. Πολόσκα. — ι. ἡ Ῥωζάνη. — ια. ἡ Τυφέρνη. — ιβ. τὸ Σαράγιον.

Καὶ εἰς τὴν μικρὰν Ῥωσσίαν.

α. ἡ Γάλιτζα. — β. ἡ Βλαδιμίρη. — γ. ἡ Περεμίσλη. — δ. ἡ Λούτζισκα. — ε. ἡ Τουρούβη. — ϛ. ἡ Χόλμη. — ζ. Τὸ Σμολένκον.

ΕΚ ΤΟΥ ΝΕΙΛΟΥ ΔΟΞΑΠΑΤΡΗ

Περὶ τῶν πέντε πατριαρχικῶν θρόνων (2).

Ο ΑΛΕΞΑΝΔΡΕΙΑΣ κατεῖχεν ἅπασαν τὴν Λιβύην, καὶ τὴν Αἰθιοπίαν, καὶ ἕως Μαρμαρικῆς, καὶ Ἀφρικῆς Τριπόλεως, καὶ πᾶσαν τὴν Αἴγυπτον, καὶ αὐτὴν τὴν Παλαιστίνην, ἔνθα τὰ Ἱεροσόλυμα. Ἔχει οὖν καὶ οὗτος ἐπαρχίας διαφόρους, καὶ μητρο-

---

(1) Οἱ ἑξῆς θρόνοι τῆς Ῥωσσίας εὕρηνται μόνον παρὰ Γοάρῳ ἐν τῷ ἐπ' ὀνόματι τοῦ Λέοντος φερομένῳ καταλόγῳ.

(2) Πρὸς συμπλήρωσιν τῶν περὶ τῆς καταστάσεως τῶν θρόνων τῆς Ἐκκλησίας κατα τὴν ιά. ἑκατονταετηρίδα, προσετέθησαν ἐνταῦθα, ὡς ἐν παραρτήματι τοῦ προηγουμένου καταλόγου, τὰ ἄνω χωρία τῆς περὶ τῶν πέντε πατριαρχικῶν θρόνων πραγματείας Νείλου τοῦ Δοξαπατρῆ, ἅτε δὴ τοῦ προτεταγμένου καταλόγου ἀφορῶντος μόνους τοὺς ὑπὸ τὸν πατριάρχην Κωνσταντινουπόλεως ὑποκειμένους θρόνους. Τὰ χωρία ταῦτα ἐρανίσθημεν ἐκ τοῦ Ἀλλατίου de Consensu σελ. 165, 167, καὶ 195. Παρελείφθη δὲ ἡ ἔκδοσις καὶ τοῦ περὶ τῶν τῷ Κωνσταντινουπόλεως πατριάρχῃ ὑποκειμένων θρόνων καταλόγου τοῦ Δοξαπατρῆ, ἀλλ' οὐ παρεβλήθη, ὡς εἴρηται, πρὸς τὸν ἐν σελ. 455 καὶ ἑπ. ἐκδεδομένον.

πόλεις δεκατρεῖς· πρώτην ἐπαρχίαν, τὴν πρώτην Σταμνίκης, ἐν ᾗ πρώτη μητρόπολις τὸ Πηλούσιον, ἔχουσα διαφόρους ἐπισκοπάς· καὶ τὴν δευτέραν ἐπαρχίαν Σταμνίκης, ἐν ᾗ μητρόπολις δευτέρα ἡ Λεοντὼ, ἔχουσα διαφόρους ἐπισκοπάς· καὶ τὴν πρώτην ἐπαρχίαν Αἰγύπτου, ἐν ᾗ καὶ ἡ Ἀλεξάνδρεια, ἡ κεφαλὴ πασῶν· καὶ τὴν δευτέραν ἐπαρχίαν Αἰγύπτου· καὶ τὴν ἐπαρχίαν Ἀρκαδίας, ἐν ᾗ τρίτη μητρόπολις Ὀξύρυγχος, ἔχουσα ἐπισκοπὰς διαφόρους· καὶ τὴν δευτέραν ἐπαρχίαν Θηβαΐδος, ἐν ᾗ πέμπτη μητρόπολις Πτολεμαῒς, ἔχουσα ὑφ' ἑαυτὴν ἐπισκοπὰς διαφόρους· καὶ τὴν ἐπαρχίαν Λιβύης, ἐν ᾗ ἐστι μητρόπολις Δαρικὼ, ἔχουσα ἐπισκοπάς τινας· ἔτι ἔχει ἑτέραν μητρόπολιν ἡ Ἀλεξάνδρεια καὶ ἑβδόμην τὴν Μαριὰτ, καὶ ὀγδόην, τὸ Γονέσιν ἐν τῷ ἑβδόμῳ στόματι τοῦ Νείλου· ἑπτὰ γὰρ ἔχει στόματα ὁ Νεῖλος, ἐν οἷς πόλεις διάφοροι. Αὗται μὲν οὖν ὀκτὼ μητροπόλεις Ἀλεξανδρείας, ἔχουσαι καὶ ἐπισκοπὰς διαφόρους ὑφ' ἑαυτάς. Εἰσὶ δὲ αἱ λοιπαὶ πέντε μητροπόλεις αὐτῆς οὐκ ἔχουσαι ἐπισκοπὰς ὑφ' ἑαυτάς· εἰσὶ δὲ αὗται· ἡ Δαμιάτα, ἡ Σάτα, ἡ τῆς Ἐρυθρᾶς Θαλάσσης, ἡ Φαρὰν, καὶ ἡ Ἄρη, ὁμοῦ δεκατρεῖς. Εἶχε δὲ καὶ ἡ Ἀλεξάνδρεια καὶ ἄλλους θρόνους πολλούς· ἀλλὰ μετὰ τὸ γενέσθαι τὴν αἵρεσιν Σηβήρου, καθηρπάγησαν ὑπὸ τῶν Σηβηριανῶν· ὥσπερ εἶχε καὶ τὴν διακράτησιν πᾶσαν Ἱεροσολύμων, καὶ αὐτὰ τὰ Ἱεροσόλυμα, καὶ πάντας τοὺς θρόνους, τοὺς νῦν τελοῦντας ὑπὸ τὴν ἐνορίαν τοῦ θρόνου Ἱεροσολύμων· εἶχε γὰρ καὶ αὐτὴν τὴν Παλαιστίνην πᾶσαν τότε, ὡς προείπομεν, καὶ ἄλλας ἐπαρχίας. Ἔτι κατέχει τὴν ἐπαρχίαν Λιβύης Πενταπόλεως, καὶ τὴν ἐπαρχίαν Τριπόλεως Βαρβαρίας, ὥστε ἐκ τούτου λύεται καὶ ἡ φιλονεικία, ἡ μέσον τοῦ Ἀλεξανδρείας, καὶ τοῦ Καρθαγένης· δύο γὰρ Τριπόλεις εἰσίν· ἡ μία ὑπὸ τὴν ἀνατολὴν, ἥτις ἐστὶ τρισκαιδεκάτη ἐπισκοπὴ Τύρου ὑπὸ τὴν ἐπαρχίαν Φοινίκης παραλίας· ἡ δὲ Τύρος, ὡς προεγράφη, πρώτη μητρόπολις Ἀντιοχείας· αὕτη μὲν οὖν ἡ μία Τρίπολις· ἄλλη Τρίπολις ὑπὸ τὴν Αἰγυπτιακὴν διοίκησιν, τὴν καὶ Λιβυκὴν, ἡ λεγομένη τῆς Βαρβαρίας, ὑποκειμένη τῇ Ἀλεξανδρείᾳ, οὐκ αὐτὴ πρωτότυπος· οὐ γάρ ἐστι μητρόπολις, ἀλλ' ἐπισκοπὴ ὑποκειμένη μιᾷ μητροπόλει ἐκ τῶν τοῦ Ἀλεξανδρείας· μάτην οὖν ἐπιζητεῖ ταύτην ὁ Καρθαγένης, ὁ

τῷ τῆς Εὐρώπης προκαθημένῳ ὑποκείμενος, οἷον τῷ Ῥώμης. Ἐν τούτοις καὶ τὰ τοῦ θρόνου Ἀλεξανδρείας, ἤτοι Λιβύης. Πλὴν, εἰ καὶ ἅπασα ἡ ἀνατολὴ Ἀσία ἐκαλεῖτο, καὶ ἅπασα ἡ δύσις Εὐρώπη, ἀλλ' εἰσί τινες χῶραι τῆς ἀνατολῆς, αἵτινες ἰδικῶς χρῶνται τῷ τῆς Ἀσίας ὀνόματι, ὡς ἡ Ἔφεσος ἡ ἐν τῷ Θρακησίῳ, καὶ ἡ Σμύρνα, καὶ αἱ ἐκεῖσε πᾶσαι πόλεις, ὡς ἑξῆς δηλώσομεν· ὁμοίως εἰσὶ καὶ ἐν τῇ δύσει χῶραι, αἵτινες χρῶνται τῷ τῆς Εὐρώπης ὀνόματι, ὡς Ἡράκλεια ἡ ἐν τῇ Θρᾴκῃ, ἡ πλησίον Κωνσταντινουπόλεως· ὁμοίως καὶ ἐπὶ τῆς Λιβύης εἰσί τινες χῶραι ἰδικῶς τῆς Λιβύης καλούμεναι, ὡς ἡ ἐπαρχία Λιβύης Πενταπόλεως, ὡς προεγράψαμεν. Διὰ τοῦτο δὲ, ὡς οἶμαι, ἰδικῶς αὗται ἐχρήσαντο τοῖς γενικοῖς ὀνόμασι, διὰ τὸ ἐκεῖθεν ἄρχεσθαι ἕκαστον μέρος, ἤγουν τὸ Εὐρωπαῖον ἐκ τῆς Θρᾴκης, καὶ τὸ Ἀσιανὸν ἐκ τοῦ Θρακησίου ὁμοίως· καὶ τὸ Λιβυκὸν ἐκ τῆς Πενταπόλεως.

Ὁ Ἀντιοχείας κατεῖχεν ἅπασαν τὴν Ἀσίαν, καὶ Ἀνατολὴν, αὐτήν τε τὴν Ἰνδίαν, ὅπου καὶ ἕως τοῦ νῦν, καθολικὸν χειροτονῶν, στέλλει τὸν καλούμενον Ῥωμογύρεως, καὶ αὐτὴν τὴν Περσίαν. Ἔτι καὶ αὐτὴν τὴν Βαβυλῶνα, τὴν νῦν καλουμένην Βαγδᾶ· κἀκεῖ γὰρ ἔστελλεν ὁ Ἀντιοχείας καθολικὸν εἰς Εἰρηνούπολιν, τὸν λεγόμενον Εἰρηνουπόλεως· καὶ τὰς Ἀρμενίας, καὶ Ἀβασγίαν, καὶ Ἰβηρίαν, καὶ Μηδίαν, καὶ τὴν τῶν Χαλδαίων, καὶ Παρθίαν, καὶ Ἐλαμίτας, καὶ Μεσοποταμίαν. Ἔχει οὖν μητροπόλεις σήμερον δεκατρεῖς·

α'.	τὴν Τύρου, ἥτις ἔχει ὑφ' ἑαυτὴν ἐπισκόπους	ιγ'.
β'.	τὴν Ταρσοῦ, ἥτις ἔχει ὑφ' ἑαυτὴν	ς'.
γ'.	τὴν Ἐδέσης, ἥτις ἔχει ὑφ' ἑαυτὴν	ια.
δ'.	τὴν Ἀπαμείας, ἥτις ἔχει ὑφ' ἑαυτὴν	ζ'.
ε'.	τὴν Ἱεραπόλεως, ἥτις ἔχει ὑφ' ἑαυτὴν	θ'.
ς'.	τὴν Βόστριος, ἥτις ἔχει ὑφ' ἑαυτὴν	κ'.
ζ'.	τὴν Ἀναζάρβου, ἥτις ἔχει ὑφ' ἑαυτὴν	θ'.
η'.	τὴν Σελευκίας Ἰσαυρίας, ἥτις ἔχει ὑφ' ἑαυτὴν	κδ'.
θ'.	τὴν Δαμασκοῦ, ἥτις ἔχει ὑφ' ἑαυτὴν	ια'.
ι'.	τὴν Ἀμίδης, ἥτις ἔχει ὑφ' ἑαυτὴν	η'.

ια'. τὴν Σεργιουπόλεως, ἥτις ἔχει ὑφ' ἑαυτὴν ε'.
ιβ'. τὴν Δαρᾶς, ἥτις ἔχει ὑφ' ἑαυτὴν ι'.
ιγ'. τὴν Ἐμέσης, ἥτις ἔχει ὑφ' ἑαυτὴν δ'.

Ἔχει δὲ καὶ μητροπόλεις ἄλλας ἡ Ἀντιόχεια, μὴ ἐχούσας ὑφ' ἑαυτὰς ἐπισκόπους, αἵτινές εἰσι τὸν ἀριθμὸν ὀκτώ· αὗται γὰρ ἐπισκοπαὶ ἦσαν πρότερον ὑποκείμεναι ἄλλαις μητροπόλεσιν· ἐτιμήθησαν εἶναι μητροπόλεις καὶ αὗται, καὶ ὑποκεῖσθαι οὐχὶ μητροπολίταις, ἀλλ' αὐτῷ τῷ πατριάρχῃ Ἀντιοχείας, καὶ εἶναι αὐτοκέφαλοι, ὡς αἱ λοιπαὶ μητροπόλεις· διὸ καὶ διὰ τὸ εἶναι πρώην ἐπισκοπαὶ, οὐκ ἔχουσιν ὑφ' ἑαυτὰς ἐπισκόπους, ὡς αἱ παλαιαὶ μητροπόλεις. Εἰσὶν οὖν αἱ ὀκτὼ αὗται μητροπόλεις· ά. Βηρυτοῦ· β'. Ἡλιουπόλεως, ἥτις ἀπεσπάσθη τοῦ θρόνου Δαμασκοῦ· γ'. Λαοδικείας· δ'. τῶν Σαμοσάτων· έ. Μαρτυροπόλεως. ς'. Μοψουεστίας· ζ'. Ἀδάνας· ή. Πομπηϊουπόλεως. Ἔτι ἔχει ἡ Ἀντιόχεια καὶ ἀρχιεπισκοπὰς μεγάλας ὀκτώ· ά. τὴν Βέροιαν· β'. τὴν Χαλκηδόνα· γ'. τὴν Ἀγάβαλλαν· δ'. τὴν Σελεύκειαν τῆς Πιερίας· έ. τὴν Ἀνασάρθην, ἥτις καὶ Θεοδωρούπολις καλεῖται· ς'. τὴν Πάλτον· ζ'. τὴν Γαβαλάν· ή. τὴν Βαλαάμαν. Ἔτι ἔχει καὶ ἀρχιεπισκοπὰς λιτὰς καὶ ἐλευθέρας πέντε· ά. τὴν Σαλαμίων· β'. τὴν Βέρκον· γ'. τὴν Ῥασάν· δ'. τὴν Ἀγάθην· ε'. τὴν Βαρκουσῶν. Αὗται μὲν πᾶσαι αἱ Ἐκκλησίαι ὑπόκεινται τῷ θρόνῳ Ἀντιοχείας, διὰ τὸ καὶ πολλὰς ἐπαρχίας, καὶ χώρας ἔχειν ὑφ' ἑαυτὴν, ὡς εἴπομεν· πρὸς γὰρ τῇ Βαβυλῶνι, καὶ τῇ Ἰνδίᾳ, καὶ τῇ Περσίᾳ, ἔχει τὴν ἐπαρχίαν τῆς Κοίλης Συρίας, τὴν πρώτην, ὅπου ἡ Ἀντιόχεια, καὶ τὴν δευτέραν, καὶ τὴν Κιλικίαν, καὶ τὴν Ἰσαυρίαν, καὶ τὴν ἐπαρχίαν Εὐφρατησίας, καὶ Ἁγιουπόλεως, καὶ τῆς Θεοδωριάδος, τῆς Ὀσροηνῆς, τῆς Μεσοποταμίας, ἤτοι τετάρτης Ἀρμενίας, καὶ τὰ μεθόρια, καὶ τοὺς ὅρους Συρίας, καὶ Περσίας· ἔτι δὲ καὶ ἑτέρας ἐπαρχίας διαφόρους, καὶ κλίματα οὐκ ὀλίγα. Κατεῖχε δὲ πρότερον ἕως τῆς Χαλκηδόνος τῆς ἀντίπερα τοῦ Βυζαντίου, τῆς νῦν Κωνσταντινουπόλεως, τῆς ἐν τῇ Προποντίδι, ὅπου καὶ τὸ λεγόμενον Δάμαλον· ἵστατο γὰρ δάμαλίς τις μαρμαρίνη ἐπάνω κίονος ἱδρυμένη· κατεῖχεν οὖν καὶ ὁ Ἀντιοχείας ταῦτα πάντα.

—

Μετὰ δὲ ταῦτα ἐτιμήθη καὶ ὁ θρόνος Ἱεροσολύμων, ἀποσπασθεὶς τῆς ἐνορίας καὶ ἐξουσίας Ἀλεξανδρέων, καὶ γέγονεν αὐτοκέφαλος, καὶ κεφαλή, καὶ ἰσότιμος τοῖς τρισὶ θρόνοις· πλὴν ἐτάχθη μετὰ τὸν Ἀντιοχείας τιμᾶσθαι, καὶ ἀναφέρεσθαι, καὶ καθῆσθαι. Ἐκλήθη δὲ καὶ πατριάρχης καὶ αὐτὸς ὁ Ἱεροσολύμων, καί τοι πρότερον ἐπίσκοπος ὢν τοῦ Καισαρείας τῆς ἐν Παλαιστίνῃ· ἡ γὰρ Παλαιστίνη εἶχε μητρόπολιν τὴν Καισάρειαν, ὑφ' ᾗ ἐτέλει τὰ Ἱεροσόλυμα, ἐπισκοπὴ οὖσα αὐτῆς. Εἶχε δὲ καὶ ἑτέρας μητροπόλεις, ἐχούσας ὑφ' ἑαυτὰς διαφόρους ἐπισκοπὰς, ἤγουν δευτέραν τὴν Σκυθόπολιν, ἤτοι Βασὰν, τρίτην τὴν Πέτραν, τετάρτην τὴν Βόστρην, ἤτοι Ἀραβίαν. Ἔχει δὲ καὶ αὐτοκεφάλους ἐπισκοπὰς εἰκοσιπέντε, μὴ ἐχούσας ὑφ' ἑαυτὰς ἐπισκοπὰς, ὑποκειμένας δὲ τῷ θρόνῳ τῶν Ἱεροσολύμων· ά. τὴν Διοσπόλεως, ἤτοι Γεωργιουπόλεως· β'. τὴν Ἀσκάλωνος· γ'. τὴν Ἰόππης· δ'. τὴν Γάζης· ε. τὴν Ἀνθηδόνος· ς'. τὴν Διοκλητιανουπόλεως· ζ'. τὴν Ἐλευθερουπόλεως· ή. τὴν Νεαπόλεως· θ'. τὴν Σεβαστῆς· ι'. τὴν Ἰορδάνου· ιά. τὴν Τιβεριάδος· ιβ'. τὴν Διοκαισαρείας· ιγ'. τὴν Μαξιμιανουπόλεως· ιδ'. τὴν Καπετωλιάδος· ιέ. τὴν Μύρους· ις'. τὴν Γαδάρου· ιζ'. τὴν τῆς Ναζαρέτ· ιή. τὴν Θαβωρίου ὄρους· ιθ'. τὴν Κυριακουπόλεως· κ'. τὴν Ἀδρίας· κά. τὴν Γαβάλων· κβ'. τὴν Αἰλίας· κγ'. τὴν Φαρᾶς· κδ'. τὴν Ἑλενουπόλεως· κέ. τὴν τοῦ ὄρους Σινᾶ.

Γ'. ΕΚΘΕΣΙΣ ΒΑΣΙΛΕΩΣ ΚΥΡΟΥ ΑΝΔΡΟΝΙΚΟΥ

Τοῦ Παλαιολόγου τοῦ γέροντος, ὅπως νῦν ἔχουσι τάξεως αἱ ὑποκείμεναι μητροπόλεις τῷ πατριαρχικῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως (1).

α. Ὁ ΚΑΙΣΑΡΕΙΑΣ.

β. ὁ Ἐφέσου.

γ. ὁ Νικομηδείας.

δ. ὁ Νικαίας.

---

(1) Ὁ κατάλογος οὗτος εὕρηται παρὰ Γοάρῳ, σελ 400 — 401· παρεβλήθη δὲ μετ' ἄλλου σωζομένου ἐν τῷ νομικῷ κώδικι (Χειρ. Γ.) τοῦ ἐν μακαρίᾳ τῇ λήξει Γερασίμου, Ἀργολίδος, οὗ αἱ διάφοροι γραφαὶ ἐσημειώθησαν ἐν τοῖς σχολίοις.

ε. ὁ Ἡρακλείας.

ϛ. ὁ Ἀγκύρας.

ζ. ὁ Κυζίκου.

η. ὁ Σάρδεων.

θ. ὁ Χαλκηδόνος.

ι. ὁ Φιλαδελφείας· αὕτη ἐπισκοπὴ οὖσα τοῦ Σάρδεων, προεβιβάσθη παρὰ τοῦ βασιλέως κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου εἰς θρόνον δέκατον.

ια. ὁ Θεσσαλονίκης· καὶ αὕτη θρόνος οὖσα ιϛ., εἰς ια. παρὰ τοῦ εἰρημένου βασιλέως ἀνήχθη· νῦν δὲ τὸν τόπον ἐπέχει τοῦ Ἀγκύρας.

ιβ. ὁ Ἀδριανουπόλεως· καὶ αὕτη θρόνος οὖσα μ., εἰς ιβ. ἐτιμήθη.

ιγ. ὁ Σίδης· ἡ δέκατος οὖσα θρόνος, εἰς ιγ. ὑπεβιβάσθη.

ιδ. ὁ Σεβαστείας· καὶ αὕτη ια. οὖσα θρόνος, εἰς ιδ. ὑπεβιβάσθη.

ιε. ὁ Ἀμασείας· ὁμοίως καὶ αὕτη ιβ. οὖσα, εἰς ιε. κατήχθη.

ιϛ. ὁ Μελιτηνῆς· ὡσαύτως καὶ αὕτη ιγ. οὖσα, ιϛ. ὑπεβιβάσθη.

ιζ. ὁ Τυάνων· καὶ αὕτη ιδ. οὖσα θρόνος, εἰς ιζ. κατήχθη.

ιη. ὁ Γαγγρῶν· καὶ αὕτη ιε. οὖσα θρόνος, εἰς ιη. κατήχθη.

ιθ. ὁ Ποντοηρακλείας· αὕτη ἐπισκοπὴ ἦν τοῦ Κλαυδιουπόλεως· καὶ διὰ τὸ ὑπὸ ἐθνῶν ἐκείνην κατασχεθῆναι, ἐτιμήθη αὕτη ἀντ' ἐκείνης εἰς μητρόπολιν, εἰς θρόνον ιζ. νῦν δὲ ιθ. γέγονεν.

κ. ὁ Προύσης· καὶ αὕτη ἑκατοστὸς θρόνος οὖσα, εἰς εἰκοστὸν προεβιβάσθη.

κα. ὁ Πηγῶν· καὶ αὗται ϟ. θρόνος οὖσαι, εἰς κα. προήχθησαν.

κβ. ὁ Περγάμου· καὶ αὕτη θρόνος ξθ. οὖσα, εἰς κβ. προεβιβάσθη.

κγ. ὁ Νεοκαισαρείας· ὁμοίως καὶ αὕτη θρόνος ιη. οὖσα, εἰς κγ. ὑπεβιβάσθη.

κδ. ὁ Πισσινοῦντος· καὶ αὕτη θρόνος οὖσα ιθ., εἰς κδ. ὑπεβιβάσθη.

κε. ὁ Μύρων· καὶ αὐτὰ κ. οὖσα, εἰς κε. κατήχθη.

κϛ. ὁ Σταυρουπόλεως· καὶ αὕτη κα. οὖσα, κϛ. γέγονεν.

κζ. ὁ Λαοδικείας, καὶ αὕτη κβ. οὖσα, κζ. γέγονεν.

κη. ὁ Συνάδων· καὶ αὕτη κγ. οὖσα, κη. γέγονεν.

κθ. ὁ Ἰκονίου· καὶ αὐτὸ θρόνος κδ. ὤν, εἰς κθ. κατεβιβάσθη.

λ. ὁ Βεῤῥοίας (1)· καὶ αὐτὴ ἐπισκοπὴ τοῦ Θεσσαλονίκης, ἤ, ὥς τινες, τοῦ Ἀχρίδος, ἐτιμήθη λ'.

λα. ὁ Πισιδίας· αὕτη θρόνος κε. οὖσα, λα. γέγονεν.

λβ. ὁ Συλαίου· καὶ αὐτὸ θρόνος ὂν κϛ., εἰς λβ. κατήχθη.

λγ. ὁ Κορίνθου· καὶ αὐτὴ κζ. οὖσα, εἰς λγ. κατῆλθεν.

λδ. ὁ Μονεμβασίας (2)· ἐπισκοπὴ οὖσα Κορίνθου, ἤ, ὥς τινες, τῶν παλαιῶν Πατρῶν, ἐτιμήθη λδ'.

λε. ὁ Ἀθηνῶν· ὡσαύτως καὶ αὐτὴ θρόνος οὖσα κη., εἰς λε. ὑπεβιβάσθη.

λϛ. ὁ Μωκησσοῦ· καὶ αὕτη θρόνος οὖσα κθ., εἰς λϛ. κατήχθη.

λζ. ὁ Κρήτης· καὶ αὕτη λ. οὖσα, εἰς λζ. ὑπεβιβάσθη.

λη. ὁ Καλαβρίας· καὶ αὐτὴ θρόνος οὖσα λα., εἰς λή. ὑπεβιβάσθη.

λθ. ὁ Παλαιῶν Πατρῶν· καὶ αὐτὴ λβ. οὖσα, εἰς λθ'. ὑπεβιβάσθη.

μ. ὁ Τραπεζοῦντος· καὶ αὐτὴ λγ. οὖσα, εἰς μ. κατήχθη (3).

μα. ὁ Λαρίσσης· καὶ αὐτὴ λδ. οὖσα, εἰς μα. κατήχθη.

μβ. ὁ Ναυπάκτου· καὶ αὐτὸς λε. ὢν θρόνος, εἰς μβ. κατῆλθεν.

μγ. ὁ Φιλιππουπόλεως· καὶ αὐτὴ λϛ. οὖσα, μγ. γέγονεν.

μδ. ὁ Τραϊνουπόλεως· καὶ αὐτὴ λζ. οὖσα, μδ. γέγονεν.

με. ὁ Ῥόδου· καὶ αὐτὴ λή. οὖσα, μέ. κατέστη.

μϛ. ὁ Σεῤῥῶν· καὶ αὐτὴ νή. οὖσα, εἰς μϛ. ἀνήχθη.

μζ. ὁ Φιλίππων· καὶ αὐτὴ λθ. οὖσα, εἰς μζ. κατήχθη.

μη. ὁ Χριστουπόλεως· καὶ αὐτὴ θρόνος ϛϛ. οὖσα, εἰς μή. προεβιβάσθη.

μθ. ὁ Ἱεραπόλεως· αὐτὴ μά. οὖσα, εἰς μθ. ὑπεβιβάσθη.

ν. ὁ Δυῤῥαχίου· καὶ αὐτὸ μβ. ὄν, εἰς ν. ὑπεβιβάσθη.

---

(1) Ἡ Βέῤῥοια, ἐπισκοπὴ οὖσα τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Ἀχρίδος, εἰς λ'. θρόνον κατήχθη. Γ. ἐν περισσλ. — (2) Ἡ Μονεμβασία αὕτη ἐπισκοπὴ οὖσα τοῦ Κορίνθου, εἰς μητρόπολιν καὶ ι'. θρόνον προεβιβάσθη. Γ. ἐν περισσλ. — (3) ὕστερον ἐδόθη αὐτῇ ὁ τόπος τῆς Ἐφέσου. Χαρ. Γ.

να. ὁ Σμύρνης· καὶ αὐτὴ μγ. οὖσα, εἰς νά. κατήχθη.
νϐ. ὁ Μιτυλήνης· καὶ αὐτὴ μθ. οὖσα, εἰς νϐ. κατήχθη.
νγ. ὁ Ἰωαννίνων, ἐπισκοπὴ οὖσα τοῦ Ναυπάκτου, ἐτιμήθη (1).
νδ. ὁ Διδυμοτείχου· αὐτὸ ἀρχιεπισκοπὴ ὂν (2) ποτε, ἐτιμήθη.
νε. ὁ Μελενίκου (3).
νϛ. ὁ Κατάνης· καὶ αὐτὴ μδ. οὖσα, εἰς νζ. κατήχθη.
νζ. ὁ Ἀμορίου· καὶ αὐτὸ μέ. ὄν, νή. γέγονεν.
νη. ὁ Καμάχου· καὶ αὐτὴ μϛ. οὖσα, νθ. γέγονεν.
νθ. ὁ Κοτυαείου· καὶ αὐτὸ μζ. ὄν, γέγονε ξ.
ξ. ἡ Ἁγία Σεβηριανή· καὶ αὐτὴ μη. οὖσα, γέγονε ξά.
ξα. ὁ Νέων Πατρῶν· καὶ αὗται ν. οὖσαι, εἰς ξϐ. ὑπεϐιϐάσθησαν.
ξϐ. ὁ Ἄπρω· καὶ αὐτὸ ξθ. ὄν, προήχθη εἰς ξγ.
ξγ. ὁ Ἀμάστριδος· καὶ αὐτὴ νϐ. οὖσα, εἰς ξδ. κατήχθη.
ξδ. ὁ Χωνῶν· καὶ αὗται νγ. οὖσαι, εἰς ξε. κατήχθησαν.
ξε. ὁ Ἱδροῦντος· καὶ αὐτὴ νδ. οὖσα, εἰς ξϛ. κατήχθη.
ξϛ. ὁ Κελτζηνῆς· καὶ αὐτὴ νέ. οὖσα, ξζ. γέγονεν.
ξζ. ὁ Κολωνείας· καὶ αὐτὴ νϛ. οὖσα, ξή. γεγόνασι.
ξη. ὁ Θηϐῶν· καὶ αὗται νζ. οὖσαι, ξθ. γεγόνασιν.
ξθ. ὁ Πομπηϊουπόλεως· καὶ αὐτὴ νθ. οὖσα, εἰς ο. κατήχθη.
ο. ὁ Ῥωσίας· καὶ αὐτὴ ξ. οὖσα, εἰς οϐ. κατήχθη θρόνον.
οα. ὁ Αἴνου· καὶ αὐτὴ ξά. οὖσα, ογ. γέγονεν.
οϐ. ὁ Ἀλανίας (4)· καὶ αὐτὴ ξϐ. οὖσα, οδ. γέγονεν.
ογ. ὁ Φαρσάλων· καὶ αὐτὰ ἀρχιεπισκοπὴ ὄντα, ἐτιμήθησαν.
οδ. ὁ Τιϐεριουπόλεως, ἤτοι Βάρνης· ἣ ξγ. οὖσα, οε. γέγονε.
οε. ὁ Εὐχαΐτων· καὶ αὐτὰ ξδ. ὄντα, οϛ. γεγόνασιν.
οϛ. ὁ Κερασοῦντος· καὶ αὐτὴ ξέ. οὖσα, οζ. γέγονεν.
οζ. ὁ Νακωλείας· καὶ αὐτὴ ξϛ. οὖσα, οη. γέγονεν.
οη. ὁ Γερμίων· καὶ αὐτὰ ξζ. ὄντα, οθ. γεγόνασιν.
οθ. ὁ Μαδύτων· καὶ αὐτὰ ξή. ὄντα, π. γεγόνασιν.

---

(1) προεϐιϐάσθη δὲ εἰς νγ΄. θρόνον. Γ. ἐν περισσ. — (2) πάλαι ποτὲ, ἢ μᾶλλον ἐπισκοπὴ τοῦ Τραϊανουπόλεως Ῥοδόπης, εἰς νδ΄ θρόνον προεϐιϐάσθη. Γ. ἐν περισσ. καὶ Χειρ. Γ. — (3) νέ. Ἡ Λακεδαίμων. — νϛ΄. ὁ Μελένικος. Χειρ. Γ. — (4) οϐ΄. ἡ Ἀλανία. Ἡνώθη τῇ Ἀλανίᾳ καὶ ἡ ἐπισκοπὴ Σωτηριούπολις διὰ χρυσοϐούλλου τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ πράξεως συνοδικῆς. Χειρ. Γ. — ογ΄. ἡ Αἶνος. — οδ΄. τὰ Φάρσαλα.

π. ὁ Ἀπαμείας· καὶ αὐτὴ ἀρχιεπισκοπὴ οὖσα, ἐτιμήθη εἰς μητρόπολιν (1).

πα. ὁ Λιτβῶν· τὰ Λίτβαδα. ἐνορία ὄντα τῆς μεγάλης Ῥωσίας, μητροπόλεις γεγόνασιν ἐπὶ τῆς βασιλείας κυροῦ Ἀνδρονίκου, ἐπὶ τοῦ πατριάρχου Ἰωάννου Γλυκέως (2).

πβ. ὁ Καυκάσου, ἐν ἔθνει Οὐβδίνης· καὶ αὐτὴ ἐπισκοπὴ οὖσα τῆς Βουλγαρίας, ἐτιμήθη (3).

πγ. ὁ Γοτθίας· καὶ αὐτὴ ἀρχιεπισκοπὴ οὖσα, μητρόπολις γέγονεν.

πδ. ὁ Βασιλαίου· καὶ αὐτὸ θρόνος ὂν ο., ὑπεβιβάσθη εἰς πζ.

πε. ὁ Ναζιανζοῦ· καὶ αὐτὴ οβ. οὖσα, εἰς πή. κατέβη.

πς. ὁ Κερκύρων· ἃ ογ. ὄντα, πθ. γεγόνασιν.

πζ. ὁ Ἀβύδου, ἡ οδ. οὖσα, ϟ. γέγονε.

πη. ὁ Μηθύμνης.

πθ. ὁ Χριστιανουπόλεως, ἡ ος. οὖσα, ϟβ. γέγονεν.

ϟ. ὁ Ῥωσίου· καὶ αὐτὸ οζ. ὄν, ϟγ. γέγονεν.

ϟα. ἡ Παροναξία· αὗται προῆσαν θρόνος οθ., γεγόνασι δὲ ϟδ.

ϟβ. ὁ Ἀτταλείας, ἡ π. οὖσα, ϟε. γέγονεν.

ϟγ. ὁ Ζηκχίας· αὐτὴ ἀρχιεπισκοπὴ οὖσα, μητρόπ. γέγονεν (4).

ϟδ. ὁ Βοσπόρου· καὶ αὐτὴ προεβιβάσθη, ἀρχιεπισκοπὴ οὖσα.

ϟε. ὁ Βιτζίνης (5).

ϟς. ὁ Σουγδαίας· ἡ ἀπὸ ἀρχιεπισκοπῆς ἐτιμήθη (6).

ϟζ. ὁ Μεσημβρίας· ἡ πγ. θρόνος οὖσα, ρ. γέγονεν.

ϟη. ὁ Ἀρκαδιουπόλεως· ἡ πδ. οὖσα, γέγονε ρα.

ϟθ. ὁ Σηλυβρίας· καὶ αὐτὴ πα. οὖσα, ρβ. γέγονεν.

ρ. ὁ Μιλήτου· καὶ αὐτὴ πδ. οὖσα, ργ. γέγονεν.

ρα. ὁ Γερδίκου· καὶ αὐτὴ πε. οὖσα, ρδ. γέγονεν.

---

(1) πά. Γάλιτζα, ἐπισκοπὴ οὖσα τῆς Ῥωσίας, ἐτιμήθη εἰς μητρόπολιν παρὰ τοῦ Βασιλέως κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου ἐπὶ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Ἀθανασίου, ἐν ἔτει ,ςωιά. — πβ΄. ἡ Ἀπάμεια ἀρχιεπισκοπὴ οὖσα ἐτιμήθη. Χειρ. Γ. — (2) Ἡ Λιτβῶν, ἐνορία τῆς μεγάλης Ῥωσίας, μητρόπολις γέγονε παρὰ τοῦ εἰρημένου βασιλέως, πατριαρχοῦντος κυροῦ Ἰωάννου τοῦ Γλυκέος, ἐν ἔτει ,ςω΄. — (3) πγ΄. ὁ Καυκάσου. — πδ΄. ἡ Βυδίνη, ἐπισκοπὴ οὖσα τῆς ἀρχιεπισκοπῆς Βουλγαρίας, εἰς μητρόπολιν προεβιβάσθη. — πέ. ἡ Γοτθία. — (4) ἡνώθη αὐτῇ καὶ τὰ Μάτραχα. Χειρ. Γ. (5) ἴσως Βυδίνης. — (6) ἡνώθησαν αὐτῇ καὶ ὁ Καφᾶς, καὶ αἱ Φοῦλλαι. Χειρ. Γ.

ρϐ. ὁ Ἄργους· καὶ αὐτὸς πη. ὤν, ρε. γέγονεν.
ργ. ὁ Δρύστρας· καὶ αὐτὴ οα. οὖσα, κατήχθη εἰς ρς.
ρδ. ὁ Πυργίου· ὃς Ϟ. ὤν, ρζ. γέγονεν.
ρε. ὁ Σεβαστουπόλεως· ἡ θρόνος να. οὖσα, κατεβιβάσθη εἰς ρη.
ρς. ὁ Εὐρίπου· ὡσαύτως καὶ αὐτὸς Ϟϐ. ὤν, ρθ. γέγονεν.
ρζ. ὁ Κυβίστου· ὁμοίως καὶ αὐτὰ Ϟγ. ὄντα, ρι. γέγονεν.
ρη. ὁ Ἀντιοχείας.
ρθ. ὁ Ἀχυράους(1).

ΟΣΑΙ ΤΩΝ ΠΟΛΕΩΝ ΜΕΤΩΝΟΜΑΣΘΗΣΑΝ ἐς ὕστερον.

ΕΠΙΔΑΜΝΟΣ, τὸ νῦν Δυῤῥάχιον. — Πρέϐελλις, ἡ Ἄχριδα. — Ἡράκλεια, ἡ νῦν Πελαγονία. — Σελασφόρος, ἡ νῦν Δεάϐολις. — Ἰλλυρικὴ, τὰ νῦν Κάνινα, [ἄλλως] Ἰάννινα. — Ἔδεσσα, τὰ νῦν Μόγλαινα. — Ἀξειὸς ποταμὸς, ὁ νῦν Βαρδάριος. — Ἄργος Θετταλικὸν, ἡ Λάρισσα. — Ἔπεια, ἡ νῦν Κορώνη. — Πήδασος, ἡ νῦν Μεθώνη· ταύτης πλησίον ἐστὶ Χεῤῥόνησος, ἥτις καλεῖται Πύλος, ἡ πατρὶς Νέστορος, νῦν δὲ καλεῖται Ἀβαρῖνος.

Τρίκκη, τὰ νῦν Τρίκαλα. — Θεούπολις, ἡ νῦν Προῦσα. — Ἀπολλωνία, ἡ νῦν Ἱερισσὸς, ἡ πρὸς τῷ Ἄθῳ ὄρει κειμένη.

Ἀμφίπολις, ἡ νῦν Χρυσόπολις. — Θεοδοσιούπολις ἡ νῦν Ἄπρως, παρὰ τοῦ Ἄπρου, πενθεροῦ Κάρου, κτισθεῖσα.

Ὀρθαγορία καὶ Στάγειρα, ἡ νῦν Μάκρη. — Τόπειρος, τὸ νῦν Ῥούσιον. — Πέρινθος, νῦν Ἡράκλεια. — Τιβεριούπολις, ἡ νῦν

---

(1) ἐν Χειρ. Γ. ἕπονται τὰ ἑξῆς· Ἐτιμήθησαν εἰς μητροπόλεις· — ά. τὸ Γάνος. — ϐ'. ἡ Δέρκος. — γ'. ἡ Μήδεια. — δ'. ἡ Χερσών. — έ. ἡ Δράμα. — ς'. αἱ Ζίχναι. — ζ'. ἡ Μαρώνεια. — ή. τὸ Περιθεώριον. — θ'. ἡ Λῆμνος. — Αἱ ἀρχιεπισκοπαὶ, πλὴν ὧν ἐτιμήθησαν εἰς μητροπόλεις. — ά. ἡ Βιζύη. — ϐ'. ἡ Λεοντόπολις. — γ'. τὸ Πάριον. — δ'. ἡ Μίλητος. — έ. Προικόννησος. — ς'. ἡ Κίος. — ζ'. τὰ Κύψελλα. — ή. ἡ Νίκη. — θ'. ἡ Ἱδρούς. — ι'. ἡ Νεάπολις. — ιά. ἡ Σέλλη. — ιϐ'. ἡ Μεσήνη. — ιγ. ἡ Γαρέλλα. — ιδ'. ἡ Βρύσις. — ιέ. ἡ Καραβιζύη. — ις'. ἡ Λευκάς. — ιζ'. ἡ Μίσθεια. — ιή. ἡ Πηδαχθόη. — ιθ'. ἡ Γέρμη. — κ'. ἡ Κότραλις. — κά. οἱ Ῥοῖνοι. — κϐ'. ἡ Κάρπαθος. — κγ'. τα Ἡρακλέους. — κδ'. ἡ Αἴγινα. — κέ. ἡ Ἀγχίαλος ἐτιμήθη εἰς μητρόπολιν.

Ἐτιμήθησαν παρὰ τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου κυροῦ Μανουὴλ τοῦ Παλαιολόγου εἰς ἀρχιεπισκοπὰς καὶ ἡ Ἴμβρος, καὶ ἡ Θάσσος.

Στρούμιτζα. — Βελεντιούπολις, τὸ Βελεαβούδιον. — Δάρας, τὸ νῦν Ταυρίς. — Μαρτυρούπολις, τὸ νῦν Μερφεκῆ. — Βέῤῥοια, τὸ νῦν Χαλέπ. — Προποντίδες δύο, ἡ μὲν κατὰ τὴν Ἄβυδον, ἡ δὲ κατὰ τὸ Ἱερὸν καὶ Ψαμμάθιον.

Γερμανικία Συρίας, ἡ νῦν Τελεσαῦρα. — Μόψου δὲ κρῆναι, [οὐ κεῖται]. — Σπερχειὸς ποταμὸς, ὁ νῦν Ἀγριεμέλας. — Κασταβαλλα Κιλικίας, ἡ νῦν Μάμιστα. — Αἱ ἄνω Γαλλίαι, καὶ τὰ ἐπέκεινα τῶν Ἄλπεων εἰσὶ πρὸς τὸν Ὠκεανὸν, οἷον Γαλατία, Ἱσπανία. — Γερμανοὶ δὲ οἱ Φράγκοι. — Σύρμιον, ἡ νῦν Οὐγγρία, καὶ Στρίωμος (;)· οἱ δὲ Οὔγγροι τὸ παλαιὸν ἐλέγοντο Γήπαιδες. — Δορύστολον, ἡ νῦν Δύστρα. — Ὀδρυσὸς καὶ Ὀρεστιὰς, ἡ νῦν Ἀδριανούπολις. — Μαιῶτις λίμνη, ἡ νῦν Γαλατία. — Ποτίδαια, ἡ νῦν Κασσάνδρεια. — Κολοσσὸς, ἡ Ῥόδος. — Ἀχαΐα, ἡ νῦν Πάτρα. — Δαναοὶ, οἱ Ἕλληνες. — Ἀσία, ἡ Ἔφεσος. — Ἰωνία, ἡ περὶ Ἀσίαν. — Εὔβοια, ἡ Εὔριπος. — Βοιωτία, αἱ Θῆβαι. — Φθία, ἡ Φαρσαλία. — Νικόπολις, ἡ νῦν Πρέβεζα. — Αἰτωλία, τὰ Λεχώνια. — Κέρκυρα, ἡ Φαιακία. — Δωδώνη, ἡ Βόνδιτζα. — Ἤπειρος, τὸ Βουθρωτόν. — Δελφοὶ, τὸ Χρυσὸν, καὶ Σόλων (1). — Διόσπολις, τὸ Ῥάμπελον. — Καισάρεια Φιλίππου, ἡ Τονόπυργος· ἡ αὐτὴ καὶ Πανεάς, ἀπὸ τοῦ ἐκεῖ ὄρους Πανείου. — Σαρδική, ἡ νῦν Τριάδιτζα. — Λάρυμνα, ἡ Λάρισσα. — Θέρμη καὶ Ἠμαθία, ἡ Θεσσαλονίκη. — Κολασσαὶ, αἱ Χῶναι. — Ῥοδόπη, ἡ Φιλιππούπολις. — Ἰταλία, ἡ Λογγιβαρδία. — Μέμφη, τὸ νῦν Ταμιάθιν. — Πέργη, τὸ νῦν Πυργίν. — Ἄβδηρα, τὸ νῦν Πολύστυλον (2).

—

(1) Σάλωνα. — (2) Ἐν ἑτέροις καταλόγοις εὕρηνται καὶ τὰ ἑξῆς. — Βοιωτία, ἡ νῦν Λειβαδία. — Ὀλοσσὼν, ἡ Ἐλασσών. — Ἑλλὰς, ἡ νῦν ὀνομαζομένη Πελοπόννησος. — Εὐρώπη, ἡ δύσις πᾶσα. — Ἰλλυριοὶ, οἱ Ἀλβανῖται. — Καιτιαῖοι, οἱ νῦν Μακεδόνες. — Κιλικία, ἡ Ἀρμενία. — Ὀλυμπία ἐν Ἀρκαδίᾳ. — Πτολεμαΐς, ἡ Φιλαδέλφεια. — Φωτικὴ, ἡ νῦν Βελλᾶ. — Πύδνα, τὸ νῦν Κίτρος. — Θερμοπύλαι, τὸ νῦν Σκέλος. — Σίπυλον ὄρος, ὁ νῦν Κουσινᾶς. — Σωτηρόπολις, τὰ νῦν Πύθια. — Ἔμεσα, τὸ παρὰ τοῖς Σαρακηνοῖς Χέμψ. — Ὑποπλάκιοι Θῆβαι, τὸ νῦν Ἀδραμύττιον. — Ἄργος Θετταλικὸν, ἡ νῦν Λάρισσα. — Κρόμνα, ἡ νῦν Ἄμαστρις. — Τόπειρος, τὸ νῦν Ῥούσιον. — Ἀμιδα, τὸ νῦν Ἔμετ. — Ἴστρος ποταμὸς, ὁ νῦν Δανούβιος. (Tafel, ἐν παραρτήματι τοῦ περὶ Θεμάτων Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, Tubingæ, 1846.)

ΕΚΘΕΣΙΣ ΝΕΑ (1).

Ὅπως γράφει νῦν ὁ Κωνσταντινουπόλεως πατριάρχης τῷ πάπᾳ, καὶ τοῖς λοιποῖς πατριάρχαις, καὶ ἀρχιεπισκόποις· καὶ μὴν καὶ τοῖς μητροπολίταις, καὶ τοῖς κοσμικὰς ἀρχὰς διϊθύνουσιν· ὅπως τε νῦν ἔχουσι τάξεως οἱ ὑποκείμενοι θρόνοι τῷ πατριάρχῃ Κωνσταντινουπόλεως· καὶ ποῖαι ἀρχιεπισκοπαὶ, καὶ ἐπισκοπαὶ ἐτιμήθησαν εἰς μητροπόλεις· ὅπως τε οἱ μητροπολῖται γράφουσι πρός τε αὐτὸν τὸν πατριάρχην, καὶ τοὺς λοιποὺς πατριάρχας, καὶ πρὸς ἑτέρους τινάς. Ἐγράφη δὲ ἡ παροῦσα ἔκθεσις Σεπτεμβρίου ά. ἐν ἔτει ,ϛωλέ. Ἰνδικτιῶνος δεκάτης.

Ὅπως ὁ πατριάρχης νῦν τῷ πάπᾳ γράφει.

ΤΩ ΜΑΚΑΡΙΩΤΑΤΩ δεσπότῃ τῷ πάπᾳ, κυρίῳ Οὐρβανῷ, ἄκρῳ ἀρχιερεῖ ἀξιωτάτῳ. † Νεῖλος, ἐλέῳ Θεοῦ, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἐν τῷ τέλει· Ἔῤῥωσο ἐν Κυρίῳ, μακαριώτατε δέσποτα.

Ὅπως γράφει τῷ Ἀλεξανδρείας.

Ἁγιώτατε δέσποτα, πάπα, καὶ πατριάρχα Ἀλεξανδρείας, καὶ πάσης Αἰγύπτου, Πενταπόλεως, Λιβύης, καὶ Αἰθιοπίας, ἐν ἁγίῳ Πνεύματι ποθεινότατε ἀδελφὲ καὶ συλλειτουργέ. Εὔχομαι τῷ Θεῷ ὑγιαίνειν τὴν ἁγιωσύνην σου καὶ σωματικῶς εἰς σύστασιν καὶ ὠφέλειαν τοῦ ὑπ᾽ αὐτὴν Χριστωνύμου πληρώματος.

Καὶ ἐν τῷ τέλει· Ἔῤῥωσο ἐν Κυρίῳ, μακαριώτατε δέσποτα.

Ὅπως γράφει τῷ Ἀντιοχείας·

Ἁγιώτατε δέσποτα, πατριάρχα Θεουπόλεως, μεγάλης Ἀντιοχείας, καὶ πάσης Ἀνατολῆς, ἐν ἁγίῳ Πνεύματι ποθεινότατε ἀδελφὲ καὶ συλλειτουργέ. Εὔχομαι τῷ Θεῷ, καὶ τὰ ἑξῆς, ὡς πρὸ ὀλίγου ἐγράφη ἄνω εἰς τὸν Ἀλεξανδρείας.

---

(1) Ἐκ τοῦ Γ. Κοδινοῦ τοῦ Κουροπαλάτου παρὰ Γοάρῳ σελ. 406—419. Παρεβάλομεν δὲ τὴν ἔκθεσιν ταύτην καὶ πρὸς τὸ Χειρ. Γ. παραδεξάμενοι τὴν ἐν αὐτῷ κατάταξιν τῆς ὕλης, ὡς τῇ πληρεστέρᾳ ταύτῃ αὐτοῦ ἐπιγραφῇ μᾶλλον συνᾴδουσαν.

Ὅπως γράφει τῷ Ἱεροσολύμων·

Ἁγιώτατε δέσποτα, πατριάρχα Ἱεροσολύμων, ἁγίας Σιὼν, Συρίας, Ἀραβίας πέραν Ἰορδάνου, Κανᾶ τῆς Γαλιλαίας, καὶ πάσης Παλαιστίνης, ἐν ἁγίῳ Πνεύματι ποθεινότατε ἀδελφὲ, καὶ συλλειτουργέ. Εὔχομαι τῷ Θεῷ, καὶ τὰ ἑξῆς ὁμοίως.

Ὅπως γράφει τῷ πατριάρχῃ Τορνόβου·

Ἁγιώτατε πατριάρχα Τορνόβου καὶ πάσης Βουλγαρίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος, καὶ συλλειτουργέ.

Ὅπως γράφει πρὸς τὸν Πεκίου.

Ἁγιώτατε ἀρχιεπίσκοπε Πεκίου καὶ πάσης Σερβίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος, καὶ συλλειτουργέ· Εὔχομαι τῷ Θεῷ, καὶ τὰ ἑξῆς.

Ὅπως γράφει πρὸς τὸν Ἀχριδῶν.

Μακαριώτατε ἀρχιεπίσκοπε τῆς πρώτης Ἰουστινιανῆς Ἀχριδῶν, καὶ πάσης Βουλγαρίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος, καὶ συλλειτουργέ. Εὔχομαι τῷ Θεῷ, κτλ.

Ὅπως γράφει πρὸς τὸν Ἰβηρίας·

Μακαριώτατε ἀρχιεπίσκοπε καθολικὲ πάσης Ἰβηρίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ, καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος. Εὔχομαι τῷ Θεῷ, κτλ.

Ἐν τέλει τῶν γραμμάτων πάντων τούτων (1). Ἔρρωσο ἐν Κυρίῳ, ἁγιώτατε δέσποτα, ἀγαπητὲ ἀδελφὲ, καὶ συλλειτουργέ.

Περὶ τῆς τάξεως τῶν θρόνων τῶν μητροπολιτῶν, καὶ τίνες αὐτῶν λέγονται ἔξαρχοι καὶ ὑπέρτιμοι, τίνες δὲ ὑπέρτιμοι μόνον (2).

α. ὁ Καισαρείας Καππαδοκίας, ὑπέρτιμος τῶν ὑπερτίμων, καὶ ἔξαρχος πάσης Ἀνατολῆς.

β. ὁ Ἐφέσου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀσίας.

γ. ὁ Ἡρακλείας, πρόεδρος τῶν ὑπερτίμων, καὶ ἔξαρχος πάσης Θράκης καὶ Μακεδονίας.

(1) Χειρ. Γ. (2) παρὰ Γ. σελ. 406, κεῖται τὸ περὶ τῆς τάξεως τῶν θρόνων ὡς ἰδιαιτέρα πραγματεία· ἐν δὲ Χειρ. Γ. ὡς συνέχεια τῆς Ἐκθέσεως Νέας κτλ.

Οἱ ἑξῆς πάντες ὑπέρτιμοι, ἤγουν ἔξαρχοι, καὶ ὑπέρτιμοι.

α. ὁ Ἀγκύρας, ἔξαρχος πάσης Γαλατίας.

β. ὁ Κυζίκου, ἔξαρχος παντὸς Ἑλλησπόντου.

γ. ὁ Σάρδεων, πάσης Λυδίας· ἀνθ' οὗ ἔνι νῦν ὁ Φιλαδελφείας, ὢν μὲν πρότερον ἐπίσκοπος τοῦ Σάρδεων, γενόμενος δὲ μητροπολίτης, ἔχει νῦν καὶ τὸν τόπον καὶ τὴν ἐξαρχίαν τοῦ Σάρδεων, και τὰς λοιπὰς ἐπισκοπὰς ὑφ' ἑαυτόν.

δ. ὁ Νικομηδείας, πάσης Βιθυνίας.

ε. ὁ Νικαίας, ὁμοίως πάσης Βιθυνίας.

ς. ὁ Χαλκηδόνος, ὁμοίως.

ζ. ὁ Σίδης, πάσης Παμφυλίας.

η. ὁ Σεβαστείας, πάσης Ἀρμενίας.

θ. ὁ Ἀμασείας, Εὐξείνου Πόντου.

ι. ὁ Μελιτηνῆς, δευτέρας Ἀρμενίας.

ια. ὁ Τυάνων, δευτέρας Καππαδοκίας.

ιβ. ὁ Γαγγρῶν, πάσης Παφλαγονίας.

ιγ. ὁ Θεσσαλονίκης, πάσης Θετταλίας· ἔχει δὲ νῦν τὸν τόπον τοῦ Ἀγκύρας.

ιδ. ὁ Κλαυδιουπόλεως, πάσης Ὀνωριάδος (1), ἀνθ' οὗ ἔνι νῦν ὁ Ποντοηρακλείας, ἐπίσκοπος μὲν ὢν τοῦ Κλαυδιουπόλεως πρότερον, γενόμενος δὲ μητροπολίτης, ἔχει καὶ τὸν τόπον, καὶ τὴν ἐξαρχίαν ἐκείνου.

ιε. ὁ Νεοκαισαρείας, Πόντου Πολεμωνιακοῦ.

ις. ὁ Πισσινοῦντος, δευτέρας Γαλατίας.

ιζ. ὁ Μύρων, πάσης Λυκίας.

ιη. ὁ Σταυροπόλεως, πάσης Καρίας.

ιθ. ὁ Λαοδικείας, Φρυγίας Καππατιανῆς.

κ. ὁ Συνάδων, Φρυγίας Σαλουταρίας.

κα. ὁ Ἰκονίου, πάσης Λυκαονίας.

κβ. ὁ Ἀντιοχείας, πάσης Πισσιδίας.

κγ. ὁ Συλαίου, ὃς καὶ Πέργης λέγεται, δευτέρας Παμφυλίας· ἀνθ' οὗ ἔνι νῦν ὁ Ἀτταλίας, ἐπίσκοπος μὲν τοῦ Πέργης, ἔχων δὲ νῦν, μητροπολίτης γενόμενος, τὸν τόπον αὐτοῦ.

---

(1) τὸ, πάσης Ὀνωριάδος, οὐ κεῖται ἐν Χειρ. Γ. ἀλλὰ παρὰ Γ. ἐν περισελ.

κδ. ὁ Κορίνθου, πάσης Πελοποννήσου.

κε. ὁ Ἀθηνῶν, πάσης Ἑλλάδος.

κς. ὁ Μωκησσοῦ, δευτέρας Καππαδοκίας.

κζ. ὁ Σελευκείας, δευτέρας Παμφυλίας.

κη. ὁ Ῥηγίου, ὃς καὶ Καλαβρίας λέγεται, ἐξαρχίαν οὐκ ἔχει.

κθ. ὁ Παλαιῶν Πατρῶν, πάσης Ἀχαΐας.

λ. ὁ Τραπεζοῦντος, πάσης Λαζικῆς.

λα. ὁ Λαρίσσης, δευτέρας Θετταλίας, καὶ πάσης Ἑλλάδος.

λβ. ὁ Ναυπάκτου, πάσης Αἰτωλίας.

λγ. ὁ Φιλιππουπόλεως, πάσης Δραγουβιτίας (1).

Σημείωσαι, ὅτι πρὸς τὸν Φιλιππουπόλεως, οἱ μὲν τοῦ Κωνσταντινουπόλεως νοτάριοι, ὑπέρτιμον ἔγραψαν, καὶ ἔξαρχον πάσης Θρᾴκης μόνον· ὁ δὲ Φιλιππουπόλεως Δαμιανὸς, γράψας ἡμῖν, ἔγραψεν ἑαυτὸν ὑπέρτιμον καὶ ἔξαρχον πάσης Εὐρώπης καὶ Δραγοβιντίας (2).

λδ. ὁ Τραϊανουπόλεως, πάσης Ῥοδόπης.

λε. ὁ Ῥόδου, τῶν Κυκλάδων Νήσων.

λς. ὁ Φιλίππων, πάσης Μακεδονίας.

λζ. ὁ Ἀδριανουπόλεως, παντὸς Αἱμιμόντου.

Σημείωσαι, ὅτι οὕτω γράφει μητροπολίτης πρὸς τὸν Ἀδριανουπόλεως·

Πανιερώτατε μητροπολῖτα Ἀδριανουπόλεως, ὑπέρτιμε καὶ ἔξαρχε Αἱμιμόντου (3).

Μέχρι τούτων οἱ ἔχοντες τὰς ἐξαρχίας. Οἱ δὲ λοιποὶ πάντες μητροπολῖται ὑπέρτιμοι μόνον γράφονται, καὶ οὐκ ἔξαρχοι· οὓς καὶ εὑρήσεις ἔμπροσθεν (4).

Περὶ τοῦ Βάρνης.

Ἡ Βάρνα, λέγουσί τινες, αὐτή ἐστιν ἡ Τιβεριούπολις· διὰ τοῦτο καὶ ἐν τῇ ἐκθέσει οὐχ εὑρίσκεται κειμένη οὔτε ἐν ταῖς μητροπόλεσιν, οὔτε ἐν ταῖς ἀρχιεπισκοπαῖς, οὔτε ἐν ταῖς ἐπισκοπαῖς· ἀλλ' ὁ Βάρνης αὐτός ἐστιν ὁ Τιβεριουπόλεως.

---

(1) τὸ πάσης Δραγουβιτίας, ἐν Χειρ. Γ. παρὰ δὲ Γ. οὐ κεῖται· ἀλλ' ἐν περισελ. ἀναγινώσκεται· Ὁ Φιλιππουπόλεως ἐξαρχίαν οὐκ ἔχει. — (2) ἡ σημ. οὐ κεῖται ἐν Χειρ. Γ. — (3) ἡ σημ. οὐ κεῖται ἐν Χειρ. Γ. — (4) ὅρα κατάλογον τοῦ Ἀνδρονίκου σελ. 490.

Περὶ τῆς Ἀγχιάλου.

Ἡ δὲ Ἀγχίαλος πρότερον μὲν ἡνωμένη ἦν τῇ ἀρχιεπισκοπῇ Μεσημβρίας· αὐτῆς δὲ τιμηθείσης εἰς μητρόπολιν, ἐγένετο καὶ ἡ Ἀγχίαλος ἀρχιεπισκοπή.

Περὶ τοῦ Μελενίκου.

Τὸν δὲ Μελενίκου οὐχ εὑρίσκομεν οὐδαμοῦ γεγραμμένον· λέγεται δὲ ἀγράφως καὶ αὐτὴ τῶν Σερρῶν εἶναι ἐπισκοπή.

Εἰσὶ καὶ ἕτεροι μητροπολῖται, ἔξω τῶν ὧν γράφει ἡ διατύπωσις ἡ ἀρχαία, οἵτινες ἀπὸ ἀρχιεπισκόπων καὶ ἐπισκόπων ἐτιμήθησαν κατὰ διαφόρους καιρούς. Καὶ ἀπὸ μὲν ἀρχιεπισκόπων ἐγένοντο οὗτοι·

ὁ Βιζύης· ὁ Μιλήτου· ὁ Σηλυβρίας· ὁ Ἄπρω· ὁ Γαρέλλης· ὁ Βρύσεως· ὁ Δέρκων· ὁ Χερσῶνος· ὁ Μεσημβρίας· ὁ Γοτθίας· ὁ Μετράχων, ὃς καὶ Ζηκχίας λέγεται. Ἡ δὲ Σουγδαΐα καὶ αἱ Φοῦλλαι, δύο ἦσαν ἀρχιεπισκοπαί· ἑνωθεῖσαι δὲ, ἐγένοντο μία μητρόπολις, διὸ καὶ ὁ Σουγδαΐας, καὶ Φούλλων λέγεται.

Ἀπὸ δὲ τῶν ἐπισκόπων τοῦ Ἐφέσου ἐγένετο μητροπολίτης ὁ Περγάμου· ἀπὸ τῶν τοῦ Ἡρακλείας, ὁ Μαδύτων, καὶ ὁ Μηδείας· ἀπὸ τοῦ Νικομηδείας, ὁ Προύσης· ἀπὸ τοῦ Θεσσαλονίκης, ὁ Βεῤῥοίας· ἀπὸ τοῦ Νεοκαισαρείας, ὁ Κερασοῦντος καὶ Ῥιζαίου· ἀπὸ τοῦ Κορίνθου, ὁ Μονεμβασίας, ὃς καὶ ἔξαρχος λέγεται πάσης Πελοποννήσου· ἀπὸ τοῦ Μωκησσοῦ, ὁ Ναζιανζοῦ· ἀπὸ τοῦ Παλαιῶν Πατρῶν, ὁ Λακεδαιμονίας· ἀπὸ τοῦ Ναυπάκτου, ὁ Ἰωαννίνων· ἀπὸ τοῦ Φιλιππουπόλεως, ὁ Λιτίτζης· ἀπὸ τοῦ Τραϊανουπόλεως, ὁ Διδυμοτείχου, ὁ Μάκρης, ὁ Ξανθίας, καὶ ὁ Περιθεωρίου· ἀπὸ τοῦ Ῥόδου, ὁ Χίου, καὶ ὁ Κῶ ἀρχιεπίσκοπος· ἀπὸ τοῦ Φιλίππων, ὁ Χριστουπόλεως, καὶ ὁ Δράμας, ὃς οὐκ ἦν ἐπίσκοπος, ὡς λέγουσιν, ἀλλὰ πρωτοπαπᾶς ἦν τοῦ Φιλίππων ἐν τῇ Δράμᾳ· ἀπὸ τοῦ Ἀδριανουπόλεως, ὁ Σωζοπόλεως· ἀπὸ τοῦ Καμάχου, ὁ Κελτζηνῆς· ἀπὸ τοῦ Σεῤῥῶν, ὁ Ζιχνῶν.

Ἐγένοντο ὕστερον καὶ ἐν τῇ Οὐγγροβλαχίᾳ δύο μητροπολῖται· καὶ ὁ μὲν εἷς ἔχει τὸν τόπον τοῦ Νικομηδείας, καὶ ἔξαρχος λέγεται πάσης Οὐγγρίας καὶ Πλαγηνῶν· ὁ δ' ἕτερος λέγεται

ται μητροπολίτης μέρους Οὐγγροβλαχίας, καὶ τὸν τόπον ἐπέχων τοῦ Ἀμασείας. Ἐγένετο ἐφ' ἡμῶν καὶ μητροπολίτης Βιδύνης· καὶ ἐν τῇ Μαυροβλαχίᾳ ἕτερος· καὶ ἐν τῇ Γελίτζῃ, ἥτις ἦν μέρος τῆς μικρᾶς Ῥωσίας· ὁ δὲ Ῥωσίας μητροπολίτης γράφεται Κιέβου καὶ πάσης Ῥωσίας.

Ὁ μὲν οὖν πατριάρχης γράφει τοῖς μητροπολίταις καὶ ἀρχιεπισκόποις, ἱερωτάτοις· οἱ δὲ ἀρχιερεῖς πρὸς ἀλλήλους, πανιερωτάτοις· οἱ δὲ ἀρχιεπίσκοποι οὐ γράφονται ὑπέρτιμοι, ἀδελφοὶ δὲ καὶ συλλειτουργοί, ὡς καὶ οἱ μητροπολῖται.

Ὅπως γράφουσιν οἱ μητροπολῖται τοῖς πατριάρχαις καὶ μητροπολίταις.

Ὅπως γράφουσι τῷ Κωνσταντινουπόλεως.

Παναγιώτατέ μου αὐθέντα καὶ δέσποτα, καὶ οἰκουμενικὲ πατριάρχα, θειότατε, θεοχαρίτωτε, καὶ πᾶν εἴ τί μοι θεῖον καὶ ὑψηλόν, καὶ πρᾶγμα, καὶ ὄνομα. Εὔχομαι τῷ Θεῷ ὑγιαίνειν τὴν μεγίστην ἁγιωσύνην σου καὶ κατὰ τὸ πανάγιον καὶ θειότατον αὐτῆς σκῆνος (1), εἰς σύστασιν καὶ ὠφέλειαν τῆς καθόλου καὶ οἰκουμενικῆς τοῦ Χριστοῦ Ἐκκλησίας.

Ὅπως γράφουσι τῷ Ἀλεξανδρείας, καὶ τοῖς λοιποῖς πατριάρχαις.

Παναγιώτατε δέσποτά μου, πάπα, καὶ πατριάρχα Ἀλεξανδρείας, καὶ πάσης Αἰγύπτου, Πενταπόλεως, Λιβύης, καὶ Αἰθιοπίας, ἐν ἁγίῳ Πνεύματι θειότατε καὶ σεβασμιώτατέ μοι πάτερ.

Οὕτω καὶ τοῖς λοιποῖς, ἤγουν τῷ Ἀντιοχείας, καὶ τῷ Ἱεροσολύμων.

Σημείωσαι, ὅτι ἐπὶ τῶν πιττακίων πατριάρχαι καὶ μητροπολῖται πρὸς μείζονα πρόσωπα οὐ γράφουσι περὶ ἑαυτῶν κατὰ τὸ ἔθος, ὅτι καὶ ἡμεῖς ὑγιῶς ἔχομεν· γράφουσι δὲ τοῦτο πρὸς ὑποδεέστερα, ἢ καὶ ἰσοπρόσωπα, εἴπερ βούλονται (2).

Τοῖς μὲν οὖν πατριάρχαις οἱ μητροπολῖται γράφουσιν, ὥσπερ εἴρηται· Παναγιώτατε δέσποτά μου, πατριάρχα Ἱεροσολύμων· ἐφεξῆς γράφοντες τὰ προσόντα ἑκάστῳ αὐτῶν ὀνόματα, ὡς ἐν

(1) Χειρ. Γ. καὶ Γ. ἐν περισελ. — σκήνωμα Γ. — (2) ἡ σημείωσις αὕτη κεῖται παρὰ Γ. ἀνωτέρω.

τῇ ἀρχῇ τῆς ἐκθέσεως ἐγράφη, ἔνθα ἔκκειται, ὅπως γράφει πρὸς αὐτοὺς ὁ πατριάρχης.

Ὅπως γράφουσιν οἱ μητροπολῖται τοῖς μητροπολίταις.

Πανιερώτατε μητροπολῖτα, τῆςδε, ὑπέρτιμε καὶ ἔξαρχε δευτέρας, ἢ πάσης· ἁγιώτατε καὶ θειότατε δέσποτά, ἀγαπητὲ ἀδελφὲ, καὶ συλλειτουργὲ τῆς ἡμῶν ταπεινότητος.

Οὕτω καὶ τοῖς ἀρχιεπισκόποις, δίχα τοῦ ὑπερτίμου καὶ ἐξάρχου (1).

Ἰστέον δὲ, ὅτι μητροπολίτην ἕτερον οὐκ οἴδαμεν γράφοντα τὸ, ἡ μετριότης ἡμῶν, εἰμὴ μόνον τὸν Θεσσαλονίκης ἐν τοῖς ὑπ' αὐτὸν καὶ μόνον. Ἐγένετο δὲ καὶ τοῦτο νεωστὶ ἐν ταῖς ἡμέραις τοῦ βασιλέως τοῦ Καντακουζηνοῦ, ὅτε καὶ οἱ πρῶτοι τῶν Θεσσαλονικέων ἐκκλησιαστικῶν ἔβαλλον τοὺς σταυροὺς ἐν τοῖς σκιαδίοις αὐτῶν (2).

Ὅπως γράφουσιν οἱ μητροπολῖται τοῖς ἀρχιεπισκόποις.

Πανιερώτατε ἀρχιεπίσκοπε, τῆςδε, ἁγιώτατε ἀγαπητὲ ἀδελφὲ. καὶ συλλειτουργὲ τῆς ἡμῶν ταπεινότητος.

Ὅπως γράφει ὁ πατριάρχης πρὸς τοὺς ἐπισκόπους τῶν μητροπολιτῶν.

Θεοφιλέστατε (3) ἐπίσκοπε, τῆςδε· οὔτε δὲ ἀγαπητὸν ἀδελφὸν, οὔτε συλλειτουργὸν προστίθησι (4).

Ὅπως γράφουσιν οἱ μητροπολῖται τοῖς ἐπισκόποις.

Θεοφιλέστατε ἐπίσκοπε, τῆςδε, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ, καὶ συλλειτουργὲ τῆς ἡμῶν ταπεινότητος.

Οὕτω τοῖς ἰδίοις ἐπισκόποις· οὕτω καὶ τοῖς ὑπὸ ἑτέρους μητροπολίτας.

---

(1) Χειρ. Γ. — Ὅρα Χρυσάνθου Συνταγμάτιον, σελ. ϛγ'. ὅτι ὑπὸ μόνον τὸν πατριαρχικὸν θρόνον τῆς Ἱερουσαλὴμ ἀπαντᾶται τὸ τοῦ ὑπερτίμου ἀξίωμα ἀποδιδόμενον ἐξ ἀρχαίας παραδόσεως καὶ ἀρχιεπισκόποις. Οὕτως ἐτιμήθη καὶ ὁ Σιναίου, ὡς φαίνεται ἐν τῇ Ναρφ σελ. 331 τοῦ παρόντος τόμου. — (2) Ἡ σημείωσις αὕτη ἀπὸ τοῦ, Ἰστέον δὲ, ἐκ τοῦ Χειρ. Γ. Ἀναγινώσκεται δὲ παρὰ Γ. κατωτέρω. ὅρα σελ. 506. — (3) Πανιερώτατε Γ. — (4) Χειρ. Γ. — τὰ ἀπὸ τοῦ, Ὅπως γράφουσι οἱ μητροπολῖται τοῖς ἀρχιεπισκόποις, οὐ κεῖται παρὰ Γ.

Ὅπως γράφουσιν οἱ μητροπολῖται τοῖς ἄρχουσι τῆς μεγάλης Ἐκκλησίας.

Τιμιώτατε μέγα χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, ἥδιστε καὶ ποθεινότατέ μοι ἀδελφὲ, καὶ διάκονε, κῦρε.

Οὕτω μὲν γράφουσι τοῖς ἐξωκατακήλοις. Ἀπὸ δὲ τοῦ πρωτονοταρίου μέχρι τοῦ αὐτοῦ ὑπομνηματογράφου, θεοφιλέστατοι λέγονται, καὶ οὐκ ἀδελφοὶ, ἀλλ' υἱοί· ἀπὸ δὲ τοῦ ἱερομνήμονος καὶ καθεξῆς, ἐντιμότατοι. Οἱ δὲ μὴ ἔχοντες ὀφφίκια διάκονοι, εὐλαβέστατοι· οἱ ἔχοντες ὀφφίκια πρεσβύτεροι, οἷον πρωτοπαπᾶς, καὶ δευτερεύων, καὶ οἱ ὀρφανοτρόφοι, ἐντιμότατοι· οἱ δὲ μὴ ἔχοντες, θεοσεβέστατοι.

Ὅπως γράφει ὁ πατριάρχης πρὸς βασιλέα ἀστεφῆ.

Κράτιστε, θεοδόξαστε, θεοκυβέρνητε, θεομεγάλυντε, καὶ ἅγιέ μου Βασιλεῦ.

Τέλος· Κύριος ὁ Θεὸς εἴη διατηρῶν τὴν ἁγίαν βασιλείαν σου, δέσποτά μου ἅγιε, εὐχόμενος εἰς τὸν Θεὸν, ἵνα παρέχῃ τῇ ἁγίᾳ βασιλείᾳ σου χρόνους μακροὺς, ὑγείαν καθαρὰν, καὶ ἄλυπον, τῶν ἀνὰ χεῖρας προκειμένων ἀγαθῶν ἔργων εὐόδωσιν, καὶ μετὰ πολυετῆ ζωὴν, καὶ τὴν ἐν οὐρανοῖς, καὶ εἰς ἀεὶ διαμένουσαν βασιλείαν.

Ὅπως γράφει ὁ πατριάρχης πρὸς βασιλέα ἐστεμμένον.

Κράτιστε, θεόστεπτε, θεοτίμητε, θεοδόξαστε, θεοπρόβλητε, θεομεγάλυντε, ἅγιέ μου αὐτοκράτορ, καὶ βασιλεῦ.

Ἐν τῷ τέλει· Κύριος ὁ Θεὸς εἴη διατηρῶν τὴν ἁγίαν βασιλείαν σου ἄνοσον, εὔθυμον, ὑγιᾶ, πολυχρόνιον, καὶ ἀνωτέραν παντὸς ἀνιαροῦ συναντήματος, καὶ χαρίσαιτο αὐτῇ μετὰ τῆς παρούσης καὶ τὴν ἐν οὐρανοῖς, καὶ εἰς ἀεὶ διαμένουσαν βασιλείαν.

Οὕτως ἔχει νῦν ἡ συνήθεια τῶν πρὸς βασιλέα πιττακίων τῶν μητροπολιτῶν.

Τολμῶν ὁ δοῦλος καὶ εὐχέτης τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου, δέσποτά μου ἅγιε, ἀναφέρω.

Ἐν τῷ τέλει· Τολμήσας ἀνέφερον.

Ὁμοίως γράφουσιν οἱ μητροπολῖται καὶ πρὸς δέσποιναν.

Ὅπως γράφει ὁ πατριάρχης εἰς δεσπότην βασιλέως υἱόν.

Περιπόθητε υἱὲ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐν ἁγίῳ Πνεύματι ποθεινότατε υἱὲ τῆς ἡμῶν μετριότητος, πανευτυχέστατε δέσποτα.

Ὅπως οἱ μητροπολῖται.

Τολμηρῶς ἀναφέρω τῇ βασιλείᾳ σου, πανευτυχέστατε δέσποτα.

Ὅπως οἱ μητροπολῖται(1).

Τολμηρῶς ἀναφέρω τῇ κραταιᾷ, καὶ ἁγίᾳ βασιλείᾳ σου, δέσποτα ἅγιε· εὐχόμενος εἰς Θεὸν ἵνα παρέχῃ τῇ ἁγίᾳ βασιλείᾳ σου χρόνους μακρούς, ὑγείαν καθαράν, καὶ ἄλυπον· τῶν ἀνὰ χεῖρας προκειμένων ἀγαθῶν ἔργων εὐόδωσιν· καὶ μετὰ πολυτελῆ ζωήν, καὶ τὴν ἐν οὐρανοῖς εἰσαεὶ διαμένουσαν βασιλείαν.

Ὅπως γράφει ὁ πατριάρχης πρὸς δεσπότην μὴ ὄντα βασιλέως υἱόν.

Εὐτυχέστατε δέσποτα, ἐν ἁγίῳ Πνεύματι ποθεινότατε υἱὲ τῆς ἡμῶν μετριότητος.

Καὶ εἰ μὲν ἔνι Ῥωμαῖος ἄνθρωπος, καὶ τῶν εὐγενεστάτων, οὐ προστίθησι τὸ ὄνομα αὐτοῦ· εἰ δὲ βάρβαρος, οἷος ἦν ὁ Τομπροτίτζης, καὶ οἱ τῆς Βλαχίας δεσπόται, καὶ οἱ τοῦ Ἀλβάνου, προστίθησι καὶ τὸ ὄνομα. Οἱ δὲ μητροπολῖται καὶ αὐτοὶ ὁμοίως γράφουσι πρὸς τοὺς τοιούτους, πλὴν προστιθέασι καὶ ἄλλα ὀνόματα ὑπεροχὴν δηλοῦντα, οἷον, πανευτυχέστατε, εὐγενέστατε, ἐνδοξότατε, μεγαλοπρεπέστατε· καὶ οὐδὲ υἱοὺς γράφουσιν αὐτούς, καθὼς ὁ πατριάρχης· οὕτω καὶ πρὸς τοὺς σεβαστοκράτορας, καὶ καίσαρας, καὶ πρὸς ῥῆγας, καὶ πρὸς ἄλλους τοιούτους.

Ὅπως γράφουσιν οἱ μητροπολῖται πρὸς σεβαστοκράτορα, καὶ καίσαρα, εἴπερ εἰσὶ Ῥωμαῖοι.

Πανευτυχέστατε, εὐγενέστατε, ἐνδοξότατε, μεγαλοπρεπέστατε δέσποτά μου σεβαστοκράτορ, ἢ καῖσαρ.

Ἰστέον, ὅτι τὸν δεσπότην ἔμπροσθεν τοῦ βασιλέως οὕτως

---

(1) καθ' ἕτερον χειρόγραφον. Γ.

ἁπλῶς καλοῦσι· δέσποτά μου, καὶ ἡ βασιλεία σου· τὸν δὲ σεβαστοκράτορα, δέσποτά μου σεβαστοκράτορ, καὶ ἡ βασιλεία σου· τὸν δὲ καίσαρα ὁμοίως, ὥσπερ καὶ τὸν σεβαστοκράτορα· πρὸς δὲ τοὺς ἄλλους Ῥωμαίους, τοὺς ὀφφίκια ἔχοντας συγκλητικά, εἰ μὲν εἰσι τοῦ βασιλέως συγγενεῖς, ἢ συμπενθεροί, ἢ θεῖοι, ἢ γαμβροί, ἢ ἐξάδελφοι, ἢ ἀνεψιοί, γράφει ὁ πατριάρχης οὕτω· Περιπόθητε τοῦ κρατίστου καὶ αὐτοκράτορος ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ υἱὲ τῆς ἡμῶν μετριότητος, μέγα δομέστικε, κῦρε· εἰ δὲ μή, γράφει· Οἰκεῖε τῷ κρατίστῳ μοι καὶ ἁγίῳ αὐτοκράτορι· οἱ δὲ μητροπολῖται· Περιπόθητε τοῦ ἁγίου καὶ κραταιοῦ ἡμῶν αὐθέντου καὶ βασιλέως· ἤ, Οἰκεῖε αὐθέντου μου, υἱέ μου, περιφανέστατε, μέγα δομέστικε.

Ὅπως γράφει ὁ πατριάρχης πρὸς δέσποιναν ἐστεμμένην.

Κρατίστη, θεόστεπτε, θεοδόξαστε, θεοπρόβλητε, θεομεγάλυντε, καὶ ἁγία μου δέσποινα.

Ἐν τῷ τέλει, ὡς καὶ εἰς τὸν βασιλέα.

Ὅπως γράφει ὁ μητροπολίτης ἀποδημῶν πρὸς τὸν εἰς κεφαλὴν εὑρισκόμενον ἐν τῇ πόλει αὐτοῦ.

Περιπόθητε δέσποτα, ἢ οἰκεῖε τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ἐν ἁγίῳ Πνεύματι ποθεινότατε καὶ γνησιώτατε υἱὲ τῆς ἡμῶν ταπεινότητος· χάριν, εἰρήνην, ἔλεος, ὑγείαν ψυχῆς, ῥῶσιν σώματος, τῶν πρακτέων σοι πρὸς τὸ λυσιτελὲς ἐκπλήρωσιν, καὶ ἄλλο εἴ τι ἀγαθὸν ὁμοῦ καὶ σωτήριον ἐπεύχεται τῇ ἀντιλήψει σου ἡ ταπεινότης ἡμῶν ἀπὸ Θεοῦ Παντοκράτορος.

Ἐν τῷ τέλει· Ἡ χάρις τοῦ Θεοῦ εἴη διατηροῦσα τὴν [σὴν] ἀντίληψιν ἄνοσον, εὔθυμον, ὑγιᾶ, καὶ πολυχρόνιον (1).

Ὅπως πρὸς τοὺς λοιποὺς ἄρχοντας.

Οἱ ἐν τῇ θεοσώστῳ καὶ περιφανεῖ πόλει τῇδε εὑρισκόμενοι εὐγενέστατοι ἄρχοντες, ὅσοι τοῦ πρώτου γένους τῆς ἐνδόξου καὶ λαμπροτάτης τιμῆς καὶ φυλῆς, ἐν ἁγίῳ Πνεύματι ποθεινότατοι καὶ γνησιώτατοι υἱοὶ τῆς ἡμῶν ταπεινότητος· χάριν εἰρήνην, ἔλεος, ὑγείαν ψυχῆς καὶ σώματος, καὶ ἄλλο εἴ τι

---

(1) Ἐνταῦθα κεῖται παρὰ Γ, τὸ ἐν σελ. 503, ἰστέον δὲ ὅτι μητροπολίτην κτλ.

ἀγαθὸν ὁμοῦ καὶ σωτήριον εὔχεται τῇ ὑμῶν ἀντιλήψει ἡ ταπεινότης ἡμῶν ἀπὸ Θεοῦ Παντοκράτορος.

Ἐν τῷ τέλει· Ἡ χάρις τοῦ Θεοῦ εἴη διατηροῦσα ὑμᾶς ἀνωτέρους παντὸς συναντήματος.

Ὅπως γράφει πρὸς ἐκκλησιαστικοὺς ἄρχοντας.

Τιμιώτατοι ἐκκλησιαστικοὶ ἄρχοντες τῆς καθ' ἡμᾶς ἁγιωτάτης μητροπόλεως, τῆσδε, καὶ οἱ μετ' αὐτοὺς ἐντιμότατοι καὶ εὐλαβέστατοι κληρικοὶ, καὶ ὅσοι τοῦ ἱερατικοῦ καὶ μοναχικοῦ καταλόγου· τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν ταπεινότητος· χάρις ὑμῖν εἴη, καὶ εἰρήνη, καὶ ἀγάπη πληθυνθείη ἀπὸ Θεοῦ Πατρὸς, διὰ Κυρίου Ἰησοῦ Χριστοῦ, ἐν ἁγίῳ Πνεύματι.

Ἐν τῷ τέλει· Ἡ χάρις τοῦ Θεοῦ εἴη μετὰ πάντων ὑμῶν.

Ὅπως γράφει πρὸς τὸν κοινὸν λαόν.

Ἔποικοι ἄρχοντες τῆς θεοσώστου καὶ περιφανεστάτης πόλεως, τῆσδε, ὅσοι τε τῆς πολιτείας, καὶ ὅσοι τοῦ ἰδιωτικοῦ καταλόγου, καὶ ὁ λοιπὸς ἅπας τοῦ Κυρίου λαὸς ὁ χριστώνυμος· τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν ταπεινότητος· χάριν, εἰρήνην, ἔλεος, καὶ ἄλλο εἴ τι ἀγαθὸν ὁμοῦ καὶ σωτήριον ἐπεύχεται ὑμῖν ἅπασιν ἡ μετριότης ἡμῶν ἀπὸ Θεοῦ Παντοκράτορος.

Ἐν τῷ τέλει. Ἡ χάρις τοῦ Θεοῦ εἴη μετὰ πάντων ὑμῶν.

Εἰς Κνέζην Σερβίας.

Ὑψηλότατε μέγα Κνέζη πάσης Σερβίας, συνετώτατε, ἐν Κυρίῳ ὑπερήδιστε καὶ τριπόθητε κύριε, καὶ υἱὲ τῆς ἡμῶν ταπεινότητος· χάρις, εἰρήνη, καὶ ἔλεος πληθυνθείη τῇ αὐθεντείᾳ σου ἀπὸ Θεοῦ Παντοκράτορος.

Πρὸς τὴν τοῦ Κνέζη σύζυγον.

Ὑψηλοτάτη αὐθέντρια πάσης Σερβίας, συνετωτάτη καὶ κοσμιωτάτη γυναικῶν, ἐν ἁγίῳ Πνεύματι θύγατερ· χάρις, εἰρήνη, καὶ ἔλεος πληθυνθείη τῇ αὐθεντείᾳ σου.

Εἰς δέσποιναν Σερβίας.

Εὐλαβεστάτη, καὶ φιλόχριστε, ὑψηλοτάτη καὶ λαμπροτάτη

καὶ ἐν ἁγίῳ Πνεύματι ποθεινοτάτη δέσποινα Σερβίας· χάρις, εἰρήνη, καὶ ἔλεος πληθυνθείη τῇ βασιλείᾳ σου.

Εἰς τὸν υἱὸν αὐτῆς.

Εὐλαβέστατε καὶ φιλόχριστε, λαμπρότατε, καὶ ἐν ἁγίῳ Πνεύματι ποθεινότατε αὐθέντα, καὶ υἱὲ τῆς ἡμῶν ταπεινότητος· πᾶν ἀγαθὸν ἐπεύχεται παρὰ Κυρίου τῇ αὐθεντείᾳ σου ἡ ταπεινότης ἡμῶν.

Εἰς Ζουπάνον.

Εὐγενέστατε, λαμπρότατε, καὶ στρατηγικώτατε μέγα Ζουπάνε, ἐν ἁγίῳ Πνεύματι ὑπερήδιστε υἱὲ τῆς ἡμῶν ταπεινότητος κυρὲ, ὁδεῖνα, χάριν, εἰρήνην, καὶ ἄλλο πᾶν ἀγαθὸν ἐπευχόμεθα παρὰ Κυρίου τῇ [σῇ] ἀντιλήψει.

Ὅπως γράφει μητροπολίτης πρὸς τὸν εἰς τὴν Μιτυλήνην εὑρισκόμενον νῦν νέον Γατελιοῦζον.

Περιπόθητε ἀνεψιὲ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως· ἐνδοξότατε, περιφανέστατε αὐθέντα τῆς Μιτυλήνης.

Γράφει δὲ πρὸς αὐτὸν καὶ αὐθεντείαν· ἐν δὲ τῇ ἐπιγραφῇ οὕτω.

Τῷ περιποθήτῳ ἀνεψιῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ἐνδοξοτάτω, περιφανεστάτῳ αὐθέντῃ τῆς Μιτυλήνης, Φραντζέσκῳ τῷ Γατελιούζῳ.

Ἐν τῷ τέλει, εὐχὴν, ἣν ἂν διακρίνοι ὁ γράφων.

Ὅπως γράφει πρὸς τὸν εἰς τὴν Αἶνον θεῖον αὐτοῦ Νικολέζον.

Περιπόθητε συμπενθερὲ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου ἡμῶν βασιλέως, λαμπρότατε, θαυμασιώτατε.

Γράφει καὶ πρὸς αὐτὸν, αὐθέντα, *καὶ ἐν τῷ τέλει,* εὐχὴν ἣν ἂν διακρίνοι ὁ γράφων· *ἐν δὲ τῇ ἐπιγραφῇ*

Τῷ περιποθήτῳ συμπενθερῷ τοῦ κραταιοῦ ἁγίου αὐθέντου καὶ βασιλέως, λαμπροτάτῳ, θαυμασιωτάτῳ Νικολέζῳ τῷ Γατελιούζῳ.

Τίνα πιττάκια οὔτε ὑπογράφει ὁ πατριάρχης, οὔτε βουλλώνει· τίνα δὲ ὑπογράφει μὲν, οὐ βουλλώνει δέ· τίνα δὲ βουλλώνει μόνον.

Ὁ πατριάρχης οὐχ ὑπογράφει οὔτε τὸν βασιλέα, οὔτε τὸν δεσπότην, οὔτε τὴν δέσποιναν, ἢ σεβαστοκράτορα, ἢ καίσαρας, Ῥωμαίους μόνον ὄντας· τοὺς δὲ ἄλλους πάντας ὑπογράφει. Ἔνθα τοίνυν οὐχ ὑπογράφει, τίθεται ἐν τῇ ἐπιγραφῇ τὸ ὄνομα τοῦ, πρὸς ὃν γράφει, πρῶτον· εἰς δὲ τὸ ἄλλο μέρος τὰ τοῦ πατριάρχου, ἔνθα οὐ κεῖται ἡ βοῦλλα. Εἰς δὲ τοὺς λοιποὺς ἄρχοντας τοὺς συγκλητικοὺς, τοὺς μὲν εὐγενεστάτους, καὶ ὀφφίκια ἔχοντας ἔντιμα, καὶ προσγενεῖς βασιλέων, γράφει ὁ πατριάρχης τὸ ἑαυτοῦ ὄνομα πρῶτον ἐν ᾧ κεῖται ἡ βοῦλλα· Νεῖλος ἐλέῳ Θεοῦ· εἰς δὲ τὸ ἄλλο μέρος, τὸ ὄνομα τοῦ, πρὸς ὃν γράφει. Εἰς δὲ τοὺς ἄλλους ἄρχοντας, ὅπου κεῖται ἡ βοῦλλα, γράφουσι πρὸ μὲν τῆς βούλλης, τὸ, Πατριαρχικὸν, μετὰ δὲ τὴν βοῦλλαν, Εἰς τὸν δεῖνα· οὕτω καὶ εἰς τοὺς μητροπολίτας, μέχρι μὲν τοῦ δεκάτου θρόνου τίθεται τὸ τοῦ πατριάρχου ὄνομα· εἰς δὲ τοὺς ἑξῆς πάντας, Πατριαρχικόν. Εἰς ἡγουμένους δὲ, καὶ ἁπλῶς μοναχοὺς, ἢ κοσμικοὺς τῆς πολιτείας ἄρχοντας, καὶ ἄλλους τοιούτους οὐδὲ βουλλώνουσιν, ἀλλὰ διπλώνουσι τὸ γράμμα τετράγωνον, καὶ γράφουσιν ἐπιγραφήν· Πατριαρχικὸν εἰς τὸν δεῖνα· εἰ μήπου ἐστὶν ἀρχιμανδρίτης πατριαρχικὸς, ἢ ἔντιμος ἱερομόναχος, ἢ μοναχὸς, ἢ κοσμικὸς, καὶ ὅπου βούλεται ὁ πατριάρχης χαρίσασθαι τοῦτό τινι, ὡς φίλῳ, καὶ γνωρίμῳ, καὶ οἰκείῳ αὐτοῦ· οὐδὲ τοὺς ἐπισκόπους βουλλώνουσιν.

Ποῖα πιττάκια ἔχουσι μολιβδόβουλλα.

Μολιβδόβουλλα δὲ κεῖται εἰς τὰ βασιλικὰ πιττάκια καὶ δεσποινικὰ, καὶ τὰ πρὸς δεσπότας, καὶ σεβαστοκράτορας, καὶ καίσαρας, ὁποῖοί εἰσι, καὶ πρὸς ῥῆγας πάντας, καὶ πρὸς πατριάρχας, καὶ τοὺς καθολικοὺς ἀρχιεπισκόπους· εἰς δὲ τοὺς ἄλλους πάντας μητροπολίτας καὶ ἄρχοντας, κηρόβουλλα· εἰς μόνον δὲ τὸν Ῥωσίας πέμπουσιν μολιβδόβουλλα.

Ποῖα πιττάκια ἐπιγράφουσι μητροπολῖται, καὶ πῶς ταῦτα ἐπιγράφουσιν.

Οἱ μητροπολῖται, πρὸς μὲν τὸν πατριάρχην Κωνσταντινουπόλεως γράφοντες, οὐ τιθέασιν ἐν τῇ ἐπιγραφῇ τὸ τοῦ πατριάρχου ὄνομα· ἀλλ' ἔνθα μέν ἐστιν ἡ βοῦλλα ποιοῦσι σταυρούς, ἐν δὲ τῷ ἑτέρῳ μέρει κάτωθεν τοῦ δεσμοῦ γράφουσι τὸ οἰκεῖον ὄνομα· Τοῦ ταπεινοῦ μητροπολίτου, τοῦδε. Οὕτω καὶ εἰς τὰς πρὸς βασιλέα καὶ δέσποιναν ἀναφορὰς, προστιθέντες· Τοῦ δούλου καὶ εὐχέτου τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου, τοῦ ταπεινοῦ μητροπολίτου, τοῦδε. Εἰς δὲ τὰς πρὸς δεσπότην· Τοῦ εὐχέτου τῆς βασιλείας σου. Πρὸς δὲ τοὺς λοιποὺς πατριάρχας καὶ μητροπολίτας, ἢ καὶ ξένους ἐπισκόπους, ἔνθα μέν ἐστιν ἡ βοῦλλα, τὸ ὄνομα τίθησι τοῦ, πρὸς ὃν γράφει· ἐν δὲ τῷ ἑτέρῳ μέρει, τὸ οἰκεῖον ὄνομα συνήθως. Ὅτε δὲ πρὸς τοὺς ὑπ' αὐτὸν ἐπισκόπους, ἢ κληρικοὺς, πρῶτον τὸ οἰκεῖον ὄνομα, οἷον ἐν τῷ μέρει τῆς βούλλης· καὶ ἐν τῷ ἑτέρῳ, τὸ ὄνομα τοῦ, πρὸς ὃν γράφει. Καὶ ὅτε πρὸς εὐγενεστάτους ἄρχοντας γράψῃ, τὸ ἐκείνου ὄνομα τίθησι πρῶτον· ἐν δὲ τῷ ἑτέρῳ μέρει, τὸ ἑαυτοῦ. Ἐν δὲ τῷ τέλει τῶν πρὸς βασιλεῖς γραμμάτων, ἢ δεσποίνας· Ὡς δοῦλος καὶ εὐχέτης τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου τολμήσας ἀνέφερον. Πρὸς δεσπότην δέ· Ὡς εὐχέτης τῆς βασιλείας σου τολμήσας ἀνέφερον. Πρὸς δὲ τοὺς λοιποὺς, εὐχήν τινα.

Ὅπως γράφει ὁ πατριάρχης τοῖς ἄρχουσι τῆς Μεγάλης Ἐκκλησίας.

Τιμιώτατε μέγα οἰκονόμε τῆς καθ' ἡμᾶς Μεγάλης Ἐκκλησίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ υἱὲ τῆς ἡμῶν μετριότητος, διάκονε κῦρε, ὁδεῖνα.

Οὕτω καὶ τοῖς ἄλλοις κατὰ τάξιν, ὡς προεγράφη.

Ὅπως γράφουσιν οἱ μητροπολῖται τοῖς ὑπ' αὐτοὺς ἄρχουσι τῆς Ἐκκλησίας.

Ὁ μητροπολίτης τοῖς ὑπ' αὐτὸν κληρικοῖς οὕτω γράφει, ὡς καὶ ὁ πατριάρχης πρὸς τοὺς τῆς Μεγάλης Ἐκκλησίας, πρός τε πρώτους, καὶ δευτέρους, καὶ καθ' ἑξῆς.

Περὶ ῥηγῶν.

Τοὺς μεγάλους ῥῆγας γράφουσιν οἱ μητροπολῖται, μεγάλους, ὥσπερ καὶ ὁ πατριάρχης· τοὺς δὲ μὴ λεγομένους μεγάλους, καὶ οἱ μητροπολῖται ῥῆγας ἁπλῶς γράφουσι καὶ ὁ μὲν πατριάρχης λέγει πρὸς ἐκείνους, εὐγένειαν· οἱ δὲ μητροπολῖται, αὐθεντείαν. Ἡ δὲ ἐπιγραφὴ τῶν πιττακίων· πρῶτον τὸ ἐκείνου ὄνομα, καὶ ἐν τῷ ἄλλῳ μέρει, τὸ τοῦ μητροπολίτου.

Περὶ καίσαρος, καὶ σεβαστοκράτορος.

Πρὸς καίσαρα καὶ σεβαστοκράτορα γράφων ὁ μητροπολίτης, τὸ μὲν ὀφφίκιον γράφει, οἷον τὸ τοῦ σεβαστοκράτορος, ἢ καίσαρος, τὸ δὲ ὄνομα οὐδαμῶς· ἐπὶ πάντων δὲ τούτων καὶ βασιλείαν λέγει, κἂν Ῥωμαῖοι, κἂν βάρβαροι ὦσι.

Περὶ πατριαρχῶν καὶ μητροπολιτῶν πιττακίων.

Ὁ πατριάρχης ὅσα βουλλώνει πιττάκια, πάντα μακρά εἰσιν· ὅσα δέ εἰσιν ἀβούλλωτα, τετράγωνα· τὸ δὲ μητροπολίτου ἀδιάφορόν ἐστι· ποιεῖ γὰρ, καθὼς βούλεται.

Περὶ βασιλισσῶν.

Γνώρισμα τοῦ πρὸς βασίλισσαν πιττακίου ἀκριβῶς οὐκ οἶδα· δοκεῖ δέ μοι μᾶλλον, ἵνα ὦσιν ὁμοῦ καὶ τὰ δύο στοιχεῖα, καὶ τὸ Β, καὶ τὸ Δ. Ἄλλοι δὲ λέγουσιν, ὡς, ἐπὶ μὲν τοῦ πρὸς βασιλέα πιττακίου, ὥσπερ οἱ μητροπολῖται γράφουσι, καὶ λοιποὶ ἄρχοντες τὸ ἑαυτῶν ὄνομα μόνον ἐπιγράφουσιν ἐν τῷ ἑνὶ μέρει· ἐν δὲ τῷ ἑτέρῳ μέρει οὐδέν τι σημειοῦνται στοιχεῖον. Γράφοντες δὲ πρὸς δέσποιναν, ὁμοίως μὲν τὸ ἴδιον τιθέασιν ὄνομα κατὰ τὸ ἓν μέρος τοῦ πιττακίου, κατὰ δὲ τὸ λοιπὸν μέρος ποιοῦντες σταυροὺς τρεῖς, ὡς ἔθος, τιθέασιν ἄνω στοιχεῖον τὸ Δ. Λείπεται οὖν γνώρισμα τῷ πρὸς τὴν βασίλισσαν πιττακίῳ τὸ Β στοιχεῖον ἐπιγράφειν· οἶμαι δὲ τοῦτο ἀσφαλέστερον.

Ὅπως γράφουσιν οἱ ἄλλοι πατριάρχαι τῷ Κωνσταντινουπόλεως.

Παναγιώτατε δέσποτα, ἀρχιεπίσκοπε Κωνσταντινουπόλεως Νέας Ῥώμης, καὶ οἰκουμενικὲ πατριάρχα, ἐν ἁγίῳ Πνεύματι θειότατε καὶ ποθεινότατε ἀδελφὲ, καὶ συλλειτουργὲ,

Πρὸς δὲ τοὺς ἄλλους πάντας μητροπολίτας, καὶ τοὺς ἄρχοντας τῆς Μεγάλης Ἐκκλησίας, οὕτω γράφουσι καὶ αὐτοί, ὡς καὶ ὁ Κωνσταντινουπόλεως.

Ὁ Κωνσταντινουπόλεως δὲ ἐπιγράφει τὰ πρὸς ἄλλους πατριάρχας πιττάκια, πρῶτον τοῦ πρὸς ὃν γράφει, καὶ ἐν τῷ ἄλλῳ μέρει τὸ οἰκεῖον ὄνομα.

Ὁ δὲ πάπας πρῶτον μὲν ἔγραφεν, ὡς νῦν ὁ Κωνσταντινουπόλεως τοῖς ἄλλοις, οὕτω καὶ ἐκεῖνος πρὸς τοῦτον, καὶ πρὸς ἄλλους· νῦν δὲ κακῶς γράφει· οὐδὲ γὰρ ὅλως γράφει αὐτὸν πατριάρχην· πέμπει δὲ μολιβδόβουλλον· οἱ δὲ ἄλλοι πατριάρχαι μολιβδόβουλλα οὐδ' ὅλως ποιοῦσιν, οὐκ οἶδα πῶς, βούλλας δὲ μεγάλας μετὰ κηροῦ.

ΤΑΞΙΣ ΤΩΝ ΘΡΟΝΩΝ

ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΑΝΑΤΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ,

Τῶν ὑπὸ τοὺς τέσσαρας πατριαρχικοὺς θρόνους Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων, καὶ τὰς αὐτοκεφάλους Ἐκκλησίας Ῥωσσίας, Κύπρου, Αὐστρίας, καὶ Ἑλλάδος, τελούντων.

—

Α΄.

Ὁ παναγιώτατος Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης, Κ. *Ἄνθιμος ὁ ἀπὸ Ἐφέσου.*

Μητροπόλεις, Ἀρχιεπισκοπαί, καὶ ἐπισκοπαὶ τοῦ Οἰκουμενικοῦ Θρόνου (1).

—

α΄. Ἐντὸς τοῦ Ὀθωμανικοῦ κράτους.

Μητροπολῖται.

Α. Ὁ ΚΑΙΣΑΡΕΙΑΣ Καππαδοκίας, ὑπέρτιμος τῶν ὑπερτίμων, καὶ ἔξαρχος πάσης Ἀνατολῆς, Κ. *Παΐσιος.*

Β. ὁ Ἐφέσου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀσίας, Κ. *Παΐσιος.* Ἔχει ἐπισκόπους δύω·

α. τὸν Ἡλιουπόλεως καὶ Θυατείρων, Κ. *Διονύσιον.*

β. τὸν Κρήνης καὶ Ἀνέων, Κ. *Ἀμβρόσιον.*

(1) Ὁ κατάλογος οὗτος ἐκδίδεται κατὰ τὸ Συνταγμάτιον τῆς Ἁγίας καὶ Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, ὡς εἶχον τάξεως οἱ θρόνοι κατὰ τὸ Σωτήριον ἔτος ͵αωνέ, κατὰ μεσοῦντα Ἀπρίλιον. Δημοσιεύονται δέ, ἰδίως χάριν τῶν ἐκ τοῦ ἱεροῦ κλήρου ἀναγνωστῶν, καὶ τὰ ὀνόματα τῶν διεπόντων τοὺς θρόνους τούτους, ὡς ἐν τῷ μνησθέντι Συνταγματίῳ ἀναγινώσκονται. — Παραλιπόντες δέ, πρὸς ἀποφυγὴν ἐπαναλήψεων, τὴν δημοσίευσιν καὶ τοῦ κατὰ τὴν δεκάτην ὀγδόην ἑκατονταετηρίδα Τυπικοῦ τῶν θρόνων, εἶον περιέχεται ἐν τῷ Συνταγματίῳ τοῦ Χρυσάνθου, πατριάρχου Ἱεροσολύμων, (ἐκδ. ἐν Τεργοβύστῳ τῆς Οὐγγροβλαχίας ͵αψιέ,) σημειοῦμεν τὰς ἑκάστοτε ἀπαντωμένας μεταξὺ ἐκείνου καὶ τοῦ παρόντος διαφοράς. Ὡς πρὸς τὰς Ἐκκλησίας Ῥωσσίας καὶ Αὐστρίας ἠκολουθήσαμεν τῷ ἐν Πετρουπόλει ἐκδοθέντι Συνταγματίῳ τοῦ ἔτους ͵αωνέ.

Γ. ὁ Ἡρακλείας καὶ Ῥαιδεστοῦ, πρόεδρος τῶν ὑπερτίμων, καὶ ἔξαρχος πάσης Θρᾴκης καὶ Μακεδονίας, Κ. *Παγκράτιος*.

Ἔχει ἐπισκόπους τρεῖς (1).

α. τὸν Καλλιουπόλεως καὶ Μαδύτων, Κ. *Γρηγόριον*.

β. τὸν Μυριοφύτου καὶ Περιστάσεως, Κ. *Νεόφυτον*.

γ. τὸν Μετρῶν καὶ Ἀθύρων, Κ. *Ζαχαρίαν*.

Δ. ὁ Κυζίκου, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Ἑλλησπόντου, Κ. *Ἰωακείμ*.

Ε. ὁ Νικομηδείας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βιθυνίας, Κ. *Διονύσιος*.

ς. ὁ Νικαίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βιθυνίας, Κ. *Ἰωσήφ*.

Ζ. ὁ Χαλκηδόνος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βιθυνίας, Κ. *Γεράσιμος*.

Η. ὁ Δέρκων, ὑπέρτιμος καὶ ἔξαρχος Βοσπόρου Θρᾳκικοῦ καὶ Κυανέων, Κ. *Γεράσιμος*.

Θ. ὁ Θεσσαλονίκης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας, Κ. *Καλλίνικος*. (2)·

Ἔχει ἐπισκόπους ὀκτώ

α. τὸν Κίτρους, Κ. *Θεόκλητον*.

β. τὸν Καμπανίας, Κ. *Ἱερόθεον*.

γ. τὸν Πλαταμῶνος, Κ. *Ἱερεμίαν*.

δ. τὸν Σερβίων καὶ Κοζάνης, Κ. *Εὐγένιον*.

ε. τὸν Πολυανῆς καὶ Βαρδιοριτῶν, Κ. *Μελέτιον*.

ς. τὸν Πέτρας, Κ. *Ἀγαθάγγελον*.

ζ. τὸν Ἀρδαμερίου, Κ. *Ἰγνάτιον*.

η. τὸν Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους, Κ. *Ἰωαννίκιον*.

Ι. ὁ Τορνόβου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βουλγαρίας, Κ. *Νεόφυτος*.

Ἔχει ἐπισκόπους τρεῖς.

α. τὸν Τζερβενοῦ, Κ. *Συνέσιον*.

---

(1) Ἡ ἄλλοτε ΠΒ'. μητρόπολις Τυρολλόης καὶ Σερεντζίων συνεχωνεύθη μετὰ τῆς μητροπόλεως Ἡρακλείας ἀπὸ τοῦ ἔτους ͵αωμη΄. — (2) Ὁ Θεσσαλονίκης λέγεται εἰς τὴν ἐπαρχίαν αὐτοῦ Παναγιώτατος, ἔξω ὅμως ἀπὸ τὴν ἐπαρχίαν αὐτοῦ, ὡς καὶ οἱ λοιποὶ μητροπολῖται, Πανιερώτατος. Χρυσάνθου Συντ. σελ. ξς'.

β. τὸν Λοφτζοῦ, Κ. *Ἱλαρίωνα.*

γ. τὸν Βράτζας (1), Κ. *Δωρόθεον.*

ΙΑ. ὁ Ἀδριανουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Αἰμιμόντου (2), Κ. *Κύριλλος.*

ΙΒ. ὁ Ἀμασείας, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Εὐξείνου Πόντου, Κ. *Κύριλλος.*

ΙΓ. ὁ Ἰωαννίνων καὶ Βελλᾶς (3), ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἠπείρου καὶ Κερκύρας, Κ. *Παρθένιος.*

Ἔχει ἐπίσκοπον τὸν Παραμυθίας, Κ. *Ἀγάπιον.*

Τὸ Γηρομήρι κατὰ τὸ αωλέ. ἔτος ἐγένετο πατριαρχικὴ ἐξαρχία.

ΙΔ. ὁ Προύσης (4), ὑπέρτιμος καὶ ἔξαρχος Βιθυνίας, Κ. *Κωνστάντιος.*

ΙΕ. ὁ Πελαγονίας, ὑπέρτιμος καὶ ἔξαρχος ἄνω Μακεδονίας, Κ. *Βενέδικτος.*

Οὗτος προεβιβάσθη μετὰ τὸν Προύσης, ἐπὶ τοῦ ἀπὸ Σεῤῥῶν πατριαρχεύσαντος (5).

Ις. ὁ Νεοκαισαρείας καὶ Ἰνέου, ὑπέρτιμος καὶ ἔξαρχος Πόντου Πολεμονιακοῦ Κ. *Λεόντιος.*

Ἔχει ἐπίσκοπον τὸν Νικοπόλεως, Κ. *Χριστόφορον.*

ΙΖ. ὁ Διδυμοτείχου, ὑπέρτιμος καὶ ἔξαρχος Ῥοδόπης (6), ἤδη πρόεδρος, Κ. *Μελέτιος.*

ΙΗ. ὁ Ἰκονίου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λυκαονίας, Κ. *Νεόφυτος.*

ΙΘ. ὁ Βεῤῥοίας καὶ Ναούσης, ὑπέρτιμος καὶ ἔξαρχος Θετταλίας, Κ. *Θεόκλητος.*

Κ. ὁ Βόσνας καὶ Σεραγίου, ὑπέρτιμος καὶ ἔξαρχος Δαλματίας (7), Κ. *Προκόπιος.*

---

(1) τὸν Πρεσλάβας, ἀντὶ Βράτζας. Χρυσάνθου Συντ. αὐτόθι. — (2) ἔχει ἕνα ἐπίσκοπον, τὸν Ἀγαθοπόλεως. Χρύσ. — (3) προεβιβάσθη ἐσχάτως ἀπὸ ΙΕ΄. εἰς ΙΓ΄. θρόνον. — (4) Μουντανίων καὶ Τριγλίας. Χρυσ. αὐτόθι. Μετὰ τὸν Προύσης, παρὰ Χρυσάνθῳ, ἕπεται ὁ Νεοκαισαρείας. — (5) ὁ Πελαγονίας καὶ Περλιάπου, παρὰ Χρυσ. ὑπὸ τὸν Ἀχριδῶν. — (6) ὁ Διδυμοτείχου κατέχει τὴν τριακοστὴν τρίτην θέσιν, ἤτοι μετὰ τὸν Ἰωαννίνων, παρὰ Χρυσάνθῳ. — (7) παρὰ Χρυσ. ὑπὸ τὸν Ἰπεκίου.

ΚΑ. ὁ Πισιδίας, ὑπέρτιμος καὶ ἔξαρχος Σίδης, Μυρέων, καὶ Ἀτταλίας (1), Κ. *Μελέτιος*.

ΚΒ. ὁ Κρήτης, ὑπέρτιμος καὶ ἔξαρχος Εὐρώπης, Κ. *Διονύσιος*.

Ἔχει ἐπισκόπους ἕξ·

α. τὸν Ἀρκαδίας.

β. τὸν Αὐλοποτάμου καὶ Ῥεθύμνης, Κ. *Καλλίνικον*.

γ. τὸν Κυδωνίας καὶ Κισσάμου, Κ. *Κάλλιστον*.

δ. τὸν Πέτρας.

ε. τὸν Χεῤῥοννήσου.

ς. τὸν Ἱερᾶς καὶ Σιτείας, Κ. *Καλλίνικον*.

Ἡ ἐπισκοπὴ Λάμπης ἡνώθη μετὰ τῆς ἐπαρχίας Κρήτης (2).

ΚΓ. ὁ Τραπεζοῦντος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λαζικῆς, Κ. *Κωνστάντιος*.

ΚΔ. ὁ Λαρίσσης, ὑπέρτιμος καὶ ἔξαρχος δευτέρας Θετταλίας, Κ. *Στέφανος*.

Ἔχει ἐπισκόπους τέσσαρας (3).

α. τὸν Σταγῶν, Κ. *Θεόφιλον*.

β. τὸν Γαρδικίου, Κ. *Ἀμβρόσιον*.

γ. τὸν Θαυμακοῦ, Κ. *Νικηφόρον*.

δ. τὸν Τρίκκης Κ. *Σωφρόνιον*.

ΚΕ. ὁ Ἄρτης (4), ὑπέρτιμος καὶ ἔξαρχος πάσης Αἰτωλίας, Κ. *Σωφρόνιος*.

Κς. ὁ Φιλιππουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος Θράκης Δραγοβιτίας, Κ. *Χρύσανθος*.

---

(1) Μετὰ τὸν Πισιδίας τάττεται ὁ Ἀθηνῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλάδος, ἔχων ἐπισκόπους πέντε·

α΄. τὸν Ταλαντίου καὶ Διαυλίας. — β΄. τὸν Σκύρου. — γ΄. τὸν Σάλωνος. — δ΄. τὸν Μεδηνίτζης. — καὶ ε΄. τὸν Κορωνείας. — Χρύσ. — (2) δώδεκα ἐπίσκοποι τῆς Κρήτης ἀριθμοῦνται παρὰ Χρυσ. ὅπου, ἐκτὸς τῶν ἐνταῦθα φερομένων, εὕρηνται καὶ ὁ Γορτύνης, ὁ Κνωσσοῦ, ὁ Λάμπης· ὁ δὲ Ῥηθύμνης, ὁ Σιτείας, καὶ ὁ Κισσάμου, ὡς ἴδιαι ἐπισκοπαί. — (3) Β΄. Θετταλίας καὶ πάσης Ἑλλάδος ἔχει καὶ ἐπισκόπους ἐννέα· τὸν Δημητριάδος· τὸν Σταγῶν· τὸν Λιτζᾶς καὶ Ἀγράφων· τὸν Σκιάθου καὶ Σκοπέλου· τὸν Γαρδικίου· τὸν Ῥαδοβιζδίου· τὸν Λοιδορικίου· τὸν Θαυμακοῦ· καὶ τὸν Ζητουνίου. Χρύσ. Συνταγμάτιον. — Μετὰ τούτους ἕπονται παρὰ Χρυσ. ὁ Μολδαβίας· ὁ Οὐγγροβλαχίας, καὶ ὁ Τρανσυλβανίας. — (4) ὁ Ναυπάκτου καὶ Ἄρτης. Χρύσ.

ΚΖ. ὁ Ῥόδου, ὑπέρτιμος καὶ ἔξαρχος πασῶν Κυκλάδων Νήσων, Κ. *Ἰάκωβος*.

Ἔχει ἐπίσκοπον τὸν Λέρου, Κ. *Διονύσιον*.

ΚΗ. ὁ Σερρῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Μακεδονίας, Κ. *Ἰάκωβος*.

ΚΘ. ὁ Δράμας (1), ὑπέρτιμος καὶ ἔξαρχος Μακεδονίας, Κ. *Μελέτιος*.

Ἔχει ἐπίσκοπον τὸν Ἐλευθερουπόλεως, Κ. *Καλλίνικον*.

Λ. ὁ Σμύρνης, ὑπέρτιμος καὶ ἔξαρχος Ἀσίας, Κ. *Παΐσιος*.

Ἔχει ἐπίσκοπον τὸν Μοσχονησίων, Κ. *Μελέτιον*.

ΛΑ. ὁ Μιτυλήνης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λέσβου (2), Κ. *Γρηγόριος*.

ΛΒ. ὁ Ἀγκύρας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Γαλατίας, Κ. *Μελέτιος*.

ΛΓ. ὁ Φιλαδελφείας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λυδίας, Κ. *Ἰωαννίκιος*.

Οὗτος ἐλέγετο τὸ πάλαι καὶ πρόεδρος τῆς Βενετίας.

ΛΔ. ὁ Βάρνης καὶ Καβάρνης, ὑπέρτιμος καὶ ἔξαρχος Μαύρης Θαλάσσης, Κ. *Πορφύριος* (3).

ΛΕ. ὁ Σάμου καὶ Ἰκαρίας, ὑπέρτιμος καὶ ἔξαρχος Κυκλάδων Νήσων, Κ. *Γρηγόριος* (4).

Αὕτη ἡ ἐπισκοπὴ ἐγένετο μητρόπολις κατὰ τὸ αωμά. ἔτος, κατὰ μῆνα Μάϊον.

Λϛ. ὁ Μελενίκου, ὑπέρτιμος (5), Κ. *Διονύσιος*.

ΛΖ. ὁ Πρεσπῶν καὶ Λυχνιδῶν, ὑπέρτιμος, Κ. *Διονύσιος*.

ΛΗ. ὁ Αἴνου, καὶ ὑπέρτιμος Κ. *Σωφρόνιος*.

ΛΘ. ὁ Χαλδείας καὶ Χεριάνων, καὶ ὑπέρτ., Κ. *Θεόφιλος*(6).

---

(1) ὁ Φιλίππων καὶ Δράμας. Χρύσ. — (2) ἐνταῦθα τάσσεται παρὰ Χρυσ. ὁ Ἰωαννίνων· ἔχει καὶ ἐπισκόπους τέσσαρας. τὸν Δρυϊνουπόλεως καὶ Ἀργυροκάστρου· τὸν Βελλᾶς· τὸν Βοθροντοῦ καὶ Γλυκέως· τὸν Χειμάρας καὶ Δελβίνου. — Ἕπεται δὲ ὁ Διδυμοτείχου ἀντὶ τοῦ Ἀγκύρας. — (3) ὁ Βάρνης μετὰ τὸν Ἀγχιάλου. Χρύσ. — (4) ὡς Ε. Ἀρχιεπισκοπή. Χρύσ. (5) ἐνταῦθα ἕπονται, παρὰ Χρυσ. ὁ Νέων Πατρῶν, ὑπέρτιμος. — ὁ Θηβῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βοιωτίας. — ὁ Αἴνου. — ὁ Μηθύμνης. — ὁ Παροναξίας. — ὁ Μεσημβρίας. κτλ. ὁ δὲ Πρεσπῶν κεῖται ὑπὸ τὸν Ἀχριδῶν. — (6) ὁ Χαλδείας καὶ Χεριάνων σημειοῦται ὡς ἡ ἀρχιεπισκοπὴ παρὰ Χρυσ. ὅρα σελ. 519 σημ. (3).

Μ. ὁ Μηθύμνης, ὑπέρτιμος καὶ ἔξαρχος Λέσβου, Κ. *Ἀγαθάγγελος*.

ΜΑ. ὁ Μεσημβρίας, ὑπέρτιμος καὶ ἔξαρχος Μαύρης Θαλάσσης, Κ. *Νικηφόρος*.

ΜΒ. ὁ Βιδύνης, ὑπέρτιμος, καὶ ἔξαρχος παντὸς Παραδουνάβεως, Κ. *Παΐσιος*.

ΜΓ. ὁ Δρύστρας καὶ Προϊλάβου, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Παραδουνάβεως (1), Κ. *Διονύσιος*.

ΜΔ. ὁ Σισανίου καὶ Σιατίστης, ὑπέρτιμος καὶ ἔξαρχος Μακεδονίας, Κ. *Μελέτιος*.

ΜΕ. ὁ Σοφίας, ὑπέρτιμος καὶ ἔξαρχος Βουλγαρίας, Κ. *Γεδεών*.

Μϛ. ὁ Βιζύης καὶ Μηδείας, ὑπέρτιμος καὶ ἔξαρχος Μαύρης Θαλάσσης, Κ. *Γρηγόριος*.

ΜΖ. ὁ Ἀγχιάλου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Μαύρης Θαλάσσης, Κ. *Σωφρόνιος*.

ΜΗ. ὁ Μαρωνείας, ὑπέρτιμος καὶ ἔξαρχος Ῥοδόπης, Κ. *Κύριλλος*.

ΜΘ. ὁ Σηλυβρίας, καὶ ὑπέρτιμος, Κ. *Μελέτιος*.

Ν. ὁ Σωζουαγαθουπόλεως(2), ὑπέρτιμος καὶ ἔξαρχος πάσης Μαύρης Θαλάσσης, Κ. *Δωρόθεος*.

ΝΑ. ὁ Ξάνθης καὶ Περιθωρίου, καὶ ὑπέρτιμος, Κ. *Μελέτιος*.

ΝΒ. ὁ Γάνου καὶ Χώρας, ὑπέρτιμος καὶ ἔξαρχος Θρᾴκης παραλίας, Κ. *Χρύσανθος* (3).

ΝΓ. ὁ Χίου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἰωνίας, Κ. *Σωφρόνιος*.

ΝΔ. ὁ Λήμνου καὶ Ἁγίου Εὐστρατίου, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Αἰγαίου Πελάγους, Κ. *Ἰωακείμ*.

ΝΕ. ὁ Ἴμβρου, ὑπέρτιμος καὶ ἔξαρχος Αἰγαίου Πελάγους(4), Κ. *Ἰωαννίκιος*.

---

(1) Μετὰ τὸν Δρύστρας, ἕπονται ὁ Εὐρίπου. — ὁ Σοφίας. — ὁ Βιζύης. — ὁ Μηδείας. — ὁ Ἀγχιάλου. — ὁ Βάρνης. — ὁ Προϊλάβου καὶ Τομαρόβου, ἀποτελῶν ἰδίαν μητρόπολιν, ἐκτὸς τῆς Δρύστρας. — ὁ Μαρωνείας κτλ. Χρύσ. — (2) ὁ Σωζουπόλεως. Χρύσ. — (3) ἕπεται ἐνταῦθα, ὁ Γοτθίας καὶ Καφᾶ, ὑπέρτιμος. Χρύσ. — (4) Μετὰ τὸν Ἴμβρου, ἕπεται ὁ Δέρκων καὶ Νεοχωρίου, ὑπέρτιμος. Χρύσ. εἶτα δὲ ἑξῆς μητροπολῖται τῆς Πελοποννήσου.

Ὁ Κορίνθου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου, ἔχει καὶ ἐπισκόπους

Νϛ. ὁ Δημητριάδος καὶ Ζαγορᾶς, ὑπέρτιμος καὶ ἔξαρχος Πελασγῶν. Κ. *Γαβριήλ*.

Οὗτος ἦν ἐπίσκοπος τὸ πάλαι τοῦ Λαρίσσης (1).

ΝΖ. ὁ Ἐλασσῶνος, καὶ ὑπέρτιμος(2), Κ. *Ἰγνάτιος*.

ΝΗ. ὁ Προικοννήσου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Προποντίδος, Κ. *Σωφρόνιος*.

Οὗτος ἦν ἀρχιεπίσκοπος τὸ πάλαι(3).

ΝΘ. ὁ Κασανδρείας, ὑπέρτιμος καὶ ἔξαρχος Κόλπου Θερμαϊκοῦ, Κ. *Ἰγνάτιος*.

Ξ. ὁ Γκόρας καὶ Δυῤῥαχίου, καὶ ὑπέρτιμος, Κ. *Ἰωαννίκιος*.

ΞΑ. ὁ Πρεσλάβας, ὑπέρτιμος καὶ ἔξαρχος Βουλγαρικῆς Μυσίας, Κ. *Βενιαμίν*.

Οὗτος ἦν ἐπίσκοπος τὸ πάλαι τοῦ Τορνόβου.

ΞΒ. ὁ Πωγωνιανῆς, καὶ ὑπέρτιμος, Κ. *Πανάρετος*.

Οὗτος ἦν ἐπίσκοπος τοῦ Ἰωαννίνων.

ΞΓ. ὁ Δρυϊνουπόλεως καὶ Δελβίνου, καὶ ὑπέρτιμος, Κ. *Παντελεήμων*.

Καὶ οὗτος ἦν ἐπίσκοπος τοῦ Ἰωαννίνων· ἐγένετο δὲ μητροπολίτης κατὰ τὸ ͵αωλδ΄. ἔτος.

δύο, τὸν Δαμαλᾶ, καὶ τὸν Πολυφέγγους· εἶναι δὲ καὶ πρωτόθρονος τῶν λοιπῶν μητροπολιτῶν τῆς Πελοποννήσου. — ὁ Μονεμβασίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου· ἔχει καὶ ἐπισκόπους, τὸν Κυθηρίας, τὸν Ἕλους, τὸν Μαΐνης, καὶ τὸν Ῥέοντος. Οὗτος ἐτιμήθη ἀρχιεπίσκοπος· λέγεται καὶ Παναγιώτατος ἐν μόνῃ τῇ οἰκείᾳ αὐτοῦ ἐπαρχίᾳ· ἔξω ὅμως ἀπ' αὐτὴν λέγεται, ὡς καὶ οἱ λοιποὶ ἀρχιερεῖς, Πανιερώτατος· ἔχει καὶ τὸν τόπον τοῦ Ἱεροσολύμων. — ὁ Παλαιῶν Πατρῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀχαΐας· ἔχει ἐπισκόπους τέσσαρας, τὸν Ὠλένου, τὸν Τζερνίκης, τὸν Κορώνης, καὶ τὸν Μοθώνης. — ὁ Λακεδαιμονίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου· ἔχει ἐπισκόπους τρεῖς, τὸν Ἀμυκλῶν, τὸν Καριουπόλεως, καὶ τὸν Βρεστένης. — ὁ Χριστιανουπόλεως, ὑπέρτιμος. — ὁ Ναυπλίου, ὑπέρτιμος.

(1) Ὅρα σελ. 516 σημ. 2) — (2) ὡς δ΄. ἀρχιεπισκοπή. Χρύσ. — (3) ὡς πρώτη τῶν ἀρχιεπισκοπῶν, παρὰ Χρυσ. Ἕπεται δὲ ὁ Λιτίτζης· οἵτινες γράφονται ἱερώτατοι ἀρχιεπίσκοποι παρὰ τοῦ πατριάρχου, ὡς καὶ οἱ μητροπολῖται· οἱ δὲ λοιποὶ πάντες, θεοφιλέστατοι. Εἶτα ἕπονται ὁ Σαντορίνης. — ὁ Ἐλασσῶνος. — ὁ Σάμου καὶ Ἰκαρίας. — ὁ Κῴου. — ὁ Φαναρίου καὶ Νεοχωρίου. — ὁ Χαλδίας καὶ Χεριάνων. — ὁ Τζίας καὶ Θερμίων. — ὁ Κασανδρείας. — ὁ Μήλου καὶ Κιμώλου. — ὁ Σίφνου. — ὁ Ἄνδρου. — ὁ Αἰγίνης. — ὁ Πωγωνιανῆς. — ὁ Καρπάθου καὶ Κάσου. — ὁ Λευκάδος καὶ Ἁγίας Μαύρας. — ὁ Φαρσάλων. — ὁ Ῥέοντος καὶ Πραστοῦ. — ὁ Κεφαλληνίας καὶ Ζακύνθου.

ΞΔ. ὁ Κώου, ὑπέρτιμος καὶ ἔξαρχος Κυκλάδων Νήσων, Κ. *Κύριλλος*.

Οἱ ἀπὸ Ἰπεκίου προστεθειμένοι μητροπολῖται (1).

ΞΕ. ὁ Νύσσης, ὑπέρτιμος καὶ ἔξαρχος κάτω Μυσίας, Κ. *Ἰωαννίκιος*.

Ξς. ὁ Σκοπείων, ὑπέρτιμος καὶ ἔξαρχος κάτω Μυσίας, Κ. *Ἰωακείμ*.

ΞΖ. ὁ Ἐρσεκίου, ὑπέρτιμος καὶ ἔξαρχος ἄνω Μυσίας, Κ. *Λογγῖνος*.

ΞΗ. ὁ Κεστεντηλίου καὶ Στηπίων, καὶ ὑπέρτιμος, Κ. *Ἀρτέμιος*.

ΞΘ. ὁ Σαμακοβίου, ὑπέρτιμος καὶ ἔξαρχος Βουλγαρίας, Κ. *Ματθαῖος*.

Ο. ὁ Σβορνικίου, ὑπέρτιμος καὶ ἔξαρχος Δαλματίας, Κ. *Ἀγαθάγγελος*.

ΟΑ. ὁ Ῥασκοπρεσρένης, ὑπέρτιμος καὶ ἔξαρχος ἄνω Μυσίας, Κ. *Μελέτιος*.

ΟΒ. ὁ Νυσσάβας, καὶ ὑπέρτιμος, Κ. *Ἄνθιμος* (2).

Οἱ ἀπὸ Ἀχρίδος προστεθειμένοι μητροπολῖται (3).

ΟΓ. ὁ Καστορίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Παλαιᾶς Βουλγαρίας, Κ. *Νικηφόρος*.

ΟΔ. ὁ Βοδενῶν, καὶ ὑπέρτιμος, Κ. *Ἄνθιμος*.

ΟΕ. ὁ Κορυτζᾶς, καὶ ὑπέρτιμος Κ. *Νεόφυτος*.

Ος. ὁ Φαναριοφερσάλων, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας, Κ. *Νεόφυτος*.

---

(1) Ἡ ποτὲ αὐτοκέφαλος αὕτη ἀρχιεπισκοπὴ ἐξέλιπε κατὰ τὸ ἔτος 1767, ἐπὶ τοῦ οἰκουμενικοῦ πατριάρχου Σαμουήλ. — (2) Παρὰ Χρυσ. τάττονται ἐνταῦθα καὶ ὁ Σταριβλάχης ἢ Ῥάσκας· ὁ Βόσνας Σεραγίου· ὁ Βελιγραδίου· ὁ Τεμισβαρίου· ὁ Βαλιόβου· ὁ Σιμπισίου· καὶ ὁ ἐπίσκοπος Τζιτίνας, (νῦν Μαυροβουνίου.) Πρὸς δὲ καὶ αἱ πλεῖσται τῶν ἐν τῇ Αὐστριακῇ μοναρχίᾳ νῦν ὑπὸ τὸν Καρλοβίτζης τελουσῶν ἐπαρχιῶν. Ὅρα κατωτέρω σελ. 529. — (3) Καὶ αὕτη ἡ αὐτοκέφαλος ἀρχιεπισκοπὴ ἐξέλιπε ἐπὶ Σαμουὴλ ἐν ἔτει 1767. — Ὅρα καὶ ὄπισθεν σελ. 219. Ὑπ' αὐτὴν ἐτέλει καὶ ὁ Πελαγονίας (Μπιτώλια)· ὡς ἐπίσκοποι δὲ, ὁ Σισανίου, ὁ Μογλενῶν καὶ Μολισχῶν, ὁ Δευρῶν, ὁ Γκόρας καὶ Μόκρας. Χρύσ.

ΟΖ. ὁ Στρωμνίτζης καὶ Τιβεριουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος Βουλγαρικῆς Μακεδονίας, Κ. *Νεόφυτος*.

ΟΗ. ὁ Βελεγράδων, καὶ ὑπέρτιμος, Κ. *Ἄνθιμος*.

ΟΘ. ὁ Γρεβενῶν, καὶ ὑπέρτιμος, Κ. *Ἀγάπιος*.

Π. ὁ Μογλενῶν, καὶ ὑπέρτιμος, Κ. *Νεόφυτος*.

ΠΑ. ὁ Δευρῶν, καὶ ὑπέρτιμος, Κ. *Μελέτιος*.

ΠΒ. ὁ Βελισσοῦ, καὶ ὑπέρτιμος, Κ. *Αὐξέντιος*.

Οὗτος ἦν ἀρχιεπίσκοπος τὸ πάλαι, ἐγένετο δὲ ἤδη μητροπολίτης κατὰ τὸ ͵αωμϐʹ. ἔτος, Αὐγούστου ιά. δι' ἐκκλησιαστικοῦ τόμου, ἐπὶ πατριαρχείας τοῦ Κὺρ Γερμανοῦ.

Ἀρχιεπίσκοποι.

Α. Ὁ ἱερώτατος ἀρχιεπίσκοπος Λιτίτζης.

Β. Ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καρπάθου καὶ Κάσσου.

ϐʹ. Ἐν ταῖς ὑπὸ τῷ Ὀθωμανικῷ κράτει ἡγεμονίαις.

ά. Βλαχίας.

ὁ Οὐγγροβλαχίας, ὑπέρτιμος καὶ ἔξαρχος Πλαγηνῶν, καὶ τὸν τόπον ἐπέχων τοῦ Καισαρείας Καππαδοκίας, Κ. *Νήφων*.

Ἔχει ἐπισκόπους τρεῖς·

α. τὸν Ῥυμνίκου.

ϐ. τὸν Ποζαίου.

γ. τὸν Ἀρτζεσίου.

ϐʹ. Μολδαυΐας.

ὁ Μολδαβίας, ὑπέρτιμος καὶ ἔξαρχος Πλαγηνῶν, Κ. *Βενιαμίν*.

Ἔχει ἐπισκόπους τρεῖς·

α. τὸν Ῥωμανοῦ.

ϐ. τὸν Ῥαδαντζίου.

γ. τὸν Χουσίου.

γʹ. Σερβίας.

ὁ ἱερώτατος μητροπολίτης πάσης Σερβίας, Κ. *Πέτρος*.

Ἔχει ἐπισκόπους τρεῖς·

α. τὸν Οὐζίτζης, Κ. *Νικηφόρον Μαξίμοβιτζ.*

ϐ. τὸν Τιμοσκίου, Κ. *Δοσίθεον Νοϐάκοβιτζ.*

γ. τὸν Σαϐασκίου, Κ. *Μελέτιον Μάρκοβιτζ.*

—

γ΄. Ἐκτὸς τοῦ Ὀθωμανικοῦ Κράτους.

ά. Ἐν τῷ Ἡνωμένῳ Κράτει τῶν Ἰονίων Νήσων.

Μητροπολῖται.

Α. ὁ Κερκύρας, Κ. *Ἀθανάσιος.*

Β. ὁ Κεφαλληνίας, Κ. *Σπυρίδων.*

Γ. ὁ Ζακύνθου, Κ. *Νικόλαος* (1).

Ἀρχιεπίσκοποι.

Δ. ὁ Λευκάδος, Κ. *Γρηγόριος.*

Ε. ὁ Κυθήρων, Κ. *Προκόπιος.*

Ἐπίσκοποι.

ς. ὁ Ἰθάκης, Κ. *Γαβριήλ.*

Ζ. ὁ Παξῶν, Κ. *Χρύσανθος.*

ϐ'. Ἐν Βενετίᾳ.

Ὁ προϊστάμενος τῆς ἐν Βενετίᾳ Ἐκκλησίας, Κ. *Βενέδικτος.*

—

Β΄.

Ὁ μακαριώτατος καὶ ἁγιώτατος πατριάρχης Ἀλεξανδρείας, καὶ πάσης γῆς Αἰγύπτου, Πενταπόλεως, Λιϐύης, καὶ Αἰθιοπίας, Κ. *Ἱερόθεος.*

—

Μητροπόλεις τοῦ θρόνου τῆς Ἀλεξανδρείας.

Μητροπολῖται.

Α. Ὁ Λιϐύης, ὑπέρτιμος καὶ ἔξαρχος Ἀφρικῆς.

Β. Ὁ Μέμφιδος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀρκαδίας.

Γ. Ὁ Πηλουσίου Ὄρους, ὑπέρτ. καὶ ἔξαρχος Αὐγουσταμίκης.

Δ. Ὁ Μετήλιδος, ὑπέρτιμος καὶ ἔξαρχος Αἰγύπτου.

—

(1) Ὁ Ζακύνθου καὶ Κεφαλληνίας, ὡς μία ἀρχιεπισκοπή· Χηρία.

Γʹ.

Ὁ μακαριώτατος καὶ ἁγιώτατος πατριάρχης τῆς μεγάλης Θεουπόλεως Ἀντιοχείας, καὶ πάσης Ἀνατολῆς, Κ. *Ἱερόθεος*.

—

Μητροπόλεις τοῦ θρόνου τῆς Ἀντιοχείας.

Μητροπολῖται.

Α. Ὁ Βεῤῥοίας τῆς Συρίας, ὁ τὰ νῦν Χαλεπίου λεγόμενος, ὑπέρτιμος καὶ ἔξαρχος πρώτης Συρίας.

Β. Ὁ Ἐπιφανείας, ὑπέρτιμος καὶ ἔξαρχος δευτέρας Συρίας. Ἦν αὕτη ἐπισκοπὴ Ἀπάμεια, ἧς νῦν οὔτε ἴχνος ὑπάρχει.

Γ. Ὁ Λαοδικείας, ὑπέρτιμος καὶ ἔξαρχος Θεοδωριάδος.

Δ. Ὁ Σελευκείας, ἡ Μελούλης, ὑπέρτιμος καὶ ἔξαρχος Συρίας.

Ε. Ὁ Ἀμίδης, ἡ Ἐδέσσης, ὑπέρτ. καὶ ἔξαρχος Μεσοποταμίας.

Ζ. Ὁ Τύρου καὶ Σιδῶνος, ὑπέρτιμος καὶ ἔξαρχος Φοινίκης Παραλίας.

Η. Ὁ Τριπόλεως, ὑπέρτ. καὶ ἔξαρχος Φοινίκης Λιβανίας (1).

Θ. Ὁ Βηρυτοῦ, ὑπέρτιμος καὶ ἔξαρχος Φοινίκης παραλίας.

Ι. Ὁ Ἀδάνης, τὸ λεγόμενον Παϊάσι, ὑπέρτιμος καὶ ἔξαρχος πρώτης καὶ δευτέρας Κιλικίας.

ΙΑ. Ὁ Ἡλιουπόλεως ἐξέλιπε(2).

ΙΒ. Ὁ Παλμύρας, καὶ αὕτη οὐ σώζεται(3).

ΙΓ. Ὁ Ἀρκαδίας.

ΙΔ. Ὁ Θεοδοσιουπόλεως (τὸ Ἐρζουρούμι), ὑπέρτιμος καὶ ἔξαρχος Μεγάλης Ἀρμενίας.

ΙΕ. Ὁ Ἀκίσκας, ὑπέρτιμος.

—

(1) Μετὰ τοῦτον ἕπονται παρὰ Χρυσ. — ὁ Βόστρας, (ὁ Χαβρανίση νῦν λεγόμενος), ὑπέρτιμος καὶ ἔξαρχος Πετραίας Ἀραβίας. — ὁ Ἐμέσσης, (Χαμούση) ὑπέρτιμος καὶ ἔξαρχος Φοινίκης Λιβανισίας.

(2) ὑπέρτιμος καὶ ἔξαρχος Φοινίκης Λιβανισίας· (νῦν λέγεται ἡ Ἡλιούπολι-Μπααλμπέκ) Χρύσ. — (3) Ἡ αὐτὴ καὶ Ἀδριανούπολις μετωνομάσθη, ἀνακτισθεῖσα ὑπὸ τοῦ αὐτοκράτορος Ἀδριανοῦ, ὅθεν καὶ εἴς τινα Τακτικὰ, ἀντὶ Παλμύρας Ἀδριανουπόλεως λέγεται, — εἶτα ἕπεται ὁ Σαϊδαναγίας, ὑπέρτιμος. Χρύσ.

Δ'.

Ὁ μακαριώτατος καὶ ἁγιώτατος πατριάρχης τῶν Ἱεροσολύμων, ἁγίας Σιών, Συρίας, Ἀραβίας, πέραν τοῦ Ἰορδάνου, Κανᾶ τῆς Γαλιλαίας, καὶ πάσης Παλαιστίνης, Κ. *Κύριλλος*.

Μητροπόλεις καὶ Ἀρχιεπισκοπαὶ τοῦ θρόνου τῶν Ἱεροσολύμων.

Μητροπολῖται.

Α. ὁ Καισαρείας τῆς Παλαιστίνης ὑπέρτιμος καὶ ἔξαρχος πρώτης Παλαιστίνης.

Β. ὁ Σκυθουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος δευτέρας Παλαιστίνης.

Γ. ὁ Πτολεμαΐδος, ὑπέρτιμος καὶ ἔξαρχος Φοινίκης.

Δ. ὁ Βηθλεὲμ, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἰουδαίας.

Ε. ὁ Ναζαρὲτ, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Γαλιλαίας.

ς. ὁ Ἄρκης ὑπέρτιμος καὶ ἔξαρχος Ὄρους Λιβανίου.

Ἀρχιεπίσκοποι.

Α. ὁ Λύδδης, καὶ ὑπέρτιμος.

Β. ὁ Γάζης, καὶ ὑπέρτιμος.

Γ. ὁ Ἰόππης.

Δ. ὁ Πέτρας.

Ε. ὁ Νεαπόλεως.

ς. ὁ Σεβαστείας.

Ζ. ὁ Θαβωρίου ὄρους.

Η. ὁ Φιλαδελφείας, ἐπίσκοπος τῆς μητροπόλεως Πέτρας.

Ε'.

Αὐτοκέφαλος Ἐκκλησία τῆς Ῥωσσίας.

Ἡ Ἁγιωτάτη Διοικοῦσα Σύνοδος τῆς Ῥωσσίας.

—

Α'. Ἐπαρχίαι πρώτης τάξεως.

Μητροπολῖται.

Α'. ὁ Κιέβου καὶ Γαλικίας, Κ. *Φιλάρετος.*

Τοποτηρητὴς αὐτοῦ, ὁ ἐπίσκοπος Τσιγιρίνου, Κ. *Ἀπολλινάριος.*

Β'. ὁ Νοβογοροδίας, (ὁ αὐτὸς καὶ Πετρουπόλεως κτλ. ὅρα κατωτέρω Δ.) Κ. *Νικάνωρ.*

Τοποτηρητὴς αὐτοῦ, ὁ ἐπίσκοπος τῆς Σταραΐας Ῥούσης, Κ. *Ἰωαννίκιος.*

Γ'. ὁ Μόσχας καὶ Κολόμνας, Κ. *Φιλάρετος.*

Τοποτηρητὴς αὐτοῦ, ὁ ἐπίσκοπος Δμητρόβου Κ. *Φιλόθεος.*

Δ'. ὁ Πετρουπόλεως, Ἐστονίας, καὶ Φιννίας.

Τοποτηρητὴς αὐτοῦ, ὁ ἐπίσκοπος Ῥεβέλης, Κ. *Χριστόφορος.*

Β'. Ἐπαρχίαι δευτέρας τάξεως.

Ἀρχιεπίσκοποι.

Α'. ὁ Καζάνης καὶ Σβιάσκης, Κ. *Γρηγόριος.*

Τοποτηρητὴς αὐτοῦ ὁ ἐπίσκοπος...

Β'. ὁ Ἀστραχανίου καὶ Ἐνοταέβης, Κ. *Εὐγένιος.*

Γ'. ὁ Τοβόλσκης καὶ Σιβηρίας, Κ. *Ἀθανάσιος.*

Δ'. ὁ Ἰαροσλαβίου καὶ Ῥοστόβου, Κ. *Εὐγένιος.*

Ε'. ὁ Πσκόβου καὶ μεγάλων Λουκῶν. . . .

ς'. ὁ Ῥεζάνης καὶ Ζαραΐσκης, Κ. *Γαβριήλ.*

Ζ'. ὁ Τβέρης καὶ Κασίνου, Κ. *Γαβριήλ.*

Η'. ὁ Χερσῶνος καὶ Ταυρίδος, Κ. *Ἰννοκέντιος.*

Τοποτηρητὴς αὐτοῦ, ὁ ἐπίσκοπος Ὀδησσοῦ.

Θ'. ὁ Λιτουανίας καὶ Βίλνης, Κ. *Ἰωσήφ.*

Τοποτηρηταὶ αὐτοῦ, *ά.* ὁ ἐπίσκοπος Βρέστης, Κ. *Ἰγνάτιος,*
β'. ὁ ἐπίσκοπος Κόβνης, Κ. *Φιλάρετος,*

Ι'. ὁ Βαρσοβίας καὶ Νέας Γεωργίας, Κ. *Ἀρσένιος.*

ΙΑ'. ὁ Ῥίγας καὶ Μιτάβης Κ. *Πλάτων.*

ΙΒ'. ὁ Μοχιλέβου καὶ Μιστισλαβίου, Κ. *Ἀνατόλιος.*

ΙΓ'. ὁ Τσερνιγόβου καὶ Νίζνης, Κ. *Παῦλος.*

ΙΔ'. ὁ Μίνσκης καὶ Βοβρουΐσκης, Κ. *Μιχαήλ.*

ΙΕ'. ὁ Ποδολίας καὶ Βρασλαβίου, Κ. *Εὐσέβιος.*

Τοποτηρητὴς αὐτοῦ, ὁ ἐπίσκοπος Βιννίτσης, Κ. *Μακάριος.*

Ιϛ'. ὁ Κισνοβίου καὶ Χοτίνου, Κ. *Εἰρήναρχος.*

ΙΖ'. ὁ Ὀλονέτσης καὶ Πετροζαβόδης, Κ. *Ἀρκάδιος.*

ΙΗ'. ὁ Τανάϊδος καὶ Νέας Κιρκασίας, Κ. *Ἰωάννης.*

ΙΘ'. ὁ Ἰρκούτκης καὶ Ἰακούτκης, Κ. *Νεῖλος.*

Γ'. *Ἐπαρχίαι τρίτης τάξεως.*

Ἐπίσκοποι.

Α'. ὁ Αἰκατερινοσλαβίας καὶ Ταγανρόγου (Ταϊγανίου), Κ. *Ἰννοκέντιος.*

Β'. ὁ Καλούγης καὶ Βορόβης, ...

Γ'. ὁ Σμολένσκης καὶ Δορογοβουζίου, Κ. *Τιμόθεος.*

Δ'. ὁ Νιζεγορόδου καὶ Ἀρζαμάσου, Κ. *Ἱερεμίας.*

Ε'. ὁ Ἀρχιεπίσκοπος Κούρσκης καὶ Βελγορόδου, Κ. *Ἡλιόδωρος.*

ϛ'. ὁ Βλαδημίρου καὶ Σουζδαλίου, Κ. *Ἰουστῖνος.*

Ζ'. ὁ Ἀρχιεπίσκοπος Πολότσκης καὶ Βιτέπσκης, Κ. *Βασίλειος.*

Η'. ὁ Βολόγδης καὶ Οὐστιούγου, Κ. *Εὐλάμπιος.*

Θ'. ὁ Τούλης καὶ Βιελέβου, Κ. *Δημήτριος.*

Ι'. ὁ Βιάτκης καὶ Σλοβόδσκης, Κ. *Ἐλπιδιφόρος.*

ΙΑ'. ὁ Ἀρχαγγέλου καὶ Χολμογόρης, Κ. *Ἀντώνιος.*

ΙΒ'. ὁ Ἀρχιεπίσκοπος Βορονέζου καὶ Ζαδόνσκης, Κ. *Παρθένιος.*

Τοποτηρητὴς αὐτοῦ, ὁ ἐπίσκοπος Ὀστρογόσκης, Κ. *Θεόγνωστος.*

ΙΓ'. ὁ Κοστρόμης καὶ Γαλιχίου, Κ. *Λεωνίδας.*

ΙΔ'. ὁ Ταμπόβου καὶ Σάτσκης, Κ. *Νικόλαος.*

ΙΕ'. ὁ Ἀρχιεπίσκοπος Ὀρέλου καὶ Σέβσκης, Κ. *Σμάραγδος.*

Ις'. ὁ Πουλτάβας καὶ Περεσλαβίου, Κ. *Ναθαναήλ.*

ΙΖ'. ὁ Βολυνίας καὶ Ζητομίρου, ...

Τοποτηρητὴς αὐτοῦ, ὁ ἐπίσκοπος Ὀστρόγου, Κ. *Ἱερόθεος.*

ΙΗ'. ὁ Ἀρχιεπίσκοπος Πέρμης καὶ Βερχοτουρίου, Κ. *Νεόφυτος.*

Τοποτηρητὴς ὁ ἐπίσκοπος Αἰκατερινουπόλεως, Κ. *Ἰωνᾶς.*

ΙΘ'. ὁ Τόμσκης καὶ Αἰνισέης, Κ. *Παρθένιος.*

Κ'. ὁ Πένζης καὶ Σαράνσκης, Κ. *Βαρλαάμ.*

ΚΑ'. ὁ Σαρατόβου καὶ Τσαριτσίνου, Κ. *Ἀθανάσιος.*

ΚΒ'. ὁ Χαρκόβου καὶ Ἀχτήρκας, Κ. *Φιλάρετος.*

ΚΓ'. ὁ Ὀρεμβούργου καὶ Οὔφης, Κ. *Ἰωσήφ.*

ΚΔ'. ὁ Σιμβίρσκης καὶ Σιζράνης, Κ. *Θεοδόσιος.*

ΚΕ'. ὁ Καυκάσου καὶ Τσερνομορίου, Κ. *Ἰωαννίκιος.*

Κς'. ὁ Ἀρχιεπίσκοπος Καμτσάτκης, Κουριλίων, καὶ Ἀλεουτίων Νήσων, Κ. *Ἰννοκέντιος.*

ΚΖ'. ὁ Σαμάρας καὶ Σταυροπόλεως, Κ. *Εὐσέβιος.*

Ἐξαρχίαι Γεωργίας (1).

Ὁ Ἔξαρχος Γεωργίας, ἀρχιεπίσκοπος Καρταλίας καὶ Καχετίνης, Κ. *Ἰσίδωρος.*

Τοποτηρητὴς αὐτοῦ, ὁ ἐπίσκοπος Γορίου, Κ. *Νικηφόρος,*

ΛΓ'. ὁ Μητροπολίτης Ἰμερετίας, Κ. *Δαβίδ.*

ΛΔ'. ὁ ἐπίσκοπος Μιγγρηλίας, Κ. *Ἀντώνιος.*

ΛΕ'. ὁ ἐπίσκοπος Γουρίας, Κ. *Εὐθύμιος.*

—

(1) Ἐν τῇ Γεωργίᾳ, τῇ ἄλλοτε λεγομένῃ Ἰβηρίᾳ, πρὸ τῆς μετὰ τῆς Ῥωσσικῆς Αὐτοκρατορίας ἑνώσεως, ὑπῆρχον δύο αὐτοκέφαλοι ἀρχιεπίσκοποι, κοινῶς Καθολικοὶ καλούμενοι, ὧν ὁ μὲν ἐλέγετο Μακαριώτατος Καθολικὸς Ἰμερετίου, Ὀτισίου, Γουρίας, καὶ πάσης κάτω Ἰβηρίας, ἢ καὶ ἁπλῶς, Καθολικὸς πάσης Ἰβηρίας· ὁ δὲ, Μακαριώτατος Καθολικὸς Καρτελίου, Καχετίου, Ἀλβανίας, καὶ πάσης ἄνω Ἰβηρίας. Ὑπὸ τὸν πρῶτον ἐτέλουν ἐν τῇ ἐπαρχίᾳ Ἰμερετίας, ὁ μητροπολίτης Γενατέλος, ἀρχιεπίσκοποι δύο, καὶ ὁ ἐπίσκοπος Κευτατέλος· ἐν δὲ ταῖς ἐπαρχίαις Ὀτισίου καὶ Γουρίας, ὁ ἐπίσκοπος Τζατισέλος, ὁ ἐπίσκοπος Πετιέλος, καὶ ὁ ἐπίσκοπος Σκουντέλος. Ὑπὸ δὲ τὸν ἄνω Ἰβηρίας ἐτέλουν, ἐν μὲν τῇ ἐπαρχίᾳ τῆς Καρτελίας, ὁ μητροπολίτης Τιπλέλος· ὁ ἐπίσκοπος Μαγγέλος· ὁ Πωνέλος· ὁ Τουμανέλος· ὁ Τζιλκνέλος· ὁ Σαμτανέλος· ὁ Προέλος· ὁ Οὐρπουνέλος· ὁ Νικοζέλος· ἐν δὲ τῇ ἐπαρχίᾳ τῆς Καχετίας, ὁ μητροπολίτης Ἀλιβερδέλος, (ἔνθα καὶ τὸ ταφεῖον τῶν ἡγεμόνων τοῦ Καχετίου·) ὁ μητροπολίτης Ποτουβέλος· ὁ ἐπίσκοπος Νινοτζμιντέλος· ὁ Σαμέπελος· καὶ ὁ Χαρτζασινέλος. Χρύσ. σελ. πή.

ς'.

Αὐτοκέφαλος Ἐκκλησία τῆς Κύπρου.

—

Ὁ μακαριώτατος, καὶ ἁγιώτατος Ἀρχιεπίσκοπος Νέας Ἰουστινιανῆς καὶ πάσης Κύπρου, Κ. *Μακάριος*.

—

Ἔχει ἐπισκόπους τρεῖς·

α. τὸν Πάφου, Κ. *Χαρίτωνα*.
β. τὸν Κιττίου, Κ. *Μελέτιον*·
γ. τὸν Κυρηνίας, Κ. *Μελέτιον*·

—

Ζ'.

Αὐτοκέφαλος Ἐκκλησία ἐν τῇ Αὐστριακῇ Μοναρχίᾳ.

—

Ὁ μακαριώτατος καὶ ἅγιος Ἀρχιεπίσκοπος Καρλοβίτζης (νῦν Πατριάρχης), Κ. *Ἰωσὴφ Ῥαϊάτζιτζ*.

—

Ἐπισκοπαί (1).

Α'. ὁ Ἀράδου, Μεγάλου Βαραδίνου, Ἰενοπόλεως, καὶ Χαλματσίου, Κ. *Γεράσιμος*.

Β'. ὁ Μπάτσης, Νεοφύτου (Νοβοσάδου), καὶ Ζεγεδίνου.

Γ'. ὁ Ἁγίου Ἀνδρέου, Πέστης, Στολνο — Βελιγραδίου, Μοχατσίου, καὶ Σιγέδης, Κ. *Πλάτων*.

Δ'. ὁ Βουκοβίνης, Κ. *Εὐγένιος*.

Ε'. ὁ Βεστάτσης, Λουγόσης, Καρὰν Σεμπέσης, Ὀρσάβας, καὶ Μεχαδίου, Κ. *Στέφανος*.

---

(1) Αἱ ἐπισκοπαὶ αὗται, ἐξαιρουμένων τῆς Βουκοβίνης, τῆς Τρανσυλβανίας, καὶ τῆς Δαλματίας καὶ Καττάρου, ὑπέκειντο ἄλλοτε τῷ τότε αὐτοκεφάλῳ ἀρχιεπισκόπῳ Πεκίου· ὁ δὲ Τρανσυλβανίας, τότε μητροπολίτης, ὁ καὶ Ἐρδελίας λεγόμενος, ὑπέκειτο τῷ οἰκουμενικῷ θρόνῳ, ἔχων τὴν ἀναφορὰν αὐτοῦ πρὸς τὸν μητροπολίτην Οὐγγροβλαχίας, λόγῳ πατριαρχικοῦ καὶ ἐξαρχικοῦ δικαίου. Ζήτει Χρυσ. Συνταγμ. σελ. ξζ'. καὶ πθ'.

Ζ'. ὁ Δαλματίας καὶ Καττάρου, Κ. *Ἱερόθεος*.

Η'. ὁ Καρολοσταδίου, Κοστάνζης, Κορμπάβης, Τεργέστης, Ῥέκης, καὶ Σένης, Κ. *Εὐγένιος*.

Θ'. ὁ Πακρατσίου, Σλαβονίας, Ποσεγίας, καὶ παντὸς τοῦ Στρατηγείου Βαρασδίνου, Κ. *Στέφανος*.

Ι'. ὁ Τεμεσβαρίας, Λιποβίας, Μεγάλου Βετζκερὲκ, καὶ Παντζόβης, Κ. *Παντελεήμων*.

Κ'. ὁ Τρανσυλβανίας, Κ. *Βαρῶνος Ἀνδρέας Σαγούνας*.

—

Η.

Αὐτοκέφαλος Ἀρχιεπισκοπὴ τοῦ Σιναίου Ὄρους(1).

—

Ὁ μακαριώτατος Ἀρχιεπίσκοπος Σινᾶ, Κ. *Κωνστάντιος* (πρώην πατριάρχης Κωνσταντινουπόλεως).

—

Θ.

Αὐτοκέφαλος Μητρόπολις Μαυροβουνίου (2).

—

Ὁ Μητροπολίτης Σκανδερίας καὶ Παραθαλασσίας, Ἀρχιεπίσκοπος Τσετινίας, Ἔξαρχος τοῦ ἱεροῦ θρόνου Πεκίου, Δεσπότης (Βλαδίκας) Μαυροβουνίου καὶ Βέρδης, Κ. *Πέτρος Πέτροβιτζ*.

—

(1) Τὴν τάξιν ταύτην κατέχει ὁ Σιναίου κατὰ τὸ Ῥωσσικὸν Συνταγμάτιον· ἐν δὲ τῷ τῆς Μεγάλης Ἐκκλησίας, τάσσεται μεταξὺ τῶν μητροπολιτῶν τοῦ πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων. — Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ Χρυσάνθου, ὁ Σιναίου ἦν ἀρχιεπίσκοπος ὑπὸ τὸν πατριάρχην τῶν Ἱεροσολύμων. Ὅρα ὄπισθεν σελ. 331 καὶ 503, σημ. (1).

(2) Τὴν τάξιν ταύτην κατέχει κατὰ τὸ Ῥωσσικὸν Συνταγμάτιον· ἐν δὲ τῷ τῆς Μεγάλης Ἐκκλησίας οὐ μνημονεύεται. Τὸ πάλαι ὑπέκειτο τῷ ἀρχιεπισκόπῳ Πεκίου

Γ΄.

Αὐτοκέφαλος Ἐκκλησία τῆς Ἑλλάδος (1).

Ἡ Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.

Μητροπολῖται, Ἀρχιεπίσκοποι, καὶ Ἐπίσκοποι.

Α. ὁ Μητροπολίτης Ἀθηνῶν, Κ. *Νεόφυτος.*

Β. ὁ ἐπίσκοπος Θηβῶν, καὶ Λεβαδίας, Κ. *Ἀβράμιος.*

Γ. ὁ ἀρχιεπίσκοπος Χαλκίδος, Κ. *Καλλίνικος.*

Δ. ὁ ἐπίσκοπος Καρυστίας, Κ. *Μακάριος.*

Ε. ὁ ἀρχιεπίσκοπος Φθιώτιδος, Κ. *Καλλίνικος.*

ς. ὁ ἐπίσκοπος Φωκίδος.

Ζ. ὁ ἀρχιεπίσκοπος Ἀκαρνανίας καὶ Αἰτωλίας, Κ. *Θεόφιλος.*

Η. ὁ ἐπίσκοπος Ναυπακτίας καὶ Εὐρυτανίας, Κ. *Ἄνθιμος.*

Θ. ὁ ἀρχιεπίσκοπος Ἀργολίδος, Κ. *Γεράσιμος.*

Ι. ὁ ἀρχιεπίσκοπος Κορίνθου, Κ. *Ἀμφιλόχιος.*

ΙΑ. ὁ ἐπίσκοπος Ὕδρας καὶ Σπετσῶν, Κ. *Νεόφυτος.*

ΙΒ. ὁ ἀρχιεπίσκοπος Πατρῶν καὶ Ἠλείας, Κ. *Μισαήλ.*

ΙΓ. ὁ ἐπίσκοπος Καλαβρύτων καὶ Αἰγιαλείας, Κ. *Βαρθολομαῖος.*

ΙΔ. ὁ ἀρχιεπίσκοπος Μαντινείας καὶ Κυνουρίας, Κ. *Θεοφάνης.*

ΙΕ. ὁ ἐπίσκοπος Γόρτυνος καὶ Μεγαλοπόλεως, Κ. *Φιλόθεος.*

Ις. ὁ ἀρχιεπίσκοπος Μεσσηνίας, Κ. *Προκόπιος.*

ΙΖ. ὁ ἐπίσκοπος Τριφυλίας καὶ Ὀλυμπίας, Κ. *Γρηγόριος.*

ΙΗ. ὁ ἀρχιεπίσκοπος Μονεμβασίας καὶ Σπάρτης, Κ. *Διονύσιος.*

ΙΘ. ὁ ἐπίσκοπος Γυθείου, Κ. *Ἱερόθεος.*

Κ. ὁ ἐπίσκοπος Οἰτύλου, Κ. *Προκόπιος.*

ΚΑ. ὁ ἀρχιεπίσκοπος (νῦν μητροπολίτης) Σύρου καὶ Τήνου, Κ. *Δανιήλ.*

ΚΒ. ὁ ἐπίσκοπος Ἄνδρου καὶ Κέας.

ΚΓ. ὁ ἐπίσκοπος Νάξου, Κ. *Παρθένιος.*

ΚΔ. ὁ ἐπίσκοπος Θήρας, Κ. *Ἱερόθεος.*

---

(1) Ὅρα τὴν παλαιὰν διαίρεσιν τῶν τῆς Ἑλλάδος ἐπισκοπῶν σελ. 481 καὶ 518 σημ. (4). — Ζήτει καὶ τὸν ἐν τέλει τοῦ παρόντος τόμου νόμον Περὶ τῶν Ἐπισκοπῶν τῆς Ἑλλάδος, καὶ τὸν Καταστατικὸν τῆς Ἱερᾶς Συνόδου.

ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΑΞΙΩΜΑΤΑ.

ΚΩΔΙΝΟΥ ΤΟΥ ΚΟΥΡΟΠΑΛΑΤΟΥ,

ΠΕΡΙ ΤΩΝ ΟΦΦΙΚΙΩΝ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ(1).

Τα ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ὀφφίκια ἔχουσιν οὕτως.

Ἡ πρώτη πεντάς· ὁ μέγας οἰκονόμος, κρατῶν πάντα τὰ κτήματα τῆς Ἐκκλησίας, καὶ πᾶν τὸ ἐσοδιαζόμενον ἐξ αὐτῶν· καὶ οἰκονομεῖ τῷ ἀρχιερεῖ καὶ τῇ Ἐκκλησίᾳ. — ὁ μέγας σακελλάριος, κρατῶν τὰ ἀνδρῷα καὶ γυναικεῖα μοναστήρια, ἔχων ὑπουργὸν εἰς τοῦτο τὸν ἄρχοντα τῶν μοναστηρίων. — ὁ μέγας σκευοφύλαξ, κρατῶν τὰ σκεύη τῆς Ἐκκλησίας. — ὁ χαρτοφύλαξ, κρατῶν τὰ ἐκκλησιαστικὰ χαρτῷα δικαιώματα, κριτὴς τῶν ὅλων ὑποθέσεων τῶν ἐκκλησιαστικῶν, ἔχων τὰς γαμικὰς ὑποθέσεις, ἀλλὰ καὶ ἐν ταῖς λοιπαῖς τῶν κληρικῶν ὑποθέσεσιν ἔκδικος, ὡς δεξιὰ τοῦ ἀρχιερέως χείρ. — ὁ σακελλίου, κρατῶν τὰς καθολικὰς Ἐκκλησίας, καὶ τὸ σακέλλιν. — ὁ πρωτέκδικος, εἰς τὸ ἀντιλαμβάνεσθαι τῶν αἰχμαλώτων (2), καὶ κριτὴς τῶν ἐγκληματικῶν ὑποθέσεων (3).

Οὗτοι κάθηνται ἐν τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ μετὰ τοῦ ἀρχιερέως.

Ἡ δευτέρα πεντάς (4)· ὁ πρωτονοτάριος θύρα τῶν ἐξωκατακοίλων, καὶ εἰς τὰ πιττάκια. — ὁ λογοθέτης, εἰς τὸ λογογραφεῖν, καὶ εἰς τὰς δημοσιακὰς καὶ ἀρχοντικὰς ὑποθέσεις λογογραφεῖν (5). — ὁ κανστρίσιος, εἰς τὸ κανστρίον (6), καὶ εἰς τὸ ἀλ-

(1) Ὁ παρὼν κατάλογος τῶν ὀφφικίων τῆς Μεγάλης Ἐκκλησίας ἐλήφθη ἐκ τοῦ συγγράμματος Κωδινοῦ τοῦ Κουροπαλάτου, Περὶ τῶν ὀφφικιαλίων τοῦ παλατίου Κωνσταντινουπόλεως καὶ τῶν ὀφφικίων τῆς Μεγάλης Ἐκκλησίας, τῆς ἐκδόσεως Βόννης 1839. Παρεβλήθη δὲ πρὸς τοὺς ἐν τῇ αὐτῇ ἐκδόσει σελ. 114 καὶ 115 φαινομένους ἑτέρους δύο καταλόγους τῶν αὐτῶν ὀφφικίων τῶν ἐξ ἑτέρων χειρογράφων κωδίκων, ὧν τὸ πρῶτον σημειοῦμεν διὰ τοῦ I, τὸ ἕτερον διὰ τοῦ II. — (2) τοὺς πρόσφυγας ἀναδεχόμενος. I. — (3) προστίθεται· οὗτοι οἱ ἐξωκατάκηλοι. I. — (4) Πρώτη πεντάς. I. — (5) ὁ λογοθέτης ποιῶν λόγους κατηχητικοὺς πρὸς τὸν λαὸν, δίκαιος τοῦ πατριάρχου. I. — (6) κρατῶν τὸ κανστρίσιον τῶν θυμιαμάτων ἐν ταῖς λειτουργίαις. I.

λάσσειν τὸν ἀρχιερέα. — ὁ ῥεφερενδάριος, εἰς τὸ ἀποστέλλεσθαι εἰς τὸν βασιλέα (1), καὶ εἰς μέγαν ἄρχοντα. — ὁ ὑπομνηματογράφων, εἰς τὸ γράφειν τὰ ὑπομνήματα.

Ἡ τρίτη πεντάς(2)· — ὁ ἱερομνήμων, εἰς τὸ βλέπειν τὰς εὐχὰς ὄπισθεν τοῦ ἀρχιερέως, κρατῶν τὸν ἐνθρονιασμὸν καὶ τὸ κοντάκιον τῆς χειροτονίας (3). — ὁ ἐπὶ τῶν γονάτων (4), κρατῶν τὸ ἐπιγονάτιον τοῦ ἀρχιερέως. — ὁ ἐπὶ τῶν δεήσεων ἀπέρχεται εἰς τὸν βασιλέα ὑπὲρ τῶν ἀδικουμένων (5). — ὁ ἐπὶ τῶν σεκρέτων, εἰς τὸ παύειν τὸν λαὸν ἐπὶ τὸ κρίνειν (6). — ὁ ἐπὶ τῆς ἱερᾶς καταστάσεως, εἰς τὸ ποιεῖν εὐταξίαν ἐντὸς τοῦ βήματος (7).

Ἡ τετάρτη πεντάς: ὁ ὑπομιμνήσκων, εἰς τὸ ἐνθυμίζειν τὸν ἀρχιερέα μυστικῶς (8). — ὁ διδάσκαλος τοῦ Εὐαγγελίου, ἑρμηνεύων αὐτό· — ὁ διδάσκαλος τοῦ ἀποστόλου, ἑρμηνεύων αὐτόν· — ὁ διδάσκαλος τοῦ ψαλτηρίου, εἰς τὸ ἑρμηνεύειν αὐτό. — ὁ ῥήτωρ, εἰς τὸ ἑρμηνεύειν τὰς Γραφάς (9).

Ἡ πέμπτη (10) πεντάς· ὁ ἄρχων τῶν μοναστηρίων, ἔχων μετὰ τοῦ μεγάλου σακελλαρίου τὴν τῶν μοναστηρίων ἐνοχήν. — ὁ ἄρχων τῶν Ἐκκλησιῶν, ἔχων τὴν ἐνοχὴν τῶν Ἐκκλησιῶν μετὰ τοῦ σακελλίου. — ὁ ἄρχων τοῦ Εὐαγγελίου, εἰς τὸ κρατεῖν τοῦτο εἰς τὰς λιτάς. — ὁ ἄρχων τῶν φώτων, ἔχων τὴν ἐνοχὴν τῶν νεοφωτίστων (11). — ὁ ἄρχων τῶν ἀντιμινσίων, εἰσάγων τοὺς εἰσερχομένους εἰς τὴν ἁγίαν μετάληψιν (12).

Ἡ ἕκτη πεντάς· ὁ πρῶτος ὀστιάριος, κρατῶν τὰς θύρας εἰς

(1) ἀναφορεὺς τῶν πρὸς βασιλέα μηνυμάτων. — (2) δευτέρα πεντάς. I. — (3) ἄλλως κρατεῖ καὶ τὸ κοντάκιον, καὶ τὸν κώδικα τῶν χειροτονιῶν. — (4) κρεμᾷ τὸ ἐπιγονάτιον τοῦ ἀρχιερέως. — (5) ἄλλως· φορένων τῷ πατριάρχῃ τὸ ἐπιγονάτιον· ἀναφέρων τῷ πατριάρχῃ τὰς τῶν δεομένων ἀναφοράς, πεμπόμενος πρὸς τὸν βασιλέα μετὰ τοῦ ῥεφερενδαρίου. — (6) καθιστῶν τὸ πατριαρχικὸν σέκρετον ἀθόρυβον καὶ ἀτάραχον, εἰσάγων τοὺς κρινομένους. I. — (7) λέγων λειτουργοῦντος τοῦ πατριάρχου τὸ, Στῶμεν καλῶς. I. — (8) τρίτη πεντάς· ὁ ὑπομιμνήσκων, ἀσχολούμενος τῷ πατριάρχῃ ἐν τῇ λειτουργίᾳ τὰς εὐχὰς καθ' ἑκάστην ὑπομιμνήσκειν. I. — (9) γράφων λόγους διδασκαλικοὺς ἀπὸ προσώπου τοῦ ἀρχιερέως. — (10) τετάρτη πεντὰς τῶν ἱερῶν ἀρχόντων. I. — (11) ἀναδεχόμενος τοὺς εἰς τὸ βάπτισμα εὐτρεπιζομένους, διδοὺς καὶ τὰ κηρία τοῖς κληρικοῖς ἐν ταῖς δεσποτικαῖς ἑορταῖς. I. εἰσάγει τοὺς νεοφωτίστους. II. — (12) διδοὺς τὰ ἀντιμίνσια δι' ὧν καθιεροῦνται οἱ θεῖοι ναοί. I.

τὰς χειροτονίας (1). — ὁ δεύτερος ὀστιάριος, κρατῶν τὸ μονοβάμβουλον. — ὁ πρωτοπαπᾶς (2), ἔκδικος καὶ πρῶτος τοῦ βήματος, καὶ φέρων τὰ δευτερεῖα τοῦ ἀρχιερέως. — ὁ δευτερεύων τῶν ἱερέων, εἰσοδεύων τοὺς ἱερεῖς, καὶ φέρων τὰ δευτερεῖα τοῦ πρωτοπαπᾶ (3). — ὁ δευτερεύων τῶν διακόνων πρῶτος τῶν κοινῶν διακόνων, καὶ εἰσοδεύων τοὺς διακόνους.

Ἡ ἑβδόμη πεντάς· ὁ πρωτοψάλτης. — οἱ δύο δομέστικοι, τοῦ πρώτου καὶ τοῦ δευτέρου χοροῦ. — ὁ λαοσυνάκτης. — ὁ πριμμικήριος τῶν ταβουλαρίων. — ὁ ἄρχων τῶν κοντακίων.

Ἡ ὀγδόη πεντάς· ὁ πριμμικήριος τῶν ἀναγνωστῶν. — ὁ νομικός. — ὁ πρωτοκανόναρχος. — ὁ ἔξαρχος. — ὁ ἐκκλησιάρχης.

Ἡ ἐννάτη πεντάς· οἱ δομέστικοι τῶν θυρῶν. — ὁ χαρτουλάριος. — ὁ δεποτάτος. — ὁ ἐπὶ τῆς ποδέας.

Καὶ ταῦτα τὰ ὀφφίκια τὰ ἐκκλησιαστικά.

—

(1) πέμπτη πεντάς· ὁ ὀστιάριος κρατῶν τὴν λαμπάδα τοῦ πατριάρχου, καὶ ἐν ταῖς ψήφοις τὰς θύρας. — ὁ νομοδότης, διδοὺς τὰ νούμια τοῖς κληρικοῖς καὶ τοῖς πένησι. I. — (2) ἔκδικος τῶν κρίσεων. II. — (3) ὁ δευτερεύων εἰσοδεύει τοὺς ἱερεῖς, ἐὰν οὐκ ἔνι πρωτοπαπᾶς, καὶ ἄρχει τῶν ἱερέων ἀπὸ τοῦ πρωτοπαπᾶ. — Οἱ δύο κατηχηταί, εἰς τὸ κατηχίζειν τοὺς βαπτιζομένους. II. — ὁ πριμμικήριος τῶν νοταρίων, καὶ οἱ νοτάριοι· ὁ δομέστικος· ὁ λαοσυνάκτης· ὁ πριμμικήριος τῶν ἀναγνωστῶν· ὁ ἄρχων τῶν κοντακίων· ὁ ἐπὶ τῆς εὐταξίας· ὁ δομέστικος τοῦ σεκρέτου καὶ οἱ ἐπισκεπτιανοί· ὁ πριμμικήριος τῶν ἐξκουβίτων. II. Ἑτέρα δὲ πεντὰς οὐ σημειοῦται ἐν τοῖς ἑτέροις δύο χειρογράφοις.

ΤΑΞΙΣ ΤΩΝ ΟΦΦΙΚΙΩΝ, ΚΑΙ ΤΩΝ ΑΡΧΟΝΤΩΝ
Τῆς Μεγάλης Ἐκκλησίας, ἔχουσα οὕτως (1).

Ὁ ΜΕΓΑΣ οἰκονόμος ὀφείλει ἐνεργεῖν ἐν τοῖς ἔσω καὶ ἔξω προαστείοις, χωρίοις τε, καὶ δικαιώμασι· διδόσθαι δὲ καὶ ῥόγα, καὶ τυπώματα, οἰκοδομεῖν τε τὰ χρήζοντα, καὶ ἀναφέρειν τῷ πατριάρχῃ μετ' εἰδήσεως τοῦ τεταγμένου παροικονόμου, καὶ ἐπὶ τῶν ἔξω διὰ τοῦ ἐπιτηρητοῦ.

Ὁ μέγας σακελλάριος, ἔχειν σεκρέτον ἰδικὸν τῶν γυναικείων μοναστηρίων· ἔχειν τὴν εἴσοδον καὶ ἔξοδον τῶν ὑπ' αὐτὸν μοναστηρίων· ἀλλάσσειν δὲ τοὺς ἱερεῖς, ἐὰν κατ' ἐνορίας παρά τινων ὑπόκεινται· πέμπειν τὰς μοναζούσας εἰς ἐξομολόγησιν· ὁ δὲ τοι-

---

(1) Ἐν τῷ Χειρ. Γ. ἀναγινώσκεται καὶ ἑτέρα ἑρμηνεία τῶν ὀφφικίων τῆς Μεγάλης Ἐκκλησίας ἡ ἑξῆς.

Πρώτη πεντάς.

Χορὸς δεξιός.	Χορὸς εὐώνυμος.
Ὁ μέγας οἰκονόμος,	Ὁ πρωτοπαπᾶς.
Ὁ μέγας σακελλάριος,	Ὁ δευτερεύων.
Ὁ μέγας σκευοφύλαξ,	Ὁ ἄρχων τῶν Ἐκκλησιῶν.
Ὁ χαρτοφύλαξ,	Ὁ ἔξαρχος.
Ὁ σακελλίων,	Ὁ κατηχητής.

Δευτέρα πεντάς.

Ὁ πρωτονοτάριος,	Ὁ περιοδευτής.
Ὁ κανστρίσιος,	Οἱ δύο ἔκδικοι.
Ὁ ῥεφερενδάριος,	Ὁ βουτιστής.
Ὁ λογοθέτης,	Οἱ δύο δομέστικοι.
Ὁ ὑπομνηματογράφος,	Οἱ δύο λαοσυνάκται.

Τρίτη πεντάς.

Ὁ πρωτέκδικος,	Οἱ δύο πριμμικήριοι.
Ὁ ἱερομνήμων,	Ὁ πρωτοψάλτης.
Ὁ ὑπὸ γονάτων,	Ὁ πρόξιμος.
Ὁ ὑπομιμνήσκων,	Ὁ δεποτάτος.
Ὁ διδάσκαλος,	Οἱ θεωροί.
	Οἱ ἐπὶ τῆς εὐταξίας.
	Ὁ κατηγοριάρης.
	Ὁ δεκανός.
	Ὁ κουβούκλης.

Ὁ πρωτονοτάριος λέγει τὸ ἅγιον Εὐαγγέλιον τῇ ἡμέρᾳ τῶν Βαΐων.
Ὁ ἱερομνήμων, τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ.
Ὁ σακελλάριος, τῇ ἁγίᾳ καὶ μεγάλῃ τετράδι.
Ὁ χαρτοφύλαξ, τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ.

οὗτος ὀφείλει ἐν τῷ βήματι ἵστασθαι ἐκ δεξιῶν τοῦ πατριάρχου, καὶ τιμωρίαις κανονικαῖς καὶ ἐπιτιμίοις καθυποβάλλειν τὰς πταιούσας, παρουσίᾳ τοῦ ὑπ' αὐτὸν ἐκπροσωπεύοντος ἄρχοντος τῶν μοναστηρίων.

Ὁ μέγας σκευοφύλαξ, τὰ ἱερὰ φυλάττειν, καὶ προσέχειν ἅπαντα ἐν καταστίχῳ τοῦ πατριαρχικοῦ χαρτοφυλακίου· προσφέ-

---

Ὁ σκευοφύλαξ, τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ.

Ὁ μέγας οἰκονόμος, τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα.

Χορὸς δεξιός.

Ὁ μέγας οἰκονόμος, φορῶν τὸ στιχάριον αὐτοῦ, στέκεται ἐν τῷ δεξιῷ μέρει τῆς ἁγίας Τραπέζης, ὅταν λειτουργῇ ὁ ἀρχιερεὺς, βαστῶν καὶ τὸ ἅγιον ῥιπίδιον· λαμβάνων δὲ εἰσόδους καὶ ἐξόδους, καὶ λογαριασμοὺς ἐν τῇ ἐπισκοπῇ· ἔστιν οὖν καὶ ἐπὶ πᾶν κτῆμα· κρατῶν οὖν καὶ χαρτουλάριον, ἀναγράφει τὰ τῆς ἐπισκοπῆς αὐτοῦ εἰσερχόμενα πράγματα, καὶ δὶς τοῦ ἐνιαυτοῦ ἀναφέρει τῷ ἀρχιερεῖ· ἔστιν οὖν καὶ εἰς κρίσεις· προσφέρων καὶ τὸν μέλλοντα χειροτονηθῆναι ἱερέα· ἐπιτροπεύει τὴν ἐπισκοπὴν μετὰ τὴν παρέλευσιν τοῦ ἀρχιερέως μέχρις ἐλεύσεως αὐτοῦ· ἔστιν οὖν καὶ εἰς ψήφους τοῦ ἐπισκόπου πρῶτος, διανέμων καὶ τοῖς δικαιώμασι τοῖς ἀδελφοῖς αὐτοῦ τὰ εἰσερχόμενα δίκαια τῆς ἐπισκοπῆς.

Ὁ μέγας σακελλάριος, φορῶν τὸ στιχάριον αὐτοῦ καὶ τὸ ὠράριον, στέκεται ἐν τῷ εὐωνύμῳ μέρει τῆς ἁγίας Τραπέζης βαστῶν τὸ ἅγιον ῥιπίδιον, ἔχων οὖν καὶ τὰ μοναστήρια τὰ ἀνδρικὰ τῆς ἐπισκοπῆς εἰς τὴν ἑαυτοῦ ἐπίσκεψιν· κρατῶν χαρτουλάριον, καὶ ἀναγορεύει τὰς τῶν μοναστηρίων εἰσόδους καὶ ἐξόδους, βίους καὶ πολιτείας τῶν μοναχῶν, καὶ τρὶς τοῦ ἐνιαυτοῦ ἀναφέρει τῷ ἀρχιερεῖ· ἔστιν οὖν καὶ εἰς τὰς κρίσεις, προσφέρων δὲ καὶ τὸν μέλλοντα χειροτονηθῆναι ἱερέα, ἱστάμενος πλησίον τοῦ μεγάλου οἰκονόμου.

Ὁ μέγας σκευοφύλαξ στέκεται, ὅταν λειτουργῇ ὁ ἀρχιερεὺς, ἔμπροσθεν τοῦ σκευοφυλακίου, καὶ εἴ τι χρειασθοῦν ἐκ τοῦ σκευοφυλακίου, αὐτὸς ἀποδίδει εἴτε σκεῦος, βιβλίον, ἱερὰ, κηροὺς, καὶ ἀλλαγὰς, ἔχων καὶ τὸ σκευοφυλάκιον τῆς ἐπισκοπῆς, καὶ πᾶν σκεῦος τῆς Ἐκκλησίας· ἔτι ἔχων καὶ τὰς χηρευομένας Ἐκκλησίας εἰς τὴν αὐτοῦ ἐπίσκεψιν, καὶ τὰ ἱερὰ αὐτῶν πάντα· ἔστι καὶ εἰς κρίσεις· φυλάττων καὶ τὰ δικαιώματα τῶν εἰσερχομένων εἰς τὴν Ἐκκλησίαν διὰ τοὺς κληρικοὺς, ὅπως διανέμῃ αὐτοῖς ταῦτα.

Ὁ χαρτοφύλαξ ἀλλάττει, καὶ ἵσταται πλησίον τῶν ἁγίων θυρῶν· καὶ ἐν τῇ ἁγίᾳ μεταλήψει αὐτὸς λέγει τὸ, Ἱερεῖς προσέλθετε· προσφέρων δ' ἔτι καὶ τὸ ψῆφος τοῦ ἐπισκόπου τοῖς ἀρχιερεῦσιν· ἔστι καὶ ἐκ προσώπου τοῦ ἀρχιερέως εἰς πᾶσαν κρίσιν δοῦναι τὰς ἀποφάσεις· ἔστιν οὖν καὶ εἰς μνηστείας, καὶ ἀῤῥαβῶνας γιγνομένας ὑπ' αὐτοῦ, καὶ ἀναγράφει τὸ ὄνομα τοῦ ἱερέως τοῦ μέλλοντος εὐλογῆσαι τὸν γάμον.

Ὁ σακελλίων ἔστιν ἱκέτης τῆς πρώτης πεντάδος, κρατῶν καὶ τὴν φυλακὴν τῆς ἐπισκοπῆς· ἔχων καὶ ἐν τῇ σκέψει αὐτοῦ τὰ γυναικεῖα μοναστήρια.

Ὁ πρωτονοτάριος εἰστήκει ἐν τῇ Ἐκκλησίᾳ εἰς ὑπηρεσίαν τοῦ ἀρχιερέως, καὶ κρατῶν τὸ καλαμάριον αὐτοῦ, παρίσταται ἔμπροσθεν τοῦ ἀρχιερέως, καὶ γράφει εἴ τι χρῆσίς ἐστιν· ἀναθεωρεῖ καὶ τὰ νομικὰ πράγματα, καὶ τὰ τούτοις ὅμοια,

ρειν δὲ τὸν μέλλοντα δέξασθαι τὴν μικρὰν σφραγίδα ἐν τοῖς ἀριστεροῖς, κατὰ δὲ τὴν ὕψωσιν βαστάζειν τὸν τίμιον Σταυρὸν ἐν κατοξέῳ φελονίῳ ἐστολισμένος· ἀναγινώσκειν κατὰ τὴν τοιαύτην ἡμέραν τὸ ἅγιον Εὐαγγέλιον ἐν τῇ λειτουργίᾳ, καὶ ἔχειν τὴν εἴσοδον καὶ ἔξοδον τοῦ σκευοφυλακίου, καὶ κυβερνᾷν αὐτό.

Ὁ κανστρίσιος ἀλλάσσων τὸν ἀρχιερέα, καὶ κρατῶν καὶ τὸ θυμιατὸν, καὶ τὸν ἀέρα· ἐν τῷ ὕμνῳ τῷ τριαδικῷ ῥαντίζων καὶ τὸν λαὸν τὸ δρόσον· φυλάττων οὖν καὶ τὰ ἀλλαξίματα τοῦ ἀρχιερέως.

Ὁ ῥεφερενδάριος, ἀποστελλόμενος εἰς ἄρχοντας καὶ εἰς μεγάλους ἀνθρώπους ὑπὸ τοῦ ἀρχιερέως, καὶ, εἴ τι ἂν βούληται, ἀποστέλλει.

Ὁ λογοθέτης κρατῶν τὴν βούλλαν τοῦ ἀρχιερέως, βουλλώνει πᾶσαν γραφήν· κρατῶν καὶ τὸν δίσκον μετὰ τοῦ ἁγίου δώρου ἐν τῇ Ἐκκλησίᾳ, καὶ διδομένου τοῦ κατακλαστοῦ παρὰ τοῦ ἀρχιερέως.

Ὁ ὑπομνηματογράφος, καθεζόμενος εἰς τὸ ψῆφος τῶν ἐπισκόπων, καὶ γράφει εἴ τι τὸν ὁρίσωσιν οἱ ἀρχιερεῖς· ἔστι δὲ καὶ ἱκέτης τῆς δευτέρας πεντάδος.

Ὁ ἱερομνήμων, κρατῶν ἐν τῇ φυλακῇ αὐτοῦ τὸν Κώδικα τῆς Ἐκκλησίας· καὶ εἰ μὲν οὐκ ἔστιν ἐπίσκοπος, σφραγίζει ἀναγνώστας· ἔτι δὲ ἐγκαινίζει καὶ θρονιάζει νέους ναοὺς, (Ἐκκλησίας καινούργιας).

Ὁ ὑπογονάτων, ὅταν λειτουργῇ ὁ ἀρχιερεὺς, φορεῖ αὐτὸς τὸ ὑπογονάτιον αὐτοῦ.

Ὁ ὑπομιμνήσκων, δεχόμενος τὰς ὑπομνήσεις τῶν ὑπομνημάτων, τὰς εἰσερχομένας εἰς τὴν ἁγίαν Ἐκκλησίαν, καὶ ἀναφέρει τῷ ἀρχιερεῖ.

Χορὸς εὐώνυμος.

Ὁ πρωτοπαπᾶς, ὅταν λειτουργῇ ὁ ἀρχιερεὺς, εἱστήκει ἐπάνω τῶν ἀρχόντων πάντων τῆς Ἐκκλησίας, καὶ ἐν τῇ θείᾳ λειτουργίᾳ μεταλαμβάνει πρῶτος ὑπὸ τοῦ ἀρχιερέως.

Ὁ ἄρχων τῶν Ἐκκλησιῶν, ἵνα γράφῃ τὰ ἀντιμίνσια, καὶ τὰ σταυροπήγια.

Ὁ δευτερεύων· ὅταν λείπῃ ὁ πρωτοπαπᾶς, κρατῶν τόπον αὐτοῦ ὁ δευτερεύων.

Ὁ ἔξαρχος ἐξετάζει καταλεπτῶς πᾶσαν κρίσιν ὁποῦ ἔγινεν ἐκκλησιαστικὴν, ἂν ἔγινε δικαίως, ἢ ἀδίκως.

Ὁ κατηχητὴς, ἵνα κατηχίζῃ τὸν λαὸν, καὶ πάντας τοὺς εἰσερχομένους ἐκ τῶν ἑτεροδόξων εἰς τὴν ὀρθόδοξον πίστιν, καὶ μέλλοντας βαπτισθῆναι.

Ὁ περιοδευτὴς, περιπατῶν καὶ ὁδηγῶν τοὺς μέλλοντας εἰσελθεῖν εἰς τὴν ὀρθόδοξον πίστιν.

Οἱ δύο ἔκδικοι κρίνουσι μικρὰς ὑποθέσεις μετὰ τοῦ πρωτεκδίκου.

Ὁ βουτιστής· ὅταν εἴπῃ ὁ ἱερεὺς τὰς εὐχὰς τῆς βαπτίσεως, λαμβάνει ὁ βουτιστὴς τὸ παιδίον, καὶ βαπτίζει αὐτό.

Οἱ δύο δομέστικοι στέκουσιν ἐν τοῖς δυσὶ χοροῖς, καὶ ψάλλουσι μετὰ τοῦ πρωτοψάλτου.

Οἱ δύο λαοσυνάκται συνάγουσι τοὺς ἱεροδιακόνους καὶ ἀναγνώστας, ἵνα μὴ λείπῃ τις ἐξ αὐτῶν· συνάγουσι δὲ καὶ τοὺς ἄρχοντας, καὶ ὅλον τὸν λαὸν ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, οὕτως ἐν τῷ ἑσπερινῷ, ὥσπερ καὶ ἐν τῇ θείᾳ λειτουργίᾳ.

Ὁ χαρτοφύλαξ ὀφείλει εἶναι ἐκ προσώπου τοῦ πατριάρχου, καὶ ἐν τοῖς δικαστηρίοις, καὶ μόνοις τοῖς πατριαρχικοῖς· καὶ ἐπιφέρειν τὸ καλαμάριον· ἐπισημειῶσαι τὸ δικαστήριον· ἐνεργεῖν ἀπὸ τοῦ πατριάρχου ἅπαντα τὰ τούτου δίκαια· προσκομίσαι τὸν μέλλοντα δέξασθαι τὴν μικρὰν σφραγίδα ἐν τοῖς δεξιοῖς· ὑπεξουσιάζειν δὲ ὅλους τοὺς ἔσωθεν καὶ ἔξωθεν ἱερεῖς τε καὶ διακόνους· ἀλλὰ καὶ τοὺς ὑπευθύνους ἀρχιερεῖς κανονικῶς τιμωρεῖν· καὶ τὰς συζυγίας ἀναπληροῦν.

Ὁ σακέλλης, ἐπιτηρεῖν τὰ δικαιώματα τῶν κληρικῶν Ἐκκλησιῶν, ὁμοίως καὶ τὰ βιβλία, καὶ ἔπιπλα, καὶ τὰ λοιπὰ ἱερὰ κειμήλια.

Ὁ πρωτέκδικος, μετέχειν ἐν ταῖς ἐλευθερίαις τῶν δούλων, καὶ τῶν δουλίδων, καὶ κρίνειν τὰ ψυχικὰ σφάλματα, μετὰ τῶν τεσσάρων αὐτοῦ ἐκδίκων.

Ὁ ὑπομνηματογράφος, μετέχειν εἰς τὰς ψήφους μητροπολιτῶν καὶ ἐπισκόπων.

Ὁ λογοθέτης, συνεδριάζειν τῷ πρωτεκδίκῳ ἐν τοῖς δικαστηρίοις, καὶ παρουσιάσαι τοὺς ἀποκρισιαρίους τῷ πατριαρχικῷ βήματι.

Ὁ κανστρίσιος, βαστάζειν τὸ κανστρίον ἐν τῷ καιρῷ τοῦ θυμιάματος, καὶ ἐνδύειν τὸν πατριάρχην ἐν τῇ θείᾳ λειτουργίᾳ, καὶ ἵστασθαι ἐν τῇ μυστικῇ εὐχῇ, καὶ προσέχειν τὰ παρ' αὐτῷ εὐλογοῦντα, καὶ κρατεῖν τὸ τούτου κοντάκιον, καὶ μι-

---

Οἱ δύο πριμμικήριοι ἵστανται καὶ αὐτοὶ ἐπάνω τῶν ἱεροδιακόνων, καὶ ψάλλουσι μετὰ τοῦ πρωτοψάλτου.

Ὁ πρωτοψάλτης ἵσταται ἐν μέσῳ τῆς Ἐκκλησίας, καὶ ἄρχεται πρῶτος τῆς ψαλμῳδίας, καὶ μετὰ τοῦτον οἱ δομέστικοι, καὶ οἱ πριμμικήριοι.

Ὁ πρόξιμος, ἵνα σημαίνῃ τοὺς κώδωνας, ἢ τὸ σημαντῆρι ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ.

Ὁ δεποτάτος, ἵνα καλῇ τοὺς ἄρχοντας ἔμπροσθεν τοῦ ἀρχιερέως· καὶ ὅταν ἀρχιερεὺς βουληθῇ παραγενέσθαι ἢ εἰς πόλιν, ἢ εἰς χωρίον, αὐτὸς πορεύεται ἔμπροσθεν, καὶ ἐντάττει τὸν λαὸν, καὶ τὰς ὁδούς.

Οἱ θεωροὶ θεωροῦσι τοὺς ἄρχοντας ἐν τῷ ναῷ, τοῦ ἱστάναι εὐτάκτως.

Οἱ ἐπὶ τῆς εὐταξίας, νὰ ὁρίζουσι, νὰ σαρώνουσι, καὶ νὰ πλύνουσι τὰς κανδήλας τῆς Ἐκκλησίας.

Κατηγοριάριοι, ἵνα λέγωσι καὶ δηλοποιῶσι τὰς ἐπισήμους ἡμέρας τοῦ λαοῦ, ἢ τὰς ἑορτὰς, ἵνα σχολάζωσι.

Δικανὸς, ἵνα καλῇ τοὺς ἱερεῖς ἀνέμπροσθεν τῶν ἀρχιερέων, ἐὰν ἔχωσι [πρὸς] ἀλλήλους τινὰ δικαιώματα.

κρὸν μανδήλιον, καὶ ἐνδύειν τὸν ἴσως ποτὲ χειροτονηθῆναι μέλλοντα ἀρχιερέα.

Ὁ ἱερομνήμων, μετέχειν εἰς τὰ κωδικὰ, καὶ εἰς τὸ ψῆφος τῶν ἀρχιερέων· ἐπισημαίνειν δὲ καὶ τὰ τόρια κατὰ τὴν θείαν Κυριακήν· καὶ ἀκολουθεῖν ὄπισθεν τοῦ μέλλοντος χειροτονεῖσθαι ἀρχιερέα.

Ὁ ῥεφενδάριος στέλλεται παρὰ τοῦ πατριάρχου πρὸς βασιλέα, καὶ πρὸς ἄρχοντας εἰς ἀναγκαίας δουλείας καὶ ὑποθέσεις.

Ὁ ἐπὶ τῶν γονάτων αὐτοῦ, φέρειν τὸν πατριάρχην ἐπὶ γονάτῳ, καὶ ὁπόταν βούληται καβαλικεῦσαι, κατατίθεται τὸν πόδα κατὰ τῶν γονάτων αὐτοῦ.

Ὁ ἐπὶ τῆς ἱερᾶς εὐταξίας, εντάττειν ἐν τῷ δικαστηρίῳ τὸν λαὸν, καὶ τοὺς ἱερεῖς, καὶ ἁπλῶς τοὺς κληρικοὺς ἅπαντας· βαστάξαι δὲ τὴν χαρζάναν· καὶ ἐπιστέλλειν πρὸς ὃν μέλλει ψηφίζεσθαι ἐπίσκοπος ἡμέτερος.

Ὁ ὑπομνήμων, μετέχει τοῦ ὑπομνῆσαι τὸν πατριάρχην, καὶ λαμβάνειν τὰς ὑπομνήσεις, καὶ τὰς δεήσεις, καὶ λύειν δι᾽ αὐτοῦ πάντα.

Ὁ διδάσκαλος τοῦ Εὐαγγελίου, ἀναδιδάσκειν τὸ Εὐαγγέλιον, καὶ διδόναι ᾧτινι ἂν βούληται ἀναγινώσκειν τὰ Εὐαγγέλια, καὶ ἑστᾶναι ἐν τῷ δευτέρῳ βήματι τοῦ ἄμβωνος, καὶ μετὰ τὸ πληρῶσαι, λαμβάνειν τὸ Εὐαγγέλιον.

Κουβούκλης· ὁ βαστῶν τὸ δικανίκιον τοῦ ἀρχιερέως, ὅταν ἱππεύεται, ἢ ὅταν περιπατῇ.

Οἱ λαμπαδάριοι, ἵνα καθαρίζωσι τὰς λαμπάδας ἐν τῷ θείῳ ναῷ, καὶ κομίζωσι καὶ τὴν λαμπάδα, καὶ τιθῶσιν ἔμπροσθεν τοῦ ἀρχιερέως.

Περιερχόμενοι, ἵνα φέρωσι τὴν ἀνθρακιὰν ἐν τῷ ναῷ, καὶ φιλοκαλῶν.

Βεστιάριος, ὁ βαστῶν τὸν Ἅγιον καθ᾽ ἑκάστης Ἐκκλησίας εἰς τὰς λιτὰς, καὶ εἰς τὰς ἐπισήμους ἑορτάς.

Μυροδότης, ὁ κρατῶν τὸ ἅγιον μύρον μόνον, καὶ οὐκ ἔξεστιν αὐτῷ δοῦναί τινι ἄνευ θελήματος τοῦ ἀρχιερέως.

Ἰστέον οὖν, ὅτι ὁ μέγας ἀρχιδιάκων, καὶ ὁ δεύτερος τῶν διακόνων, οὐκ εἰσὶν ἀρχοντίκια, ἀλλὰ ὀφφίκια μόνον· καὶ, ὅταν λειτουργῇ ὁ ἀρχιερεὺς, λέγει αὐτὸς τὸ Εὐαγγέλιον, εἰ καὶ ἔξεστι τῷ ἀρχιερεῖ δοῦναι ᾧ βούλεται.

Δεύτερος τῶν διακόνων ἐστὶν, ὅταν μὴ ὢν παρὼν ὁ ἀρχιδιάκων, αὐτὸς κρατῇ τὸν τόπον αὐτοῦ.

Ἰστέον ὅτι τὸ συνοδικὸν καὶ ἡ ἀνάγνωσις ἅπαντα ὁ χαρτοφύλαξ ἀναγινώσκει· εἰδ᾽ οὐκ ἔστιν αὐτὸς, οἷος πρωτεύει τῶν ἀξιωμάτων.

Οἱ δύο λαμπαδάριοι βαστάζουσι τὴν λαμπάδα, ἕκαστος τῇ ἰδίᾳ ἑβδομάδι ἔμπροσθεν τοῦ πατριάρχου.

Ὁ ἀρχιδιάκονος διατάσσειν τοὺς λοιποὺς διακόνους ἐν τῷ βήματι, μεταλαμβάνειν τῶν θείων μυστηρίων, πρὸ πάντων δὲ οὗτος ὁ δευτερεύων τῶν διακόνων εἶναι ὑπὸ τὸν ἀρχιδιάκονον.

Ὁ πρωτοπαπᾶς ἀνάγεται ὑπὸ τοῦ οἰκείου βαθμοῦ χωρὶς ἑτέρας προστάξεως καὶ ἀξίας.

Ὁ ἔξαρχος ὀφείλει ἐρευνᾷν τὰ σφάλματα τῶν ἔξωθεν ἱερέων, καὶ ἀναφέρειν τῷ χαρτοφύλακι, καὶ ὁπόταν κατηγορίαις ὑπόκειται ἀρχιερεύς τις, αὐτὸς τὴν τοιαύτην ἐξέτασιν ὀφείλει ποιῆσαι.

Ὁ ἄρχων τῶν Ἐκκλησιῶν ὑπόκειται τῷ μεγάλῳ σακελλαρίῳ, ἐν τοῖς ὑπ' αὐτὸν ὀφφικίοις τῶν κληρικῶν ἐκκλησιῶν.

Ὁ κατηχητὴς ὀφείλει διδάσκειν τοὺς μέλλοντας ἐξ αἱρέσεως ἔρχεσθαι πρὸς τὴν ὀρθόδοξον πίστιν.

Οἱ πρωτοψάλται ὑπόκεινται τοῖς λαοσυνάκταις.

Οἱ δύο δομέστικοι ψηφίζονται ὑπὸ τοῦ πατριάρχου, εἶτα ἀναβιβάζονται πρὸς τὸ δομεστίκιον· οἱ δύο δομέστικοι τῶν δύο ἑβδομάδων, χειροτονεῖσθαι τοὺς ἔξωθεν διακόνους, εἴτουν τοὺς ψάλτας, καὶ δι' αὐτῶν διδόναι τὰς ῥόγας τούτων.

Οἱ δύο λαοσυνάκται ὑπόκεινται τοῖς δομεστίκοις, καὶ ἐνεργεῖν ἀπόντων αὐτῶν.

Οἱ πρόξιμοι ὑπόκεινται τοῖς λαοσυνάκταις, καὶ ἐπιτάσσειν τοὺς ἔξωθεν διακόνους.

Οἱ χαρτουλάριοί εἰσιν ἑξήκοντα.

Οἱ δεποτάτοι, ὅσοι ἂν καὶ εἶεν, ἵστανται ἔξω τοῦ βήματος, καὶ ἀκολουθεῖν τοῖς μεταλαμβάνουσι τῶν θείων μυςηρίων· ἐκ τούτων δὲ ὑπάρχει εἷς ὁ βασιλεὺς, καὶ λαμβάνει ῥόγαν διπλῆν, ἤπερ οἱ λοιποὶ δεποτάτοι.

ΜΑΤΘΑΙΟΥ ΜΟΝΑΧΟΥ ΠΕΡΙ ΤΩΝ ΟΦΦΙΚΙΩΝ Τῆς Μεγάλης Ἐκκλησίας(1).

ΤΗΣ Ἐκκλησίας τὰς τιμὰς, καὶ τὰς διακονίας,
Αἳ διαιροῦνται Πνεύματι κατὰ τὸν μέγαν Παῦλον,
Ἀπαριθμεῖ πρὸς ὄνομα νῦν μοναχὸς Ματθαῖος.
Πεντάδος πρώτης πέφυκεν ὁ μέγας οἰκονόμος,
Ὁ μέγας σακελλάριος, καὶ μέγας σκευοφύλαξ,
Ὁ χαρτοφύλαξ μετ' αὐτοὺς, καὶ μέντοι σακελλίου.
Ἀλλά γε καὶ πρωτέκδικος συναριθμεῖται τούτοις,
Οἷς περ ἐξωκατάκοιλοι πᾶσι προσωνυμία.
Ὁ δὲ πρωτονοτάριος πεντάδος τῆς δευτέρας,
Ὁ λογοθέτης μετ' αὐτὸν σύν γε τῷ κανστρησίῳ,
Ὅ,τε ῥεφερενδάριος, ὑπομνηματογράφος,
Ἱερομνήμων τρίτης τε, καὶ μὴν ὑπομιμνήσκων,
Οἱ τρεῖς ἑξῆς διδάσκαλοι, πρῶτος Εὐαγγελίου,
Τοῦ Ἀποστόλου μετ' αὐτὸν, λοιπὸς ὁ τοῦ Ψαλτῆρος.
Τῆς δὲ τετάρτης πέφυκεν ὅγ' ἐπὶ τῶν γονάτων,
Ὅ,τε τὰς κρίσεις ἐφορῶν, ὅ,τε δεήσεις φέρων,
Ὅ,τε τῆς καταστάσεως ἱερᾶς, καὶ ὁ σεκρέτων.
Τῆς πέμπτης ἄρχων τῶν μονῶν ἄρχων, Ἐκκλησιῶν τε,
Ἄρχων Εὐαγγελίου τε, ἄρχων ἀντιμινσίων,
Ἄρχων τῶν φώτων μετ' αὐτοὺς, πληρῶν πεντάδα πέμπτην.
Ἕκτης ὅρα τὸν ῥήτορα, διπλοῦς ὀστιαρίους,
Τὸν νουμοδότην τε ὁμοῦ, πριμμικήριον νοταρίων.

---

(1) Ἐκ τοῦ Χειρ. Γ. Οἱ αὐτοὶ δὲ στίχοι ἀναγινώσκονται καὶ ἐν τῇ ἐκδόσει Κωδινοῦ τοῦ Κουροπαλάτου ἐν Βόννῃ 1839, σελ. 116.

ΓΡΑΜΜΑΤΑ ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ.

ΣΥΣΤΑΤΙΚΑΙ ΚΑΙ ΑΠΟΛΥΤΙΚΑΙ ΕΠΙΣΤΟΛΑΙ

Πρὸς ἀναγνώστας, ὑποδιακόνους, διακόνους, καὶ πρεσβυτέρους διδόμεναι.

Συστατικὸν εἰς ἱερέα (1).

Η ΤΟΥ ΠΑΝΑΓΙΟΥ καὶ προσκυνητοῦ Πνεύματος ἐπιφοιτήσασα δύναμις τοῖς Ἀποστόλοις, καὶ τούτους διδασκάλους ἐν τῇ οἰκουμένῃ χειροτονήσασα, ἠξίωσε καὶ ἡμᾶς τοὺς ταπεινοὺς ἀναδεῖξαι ἀρχιερεῖς, καὶ τὴν αὐτοῦ χάριν τοῖς ἀξίοις μεταδιδόναι. Ἐπεὶ γοῦν καὶ ὁ παρὼν εὐλαβέστατος ἀναγνώστης πρὸς ἡμᾶς ἦλθε ζητῶν τὸ τοῦ διακόνου ἀξίωμα, ἡμεῖς δὲ τὴν ἀποστολικὴν ἐπιστημόνως εἰδότες φωνήν, ὃς πρὸς Τιμόθεον γράφων ἔλεγε, Μηδενὶ ταχέως χεῖρα ἐπιτίθει (2), ἐρευνήσαντες τὰ περὶ τούτου ἀκριβῶς πάντα, καὶ μαθόντες παρὰ τοῦ πνευματικοῦ αὐτοῦ πατρὸς καὶ τῶν ἐξ ἱερέων κατὰ τὴν κανονικὴν ἀκρίβειαν τῶν εἰδότων τὰ περὶ αὐτοῦ, ὡς ἄξιός ἐστι τοῦ τοιούτου βαθμοῦ, κεχειροτονήκαμεν ὑποδιάκονον, καὶ διάκονον, καὶ πρεσβύτερον, καὶ ὑπεγράψαμεν κάτωθεν τὴν ἡμετέραν ὑπογραφήν, καὶ ἐπεδώκαμεν αὐτὴν εἰς τὸν ἄνωθεν ῥηθέντα ἐντιμότατον πρεσβύτερον, εἰς βεβαίωσιν καὶ ἀσφάλειαν· ἐν ἔτει ,ϛϡκζ΄. μηνί.

Ἕτερον συστατικὸν εἰς ἱερέα (3).

ΕΘΟΣ ἄνωθεν ἐπεκράτησεν ἐκ θεσμῶν ἱερῶν, τοὺς λαχόντας ἱερᾶσθαι συστατικοῖς τὸ κῦρος λαμβάνειν γράμμασιν, ὡς ἂν ἄρα τὸ κατ' αὐτοὺς βέβαιον εἴη καὶ ἀναμφίλεκτον. Ἐπεὶ οὖν καὶ ἡ ἡμετέρα ταπεινότης, τὸν κατὰ Κύριον ἀγαπητὸν υἱὸν αὐτῆς Ἀντώνιον ἀναγνώστην, ὃν διὰ τῆς τοῦ παναγίου Πνεύματος χάριτος μετὰ τῆς ὀφειλομένης τοῦ βίου αὐτοῦ ἐξετάσεως εἰς τὸν μέγαν τῆς ἱερωσύνης βαθμὸν προεβίβασε, διὰ τοῦ πα-

---

(1) Ἐκ τοῦ Χειρ. Γ. Ζήτει Καν. ΙΓ΄. τῆς Δ΄, καὶ ΙΖ΄. τῆς ϛ΄. συνόδου. — (2) ά. Τιμόθ. Ε΄, 22. — (3) ἀπὸ χειρογράφου παλαιοῦ ἐκ τῆς βιβλιοθήκης τοῦ ἐν Κωνσταντινουπόλει μετοχίου τοῦ ἁγίου Τάφου.

ρόντος δείκνυσι συστατικοῦ ἐπιγράμματος, ὅπως ἐξ ἀναγνώστου μὲν τοῦτον ὑποδιάκονον προκεχειρίκαμεν, ἐξ ὑποδιακόνου δὲ, διάκονον· ἐκ δὲ διακόνου, ἱερέα τέλειον ἀνεδείξαμεν τῇ τελεσιουργῷ καὶ θείᾳ τοῦ ἁγίου Πνεύματος χάριτι, ὡς ἂν ἐν καθέδρᾳ πρεσβυτέρων αἰνέσῃ τὸν Κύριον, καὶ ἀκωλύτως ἅπαντα ἐπιτελῇ, ὅσα τῷ τοῦ πρεσβυτέρου ἀνεῖται βαθμῷ. Χρὴ μέντοι σώφρονος αὐτὸν ἐπιμελεῖσθαι βίου, καὶ ἐν ἐγκρατείᾳ βιοῦν, καὶ ἀγάπῃ, καὶ ταπεινοφροσύνῃ, καὶ πάσῃ ἀρετῇ, ὁπόσον δὴ πρόσεστι τούτῳ δυνάμεως, τιμῆς τε τῆς παρὰ πάντων ἀξιοῦσθαι· καὶ γὰρ εἰδέναι χρεὼν, ὡς ἡ πρὸς τοὺς ἱερεῖς τιμὴ εἰς αὐτὸν οἶδε τὸν Θεὸν διαβαίνειν, ὥσπερ ἄρα καὶ τὸ ἀνάπαλιν· ἐφ' οἷς ἄρα τὸ συστατικὸν ἐγεγόνει τοῦτο γράμμα αὐτῷ παρὰ τῆς ἡμῶν ταπεινότητος.

Ἕτερον εἰς ἱεροδιάκονον(1).

ΘΕΙΟΙ καὶ ἱεροὶ κανόνες διακελεύουσι, συστατικαῖς ἐπιστολαῖς τοὺς ἱερωμένους ἐφοδιάζεσθαι ἀπὸ τῶν αὐτοὺς κεχειροτονηκότων, εἰς σύστασιν καὶ μαρτυρίαν τῆς ἱερωσύνης αὐτῶν. Τῷ τοιούτῳ τοίνυν καὶ ἡμεῖς παραγγέλματι ὑπείκοντες, τὸν παρόντα εὐλαβέστατον κὺρ Γεώργιον διὰ τοῦ παρόντος συνιστῶμεν γράμματος, ὡς παρ' ἡμῶν τῇ χάριτι τοῦ παναγίου καὶ τελειοποιοῦ Πνεύματος κεχειροτόνηται νομίμως καὶ κανονικῶς ἀναγνώστης, ὑποδιάκονος, καὶ ἱεροδιάκονος· ὅθεν καὶ παριστῶμεν πᾶσι τοῖς πρὸς οὓς ἀποδημήσει ὁ διαληφθεὶς εὐλαβέστατος ἱεροδιάκονος ἐκκλησιαστικοῖς τε καὶ λαϊκοῖς, ὡς τὸ τῆς ἱεροδιακονίας ἀξίωμα ἐδέξατο παρὰ τῆς ἡμῶν ταπεινότητος, ἅτε δὴ μαρτυρηθεὶς παρὰ τοῦ ἰδίου αὐτοῦ πνευματικοῦ, καὶ ἄλλων ἀξιοπίστων ἀνδρῶν, τοῦ τοιούτου βαθμοῦ εἶναι ἄξιος· ὅθεν καὶ εἰς σύστασιν καὶ ἀσφάλειαν, ἐπεδόθη αὐτῷ τῷ διαληφθέντι κὺρ Γεωργίῳ τὸ παρὸν συστατικὸν τῆς ἡμῶν ταπεινότητος, ἐν ἔτει τῷ σωτηρίῳ αψέ. κατὰ μῆνα.

(1) Ἐκ τοῦ Συνταγματίου τοῦ Χρυσάνθου, σελ. νς'.

Ἕτερον (1).

Ἀποστολικος καὶ συνοδικὸς θεσμὸς ἀπ' ἀρχῆς διετάξατο, συστατικαῖς ἐπιστολαῖς τοὺς ἱερομονάχους ἐφοδιάζεσθαι ἀπὸ τῶν αὐτοὺς κεχειροτονηκότων ἀρχιερέων, εἰς σύστασιν καὶ ἔνδειξιν τοῦ βαθμοῦ τῆς ἱερωσύνης αὐτῶν. Τῷ τοιούτῳ τοίνυν καὶ ἡμεῖς καθυπείκοντες παραγγέλματι, τὸν αἰδεσιμώτατον, καὶ τὰ ἑξῆς, υἱὸν τοῦ δεῖνος, ἐκ πόλεως τῆς δεῖνος, πᾶσι τοῖς ἐντευξομένοις διὰ τοῦ παρόντος συνιστῶμεν γράμματος, ὡς παρ' ἡμῶν χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος νομίμως καὶ κανονικῶς χειροτονηθέντα ἀναγνώστην, ὑποδιάκονον, διάκονον, καὶ πρεσβύτερον ἐν τῷδε τῷ ἡμετέρῳ σεβασμίῳ ναῷ, καὶ τὰ ἑξῆς· ὅθεν δίδομεν αὐτῷ ἐξουσίαν, ὅπου ἂν ἀπέλθῃ, τὰ τῆς ἱερωσύνης ἀνεμποδίστως ἐπιτελεῖν μετὰ τῆς προσηκούσης συναινέσεως τοῦ κατὰ τόπον ἀρχιερατεύοντος· παρέχοντες προσέτι αὐτῷ ἄδειαν, ὡς ἀνδρὶ θεοσεβεῖ τε καὶ τιμίῳ, ἐναρέτῳ καὶ ἐπιστήμονι, κηρύττειν ἐπ' ἄμβωνος τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον, κἀν ταῖς ἱεροαγίαις λειτουργίαις μετ' ἐπιγονατίου τὴν ἀναίμακτον προσφέρειν θυσίαν· ὧν εἰς πίστωσιν καὶ ἀσφάλειαν τὸ παρὸν ἐπεδόθη γράμμα τῷ διαληφθέντι, καὶ τὰ ἑξῆς, ἐν ἔτει αχλθ'. κατὰ μῆνα.

Τύπος συμμαρτυρίας τῷ χειροτονηθησομένῳ.

Εἰσελθων τῇ ἐμῇ ἐλαχιστότητι ὁ κατὰ Πνεῦμά μοι υἱὸς δεῖνα, υἱὸς τοῦ δεῖνος, ἐκ χώρας τῆς δεῖνος, ἐζήτησε λαβεῖν τὸ ἀξίωμα τῆς ἱερωσύνης· ὅθεν στήσας ἐγὼ αὐτὸν κατέμπροσθεν τῆς ἁγίας εἰκόνος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὰ βάθη τῆς καρδίας αὐτοῦ ἐρευνήσας, καὶ μηδὲν εὑρὼν τὸ κωλύον ἐν αὐτῷ, μαρτύρομαι αὐτὸν ἄξιον τῆς ἱερωσύνης, ὄντα ἔτι καὶ τέλειον κατὰ τὴν ἡλικίαν, ἣν ἀπαιτεῖ ἡ τῶν ἱερῶν κανόνων ἀκρίβεια ἔχειν τὸν μέλλοντα ἱερᾶσθαι, ἐφ' ᾧ καὶ ἡ παροῦσα ἀπόδειξις ἐδόθη αὐτῷ.

---

(1) καὶ αἱ δύο ἑξῆς πράξεις ἐκ τοῦ Χρυσ. σελ. νς', καὶ νζ'.

ΕΝΤΑΛΜΑΤΑ ΔΙΔΟΜΕΝΑ

Τοῖς χειροτονουμένοις μητροπολίταις, καὶ ἀρχιεπισκόποις, καὶ ἑτέροις.

Πρὸς χειροτονούμενον μητροπολίτην καὶ ἀρχιεπίσκοπον (1).

Η ΤΟΥ φιλανθρώπου Θεοῦ ἡμῶν περὶ τὸ ἡμέτερον γένος κηδεμονία, πολλὰς μὲν αὐτῷ τὰς τῆς σωτηρίας ἀφορμὰς παρασχομένη, διαφόροις δὲ τοῦτο τοῖς εὐεργετήμασιν ἀνακαλουμένη, μᾶλλον τοῖς τῆς εὐνομίας προτερήμασι καὶ ταῖς κανονικαῖς θεσμοθεσίαις τὴν εἰς ἑαυτὸν οἰκειότητα τῶν ταύτας συντηρούντων προεμηθεύσατο· διὰ τούτων γὰρ αὐτὸν μὲν πρῶτον ἐπιγινώσκομεν τὸν νομοδότην καὶ Κύριον, αὐτοῦ δὲ χειραγωγούμενοι ταῖς θείαις ἐντολαῖς, ἀπροσκόπως τὴν τοῦ θελήματος αὐτοῦ διανύομεν ὁδόν· διὰ τούτων τὰ τῆς καθαρᾶς ἡμῶν καὶ ἀμωμήτου πίστεως διαφυλάττεται γνωρίσματα, καὶ ἀνόθευτον τὸ ταύτης ἐναστράπτει τῆς ὀρθοδοξίας κάλλος· διὰ τούτων ἁρπαγαί τε καὶ πλεονεξίαι, καὶ αἱ τῶν καταδυναστευόντων τοὺς πλησίον ἀνακόπτονται ὁρμαί· τούτοις φιλονεικίαι καὶ ἔριδες ἐπιςομιζόμεναι κατέχονται, καὶ τὸ τῆς εἰρήνης καὶ ὁμονοίας καλὸν ἐπιδίδωσιν· ἀλλ' ὥσπερ δι' αὐτῶν τά τε ἄλλα ἀγαθὰ κατορθοῦνται, καὶ βίος μὲν καὶ λόγος ἐντεῦθεν ῥυθμίζεται, εἰς πλῆθος δὲ ὁ τῶν ἀρετῶν ἐπιδίδωσι πλοῦτος· δικαιοσύνη τε τὸ εἰρηναῖον περικρατεῖ, καὶ τὸ ὁμόγνωμον καὶ ἀστασίαστον διακυβερνῶσα συνέχει· οὕτω τὸ μὴ τούτοις χειραγωγεῖσθαι, ἀδικίαν μὲν καὶ πλεονεξίαν, τὰ πονηρὰ τῆς ἀπληστίας ἀποκυήματα, τῷ βίῳ ἐναποτίκτει, τὸν κατ' ἀλλήλων δὲ ἀκήρυκτον πόλεμον ἀντεισάγει, ἐν ἀπόρῳ τῶν τῆς σωτηρίας ἡμῶν ἐναποῤῥιπτομένων ἐλπίδων. Εἰ τοίνυν τοσούτων μὲν κακῶν ἀπαλλαγὴν ἡ τῶν θείων νόμων προξενεῖ παιδαγωγία, ἡ ταύτης δὲ στέρησις τῶν ἐναντίων παραιτία καθίσταται, δεῖ τὴν σὴν θεοφίλειαν τὰ θεῖα καὶ ἀποστολικὰ θεσπίσματα, τά τε σωτήρια καὶ πατρικὰ (2) διδάγματά τε καὶ διατάγματα, χερσὶν ὑπτίαις

---

(1) Ἐκ τοῦ Λεϋγκλ. Μέρ. Α'. σελ. 427. — (2) πνευματικά. Α. ἐν περισελ.

εἰσδέχεσθαι, καὶ ὡς θεοχαράκτους ταῦτα πλάκας τιμᾷν καὶ φυλάττειν· τήν τε ἄλλην τῶν πολιτικῶν νομοθετημάτων εἰσήγησιν στέργειν τε καὶ διευλαβεῖσθαι, καὶ τούτοις ἐπὶ πάσῃ πράξει ἀῤῥεπῶς ἐπακολουθεῖν, καὶ τὸ ἐπὶ χεῖρας ἀπευθύνειν τε καὶ ῥυθμίζειν, τὸν ἐπὶ πάντων Κύριον εἰδυῖαν σαφῶς ἐκ δεξιῶν ἡμῶν παρεῖναι, καὶ πᾶν τὸ δρώμενον ἐφορᾷν· καὶ τὰς ἐφαμίλλους τοῖς ἔργοις ἀμοιβὰς ἀποταμιεύεσθαι.

Δεῖ τὴν σὴν θεοφίλειαν ὑπὸ τῆς θείας χάριτος προκληθεῖσαν, καὶ τὸν εὐαγγελικὸν ἐπ' αὐχένος εἰσδεδεγμένην ζυγὸν, εὐαγγελικῶς τὴν ἐγχειρισθεῖσαν ὑμῖν ὑπὸ τοῦ παντουργοῦ Πνεύματος ποίμνην ἰθύνειν, τὴν οἰκείαν ὑπὲρ τῶν προβάτων προτιθέναι ψυχὴν, τοὺς ἐν σκότει τῆς ἁμαρτίας πορευομένους φωταγωγεῖν, ἀδικουμένων προκινδυνεύειν, θλιβομένους ψυχαγωγεῖν, τοῖς ἐνδεέσι τὴν δυνατὴν ἐπάγειν παράκλησιν, ἀποστολικῶς τοῖς ἀσθενέσι συνασθενεῖν, τοῖς σκανδαλιζομένοις συμπάσχειν, καὶ τύπον ἀρετῆς καὶ εὐταξίας δι' ἐμπράκτου πολιτείας πᾶσι διαγινώσκεσθαι, ὥστε τὸ φῶς ὑμῶν λάμπειν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς δοξάζεσθαι.

Δεῖ τὴν σὴν θεοφίλειαν νηστείαις καὶ ταῖς πρὸς τὸ Θεῖον σχολάζειν ἱκετηρίαις, ὁσίας χεῖρας νυκτὸς καὶ ἡμέρας πρὸς Κύριον ἐκπεταννῦσαν, ἐπαγρυπνεῖν τε ὑπὲρ τῶν ἐμπεπιστευμένων ὑμῖν ψυχῶν, καὶ ταύταις ἄνωθεν ἐξαιτεῖσθαι τὴν σωτηρίαν, ὡς λόγον ὑπὲρ αὐτῶν ἀποδοῦναι ὀφείλουσαν, ὅπερ πρὸ ἡμῶν ὁ μέγας ἐκδιδάσκει Ἀπόστολος· Πείθεσθε, γάρ φησι, τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες (1). Εἰ γὰρ ὁ θρεμμάτων προεστὼς ἀλόγων, ἑνὸς αὐτῶν ἀπολωλότος, οὐκ ἀτιμώρητος, πολλῷ δήπου (2) ὁ ψυχῆς καταμελῶν, τοῦ τιμιωτάτου τῶν ἐγκοσμίων κτήματος, οὐκ ἀνεύθυνος.

Χρή σε μὴ ἀποκάμνειν διδάσκοντα, ἀλλὰ διηνεκῶς τὸν ἐγκεχειρισμένον σοι λαὸν τὰ πρὸς σωτηρίαν ἐκπαιδεύειν καὶ δι' ἑαυτοῦ, καὶ δι' ἑτέρου, τοῦ τὴν τοιαύτην διακονίαν ἐκπληροῦν δυναμένου· ὅπως μὴ καταμελῶν, τῇ κανονικῇ αὐστηρίᾳ σαυτὸν ἐγκαταστήσῃς ὑπεύθυνον· Ἐπίσκοπος, γάρ φησιν, ἢ πρεσβύ-

(1) Ἑβρ. ΙΓ', 17· — (2) δήπου μᾶλλον, Α. ἐν περισσλ.

τερος ἀμελῶν τοῦ κλήρου, ἢ τοῦ λαοῦ, καὶ μὴ ἐκπαιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ῥᾳθυμίᾳ, καθαιρείσθω (1).

Χρή σε μὴ τῷ τῆς προεδρίας ἐπαιρόμενον ἀξιώματι, τῶν ἐγκεχειρισμένων κατεξανίςασθαι, ὅπως μὴ καὶ τοῦ τῆς ταπεινοφροσύνης ἐκπέσῃς μακαρισμοῦ, καὶ τῷ τῶν τυφουμένων ἐγκλήματι καθυποβληθείης· τύπον δὲ μᾶλλον ἑαυτὸν καθιςᾷν ταπεινοφροσύνης τοῖς ὁρῶσι, καὶ τούτους δι' ἔργων τὰς τοῦ Κυρίου ἐντολὰς παρορμᾷν ἐκπληροῦν· Μάθετε, γάρ φησιν, ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ (2)· καί· Ὅστις πρῶτος ἐν ὑμῖν ἐθέλει εἶναι, ἔςω πάντων ἔσχατος *(3)*.

Δεῖ τὴν σὴν θεοφίλειαν, τὴν ἐπαινετὴν ἐπαναιρουμένην ταπείνωσιν, μηδὲν ἀνάξιον ἐν τοῖς ὑπὸ χεῖρα ἀρχιερετικῆς ὑπολήψεως διαπράττεσθαι· ἀλλ' ἡνίκα τις τούτων καὶ ὅτε ὀψόμενος αὐτὴν παραγίνηται, μὴ ἐξ ἀπονοίας καὶ φυσιώσεως τὴν αὐτοψίαν τούτου καὶ προσομιλίαν διαναβάλλεσθαι· ἀλλ' αὐτίκα καὶ τὴν παραδοχὴν τούτου ποιεῖσθαι, καὶ πρὸς δεξίωσιν, ὡς δέον, προέρχεσθαι, (καθ' ὃν τρόπον ἡ μετριότης ἡμῶν πρὸς τὴν ὑμῶν θεοφίλειαν διατίθεται), ἀκριβῶς εἰδυῖαν, ὡς, εἰ καὶ τῇ προεδρίᾳ τὸ μεῖζον ἐκληρώσατο, ἀλλ' οὖν τῇ ὁμοτιμίᾳ τῆς φύσεως, ἢ καὶ τῷ παραλλήλῳ τῆς τοῦ παναγίου Πνεύματος ἐνεργείας, κατ' οὐδὲν ἔλαττον ὑμῶν ὁ τοιοῦτος διαφέρει.

Δεῖ τὴν σὴν θεοφίλειαν, εἴπερ τὰς πονηρὰς ἐκφεύγειν ὑπολήψεις ἐθέλει, τοῖς ἐν τῷ κλήρῳ καταλεγομένοις τήν τε τῶν πραγμάτων οἰκονομίαν, καὶ τὰς ἄλλας ἐκκλησιαστικὰς ἐγχειρίζειν διακονίας· τοῦτο γὰρ καὶ ὁ ἱερὸς κανὼν ἐγκελεύεται (4), καὶ ὑμῖν τὸ ἀπρόσκοπον προξενεῖ, ὥστε μὴ ἀμάρτυρον εἶναι τὴν τῆς Ἐκκλησίας οἰκονομίαν· καὶ μήτε ἐντεῦθεν, μήτε ἑτέρωθεν λοιδορίαν τῇ ἱερωσύνῃ προστρίβεσθαι.

Δεῖ τὴν σὴν θεοφίλειαν, εἴ ποτέ τινι τῶν ἐπισκόπων τὸ τοῦ βίου τέλος ἐπέλθοι, μηδὲν μηδαμῶς ἐκ τῶν αὐτοῦ ἀφαιρεῖσθαι πραγμάτων, μηδὲ σεμνῷ ὀνόματι συνηθείας ἐπισκιάζειν τὴν τῆς ἁρπαγῆς καὶ τυραννίδος ἀπηγορευμένην πρᾶξιν· παρεγγυᾶσθαι δὲ πᾶσι σῶα πάντα διαφυλάττεσθαι, καὶ κατὰ τὴν αὐτοῦ

(1) Καν. Ἀποστ. ΝΗ'. (2) Ματθ. ΙΑ', 29. — (3) Μάρκ. Ι, 44. (4) Χαλκηδ. ΚϚ'.

ἐκείνου διάταξιν, οὕτως ἕκαστον τῶν καταλιμπανομένων εἰδῶν διοικεῖσθαι· μάλιστα δὲ ὅσα ἢ κατὰ τὸν καιρὸν ὃν προεχειρίσθη, ἐκέκτητο· ἢ μετὰ ταῦτα ἐκ συγγενῶν αὐτῷ προσετέθη. Εἰ δ' ἐξάπινα τὸ τοῦ βίου τέλος τούτῳ ἐπέλθοι, μηδ' οὕτως ἁρπαγὴν καὶ ἀφαίρεσιν τῶν προσόντων αὐτῷ πραγμάτων γίνεσθαι· ἀλλ' εἰ μὲν συγγενεῖς τούτῳ εἴησαν, ἐκείνοις καὶ τὰ τούτου ἴδια περιποιεῖσθαι· εἰ δὲ μὴ τοιοῦτοί τινες εἶεν, τότε, εἰ μὲν ἄπορός ἐστιν ἡ κατ' αὐτὸν Ἐκκλησία, καὶ τῶν τοιούτων ἐπιδεής, ἐκείνη καὶ τὰ αὐτῷ προσήκοντα ἀναλήψεται· εἰ δὲ ἐν εὐπορίᾳ καθειστήκει, τοῖς γοῦν πένησι ταῦτα διαδίδοσθαι παρασκευάζειν, ἀλλὰ μὴ αὐθεντίας τρόπῳ καὶ ἐξουσίας ἐπέρχεσθαι, καί τι τῶν αὐτοῦ ἀφαιρεῖσθαι· ὡς εἴγε τοιοῦτόν τι παρ' ὑμῶν τολμηθείη, καὶ ὃ δ' ἂν ἀφαιρεθείη εἰς τὸ διπλάσιον ἀναστραφήσεται, καὶ ἀκοινωνησίᾳ ἐπὶ πλεῖστον καθυποβληθήσῃ χρόνον.

Δεῖ τὴν σὴν θεοφίλειαν, εἴ ποτέ τις τῶν ὑπ' αὐτὴν τελούντων ἐπισκόπων πρὸς τὴν ἐκεῖθεν μετασταίη λῆξιν, παντὸς ἀνθρωπίνου ἑαυτὴν μακρύνουσαν ἐλαττώματος, μᾶλλον δὲ τῆς Σιμωνιακῆς κακίας ἐλευθεριάζουσαν, καὶ παντὶ τρόπῳ, καὶ πάσῃ δυνάμει τὴν τοῦ Πνεύματος θείαν χάριν ἄπρατον διασώζουσαν, πρὸς μόνον Θεὸν τὸν τῶν καρδιῶν ἡμῶν ἀποβλέπουσαν ἔφορον, τὸν ἐπὶ βίῳ σεμνῷ, καὶ λόγῳ, καὶ καταστάσει πνευματικῇ μαρτυρούμενον, καὶ κανονικῶς ψηφιζόμενον, εἰς τὸν ἐπισκοπικὸν ἀνάγειν βαθμόν, ἵνα δὴ καὶ τὸ μέγα τῆς ἀρχιερωσύνης ἀκαπήλευτον συντηροῖτο ἀξίωμα· καὶ αὐτὸς μὲν παρὰ τῆς κανονικῆς θεσμοθεσίας ἀκατάκριτος ἐποφθείης, κἀκεῖνος, ἐξ ἑαυτοῦ οὕτω προχειρίζεσθαι τοὺς ἀμφ' αὐτὸν διδασκόμενος, ἀπρόσκοπος εἴη· μήτε τοῖς πνευματικοῖς νόμοις προσκρούων, μήτε τὸ ἄφυκτον τοῦ Θεοῦ κρίμα καθ' ἑαυτοῦ ἐκκαλούμενος.

Δεῖ σε ἐπὶ πάσῃ πράξει καὶ μεταχειρίσει παντάπασι δώρων ἀπέχεσθαι, ἀκριβῶς εἰδότα, ὡς πᾶσα μὲν ἁμαρτία ἁπλῆν τὴν τιμωρίαν ὑφίσταται· ἡ δὲ τοῦ Σίμωνος αἵρεσις διπλῆν ἐπάγει τῷ ἁλόντι κατάκρισιν· διὸ δεῖ παντελῶς ταύτην περικόπτειν, καὶ μηδὲ ταῖς λεγομέναις συνηθείαις εἴσοδον καὶ παρείσδυσιν ἔχειν. Καὶ γὰρ αἱ λεγόμεναι αὗται συνήθειαι, φιλαργυρίας συνεισκωμάσασαι νοσήματι, οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον εἰς καταδίκην

τοὺς τῆς ἀρχιερωσύνης, μετόχους ἁλισκομένους ἄγουσιν, ἐπὶ σεμνῷ προσωπείῳ τῆς Σίμωνος ἐνεργουμένης αἱρέσεως· δεῖ γὰρ κἂν σεμνῷ ὀνόματι διαβεβλημένη πρᾶξις καλύπτηται, καὶ ταύτην παντὶ τρόπῳ ἐκτρέπεσθαι, καὶ παραιτεῖσθαι, καὶ μᾶλλον τῆς ἀνακεκαλυμμένως δηλούσης τὸ τόλμημα· τά τε γὰρ λανθάνοντα τῶν ἑλκῶν, δυσιατώτερά πως εἴωθε τυγχάνειν, καὶ τὰ ὕπουλον ἔχοντα τὴν παρανομίαν, ῥᾷον μᾶλλον ἢ καὶ τὰ πρόδηλα τῶν ἀτοπημάτων εἰς τοὺς πολλοὺς καταφέρεται. Οὔτε οὖν ἀπὸ δίκης οὔτε χρηματικῆς, οὔτε ἐγκληματικῆς τὸ σύνολον λαμβάνειν, μετὰ τῆς τοῦ ἁγίου Πνεύματος ἐξουσίας διαταττόμεθα, οὔτε ἀπὸ προχειρίσεως ἡγουμένου, ἢ ἀρχιμανδρίτου, ἢ ἐξάρχου, οὔτε μὴν ἀπὸ προβολῆς οἰκονόμου, ἢ μειζοτέρου, οὐδέ γε (τὸ φρικωδέστερον) ἀπὸ χειροτονίας διακόνου, ἢ πρεσβυτέρου, ἢ ἐπισκόπου, οὐδαμῶς οὐδὲ καθ' οἱονδήποτε τρόπον, οὔτε πρὸ τῆς χειροτονίας, οὔτε μετὰ τὴν χειροτονίαν προσήκει λαμβάνειν· τοῦτο γὰρ οἶμαι καὶ τοῖς ἀπείρως ἔχουσι περὶ τοὺς κανόνας τοὺς θείους, κατάδηλον ἐμφανίζει τὴν ἀτοπίαν. Διὸ δεῖ παντάπασιν ἐν πᾶσι τοῖς εἰρημένοις, καὶ τοῖς, ὡς εἰκὸς, παραλελειμμένοις, ἀθώας τὰς χεῖρας φυλάττοντα, καὶ πρό γε τῶν χειρῶν τοὺς λογισμοὺς, οὕτω τὸν τῆς ἀρχιερωσύνης μεταχειρίζεσθαι νόμον, εἰδότα καὶ πεπεισμένον, ὡς ὁ ταύτης παρορῶν τὰς ἐντολὰς καὶ προστάγματα, οὐχ ἡμετέρας παραινέσεις ἀθετεῖ, ἀλλὰ τῶν θείων καὶ ἱερῶν κανόνων ὑπερόπτης γίνεται, καὶ τὴν ἐκ τούτων οὐκ ἐκφεύξεται καταδίκην· διὸ καὶ τὸν λεγόμενον ἐνθρονισμὸν, οὐ τῷ χειροτονοῦντι (μὴ γένοιτο), ἀλλὰ τοῖς ἐνδεεστέροις τῶν κληρικῶν, ἢ καὶ τοῖς ἐκκλησιαστικὴν ἄλλην ὑπηρεσίαν τελοῦσι, κατὰ ἀναλογίαν τῆς ἐκκλησιαστικῆς εὐπορίας διοριζόμεθα δίδοσθαι· εὐπόρου γὰρ τῆς ἐπισκοπῆς καθισταμένης, εὐεργεσίας μέρει τοὺς ὑπηρετοῦντας ταῖς ἐκκλησιαστικαῖς διακονίαις, ἀπορώτερον τὸν βίον κεκτημένους, δωροφορεῖσθαι ἐκεῖθεν οὐδόλως ἀπείργομεν.

Δεῖ τὴν σὴν θεοφίλειαν πρὸ πάντων καὶ μετὰ πάντων τοῦ τῆς φιλοχρηματίας καὶ πλεονεξίας πάθους καθαρὰν ἑαυτὴν συντηρεῖν, τοῖς οἰκείοις ἐπαρκουμένην· καὶ μήτε τρόπῳ τινὶ τὰ ἀλλότρια οἰκειοποιεῖσθαι, μήτε δουλικοῖς ἐπιτάγμασι κατατρύχειν τὸ ὑποχείριον, ἢ βαρυτάταις ἐπιτιμήσεσι τοὺς μὴ ὑπείκοντας ἀνταμύ-

νεσθαι, ἵνα τοῖς ἔργοις καὶ τὸ τῆς ἱερωσύνης κοσμῆται ἀξίωμα, καὶ αὐτὸς εἴης θεϊκῆς τε καὶ ἀνθρωπίνης ἀνώτερος κατακρίσεως.

Δεῖ σε πᾶσαν ἀκρίβειαν ἐν τοῖς κανονικοῖς ἅπασι καταβάλλεσθαι πράγμασιν· ἐγκαλούντων τε τινῶν, καὶ παράβασιν αὐτῶν προτεινόντων, ἐπιμελεςέρᾳ ἐξετάσει διερευνᾷν, καὶ τὴν διόρθωσιν τῶν ἡμαρτημένων ποιεῖσθαι· ἴσῃ μὲν τῇ εὐνοίᾳ ἀμφοτέρων μερῶν τοὺς λόγους διευκρινοῦντα, τῇ ςάθμῃ δὲ τῶν κανονικῶν παρατηρημάτων ἑπόμενον· καὶ τούτοις ἕκαςα διευθύνοντά τε καὶ περαιούμενον.

Δεῖ τὴν σὴν θεοφίλειαν τοῖς ἱεροῖς κειμηλίοις μεγίστην καταβάλλεσθαι πρόνοιαν, ὥςτε ταῦτα εἰς κόσμον τῆς Ἐκκλησίας ἀσινῆ διασώζεσθαι, ἢ καὶ αὔξησιν, εἰ οἷόν τέ ἐστιν, ἐπιδέχεσθαι· τά τε ἄλλα ἀκίνητα κτήματα, ὅσα γε εἰς τὴν τῆς Ἐκκλησίας συντελεῖ χρείαν, ἀνεκποίητα συντηρεῖν· τά τε ἐμφυτευτικοῖς δικαίοις ἐγχειριζόμενά τισι, μετὰ τῆς ἡμετέρας γνώμης οἰκονομεῖν· καὶ τὸ ἐντεῦθεν ἐρανιζόμενον εἰς τὴν τῆς Ἐκκλησίας προσδαπανᾷν ἐπισύστασιν· καὶ γὰρ καὶ ὁ ἱερὸς τῶν Ἀποστόλων κανὼν οὕτω
» φησίν· Τοὺς ἐπισκόπους παντὸς ἔθνους, εἰδέναι χρὴ τὸν ἑαυτῶν
» πρῶτον, καὶ μηδὲν περιττὸν ἄνευ τῆς ἐκείνου πράττειν γνώμης. Τὸ αὐτὸ δὲ καὶ ἡ ἐν Βενεθάλοις ἁγία Σύνοδος διαβεβαιοῦσα, ἐκύρωσεν· » ὡς μητροπολίτην ἅπαντα καὶ ἐπίσκοπον,
» μηδὲν χρῆναι πράττειν, ἄνευ τοῦ τὸν ἀποστολικὸν θρόνον
» ἰθύνοντος. Ἀλλὰ καὶ ἕτερος ἱερὸς κανὼν, ὧδε φησίν· Ὁμοίως
» ἤρεσεν, ὥστε τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἰδίων ἐπι-
» σκόπων πρᾶγμα μὴ πιπράσκειν τῆς Ἐκκλησίας, ἐν ᾗ καθιέ-
» ρωνται· ὃν τρόπον καὶ τοῖς ἐπισκόποις οὐκ ἔξεςι πιπράσκειν χωρία τῆς Ἐκκλησίας, ἀγνοούσης τῆς συνόδου.

Δεῖ τὴν σὴν θεοφίλειαν, εἴ ποτέ τινι τῶν ἀμφ' αὐτὴν ἡγουμένων ἡ ἀπὸ τῶν ἐντεῦθεν ἔξοδος γένηται, πρῶτα μὲν τὰ τούτῳ προσόντα, ὅσα γε εἰς ὑπηρεσίαν ἐτέλει, ἢ εἰ καί τινα ἄλλα πρόσεςιν, ἀκαινοτόμητα κατὰ πάντα τρόπον τηρεῖν, καὶ μὴ τῷ τῆς συνηθείας παρανόμῳ προσχήματι χεῖρας αὐτοῖς ἐπιβάλλειν ἀδίκους· ἔπειτα δὲ τὸν ἐπ' εὐλαβείᾳ καὶ συνέσει παρὰ τῶν μοναχῶν μαρτυρούμενον, εἰς τὸν τῆς ἡγουμενείας βαθμὸν προχειρίζεσθαι· δίχα δηλονότι λημμάτων, ἃ καὶ τῇ ἀρχιερω-

σύνῃ κίνδυνον ἐπάγει, καὶ τῷ ἁλόντι τὴν ἐκ τοῦ κανόνος ἀσυμπαθῶς ἄμυναν ἐπιφέρει.

Χρὴ τοῖς τὴν ἐπιστασίαν τῶν μοναχῶν ἐγχειριζομένοις παρεγγυᾶν, τῷ νενομισμένῳ χρόνῳ, καὶ τῇ προσηκούσῃ δοκιμασίᾳ τοὺς τῷ μονήρει βίῳ προστιθεμένους, τοῦ τε ἀγγελικοῦ καταξιοῦν σχήματος, καὶ τὴν τελείαν ἀπόκαρσιν ποιεῖσθαι· ὅπως ἂν τῇ χρονίᾳ γυμνασίᾳ καὶ ὁ τρόπος αὐτῶν ἐμφανὴς εἴη, καὶ αὐτοὶ πάγιοι πρὸς τὸ καλὸν τούτου τυχόντες διαμένοιεν.

Δεῖ σε τά τε ἄλλα τῇ μοναδικῇ πολιτείᾳ ἁρμόδια, κατὰ τοὺς Πατρικοὺς κανονίζειν θεσμοὺς, καὶ γηραιοὺς καὶ σώφρονας εὐνούχους ἐν τοῖς γυναικείοις σεμνείοις τὴν θείαν ἐπιτελεῖν μυςαγωγίαν ἐπιζητεῖν· καὶ ἐκκόπτειν μὲν ἐκεῖθεν τὰς ἐπιμιξίας καὶ ἀναφύρσεις τῶν κοσμικῶν, ἀποδιϊςᾶν δὲ τὰς τῶν λεγομένων διπλῶν μοναστηρίων, εἴπερ εἰσὶ κατὰ τὸν τόπον, συναφείας τε καὶ παρανόμους συνδιατριβάς. Οὕτω ταῦτα· καὶ εἴ τι ἕτερον ὅ,τε καιρὸς καὶ ἡ χρεία προβάλλοιτο, μετὰ τῆς ἐπαινετῆς καὶ προσηκούσης καὶ θεοφιλοῦς σπουδῆς ἐκπληρῶν, πάσης μὲν λαβῆς καὶ καταδίκης ἐξαιρεθήσῃ· εἰς κόσμον δὲ τῆς Ἐκκλησίας, καὶ δόξαν τοῦ τὸ οἰκεῖον αἷμα ὑπὲρ αὐτῆς ἐκχέαντος Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ὀφθήσῃ· ὅπερ καὶ ἐλπίζομεν, καὶ εὐχόμεθα· καὶ μετὰ μεγάλων τῶν ἐλπίδων εἰς τὴν ἐναποκειμένην τοῖς ἁγίοις παραπεμφθήσῃ μακαριότητα, ἔνθα πάντων ἡ προσδοκωμένη κατάπαυσις γένοιτο, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ὅτι αὐτὸς ἐςι τῶν ἀγαθῶν δοτὴρ καὶ πληρωτὴς, καὶ αὐτῷ πρέπει τιμὴ καὶ δόξα, νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Πρᾶξις πρὸς μητροπολίτην παρὰ πατριάρχου διδομένη (1).

ΤΑ ΜΕΓΑΛΑ τῶν ἀνθρωπίνων πραγμάτων καὶ ἀξιομνημόνευτα, καὶ τούτων ἐκεῖνα μάλιστα τῶν λοιπῶν ὑπερέχουσιν, ὅσα τὸ κοινὸν τοῦ ἔθνους ἢ συνέχουσιν ἀσφαλῶς, ἢ ἐπωφελοῦ-

(1) Αἱ ἑξῆς τρεῖς πράξεις ἐκ τοῦ Συνταγμ. τοῦ Χρυσ. σελ. κϐ'. — κς'.

σιν ἐπιτηδείως πρὸς αὔξησιν καὶ εὐπρέπειαν· τοιαῦται μὲν αἱ στρατηγίαι, καὶ πολιτεῖαι, καὶ δημαρχίαι, καὶ τὰ περὶ ταῦτα πόλεμοι, καὶ νόμοι, καὶ τέχναι, καὶ βουλευτήρια, δι' ὧν πόλεις ἐν βασιλείαις, καὶ ὅλα τῆς οἰκουμένης ἔθνη εὐνόμως συνιστῶνταί τε καὶ διακρίνονται. Καὶ ταῦτα μὲν ἐν ἀνθρώποις λόγου καὶ μνήμης ἄξια διὰ στόματος ἀσιγήτως ἄγονται, φθόνου καὶ λήθης κρείττονα εἰς τὸν ἐπιόντα χρόνον, καίτοι ἐπίκηρα ὄντα φύσει, καὶ τῇ φθορᾷ ὑποβαίνοντα· ἀλλ' ἀξιομνημόνευτα πολλῷ μᾶλλον ἐν ἀνθρωπίνοις, ὅσα περὶ τὸ Θεῖον ἐγγίνονται, καὶ τῷ κρατίστῳ τῶν λογικῶν δυνάμεων (λογικῷ, φημὶ,) ἐπιτελεῖται, καὶ τῇ ἀληθείᾳ συμπέφυκε, καὶ τῇ δικαιοσύνῃ ἀπεριτρέπτως διακρατεῖται, καὶ τὸ κεφάλαιον, πρὸς οὐράνιον τοὺς ἐν γῇ πολιτείαν διεγείρει τε καὶ γυμνάζει, καὶ τέλος πρὸς αἰῶνα σωτηρίας διευθύνει καὶ τοὺς ἔχοντας, καὶ τοὺς μετέχοντας· τοιαύτη ἀκραιφνῶς ἡ ἱερωσύνη, καὶ, ὡς εἰπεῖν, ἡ πηγὴ ταύτης, καὶ ῥίζα, καὶ κορυφὴ, ἡ ἀρχιερωσύνη, ἥτις ἐν τῇ αὐτῇ βασιλείᾳ τῇ κοσμικῇ συγκρινομένη, τοσούτῳ μέσῳ ὑπερβάλλει, ὅσῳ ἐκείνη μὲν μεταβολαῖς, καὶ ἥτταις, καὶ κινδύνοις, καὶ αἰσχύναις, καὐτῷ γε ὑπόκειται τῷ ἀφανισμῷ· αὕτη δὲ, ἐν οἷς ἐγχαράττεται, ἀνεξάλειπτος, καὶ ἀήττητος, ἀσφαλής τε, καὶ ὑπερλάμπουσα διαμένει διαιωνίζουσα· πλὴν ἀλλὰ τῷ μὴ εἰς αἴσθησιν ὑποπίπτειν κατορθωμάτων ἐκτὸς, πνευματική τις οὖσα δύναμις, γνωρίσματος ἐνδεῖται, ὥστε καὶ μὴ παραπλάττεσθαι, ἢ ψεύδεσθαι τὸν μὴ μετέχοντα, ἢ τὸν ἔχοντα πάντως μὴ ψεύδεσθαι. Γνώρισμα μέντοι ἀκριβέστερον οὐδὲν ἄλλο οἱ πρὸ ἡμῶν ἐπενοήσαντο παρά τε τῶν ἁγίων Ἀποστόλων λαβόντες, καὶ μέχρι τοῦ δεῦρο χρησάμενοι, τῶν συστατικῶν, λέγω, γραμμάτων, δι' ὧν οἱ ἐπιφέροντες ὡς γνήσιοι καὶ νόμιμοι παρὰ πᾶσι τιμῶνται, καὶ τοιοῦτοι, ὡς τυγχάνουσι, καὶ φημίζονται, καὶ νομίζονται. Καὶ τοῦτο εἴπερ λίαν ἐπάναγκες ἐν τοῖς θείοις κανόσι τοῖς ὑποδεεστέροις βαθμοῖς, λέγω δὴ ἀναγνώσταις, παντοίοις τε τοῖς ἐν κλήρῳ καταλεγομένοις ὑποδιακόνοις τε καὶ διακόνοις, πολλῷ οὖν μᾶλλον πρεσβυτέροις, καὶ ὑπὲρ τούτους ὅτι μάλιστα τοῖς ἀρχιερεῦσιν, ὡς ἀεὶ δήπουθεν πάντες οὗτοι καθιστῶσι καὶ συνιστῶσι, καὶ ἀλλήλοις αὐτοὺς, ἔτι τε τὰ περὶ πίστιν, καὶ Θεῖον, καὶ γέ-

μους, καὶ πολιτείαν ὀρθὴν, οὗτοι μόνοι διακρίνουσι καὶ διευθετοῦσι. Τοῖς τοιούτοις τοίνυν καθάπερ εἰς σύστασιν, συνοδικὴ ἱερέων τε καὶ ἀρχιερέων ἀπῃτεῖτο ψῆφος, οὕτως εἰς ἐπισύστασιν πρὸς πίστωσιν πάντων καὶ ἀσφάλειαν ἀρχιερέως ἄλλου ἐξ ὑψηλοῦ τινος θρόνου, καὶ οἱονεί τινος ἀρχικοῦ, ἔγγραφος ἐπιζητεῖται καὶ ἀσφαλὴς κατὰ πάντα μαρτυρία. Ἐπειδὴ τοιγαροῦν καὶ τὰ νῦν τὴν ἁγιωτάτην μητρόπολιν δεῖνα εὑρόντες χηρεύουσαν ἀρχιερέως γνησίου, ἅτε δὴ τοῦ ἐν αὐτῇ ἀρχιερατεύσαντος κὺρ δεῖνος πρὸς Κύριον ἐκδημήσαντος, ἡ μετριότης ἡμῶν ἐλέει θείῳ καὶ χάριτι τὰς ὑποκειμένας τῷ ἀποστολικῷ τούτῳ καὶ πατριαρχικῷ θρόνῳ μητροπόλεις τε, ἀρχιεπισκοπὰς, καὶ, ἁπλῶς εἰπεῖν, ἐπαρχίας, ἐξ αὐτῶν τῶν *οἰκουμενικῶν* ἱερῶν καὶ ἁγίων Συνόδων διέπειν λαχοῦσα, καὶ περὶ ποιμένων ἱκανῶν αὐταῖς προνοεῖν, οὐ δέον ἔκρινε καὶ ταύτην παριδεῖν ἀνεπίσκεπτον, ἀλλὰ φροντίδα καταβαλοῦσα ἐπιστήσασθαι ταύτῃ τὸν ἀξίως ποιμάναι δυνάμενον τὸ ἐν αὐτῇ τοῦ Χριστοῦ λογικὸν ποίμνιον, δέδωκεν ἄδειαν τοῖς ἐνδημοῦσιν ἐν τῷ πατριαρχικῷ καὶ ἀποστολικῷ τούτῳ θρόνῳ συναδελφοῖς αὐτῆς ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, ψήφους ποιήσασθαι κανονικὰς κατὰ τὴν ἐκκλησιαστικὴν ὑποτύπωσιν, δι᾽ ὧν ὁ ἀναφανεὶς προτιμότερος χειροτονηθῇ ἐν αὐτῇ ἀρχιερεὺς καὶ προστάτης· καὶ τούτων συντελεσθεισῶν ἐν τῷ εὐαγεστάτῳ ναῷ τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου καὶ πρώτου ἱεράρχου τῶν Ἱεροσολύμων, ὑπό τε τοῦ Καισαρείας κὺρ δεῖνος, τοῦ Πέτρας κὺρ δεῖνος, τοῦ Λύδδης, κὺρ δεῖνος, προεκρίθη καὶ προεξελέγη τῶν ἄλλων εἰς διαδοχὴν τῆς ποιμαντικῆς προστασίας ὁ ὁσιώτατος πρωτοσύγκελλος τοῦ καθ᾽ ἡμᾶς ἀποστολικοῦ πατριαρχικοῦ θρόνου κὺρ δεῖνα· ἀνὴρ τίμιος, ἐξ ἁπαλῶν ὀνύχων τὸν μοναχὸν ὑποδὺς ζυγὸν, παντοίαις ἀρεταῖς κεκοσμημένος, μοναχῶν ὁμηγύρεως ἡγησάμενος ἐν πάσῃ εὐλαβείᾳ καὶ σεμνότητι, καὶ ἐν πολλοῖς κατὰ διαφόρους καιροὺς χρησιμεύσας ἐν τῷ καθ᾽ ἡμᾶς ἀποστολικῷ πατριαρχικῷ θρόνῳ.

Τοῦτον τοίνυν ἡ μετριότης ἡμῶν τῇ δυνάμει καὶ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος ἀρχιερέα ἐχειροτό-

νησε, καὶ μητροπολίτην γνήσιον καὶ καθολικὸν ἀνέδειξε τῆς μητροπόλεως δεῖνος· ᾧ τινι σὺν τοῖς λοιποῖς ἀρχιερατικοῖς ἀμφίοις, τοῖς εἰθισμένοις παρὰ ὀρθοδόξων ἀρχιερέων ἐν ταῖς ἱεραῖς τελεταῖς ἀμφιέννυσθαι, ἔτι καὶ ἐγκόλπια δύο, καὶ μίτραν ἐπιφέρειν ἐφιλοδωρήσατο. Ὀφείλει τοίνυν ὁ προχειρισθεὶς ἱερώτατος μητροπολίτης Πτολεματδος οὗτος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Φοινίκης, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ δεῖνα, ἀπελθὼν εἰς τὴν τυχοῦσαν αὐτῷ θεόθεν μητρόπολιν, ὡς γνήσιος αὐτῆς ποιμήν τε καὶ διδάσκαλος, καὶ πνευματικὸς, τῶν ὀρθοδόξων πατὴρ, προστάτης τε καὶ κριτὴς, ἐπιλαβέσθαι αὐτῆς μετὰ πάσης τῆς ἀνηκούσης αὐτῇ ἐνορίας, καὶ τῶν προσόντων αὐτῇ ἄνωθεν καὶ ἐξ ἀρχῆς ὁρίων τε καὶ χωρίων, προσέτι δὲ καὶ τῶν ἐν αὐτοῖς πραγμάτων τε καὶ κτημάτων, κινητῶν τε καὶ ἀκινήτων, καὶ τῶν λοιπῶν δικαίων τε καὶ προνομίων, ἐν οἷς ἅπασιν ἐπιτρέπεται αὐτῷ ἀκωλύτως πᾶσα ἐξουσία ἐπισκόποις ἐν κανόσιν ἀνήκουσα, εὐλογεῖν, ἁγιάζειν, ἱερουργεῖν, μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, κρίνειν τε καὶ ἀνακρίνειν τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς καὶ εὐλόγους ὑποθέσεις· συνοικέσια νόμιμα καθιστᾷν, πλὴν διαζύγια νομίμων συναλλαγμάτων μὴ ἀποφαίνεσθαι, ἀλλ' ἐς τὴν ἡμῶν μεταφέρειν μετριότητα, καθάπερ καὶ πᾶν ἕτερον ἐπαπορούμενον, εἴτε περὶ γάμων, εἴτε περὶ χειροτονιῶν, εἴτε καὶ ἑτέρων δυσχερῶν ὑποθέσεων, μήπως ἐπισφαλῶς λάθῃ κρίνας, καὶ ἀλλοτρίων ἁμαρτημάτων εὑρεθῇ κοινωνὸς, ἢ καὶ αἴτιος, καὶ ὑπόδικος τῶν ἱερῶν κανόνων, καὶ τοῖς ἐν αὐτοῖς ἐπιτιμίοις ὑπεύθυνος. Ἐχέτω δὲ καὶ ἄδειαν εἰς ἱεροὺς ἐγκαταλέγειν βαθμοὺς τοὺς ὑφ' αὐτὸν, τουτέστι τοὺς ἐν οἰκείαις ἐνορίαις σφραγίζειν κληρικοὺς, ἀναγνώστας, καὶ ψάλτας, ὑποδιακόνους τε καὶ διακόνους χειροτονεῖν μετὰ τῆς προσηκούσης αὐτοῖς ἱκανότητος, καὶ μετ' ἀκριβοῦς ἐξετάσεως καὶ μαρτυρίας τῆς τοῦ λαοῦ, πολλῷ δὲ μᾶλλον καὶ ἀκριβέστερον εἰς τὸ τῆς ἱερωσύνης ἀνάγειν ἀξίωμα ἄνδρας σεμνοπρεπεῖς, καὶ οὕτως εὐλαβεστάτους, ἐξ αὐτῶν τε τοὺς συνετοὺς εἰς τὸ τῆς πνευματικῆς πατρότητος προβιβάζειν λειτούργημα· θείους καὶ ἱεροὺς ναοὺς ἀνεγείρειν, ἐγκαινίζειν τε καὶ ἀνακαινίζειν

τὰς Ἐκκλησίας πάσας καὶ μοναστήρια, ἐπισκέπτεσθαι καὶ ἐξετάζειν τοὺς ἐν αὐτοῖς ἡγουμένους τε καὶ ἐνασκουμένους, πλὴν τῶν ἡμετέρων σταυροπηγίων, διδάσκειν τε πανταχοῦ τῆς παροικίας αὐτοῦ τὸν τῆς εὐσεβείας λόγον, ἀνασπᾷν ῥιζόθεν πᾶν πονηρὸν ἐπιφερόμενον, τὴν θεοσέβειαν ἐπιβλάπτον, ἢ τὴν εἰρήνην, ἐπισπείρειν τε ἀόκνως πάσης ἀρετῆς καλλιέργημα, τύπον ἑαυτὸν ἐν ἅπασιν εἰς πᾶν ἔργον ἀγαθὸν προτιθέμενος, τοῖς ἐνδεέσιν εὐπρόσιτος, τοῖς ἀσθενέσι συγκαταβαίνων, τοῖς ῥαθύμοις συντονώτερος, τοῖς πᾶσι τὰ πάντα γινόμενος ἵνα πλείονας ἢ πάντας κερδήσῃ, τηρῶν πρὸ πάντων ἐν πᾶσι τὴν κανονικὴν ἀκρίβειαν, μηδὲν τῆς ἰσότητος παρεκκλίνων, οὔτε ταῖς τῶν ἔξω μεσιτείαις, ἢ καὶ ἀπειλαῖς ἐπικαμπτόμενος, οὔτε ταῖς τῶν οἰκείων δεήσεσιν, ἢ καὶ φιλοδωρίαις ἐκλυόμενος, ὡς ἀποδιδόναι μέλλων Θεῷ τε καὶ ἡμῖν λόγον τῶν ὁπωσδήποτε ἢ παρημελημένων, ἢ καὶ πεπλημμελημένων· ἀλλὰ δὴ καὶ οἱ ὑπ' αὐτὸν πάντες ἱερωμένοι τε κληρικοί τε καὶ λαϊκοὶ, τὴν προσήκουσαν ὀφείλουσιν αὐτῷ ἀπονέμειν αἰδῶ καὶ τιμὴν, ὑπακούειν τε τοῖς ὑπ' αὐτοῦ ὀρθῶς ἐπιταττομένοις, ἔχειν τε αὐτὸν καὶ ἡγεῖσθαι πνευματικὸν πατέρα, ποιμένα τε καὶ διδάσκαλον, κριτήν τε καὶ προστάτην, καὶ κηδεμόνα, καὶ φροντιστὴν ἐν πάσαις ταῖς ἀνάγκαις, βιωτικαῖς τε καὶ ψυχικαῖς, χορηγεῖν τε τὰ ὑπὸ κανόνος καὶ ἔθους αὐτῷ ἀνήκοντα δίκαια, τῶν καρπῶν τὰς δεκάτας, τὰς εὐλογίας τῶν οἴκων, τὰ τῶν κεκοιμημένων μνημόσυνα, τὰς ἀπαρχὰς τῶν καρπῶν ἁπάντων, τῶν συνοικεσίων τὰ ἔθιμα, τὰ τῶν πανηγύρεων δικαιώματα, τὰς ζητίας, τὰ κανονικὰ τῶν Ἐκκλησιῶν τε καὶ ἱερέων, καὶ εἴ τι τούτοις ὁμοιόν τε καὶ εἰθισμένον, καὶ τέλος συμβοηθεῖν αὐτῷ, καὶ συνεργεῖν ἐν οἷς χρῄζει πᾶσι, καθάπερ καὶ αὐτὸς ὅλος εἰς τὰς τοῦ λαοῦ χρείας ἐπιφέρεται· καὶ μηδεὶς τολμήσει κατ' οὐδὲν αὐτῷ ποτὲ ἀντιτάττεσθαι, ἢ ὧν ὀρθῶς ἐπιτρέπει καὶ προτρέπει παρακούειν, ὡς ἡμετέρῳ προσώπῳ, ἡ γὰρ πρὸς αὐτὸν γενομένη τιμὴ ἢ ἀτιμία πρὸς ἡμᾶς ἀναφέρεται· ὅθεν ὅστις ἂν ἐναντίος φανῇ αὐτῷ, ἢ, τὸ χεῖρον, ἐπίβουλος καὶ ἀποστροφῆς εἰς τοὺς ἄλλους αἴτιος, τῶν μὲν ἱερωμένων ὤν, ἀργὸς ἔστω πάσης ἧς ἔλαχεν ἱεροπραξίας,

λαϊκὸς δὲ ἢ μοναχὸς, ἀφωρισμένος εἴη, καὶ τὰ ἑξῆς· ὅθεν εἰς δήλωσιν καὶ ἀσφάλειαν πάντων, ἐγράφη καὶ τὸ παρὸν τῆς ἡμῶν μετριότητος, ὑπογραφὲν οἰκείᾳ χειρὶ, καὶ ἐπισφραγισθὲν τῇ συνήθει σφραγίδι εἰς πρᾶξιν, καὶ ἐπεδόθη τῷ διαληφθέντι.

Ἑτέρα πρᾶξις πρὸς τὸν αὐτὸν παρὰ τοῦ αὐτοῦ.

ΑΝΑΓΚΑΙΟΝ κυρίως ἐστὶ, τὸ μὴ δυνάμενον ἄλλως γίνεσθαι δήπουθεν· ἔνθεν τοι καὶ τοῖς εὐσεβῶς ἐπιγραφομένοις ἡμῖν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ σωτήριον ὄνομα, καὶ πρὸ πάντων καὶ ἐπὶ πᾶσιν ὁμολογουμένως ἀναγκαῖα πρὸς σωτηρίαν τυγχάνουσι τὰ πανάχραντα μυστήρια τῆς Καινῆς αὐτοῦ Διαθήκης, καὶ εὐαγγελικῆς ὑποτυπώσεως· οὐ δύναται γάρ τούτων χωρίς τις βασιλείας οὐρανῶν κληρονόμος καθίστασθαι, καὶ ἀξιωθῆναι τῆς ἀπολαύσεως τῶν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἅπερ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· ὁ γὰρ μὴ ἀναγεννηθεὶς ἐξ ὕδατος καὶ Πνεύματος, καὶ τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου μὴ ἐσθίων, καὶ τὸ αἷμα μὴ πίνων αὐτοῦ, ζωὴν οὐκ ὄψεται τὴν αἰώνιον, καθάπερ ἡμῖν εὐηγγελίσατο μόνος αὐτὸς ὁ τῆς ζωῆς χορηγός. Τούτων οὕτως ἐχόντων, ἡ θεία καὶ ἀγχίθεος ἱεραρχία, μεθ' ὅσης ὑπεροχῆς ἀναγκαιοτάτη πέφυκε πάντως τῷ χριστωνύμῳ πληρώματι, ἅτε κεφαλαιώδης πηγὴ τῶν αὐτῶν τοῦ Χριστοῦ μυστηρίων, ἐξ ἧς πηγάζει τὰ σωτήρια ταῦτα μέσα, δι' ὧν, πρὸς τὸ οἰκειότατον τέλος τῆς πνευματικῆς τελειότητος οἱ πιστοὶ διευθύνονται, ὅπερ ἐστὶν ἡ ἀπόλαυσις τῆς θείας μακαριότητος· ὅθεν καὶ ὡς ἔνθεος κλῆρος ὑπ' αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν διὰ τῶν ἱερῶν Ἀποστόλων ἀλληλοδιαδόχως ἐπεβραβεύθη τοῖς εὐσεβέσι, καὶ ἐδογματίσθη κανονικῶς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν, δηλονότι ὅπου σύστημα τῶν Χριστιανῶν ἐμφιλοχωρεῖ θείῳ νεύματι, κατὰ πᾶσαν ἀνάγκην ἀρχιερεῖς προκαθέζεσθαι τῶν ἁπανταχοῦ Ἐκκλησιῶν τοῦ Θεοῦ, τὴν ἀρχιερωσύνην ἐνεργοῦντας, προεξάρχοντάς τε τῆς ἱερᾶς χορείας, καὶ τοὺς βαθμοὺς τῶν λειτουργῶν τοῦ Θεοῦ τελεσιουργοῦντας κατὰ τάξιν ...

θείᾳ χάριτι, καὶ διὰ τῶν ἱερῶν πρὸς τὸ ἀΐδιον καὶ ἀνέσπερον φῶς τοὺς υἱοὺς τοῦ φωτὸς χειραγωγοῦντας. Οὕτωσὶ τοιγαροῦν ἁπανταχοῦ τῆς ἀρχιερατικῆς προστασίας ἀναγκαίας γνωριζομένης τοῖς ὀρθοδόξοις, ὅσα καὶ ψυχὴ τῷ σώματι πρὸς τὸ ζῆν ἀναγκαία καθέστηκε, δέον ἡμᾶς κατ' ὀφειλὴν ἀπαραίτητον, ἀγρύπνοις ὀμμάτων ἐπιβολαῖς, τὰς ἁπανταχοῦ Ἐκκλησίας, καὶ παροικίας, φημὶ, τὰς τελούσας ὑπὸ τὴν πρόνοιαν τοῦ καθ' ἡμᾶς τούτου πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου, μεθ' ὅσης ἐπιμελείας περισκέπτεσθαι, ὡς τὴν φροντίδα τούτων ἐγχειρισθέντας παρὰ Θεοῦ, καὶ τὸν ἄξιον ἑκάστης προστάτην προχειρίζειν, ὥστε μηδεμίαν αὐτῶν ἀπολείπεσθαι τῆς ἀρχιερατικῆς ἐπισκέψεως ἐστερημένην, καὶ τὸν ἐν αὐτῇ τοῦ Κυρίου λαὸν ζημιοῦσθαι τὰ καίρια, καὶ ψυχὰς κινδυνεύειν, ὧν οὐδ' ὅλως ὁ κόσμος ἀντάξιος. Ἐπειδὴ τοιγαροῦν καὶ τὰ νῦν τὴν ἁγιωτάτην μητρόπολιν δεῖνα, εὑρόντες χηρεύουσαν ἀρχιερέως γνησίου, ἅτε τοῦ ἐν αὐτῇ προαρχιερατεύσαντος δεῖνος πρὸς Κύριον ἐκδημήσαντος, οὐ δέον ἐκρίναμεν παριδεῖν ἀνεπίσκεπτον· ἀλλὰ φροντίδα καταβαλόντες, ἐπιστήσασθαι ταύτῃ τὸν ἀξίως ποιμάναι δυνάμενον πνευματικῇ ποιμαντορίᾳ τὸ ἐν αὐτῇ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, δεδώκαμεν ἄδειαν τοῖς ἐνδημοῦσιν ἐν Κωνσταντινουπόλει συναδελφοῖς ἡμῶν, ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, ψήφους ποιῆσαι κανονικὰς κατὰ τὴν ἐκκλησιαστικὴν ὑποτύπωσιν, δι' ὧν ὁ ἀναφανεὶς προτιμότερος χειροτονηθῇ ἐν αὐτῇ ἀρχιερεὺς καὶ προστάτης· καὶ τούτων συντελεσθεισῶν ὑπὸ τοῦ Ἡρακλείας κὺρ δεῖνος, τοῦ Νικομηδείας κὺρ δεῖνος, τοῦ Νικαίας κὺρ δεῖνος, τοῦ Ἀμασίας κὺρ δεῖνος, τοῦ Προύσης κὺρ δεῖνος, τοῦ Ἀθηνῶν κὺρ δεῖνος, τοῦ Μιτυλήνης κὺρ δεῖνος, τοῦ Μηθύμνης κὺρ δεῖνος, τοῦ Νεοκαισαρείας κὺρ δεῖνος, τοῦ Χίου κὺρ δεῖνος, τοῦ Δέρκων κὺρ δεῖνος, τοῦ Κρήτης κὺρ δεῖνος, τοῦ Σηλυβρίας κὺρ δεῖνος, καὶ τοῦ Προικοννήσου κὺρ δεῖνος· προεκρίθη καὶ προεξελέγη τῶν ἄλλων, εἰς διαδοχὴν τῆς ποιμαντικῆς αὐτῆς προστασίας, ὁ ὁσιώτατος πρωτοσύγκελλος τῆς ἁγιωτάτης μητροπόλεως δεῖνος, ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κὺρ δεῖνα, ἀνὴρ κόσμιος, πρᾳότητι καὶ σεμνότητι διαπρέπων, καὶ ἐξ ἁπαλῶν ὀνύχων τὸ ἀγγελι-

κὸν ἠμφιεσμένος σχῆμα, θεοσεβείᾳ τε τεθραμμένος, καὶ καλῶς τὰ θεῖα πεπαιδευμένος, καὶ πολιτείαν ἐνάρετον ἔχειν μεμαρτυρημένος, καὶ ἐμπρέπουσαν διαγωγὴν τῷ ἱερῷ καταστήματι, σωματικαῖς τε καὶ ψυχικαῖς ἀρεταῖς κεκοσμημένος, καὶ δυνάμενος πατρικαῖς νουθεσίαις, καὶ τῷ κατ' αὐτὸν ὑποδείγματι ποίμνιον ποιμαίνειν πνευματικὸν, καὶ πρὸς σωτηρίους διάγειν νομάς. Τοῦτον τοίνυν ἡ μετριότης ἡμῶν, τῇ δυνάμει καὶ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, ἀρχιερέα ἐχειροτόνησε, καὶ μητροπολίτην γνήσιον καὶ κανονικὸν ἀνέδειξε τῆς μητροπόλεως δεῖνος. Ὀφείλει μὲν οὖν ἤδη ὁ ἱερώτατος μητροπολίτης δεῖνος οὗτος, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Αἰγαίου Πελάγους, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ δεῖνα ἀπελθεῖν εἰς τὴν θεόθεν αὐτῷ λαχοῦσαν ταύτην μητρόπολιν, καὶ ταύτης ἐπιλαβέσθαι μετὰ πάντων τῶν ὑποκειμένων αὐτῇ χωρίων, καὶ τῶν ἐνοριῶν ἁπασῶν, καὶ ποιμαίνειν κανονικῶς τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, ποδηγετεῖν τε καὶ διδάσκειν τὸν ἐν αὐτῇ χριστώνυμον λαὸν ταῖς τε ἀπὸ γλώττης πατρικαῖς νουθεσίαις, καὶ ταῖς ἀπὸ τοῦ ἰδίου βίου χειραγωγίαις, ἀγρυπνεῖν τε ὑπὲρ αὐτοῦ, καὶ τῆς σωτηρίας αὐτοῦ φροντίζειν, καταρτίζων αὐτὸν διὰ τῆς θείας ἄνωθεν ἀντιλήψεως, καὶ τὰ πάντα τοῖς πᾶσι γινόμενος, κατὰ τὸ ἀποστολικὸν φάναι λόγιον, ἵνα πάντας ἢ τοὺς πλείονας κερδήσῃ, καὶ προσαγάγῃ Θεῷ λαὸν περιούσιον, καὶ εὐλογεῖν, καὶ ἁγιάζειν αὐτὸν, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὡς γνήσιος ἀρχιερεὺς αὐτῆς τῆς ἐπαρχίας καὶ μητροπολίτης κανονικὸς, ἀναγνώστας σφραγίζειν ἐν αὐτῇ, καὶ ἐν πάσῃ τῇ ἐνορίᾳ ταύτης ὑποδιακόνους χειροτονεῖν, καὶ διακόνους, καὶ εἰς τὸ τοῦ πρεσβυτέρου ἀξίωμα προβιβάζειν, πνευματικοὺς πατέρας ἐγκαθιστᾷν δι' οἰκείων ἐνταλμάτων, θείους τε καὶ ἱεροὺς ναοὺς καθιεροῦν ἐπὶ σταυροπηγίῳ τῷ ἑαυτοῦ, καὶ πάντα τἄλλα τὰ τοῖς ἀρχιερεῦσιν ἀνήκοντα διαπράττειν ἀναντιῤῥήτως, καὶ ἀνεμποδίστως, δεσπόζειν τε καὶ κυριεύειν ἁπάντων τῶν τῆς μητροπόλεως κτημάτων καὶ ἀφιερωμάτων, κινητῶν τε καὶ ἀκινήτων, ὡσαύτως καὶ τῶν ἐν αὐτῇ Ἐκκλησιῶν, καὶ ἐξουσιάζειν ἅπαντα,

κατὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας, καὶ ἐπιμελεῖσθαι τῶν πρὸς αὔξησιν αὐτῶν καὶ βελτίωσιν, ὀφειλόντων καὶ πάντων τῶν ἐν αὐτῇ τῇ ἐπαρχίᾳ εὑρισκομένων ἐντιμοτάτων κληρικῶν, εὐλαβεστάτων ἱερέων, χρησιμωτάτων ἀρχόντων, καὶ παντὸς τοῦ χριστωνύμου λαοῦ τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ τιμὴν καὶ εὐλάβειαν, φιλοφροσύνην τε καὶ δεξίωσιν, καὶ μνημονεύειν τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, ὡς νενόμισται, καὶ πείθεσθαι αὐτῷ, καὶ ὑπείκειν ὁλοψύχως, ἐφ' οἷς ἂν αὐτοῖς ἐπιτάττῃ θεαρέστοις ἐντάλμασι, πειθηνίως τε καὶ ἀλογοπραγήτως παρέχειν τὰ ἀνήκοντα αὐτῷ ἐκκλησιαστικὰ δικαιώματα, τὰ ἀπό τε κανονικῶν τῶν ἱερέων, *συνοικεσίων*, *πανηγύρεων*, ζητειῶν, καὶ τῶν λοιπῶν συνήθων τῷ τόπῳ, συντρέχειν τε καὶ βοηθεῖν αὐτῷ λόγῳ καὶ ἔργῳ, καὶ κατ' οὐδὲν ἀντιφέρεσθαι ἀτάκτως, ἡ γὰρ πρὸς αὐτὸν τιμὴ καὶ εὐλάβεια, πρὸς τὴν ἡμῶν ἀνάγεται μετριότητα, καὶ δι' αὐτῆς εἰς Θεὸν, οὗ τὸν τύπον ἔσχηκεν ὁ ἀρχιερεὺς ἐπὶ γῆς· ὃς δ' ἂν εὑρεθῇ παρὰ ταῦτα ποιῶν, καὶ κατά τι αὐτῷ ἐναντιούμενος, ὁ τοιοῦτος τῆς τε παρὰ Θεοῦ ὀργῆς καὶ ἀγανακτήσεως πειραθήσεται, καὶ παρὰ τῆς ἡμῶν μετριότητος βαρυτάτοις ἐπιτιμίοις καθυποβληθήσεται, ὡς ἀλαζὼν καὶ ἀνυπότακτος, καὶ καταφρονητὴς τῆς Ἐκκλησίας· ἐπὶ γὰρ τούτοις ἅπασιν ἀπολέλυται τῇ αὐτοῦ ἱερότητι καὶ ἡ παροῦσα πρᾶξις εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν.

Ἑτέρα πρᾶξις διδομένη ἀπὸ μητροπολίτου εἰς ἐπίσκοπον.

ἘΝ τοῖς τῶν Χριστιανῶν μυστηρίοις, ὅσα παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ νενουθέτηται καὶ τῶν αὐτοῦ αὐτοπτῶν καὶ μαθητῶν εἰς σύστασιν τοῦ χριστιανικοῦ πολιτεύματος, καὶ καταρτισμὸν εὐσεβῶς τοῦ χριστωνύμου πληρώματος, ἡ ἱερωσύνη πάντων ἀσυγκρίτως ὑπέρκειται· δι' αὐτῆς γὰρ οὐ μόνον τἆλλα τελεσιουργεῖται μυστήρια, ἀλλὰ καὶ ἀγγελικῶς ἐπὶ γῆς οἱ ἄνθρωποι πολιτεύονται, καὶ πρὸς οὐρανὸν ἄρδην ἀνίπτανται, τῇ θεοβραβεύτῳ αὐτῆς τελεσιουργίᾳ καὶ χάριτι· κἀνταῦθα γὰρ ἡ τοιαύτη ἱεραρχία μυστικῶς πως τὴν οὐράνιον μιμεῖται ἱεραρ-

χίαν εἰς τρισσὰς τρισσουμένην στάσεις ἢ τάξεις, ἢ ὅπως ἂν ἄλλως ἐξονομάσειας. Τοιγάρτοι τοσοῦτον οὔσης χρήματος ἀναγκαιοτάτου τῆς ἱερωσύνης τῇ ἐν παρόδῳ ταύτῃ τῶν Χριστιανῶν Ἐκκλησίᾳ, ἡ ταπεινότης ἡμῶν, ἅτε τὴν πνευματικὴν προστασίαν πνευματικῶς τῆς ἁγιωτάτης μητροπόλεως δεῖνος κληρωθεῖσα, καὶ χρέος ἀπαραίτητον σχοῦσα ἀγρύπνοις ὄμμασιν ἐνατενίζειν πάντη καὶ πάντως, ἐφ' ὅσον τὰ αὐτῆς ἐκτείνεται ὅρια, ὥστε μηδεμίαν τῶν ὑποκειμένων αὐτῇ ἐπισκοπῶν ἐν στερήσει καθίστασθαι τῆς πνευματικῆς ταύτης καὶ χριστοδότου χάριτος, ἔγνω τὴν ἐπισκοπὴν δεῖνα, ἄνευ γνησίου προστάτου καὶ κηδεμόνος ἐναπολειφθεῖσαν, μὴ παριδεῖν ἀνεπίσκεπτον, ὡς τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος, καὶ πνευματικῶς προϊσταμένου κὺρ δεῖνος, δι' αἰτίας, ἃς αὐτὸς καθ' αὐτὸν οἶδε, παραίτησιν οἰκειοθελῆ καὶ ἀβίαστον ποιησαμένου. Καὶ δὴ ψήφων κανονικῶς γεγενημένων κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, (ἀδείᾳ τοῦ παναγιωτάτου καὶ λογιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου δεῖνος, διὰ τὸ διατρίβειν ἡμᾶς ἐν τῇ βασιλευούσῃ,) ἐπὶ ἐκλογῇ προσώπου ἀξίου καὶ ἁρμοδίου τῇ ἐπισκοπῇ ταύτῃ, ὥστε κατασχεῖν τὴν πνευματικὴν ταύτης ῥάβδον, καὶ τὴν πνευματικὴν διοίκησιν τῶν ἐν αὐτῇ Χριστιανῶν ἐγχειρισθῆναι, εὑρέθη, καὶ ἐξελέγη, καὶ τῶν ἄλλων προτετίμηται ὁ ὁσιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κὺρ δεῖνα, ὅστις κεχειροτόνηται παρ' ἡμῶν, συλλειτουργούντων ἡμῖν τῶν πανιερωτάτων τοῦ τε δεῖνος, καὶ δεῖνος, καὶ ἀποκατέστη γνήσιος καὶ νόμιμος καὶ κανονικὸς ἐπίσκοπος δεῖνος, καὶ ἀπεδείχθη ἀρχιερεὺς καὶ προστάτης. Ὀφείλει τοιγαροῦν ὁ διαληφθεὶς αὐτὸς θεοφιλέστατος ἐπίσκοπος Κυδωνίας κὺρ δεῖνα, ἀπελθεῖν εἰς τὴν θεόθεν κληρωθεῖσαν αὐτῷ ἐπισκοπὴν, καὶ ἐπιλαβέσθαι ταύτης, καὶ πάσης τῆς ὑποκειμένης ἐν αὐτῇ ἐνορίας, καὶ εὐλογῆσαι, καὶ ἁγιάσαι πάντας τοὺς ἐν αὐτῇ Χριστιανοὺς, καὶ διδάξαι, καὶ νουθετῆσαι αὐτοὺς τὰ θεοφιλῆ καὶ σωτήρια δόγματά τε καὶ διδάγματα, οὐ μόνον ταῖς ἀπὸ γλώττης νουθεσίαις, ἀλλὰ πολλῷ μᾶλλον ταῖς ἀπὸ τοῦ ἰδίου βίου χειραγωγίαις τε καὶ ὁδηγίαις, τοῖς πᾶσι τύπος τῆς χριστιανικῆς πολιτείας γινόμενος, ἵνα τοὺς πάντας ἢ τοὺς

πλείους κερδήσῃ, κατὰ τὸν θεῖον Ἀπόστολον, καὶ προσάξῃ Χριστῷ, ὡς ὑπέσχετο, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελέσαι μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὡς γνήσιος ἀρχιερεὺς τῆς ἐπισκοπῆς ταύτης, ἀναγνώστας σφραγίζειν, διακόνους χειροτονεῖν, καὶ εἰς τὸ τῶν πρεσβυτέρων ἀξίωμα προβιβάζειν, μοναχούς τε καὶ μοναζούσας κείρειν, πνευματικοὺς πατέρας ἐγκαθιστᾷν δι' οἰκείων ἐνταλμάτων, ναοὺς καθιεροῦν ἐπὶ σταυροπηγίοις ἰδίοις, καὶ πάντα τἄλλα ἀρχιερεῦσιν ἀνήκοντα ἐκτελεῖν, καὶ τῶν τῆς ἐπισκοπῆς ταύτης Ἐκκλησιῶν καὶ μοναστηρίων ἐξουσιάζειν, καὶ πάντων τῶν τῆς ἐπισκοπῆς κτημάτων, καὶ ἀφιερωμάτων, κινητῶν τε καὶ ἀκινήτων, ὡς γνήσιος ἀρχιερεὺς ταύτης, καὶ ποιμὴν, καὶ προστάτης· ὀφειλόντων καὶ πάντων τῶν ἐν αὐτῇ τῇ ἐπαρχίᾳ εὑρισκομένων ἐντιμοτάτων κληρικῶν, εὐλαβεστάτων ἱερέων, χρησιμωτάτων ἀρχόντων, καὶ παντὸς τοῦ χριστωνύμου λαοῦ, τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ τιμὴν καὶ εὐλάβειαν, φιλοφροσύνην τε καὶ δεξίωσιν, καὶ μνημονεύειν τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, ὡς νενόμισται, καὶ πείθεσθαι αὐτῷ, καὶ ὑπείκειν ὁλοψύχως, ἐφ' οἷς ἂν αὐτοῖς ἐπιτάττῃ θεαρέστοις ἐντάλμασι, πειθηνίως τε καὶ ἀλογοπραγήτως παρέχειν τὰ ἀνήκοντα αὐτῷ ἐκκλησιαστικὰ δικαιώματα, τὰ ἀπό τε κανονικῶν τῶν ἱερέων, συνοικεσίων, πανηγύρεων, ζητιῶν, καὶ τῶν λοιπῶν συνήθων τῷ τόπῳ, συντρέχειν τε καὶ βοηθεῖν αὐτῷ λόγῳ καὶ ἔργῳ, καὶ κατ' οὐδὲν ἀντιφέρεσθαι ἀτάκτως· ἡ γὰρ πρὸς αὐτὸν τιμὴ καὶ εὐλάβεια πρὸς τὴν ἡμῶν ἀνάγεται ταπεινότητα, καὶ δι' αὐτῆς εἰς Θεὸν, οὗ τὸν τύπον ἔσχηκεν ὁ ἀρχιερεὺς ἐπὶ γῆς· ὃς δ' ἂν εὑρεθῇ παρὰ ταῦτα ποιῶν, καὶ κατά τι αὐτῷ ἐναντιούμενος, ὁ τοιοῦτος τῆς τε παρὰ Θεοῦ ὀργῆς καὶ ἀγανακτήσεως πειραθήσεται, καὶ παρὰ τῆς ἡμῶν ταπεινότητος βαρυτάτοις ἐπιτιμίοις καθυποβληθήσεται, ὡς ἀλαζὼν καὶ ἀνυπότακτος, καὶ καταφρονητὴς τῆς Ἐκκλησίας. Ἐπὶ γὰρ τούτοις ἅπασιν ἀπολέλυται τῇ αὐτοῦ θεοφιλείᾳ καὶ ἡ παροῦσα πρᾶξις, εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν.

ΠΑΤΡΙΑΡΧΙΚΟΝ,

Τοῖς ὁσιωτάτοις ἐπισκόποις, θεοσεβεστάτοις πρεσβυτέροις, θεοφιλεστάτοις διακόνοις, καὶ παντὶ τῷ εὐαγεῖ κλήρῳ· τοῖς ἐνδοξοτάτοις καὶ λαμπροτάτοις κτήτορσι καὶ οἰκήτορσι τῆς θεοσώστου πόλεως τῆς δεῖνα(1).

Ο ΤΗΣ πνευματικῆς ἀκολουθίας ὅρος καὶ νόμος, ταῖς εὐαγγελικαῖς καὶ ἀποστολικαῖς ἰθυνόμενος χάρισι, τοὺς τὴν ἱερὰν ἀξίαν κοσμεῖν ἠξιωμένους, ἐν ἀξιολόγῳ καὶ ἀνεπιλήπτῳ τηρεῖν βούλεται καταστήματι· ὡς ἂν τὸ τῆς Ἐκκλησίας καὶ πολιτείας εὐαγῶς διακυβερνώμενον πλήρωμα, ἐν ἀκυμάντῳ καὶ εἰρηναίᾳ γαλήνῃ θεοπρεπῶς διεξάγηται, καὶ πᾶσα δογμάτων ἀλλοφύλων ἀποκρούηται ζήτησις καὶ ζάλη, καὶ τῶν ἐπανισταμένων λαιλάπων ἐκ πολεμίας αἱρέσεως διασκεδάζηται ζοφώδης σκοτόμηνα· τοιοῦτον γὰρ εἶναι δεῖ τὸν λαοῦ προστησόμενον, καὶ ἀνθεξόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, καὶ ὀφθαλμὸν, καὶ ἀκοὴν, καὶ χεῖρα, καὶ πόδα τῆς ποίμνης, πρὸς ὁδηγίαν μὲν καὶ φυλακὴν τῶν κρειττόνων, ἀποχὴν δὲ καὶ ἀνατροπὴν τῶν ἐναντίως καὶ ἑτέρως ἐχόντων ἐσόμενον. Ἐπεὶ οὖν ἐν στερήσει ποιμένος τὴν καθ' ὑμᾶς εὐαγεστάτην ποίμνην ἐπέγνωμεν διαμένουσαν, τοῦ προποιμάναντος ἤδη πρὸς τὴν ἐκεῖσε λῆξιν ἀπάραντος, καὶ πρὸς τὰς ἐκεῖ μονὰς εἰσελάσαντος, οὐκ ᾠήθημεν δεῖν ἐπὶ πολὺ χηρεύουσαν καὶ ἄνανδρον καθῆσθαι τὴν καθ' ὑμᾶς Ἐκκλησίαν, τοῦ διεξάγοντος ἔρημον· ὅθεν ἐκλεξάμενοι τὸν δεῖνα τὸν θεοσεβέστατον πρεσβύτερον, ἐπικλήσει τοῦ προανάρχου Πατρὸς, καὶ ἐπινεύσει τοῦ συνανάρχου Υἱοῦ, καὶ συνεργείᾳ τοῦ ὁμοουσίου καὶ ἡγεμονικοῦ Πνεύματος, ὡς ἐλάχιστοι καὶ ἀνάξιοι, χεῖρα ἐπιθέντες, καὶ ἱερωνύμως τὰ κατ' αὐτὸν ἐκτελέσαντες, ἀρχιερέα τῆς θεοσώστου ὑμῶν ἀνηγορεύσαμεν πόλεως. Ἄσμενοι οὖν, καὶ γηθόσυνοι, καὶ ὅλῃ ψυχῇ καὶ διανοίᾳ τοῦτον εἰσδέξασθε, καὶ ὡς πατέρα αἰδέσθητε, καὶ ὡς ποιμένα ὁμοψύχως ἐπίγνωτε, καὶ ὡς ὁδηγῷ πρὸς σωτηρίαν ἐλαύνοντι ἐπακολουθήσατε, καὶ ὡς ἴδιον θήραμα περιθάλψατε, καὶ ὡς τάξιν υἱῶν παρ' αὐτῷ φέ-

(1) Ἐκ τοῦ Λεύγκλ. Μέρ. Α'. σελ. 426.

ροντες ὑποτάγητε· γινώσκοντες, ὡς, κατὰ Παῦλον, τὸν μέγαν διδάσκαλον, ἀκοιμήτοις ὀφθαλμοῖς ἐπαγρυπνήσει, καὶ τῆς ψυχικῆς ὑμῶν σωτηρίας ἐπιεικῶς προνοήσεται· καὶ γὰρ δι' αὐτοῦ ἐλπὶς ἡμῖν βεβαία ἐστὶ, τὰ κράτιστα παρὰ Θεῷ καὶ σωτηρίας ἐχόμενα ὑμᾶς λήψεσθαι. Εἰ γὰρ αὐτῷ τὸ οὖς ὑμῶν ὑποκλίνοιτε, καὶ τοῖς ὑπ' αὐτοῦ λεγομένοις προσέχοιτε, τῶν ἐλπιζομένων ἀγαθῶν ἐπιτεύξοισθε, καὶ τῶν ἐκεῖθεν ἀμοιβῶν αὐτῷ συμμετάσχοιτε. Πρὸ δὲ τούτων, καὶ διὰ πάντων, δεήσεις ἐκτενεῖς καὶ ἐντεύξεις διηνεκεῖς ὑπὲρ τοῦ σωτηρίου κράτους τῶν ἐκ Θεοῦ προλαμπόντων μεγάλων βασιλέων ἡμῶν ποιεῖσθαι μὴ διαλίποιτε· ὅπως Κύριος ὁ Θεὸς ὁ στέψας, καὶ συμμαχῶν, καὶ νικητικαῖς εὐημερίαις τὴν γαλήνιον κεφαλὴν αὐτῶν στέφων, ἐπὶ πλεῖον καὶ πλεῖον ταῖς κατ' ἐχθρῶν ἀνυψώσεως προκοπαῖς, φρουρῶν καὶ διαφυλάττων ἀδιάδοχον τὸ στέφος αὐτῶν, εἰς παντὸς τοῦ κόσμου σωτηρίαν καὶ εὐόδωσιν· μεμνημένοι καὶ τῆς ἡμῶν, ὡς εἰκὸς, μετριότητος. Πρὸς δὲ τὴν τοῦ προκεχειρισμένου ὑμῶν ἀρχιερέως ἐν τῇ ποίμνῃ ἀποκατάστασιν, καὶ πρὸς τὸν ἱερὸν θρόνον καθίδρυσιν, τὸν εὐλαβέστατον τὸν δεῖνα ἀπεστείλαμεν, ὥστε τὸ τοιοῦτον ἔργον ἱεροπρεπῶς ἐκτελέσαντα, πρὸς ἡμᾶς εὐκαίρως παλινδρομῆσαι. Ὁ δὲ παντοκράτωρ καὶ μόνος Θεὸς ἡμῶν, ὁ ἐν τριάδι ὑποστάσεων, καὶ ἐν μονάδι οὐσιότητος προσκυνούμενος, ὁ τὰ διεστῶτα συνάγων, καὶ τὰ πόρρω ἐγγίζειν ποιῶν, ὁ καὶ τῆς ἡμετέρας ποίμνης τὸ λεῖπον ἀνασωσάμενος, εὐλογῶν εὐλογήσει, καὶ πληθύνων πληθυνεῖ, καὶ αὔξων ὑπεραυξήσει τοὺς οἴκους ὑμῶν, τά τε γεννήματα, καὶ διαφέροντα ὑμῖν, φιλανθρώπως συμποιμαίνων τῷ ποιμένι ὑμῶν, καὶ συνεκτρέφων ὑμᾶς ἐπὶ νομὰς ζωηφόρους, καὶ ἐφ' ὕδωρ ψυχικῆς ἀναπαύσεως. Ἀμήν.

ΣΗΜΕΙΩΜΑΤΑ ΥΠΟΜΝΗΜΑΤΩΝ

Η περὶ ψήφων (1).

Της ἁγιωτάτης μητροπόλεως Καισαρείας τῆς Παλαιςίνης, γνησίου ποιμένος ὑςερουμένης, φροντὶς γέγονεν οὐκ ὀλίγη τῷ μακαριωτάτῳ, σοφωτάτῳ, καὶ ἡμετέρῳ αὐθέντῃ καὶ δεσπότῃ, πατρὶ καὶ πατριάρχῃ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιςίνης, Κυρίῳ Κυρίῳ Δοσιθέῳ, καὶ πάσῃ τῇ κατ᾽ αὐτὸν συνόδῳ καὶ ἀδελφότητι, ἵνα μὴ μένωσιν οἱ ἐν ταύτῃ τῇ μητροπόλει ὀρθόδοξοι Χριστιανοὶ δίχα γνησίου ποιμένος· καὶ δὴ κελεύσει τῆς ἁγίας αὐτοῦ μακαριότητος συνήχθημεν ἡμεῖς οἱ παρευρεθέντες ἀρχιερεῖς ἐν τῷ πατριαρχικῷ θείῳ ναῷ τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου καὶ πρώτου ἱεράρχου τῶν Ἱεροσολύμων, καὶ ψήφους κανονικὰς ποιήσαντες εἰς ἐκλογὴν προσώπου τοῦ ἀρχιερατεύσοντος ἐν αὐτῇ, πρῶτον μὲν ἐθέμεθα τὸν ὁσιώτατον ἱερομόναχον καὶ ἀρχιμανδρίτην κὺρ δεῖνα, δεύτερον τὸν ὁσιώτατον ἱερομόναχον καὶ ἀρχιμανδρίτην κὺρ δεῖνα, καὶ τρίτον τὸν ὁσιώτατον ἱερομόναχον καὶ πρωτοσύγκελλον κὺρ δεῖνα. Ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν ἐγράφη καὶ τὰ ὀνόματα αὐτῶν, καὶ κατεστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδικι τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ τούτου θρόνου, κατὰ τὸ αʹφϐʹ. ἔτος τῆς τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν ἐπιφανείας, μηνὶ Ἀπριλλίῳ.

Ἕτερον.

Της ἁγιωτάτης μητροπόλεως Φιλιππουπόλεως, γνησίου δίχα ἀρχιερέως ἐναπομεινάσης, ὡς τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος Διονυσίου τελείᾳ καθαιρέσει καθυποβληθέντος, ὡς ἀντικρὺ φαίνεται, ἡμεῖς οἱ παρευρεθέντες ἀρχιερεῖς, προτροπῇ τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Ἰωαννικίου, εἰσήλθομεν ἐν τῷ πατριαρχικῷ θείῳ ναῷ τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου, τοῦ ἐν τῷ Διπλοφαναρίῳ, καὶ ψήφους κανονικάς, καὶ τὰ λοιπά.

---

(1) Αἱ περὶ ψήφων ἑξῆς πέντε πράξεις ἐλήφθησαν ἐκ τοῦ Συνταγμ. τοῦ Χρυσ. φιλ. κθʹ.

Ἕτερον.

Τῆς ἁγιωτάτης μητροπόλεως, καὶ τὰ ἑξῆς, ὡς τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος κὺρ δεῖνος παραίτησιν πεποιηκότος τῆς αὐτῆς ἐπαρχίας, καὶ μεταβάντος πάλιν εἰς τὴν ἐπαρχίαν αὐτοῦ Σοφίας, ἧς παρῃτήσατο πρότερον, καὶ ἐπαναλαβόντος αὐτὴν πρὸς κυβέρνησιν αὐτῆς, ἅτε τοῦ προστατεύοντος αὐτῆς ἀδοκίμου φανέντος Μελετίου, καὶ ἐκβληθέντος ταύτης συνοδικῇ ἀποφάσει, ἡμεῖς οἱ παρευρεθέντες κτλ.

Ἕτερον.

Ἐπειδὴ ἡ ἀρχιεπισκοπὴ δεῖνα σχολάζει σχεδὸν ἀρχιερατικῆς προστασίας χρόνοις ἱκανοῖς, ὡς τοῦ ἐν αὐτῇ ἀρχιερατεύσαντος δεῖνος παραλυσίας πάθει κατασχεθέντος, καὶ ἐν ἀκινησίᾳ σωματικῇ τυγχάνοντος, δι' ἧς ἀδυνάτως ἔχει ἐνεργεῖν τὰς ἀνηκούσας τοῖς ἀρχιερεῦσιν ἐκκλησιαστικὰς τελετάς, οὔτε γὰρ μυσταγωγίαν, οὔτε χειροτονίαν ἐπιτελεῖν δύναται· οὔτε ἁγιασμόν, οὔτε ἄλλο τι τῶν ἀρχιερατικῶν χαρισμάτων παρέχειν ἰσχύει τῷ ὑπ' αὐτὸν λογικῷ τοῦ Χριστοῦ ποιμνίῳ, ἀλλὰ φαίνεται μὲν κατὰ παρουσίαν σωματικὴν ἀναπληροῦν τόπον ἀρχιερέως, οὐκ ἔστι δὲ κατ' ἐνέργειαν, οὔτε ἀληθεύει σχεδὸν τὸ εἶναι αὐτοῦ, ἕκαστον γὰρ τῶν πραγμάτων ἐξ ἰδίας ἐνεργείας ἔχει τὸ εἶναι· αὐτὸς μέντοι ζῶν λογίζεται, ἀλλὰ ζῶν νεκρός ἐστι, καὶ ἀνωφελὴς κατὰ τὴν ἐπαγγελίαν τῆς ἀρχιερωσύνης· τούτου χάριν, τῆς ψυχικῆς σωτηρίας φροντίζοντες τῶν τῆς ἐπαρχίας ἐκείνης Χριστιανῶν, ὁ παναγιώτατος δηλαδὴ ἡμῶν αὐθέντης καὶ δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης κύριος κύριος δεῖνα, μετὰ τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου, ἔγνωσαν διὰ συνοδικῆς γνωμοδοτήσεως, τὸν μὲν δεῖνα αὐτὸν μετακινηθῆναι τῆς ἀρχιεπισκοπῆς ταύτης, καὶ ἡσυχάζειν ἀπραγμόνως, ἕτερον δὲ ἀντ' ἐκείνου χειροτονηθῆναι νομίμως, τοῦ ἐπιλαμβάνεσθαι τῆς αὐτῆς ἐπαρχίας, καὶ ποιμαίνειν ἀρχιερατικῶς τὸ ἐν αὐτῇ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, ὅπως μὴ ἐστερημένον ὑπάρχῃ ἀρχιερατικῆς εὐλογίας· καὶ δὴ προτροπῇ τῆς αὐτοῦ παναγιότητος ἡμεῖς οἱ παρευρεθέντες, κτλ.

Ἕτερον.

ΟΥΔΕΜΙΑ τῶν ὑποθέσεων δύναται εἶναι ἀρχῆς δίχα· ἡ γὰρ ἀρχὴ ἐστὶ ῥίζα καὶ πηγὴ τοῦ ὅλου. Ἐπειδὴ λοιπὸν τοῦ οἰκουμενικοῦ καὶ ὑψηλοτάτου θρόνου τῆς Κωνσταντινουπόλεως μεμενηκότος ἀμοίρου ἀρχῆς καὶ ποιμένος, ἅτε τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος κυρίου δεῖνος πρὸς Κύριον ἐκδημήσαντος, συνήχθημεν ἡμεῖς οἱ παρευρεθέντες ἀρχιερεῖς ἐν τῷ πατριαρχείῳ, ἐν τῷ πανσέπτῳ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου, τοῦ ἐν τῷ Διπλοφαναρίῳ, καὶ ψήφους κανονικάς, καὶ τὰ ἑξῆς.

Ἕτερον (1).

Ο ΜΕΝ θαυμάσιος Σολομὼν ἐκεῖνος, ᾧ χῦμα παρὰ Θεοῦ σοφίας δεδώρηται, σὺν ἀληθείᾳ πάντα φθεγξάμενος φαίνεται, ἅτε τῷ θείῳ ἐνηχούμενος Πνεύματι· τὸ δὲ ῥηθὲν ἐν τῇ ἐπιγραφομένῃ βίβλῳ Σοφίας αὐτῷ, ὅλην ἔχει τῆς ἀληθείας τὴν ἐπίνοιαν· Αὕτη γάρ, περὶ τῆς θείας λέγων Σοφίας, τοὺς ἀξίους αὐτῆς περιέρχεται ζητοῦσα, φησί (2). Τῳόντι ἡ μὲν Σοφία Θεοῦ εὗρε τὸν ἄξιον ἑαυτῆς· ἡμεῖς δὲ συνελθόντες ἐπὶ προχειρίσει ἀρχιεπισκόπου τῆς καθ' ἡμᾶς μεγάλης Ἐκκλησίας, οὐ πρὸ πολλῶν χηρευσάσης τῶν ἡμερῶν, καὶ εὑρόντες τὸν ἐν ἐπισκόποις πανιερώτατον καὶ πρωτόθρονον κὺρ δεῖνα, θεοπρόβλητον οἱονεί, ὑπὸ τῆς τοῦ Θεοῦ [Σοφίας] διὰ τὴν τῆς ποιμαντικῆς ἐπιστήμην ἐκλεγέντα, ὡς εἴρηται, εἶτα δὲ καὶ ὑπὸ τῶν θεοφιλεστάτων κληρικῶν τῆς αὐτῆς ἁγιωτάτης Ἐκκλησίας διὰ τὰς αὐτοῦ ἀρετὰς ψηφισθέντα· ναὶ δὴ καὶ τῶν τιμιωτάτων ἀρχόντων τῆς αὐτῆς πόλεως, γράμματι ταῖς αὐτῶν ὑπογεγραμμένῳ χερσί, καὶ σιγιλλίῳ τῷ συνήθει (3) ὑποσεσημασμένῳ διὰ τὸ ἀναντίῤῥητον· ταῦτ' οὖν εὑρηκότες, καὶ μήτε ἐπὶ τῇ ἄνωθεν αὐτοῦ προχειρίσει ἀντιστατεῖν δυνάμενοι· πῶς γάρ; μήτε ταῖς τῶν τοσούτων καὶ τηλικούτων ἀνδρῶν τιμίων καὶ εὐλαβῶν ψήφοις

---

(1) Ἡ παροῦσα πρᾶξις περὶ ψήφων τῆς πρώτης Ἰουστινιανῆς εὕρηται ἐν τῷ Χειρ. Γ. — (2) Σοφ. Σολ. ς', 16. — (3) Ἐνταῦθα ὑπάρχει κενὸν ἐν τῷ Χειρ. Γ. ἴσως, διὰ κηροῦ.

ἐναντιούμενοι, πεπειραμένων ὄντων κατὰ πάντα τῆς τοῦ ἀνδρὸς ἀρετῆς, σύμψηφοι τούτοις καὶ ὁμογνώμονες περιχαρῶς γιγνόμεθα καὶ αὐτοὶ, προχειριζόμεθα θείᾳ χάριτι, καὶ προβιβάζομεν τὸν αὐτὸν κὺρ δεῖνα, ἀπὸ ποιμένος τοῦ πρὶν ὄντος εἰς ἀρχιποίμενα, ἀπὸ ἐπισκόπου δηλαδὴ δεῖνα τόπου, εἰς ἀρχιεπίσκοπον τῆς πρώτης Ἰουστινιανῆς, εἰς τὸ εἶναι, καὶ ὀνομάζεσθαι παρὰ πάντων τοῦτον ἀντὶ πανιερωτάτου, παναγιώτατον· οὐ μὴν δὲ, ἀλλὰ καὶ πάντα τὰ προνόμια ἔχειν τε καὶ κεκτῆσθαι, ὅσα δὴ καὶ οἱ πρὸ αὐτοῦ εἶχον ἀρχιεπίσκοποι, καὶ ποιμαίνειν οὐ μόνον τὴν κατ' αὐτὸν Ἐκκλησίαν, (τοῦτο γὰρ καὶ τοῖς ἄλλοις ἐπισκόποις πᾶσίν ἐστιν ὀφειλόμενον,) ἀλλὰ δὴ καὶ τὰς ὑπ' αὐτὸν, καὶ τοὺς ποιμένας αὐτῶν, ἡμᾶς δηλονότι, ὅσοι ὑπὸ τὴν τῆς μεγάλης Ἐκκλησίας ἐσμὲν ἐπίσκοποι ἐξουσίαν καὶ κυριότητα ἄνωθεν· οἵπερ καὶ ὀφείλομεν ἀπονέμειν αὐτῷ, ὡς κοινῷ πατρὶ καὶ ἡμῶν ἀρχηγῷ, ὑπακοὴν, αἰδῶ, καὶ εὐλάβειαν, ὅσα πατράσι φιλοστόργοις παρ' εὐγνωμόνων παίδων, καὶ παρὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων τῷ ἀρχιεπισκόπῳ ὀφείλεται, εἰς δόξαν Χριστοῦ, καὶ τῆς αὐτοῦ Ἐκκλησίας καταρτισμὸν, καὶ τῆς ἡμετέρας εὐσεβείας τε καὶ πίστεως σύστασιν· καὶ οὕτως ἐπικυροῦντες ὑπογράφομεν εἰς βεβαίωσιν.

—

Η ΠΑΡΑ ΤΩΝ ΘΕΟΦΙΛΕΣΤΑΤΩΝ
Μητροπολιτῶν καὶ ἀρχιεπισκόπων συνήθως ἐν τῷ καιρῷ τῆς χειροτονίας γινομένη τοῦ συμβόλου ἀσφάλεια (1).

ΠΙΣΤΕΥΩ εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν, ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου,

(1) Ἐκ τοῦ Δοσιθ. Μέρ. Α΄. σελ. 440—441.

καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν· εἰς μίαν ἁγίαν Καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν· ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος, ἀμήν. Πρὸς τούτοις ἀποδέχομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, αἵτινες ἐπὶ φυλακῇ τῶν σεπτῶν δογμάτων συνηθροίσθησαν, καθομολογῶν τοὺς ὑπ' αὐτῶν διωρισμένους στέργειν καὶ φυλάττειν κανόνας, καὶ τὰς ἁγίας διατάξεις, ὅσαι τοῖς ἱεροῖς ἡμῶν Πατράσι κατὰ διαφόρους καιροὺς καὶ χρόνους ἐτυπώθησαν, πάντας οὓς ἀποδέχονται συναποδεχόμενος· καὶ οὓς ἀποστρέφονται, συναποστρεφόμενος· ἔτι καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὁμολογῶ διαφυλάττειν, καὶ κατ' οὐδένα τρόπον ἐναντία αὐτῆς φρονεῖν διὰ βίου παντὸς, κατὰ πάντα ἑπόμενος καὶ συμφωνῶν Νικολάῳ τῷ ἁγιωτάτῳ καὶ οἰκουμενικῷ πατριάρχῃ· προσεπαγγέλλομαί τε ἐν φόβῳ Θεοῦ καὶ θεοφιλεῖ γνώμῃ, τὴν ἐγχειρισθεῖσάν μοι ποίμνην ἰθύνειν, πάσης πονηρᾶς ὑπολήψεως καθαρὸν ἐμαυτὸν συντηρῶν, ὅσον μοι περίεστι δύναμις. Ἐγράφη ταῦτα διὰ χειρὸς ἐμοῦ αὐτοῦ τοῦ δεῖνα πρεσβυτέρου καὶ ὑποψηφίου τῆς θεοσώστου πόλεως τῆς δεῖνα, μηνί. . . . καὶ ἐπινεμήσει.

ΕΥΧΗ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗ ΕΝΩΠΙΟΝ ΒΑΣΙΛΕΩΣ

Παρὰ μητροπολίτου ἄρτι χειροτονηθέντος.

Ο ΘΕΟΣ ὁ ἅγιος, ὁ ἐκ τῆς αὐτοῦ ἐξαιρέτου κληρονομίας, ἐξ αὐτῆς νηδύος μητρικῆς ἐκλεξάμενός σε εἰς βασιλέα τοῦ χριστιανικοῦ παντὸς πληρώματος καὶ συστήματος, καὶ ἐπὶ τὴν

θείαν καὶ ἱερὰν σὴν κεφαλὴν στέφανον θεὶς ἐκ λίθων τιμίων κατεσκευασμένον, καὶ ταύτην ἐλαίῳ χρίσας ἁγίῳ αὐτοῦ, αὐτὸς ὁ μόνος ἀγαθὸς, ἐν ἐλέει καὶ ἀβύσσῳ χρηστότητος πλούσιος, θεόστεπτε, θεοφρούρητε, βασιλεῦ ἅγιε, ὁ καὶ ἐκ τοῦ αὐτοῦ περιουσίου λαοῦ λαβὼν ἀρχιερεῖς τε καὶ ἱερεῖς, ὡς ἂν ὑπὲρ ἐλέους, ζωῆς, νίκης, διαμονῆς, εἰρήνης, ὑγιείας, καὶ σωτηρίας τοῦ φιλοχρίστου κράτους ὑμῶν, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων τὰς ἀναιμάκτους αὐτῷ θυσίας προσφέροιεν, ἐπακούσοι κἀμοῦ τοῦ ταπεινοῦ ἐν τῇ ὥρᾳ ταύτῃ τῆς παρούσης εὐχῆς, καὶ στήσοι τοὺς βασιλικούς σου θείους πόδας ἐν εὐρυχώρῳ, ὑποτάξας πάντα τὰ ἀλλόφυλα καὶ βάρβαρα ὑπ' αὐτοὺς ἔθνη, καὶ ὡσεὶ χοῦν κατὰ πρόσωπον ἀνέμου αὐτὰ λεπτύναι, καὶ τοὺς ἐχθρούς σου ἐξολοθρεύσειεν· ἵνα ἐν εἰρήνῃ βαθείᾳ, τὸ τῆς σῆς κληρονομίας ὑπήκοον σχοίνισμα, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα, βασιλικῶς τε καὶ μεγαλοπρεπῶς διϊθύνοις, καὶ εὐχαριστηρίους ἀναπέμποις φωνὰς τῷ Θεῷ, ὃς ἡμέραν ἐφ' ἡμέρας τῆς κραταιᾶς καὶ ἁγίας σῆς βασιλείας προσθήσοι, καὶ ἔτη τὰ σὰ συντηρήσειεν ἕως γενεᾶς καὶ γενεᾶς, καὶ βασιλεύειν εὐδοκήσειε μέχρι τερμάτων τοῦ παρόντος αἰῶνος, ἀλληλοδιάδοχον διατηρῶν εἰρηνικῶς σπέρμα τὸ σόν. Ναὶ μὴν γένοιτο, γένοιτο, Θεὲ παντοκράτορ, καὶ σὺν τῇ ἐπιγείῳ ταύτῃ βασιλείᾳ, καὶ τῆς ἐπουρανίου σῆς αὐτὸν ἀξιώσειας βασιλείας· ὅτι καὶ πᾶν δώρημα τέλειον παρὰ σοί ἐστι τῷ μόνῳ Θεῷ, τῷ καὶ τὰς ἡμετέρας τελειοῦντι εὐχὰς, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, καὶ κράτος αἰώνιον, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΣΥΣΤΑΤΙΚΗ ΕΠΙΣΤΟΛΗ

Πεμπομένη παρὰ τοῦ πατριάρχου τῆς Κωνσταντινουπόλεως, ἄρτι χειροτονηθέντος(1).

ΕΠΕΙΔΗ θέσπισμα ἐπεκράτησεν ἐκκλησιαστικὸν, τοὺς ἄρτι πατριαρχικῶς ἐπὶ τὸν θρόνον Κωνσταντινουπόλεως ἀρθέντας, καὶ τὰς ἱεραρχικὰς ἡνίας διαζωσαμένους, καὶ τὸν λαὸν Κυ-

(1) Ἐκ τοῦ Λεόγκλ. Μέρ. Α΄. σελ. 439.

πιστευθέντας, τοῖς προτελεσθεῖσι τὴν ποιμαντικὴν ἀξίαν
ριάρχαις περὶ τῶν ὀρθῶν δογμάτων ἐπιστεῖλαι, καθάπερ
.ν ἐξετασταῖς καὶ διαγνώμοσι τοῦ παρὰ σφίσι δοκιμίου τῆς
τεως, ἵν' ἐντεῦθεν ἡ κοινωνία τοῦ σεβάσματος ἀριδηλότερον
ιλάμψασα, τὴν κατὰ Θεὸν ἕνωσιν οἰκειοτέραν ἐναπεργάση-
ι· πειθόμενοι τῇ συνηθείᾳ τῶν Πατέρων, τὴν ἀνὰ χεῖρας
ύτην συστατικὴν ἐπιστολὴν ἐγχαράττομεν, ἐπιτομήν τινα
ῦ καθ' ἡμᾶς βίου, καὶ τοῦ δογματικοῦ φρονήματος περιέ-
υσαν.

Ἡμῖν εὐσεβεῖς πρόγονοι, γεννήτορες ὁμογνώμονες αὐτοῖς·
ιῆρος, ἡ διαδοχὴ τῆς ὀρθοδοξίας· ἔρωτα γὰρ τοῦ κάτω ῥέον-
ος οὐκ ἐλάβομεν· ἐπιτήδευμα δὲ, γαλήνιος βίος, καὶ λόγων
ιπορία, καὶ τῶν ἐναρέτων μίμησις· εἶτα μεταβολὴ τρόπου,
χὶ τοῦ μοναδικοῦ πολιτεύματος ἀντιποίησις· τοσαῦτα μὲν,
ς χαρακτῆρα τοῦ καθ' ἡμᾶς βίου.

Τὰ δὲ τοῦ λόγου τῆς πίστεως· Πιστεύομεν εἰς ἕνα Θεὸν,
αὶ τὰ ἑξῆς· μίαν θεότητα γνωρίζομεν, δοξαζομένην ἐν τρι-
ὶν ὑποστάσεσιν, ἀδιαίρετον μὲν τῇ φύσει, διαιρετὴν δὲ ταῖς
διότησιν· ἀσπάζομαι τὰς ἁγίας οἰκουμενικὰς ἑπτὰ συνό-
δους, καὶ τὰ παρ' αὐτῶν δογματισθέντα πάντα δέχομαί τε
καὶ ἀποδέχομαι· τὴν μὲν πρώτην, ὡς Ἄρειον καθελοῦσαν, τὸν
τῆς μανίας ἐπώνυμον, ἀποξενοῦντα τῆς τοῦ Πατρὸς φύσεως τὸν
Υἱόν· τὴν δὲ δευτέραν, ὡς τὸν φρενοβλαβῆ Μακεδόνιον ἐξο-
στρακίσασαν, βλασφημήσαντα περὶ τοῦ ἁγίου Πνεύματος· τὴν
δὲ τρίτην, ὡς ἀποῤῥίψασαν τὸν δυσσεβῆ Νεστόριον, ληροῦντα
ψιλὸν ἄνθρωπον τὸν Χριστὸν, καὶ τὴν πανύμνητον ἀπαρνούμε-
νον Θεοτόκον· τὴν δὲ τετάρτην, ὡς τὸν ἀτυχέστατον Εὐτυχῆ,
καὶ τὸν ἀλάστορα Διόσκορον καταῤῥάξασαν, τοὺς τὰς ἐν Χρι-
στῷ δύο φύσεις πρὸς μίαν τραπῆναι φλυαροῦντας, καὶ σύγχυ-
σιν αὐτῶν δογματίζοντας· τὴν δὲ πέμπτην, ὡς ἀναθεματίσα-
σαν τὰ μιαρὰ δόγματα Νεστορίου, καὶ Θεοδώρου τοῦ Μοψουε-
στίας, καὶ Ὠριγένους, καὶ Διδύμου, καὶ Εὐαγρίου, τῶν ἑλλη-
νοφρόνων, βαθμοὺς θεότητος ἀναπλασάντων, καὶ ψυχῶν προϋ-
πάρξεις, καὶ μετεγγισμοὺς, καὶ τέλος κολάσεως, καὶ δαιμόνων
ἀποκατάστασιν· τὴν δὲ ἕκτην, ὡς ἀποῤῥίψασαν τοὺς ἀμφὶ

Ονώριον, καὶ Σέργιον, καὶ Μακάριον, τοὺς παράφρονας καὶ τερατολόγους, ἓν θέλημα καὶ μίαν ἐνέργειαν Χριστῷ τῷ ἐν δυσὶ φύσεσιν ἐπιγράψαντας· τὴν δὲ ἑβδόμην, ὡς τὴν εἰκονομαχικὴν λύσσαν καταπατήσασαν· αὕτη μου τῆς πίστεως ὁμολογία. Ταύτην, ὡς ἐν πίνακι, διαχαράξαντες γράμμασιν, ἐξαπεστείλαμεν εἰς ὑμᾶς, ἵνα τὸ δοκίμιον τῆς ἡμετέρας εὐσεβείας, γνώριμον ὑμῖν ἤδη γενόμενον, συνδήσῃ πλέον εἰς ἕνωσιν, καὶ τοὺς κοινωνοὺς τῆς πίστεως, κοινωνοὺς ποιήσῃ καὶ τῆς ἀγάπης, πᾶσαν σκανδάλου πρόφασιν καὶ πέτραν προσκόμματος ἐκ μέσου παούμενον· ὁ δὲ τὰ διεστῶτα συνάπτων, εἴη καὶ ποιμαίνων, καὶ συμποιμαίνων, καὶ πρὸς τὴν μάνδραν ἄγων τοῦ *Πνεύματος*. Πρόσειπε τὴν κατὰ σὲ ἁγίαν σύνοδον· σὲ ἡ σὺν ἐμοὶ ἐν *Κυρίῳ* προσαγορεύει.

ΕΝΤΑΛΜΑ ΔΙΔΟΜΕΝΟΝ ΤΟΙΣ ΗΓΟΥΜΕΝΟΙΣ(1).

Ο ΤΩΝ Ἐκκλησιῶν διδάσκαλος, ὁ ἕως τρίτου οὐρανοῦ ἀναβεβηκώς, καὶ ἀκούσας ἄῤῥητα ῥήματα, κἀκεῖθεν ἀρυσάμενος καὶ ἐκχέων εἰς πάντα τὰ ἔθνη τὴν θείαν διδασκαλίαν τοῦ ἁγίου Εὐαγγελίου, πρὸς τὸν ἅγιον Τίτον γράφων, οὕτως ἔφη· Κατάστησον καθ' ἑκάστην Ἐκκλησίαν πρεσβυτέρους καὶ ἡγουμένους, ὡς ἐγώ σοι διεταξάμην(2). Ταύτῃ οὖν τῇ διδασκαλίᾳ ἐπακολουθοῦσα ἡ ἡμῶν μετριότης, προχειρίζεται τὴν εὐλάβειαν ὑμῶν εἰς τὸ εἰρημένον εὐαγὲς μοναστήριον, καὶ ἐπικρατὴς αὐτοῦ γενοῦ, ἅμα καὶ πάντων τῶν ἀνέκαθεν δικαιωμάτων, ποιῶν πᾶσι τὴν φροντίδα, καὶ τὴν διοίκησιν τοῦ αὐτοῦ μοναστηρίου· πρῶτα μὲν τὴν συνήθη δοξολογίαν καὶ αἴνεσιν ἀναπέμπων Κυρίῳ τῷ Θεῷ ἡμῶν, μετὰ τῶν ὑποτεταγμένων μοναχῶν, ὄρθρον, καὶ λυχνικὸν, καὶ τὰς ἁρμοζούσας ὥρας· εἶθ' οὕτως καὶ φωταγωγίαν τὴν αὐταρκοῦσαν, καὶ εἴ τι δ' ἂν ἐπιδέηται ὁ εὐαγὴς οἶκος εἰς ἐπανόρθωσιν κτισμάτων καὶ ἑτέρων πραγμάτων· ἤδη γὰρ πᾶσαν φροντίδα ἀνατιθέμεθά σοι, ὡς ὀφείλοντι πάντων προνοεῖσθαι ἐμμελῶς.

Δέον σε ἐν ἐπιμελείᾳ μεγίστῃ καὶ τοῦτο ποιεῖσθαι, ὥστε τοὺς

---

(1) Ἐκ τοῦ Διϋγκλ. Μέρ, Α'. σελ. 428. — (2) Τίτ. Α', 5.

ποχειρομένους μὴ πρότερον ἐν ἑτέρᾳ οἱαδηποτοῦν τῆς μονῆς πασχολεῖν διακονίᾳ, κἂν δεξιῶς πρός τινα τῶν τοιούτων ἔχωσι, ρὶν ἂν τὸ ψαλτήριον καλῶς ἐκμάθωσι, καὶ τὴν λοιπὴν ἅπασαν κολουθίαν, ἣν προσῆκόν ἐστιν ἀπαραιτήτως παντὶ μοναχῷ ἐξε-ίστασθαι, ἧς τῇ ἀγνοίᾳ οὐ μικρὸς καὶ ὁ τυχὼν τῷ τῶν μονα-ῶν πρόσεστι κίνδυνος τάγματι.

Πρὸς τούτοις δέον σε ἐγγράφους καὶ διαδήλους τοῖς ὑπὸ σὲ ῶν ἐκκρίτων μοναχοῖς πάσας τὰς τῆς μονῆς εἰσόδους τε καὶ ξόδους καταπράττεσθαι, καὶ ἐκτὸς πεκουλίων συντηρεῖν τοὺς πὸ σὲ ἅπαντας μονάζοντας· καὶ ἐνισχύσει ὑμᾶς Κύριος ὁ Θεὸς, θέλων πάντας ἀνθρώπους σωθῆναι, ἐργάζεσθαι τὰ τῆς εὐλα-ϐείας καὶ τῆς ἀρεσκείας αὐτοῦ ἔργα, μετὰ πάντων τῶν συνόν-των ὑμῖν ἀδελφῶν· καὶ μνημόνευε καὶ τῶν πτωχῶν ἀδελφῶν ἡμῶν, καὶ ἡμῶν ὑπερεύχου μετὰ πάσης τῆς ἐν Χριστῷ ἀδελφό-τητος.

ΚΑΘΑΙΡΕΤΙΚΟΝ ΙΕΡΕΩΣ.

Κωνσταντῖνος ἐλέῳ Θεοῦ, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης (1).

ΤΗΝ ἄνωθεν τῶν νομοθετῶν περὶ τὰ τεμένη εὐλάϐειαν, ἔξε-στι μὲν καὶ διὰ πολλῶν ἑτέρων καταμαθεῖν, πολλῷ δὲ μᾶλλον, εἷς τῷ φιλανθρώπῳ, τὴν πρὸς τὸν φιλάνθρωπον εὐσέϐειαν ἐπιδείκνυνται. Τοῖς γὰρ ἀφῃρημένοις πᾶσαν ἐλπίδα ζωῆς με-γέθει τῶν πλημμεληθέντων αὐτοῖς, τοὺς τῆς θείας καὶ μεγά-λης Ἐκκλησίας ἤνοιξαν περιϐόλους, ὧν εἰ φθάσαιεν ἐντὸς γενέ-σθαι τινὲς, πάσης ἀφιᾶσιν αὐτοὺς ἐνοχῆς καὶ κακώσεως, τὴν εἰς τὸ ἱερὸν αὐτῶν ἄφιξιν οὐκ ἄνευ θείας προνοίας καὶ σωτη-ρίας κρίναντες γίνεσθαι. Οὕτω δὴ οὖν καὶ εἴ τινες τῶν ἱερωμέ-νων εἰς τὸ τῆς ἀνδροφονίας ἐκκυλισθεῖεν μύσος, ἐπεὶ ναός εἰσι Θεοῦ, τρόπον τινὰ, καθιερωθέντες αὐτῷ, τοῦ τῆς ἱερωσύνης βαθμοῦ καταγόμενοι, διατελοῦσιν εἰς τὸ τῶν λαϊκῶν ἐξεταζό-μενοι πλῆθος, μέχρις ἂν ἡ παροῦσα τούτοις ἐπιμετρῆται ζωὴ,

(1) Ἐκ τοῦ Χειρ. Γ.

ἀρκοῦν ἐξέλασμα τοῦ φόνου τὴν τοιαύτην ἔκπτωσιν ἔχοντες. Ἐντεῦθεν ὁ δεῖνα ἱερεὺς, τῶν ἱερῶν τῆς Ἐκκλησίας περιβόλων ἔνδον γενόμενος, ἐξηγόρευσε τοὺς οἰκείους υἱοὺς προτρέψασθαι συναπελθεῖν τῷ λοιπῷ ὁμίλῳ τοῦ χωρίου αὐτῶν, καὶ συνεργῆσαι εἰς τὸν τοῦ Χαλκεωπούλου Κατακαλὼν φόνον· ταῦτα ἐξαγορεύσας, τοῦ ἱεροῦ καταλόγου κατὰ τοὺς θείους κανόνας διὰ τὸ γεγονὸς τοῦ φόνου μῦσος ἐξέπεσεν· ὥστε δὲ ἄνετον μένειν αὐτὸν, ἀνέπαφόν τε καὶ ἀνεπηρέαστον, τὸ παρὸν καθαιρετικὸν γράμμα γραφῆναι καὶ ἐπιδοθῆναι αὐτῷ προετρέψαμεν, μηνὶ Ἰουλίῳ, Ἰνδικτιῶνος ιϐ'.

ΠΑΤΡΙΑΡΧΙΚΑ ΠΙΤΤΑΚΙΑ

Περὶ προβιβασμοῦ εἰς ἐκκλησιαστικὰ ἀξιώματα(1).

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς πατριαρχικοῦ καὶ εὐεργετικοῦ γράμματος, προβιβάζει κατὰ φιλοτιμίαν τὸν ἐντιμότατον δικαιοφύλακα τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας εἰς τὸ τοῦ πρωτεκδίκου ὀφφίκιον, τοῦ εἶναι δηλονότι, καὶ λέγεσθαι, καὶ γινώσκεσθαι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς πρωτέκδικον· τούτου χάριν ἀποφαίνουσα γράφει, ὡς ὁ ῥηθεὶς ἔχει τὴν τιμὴν, καὶ τὴν στάσιν, καὶ καθέδραν τοῦ ὀφφικίου αὐτοῦ ἀπαρασάλευτον, τιμώμενος ἅμα καὶ παρὰ πάντων δεξιούμενος, ἐν πάσαις ταῖς συνελεύσεσι τῶν ἀξιωματικῶν προσώπων τοῦ ἐκκλησιαστικοῦ κλήρου μετὰ τῆς προσηκούσης ἀρχαίας φιλοτιμίας καὶ δεξιώσεως· ὅθεν καὶ εἰς ἔνδειξιν τῆς περὶ αὐτοῦ γενομένης ταύτης προβιβάσεως, ἐγένετο καὶ τὸ παρὸν εὐεργετικὸν γράμμα τῆς ἡμῶν μετριότητος.

Ἕτερον.

ΤΟΥΣ ἐκκλησιαστικοῦ δωρήματος ἀξιουμένους, καὶ μάλιστα ἐν ἀποδημίᾳ τυγχάνοντας, γνωρίμους εἴωθε ποιεῖν ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη Ἐκκλησία διὰ συστατικῶν καὶ δηλωτικῶν γραμμάτων, ὅπως ἔχωσι πρόδηλον τὴν οἰκείαν αὐτῶν τάξιν,

(1) Ἐκ τοῦ Συνταγμ. τοῦ Χρυσ. σελ. κ'.

ὅπου ἂν διάγωσι κοσμίως, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες· ἐπειδὴ τοιγαροῦν συνέβη γενέσθαι τοῖς τιμιωτάτοις κληρικοῖς τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας προβιβασμὸν τῶν ὀφφικίων, καὶ δικαιοῦται προβιβασθῆναι καὶ ὁ ἐντιμότατος ὑπομνηματογράφων εἰς τὸ τοῦ μεγάλου ῥήτορος ὀφφίκιον, μὴ ἐξὸν δὲ σφραγίσαι τοῦτον ἡ μετριότης ἡμῶν διὰ χειροθεσίας ὡς ἔθος, ἅτε ἐν τῷ Βουκουρεστίῳ τὰς διατριβὰς ποιούμενον τό γε νῦν ἔχον, διὰ γράμματος δηλοποιῆσαι τὸν προβιβασμὸν τούτου δεῖν ἔγνωκε. Καὶ δὴ ὡς ἐπιβραβεύσασα αὐτῷ τὸ τοῦ μεγάλου ῥήτορος ὀφφίκιον, γράφει καὶ ἐν ἁγίῳ ἀποφαίνεται Πνεύματι, ἵνα ὁ διαληφθεὶς λογιώτατος κύριος δεῖνα, ὁ καὶ ὑπομνηματογράφων ὢν πρότερον, υἱὸς κατὰ Πνεῦμα ἀγαπητὸς τῆς ἡμῶν μετριότητος, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εἴη, καὶ λέγηται, καὶ παρὰ πάντων γινώσκηται μέγας ῥήτωρ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, καὶ συγκαταλεγόμενος τῷ εὐαγεστάτῳ κλήρῳ τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ ἀποστολικοῦ τε καὶ οἰκουμενικοῦ θρόνου· ἔχῃ τε τὴν στάσιν καὶ καθέδραν ἐν ταῖς ἐκκλησιαστικαῖς καὶ συνοδικαῖς συνελεύσεσι πρὸ τοῦ δεῖνος, μετὰ τὸν δεῖνα δηλονότι, καὶ ἀπολαμβάνῃ ἀκωλύτως τὴν τιμὴν τῆς διαπρεπούσης ταύτης τάξεως· ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἐπιβραβευτικὸν τοῦ προβιβασμοῦ αὐτοῦ γράμμα, καὶ ἐπεδόθη τῇ αὐτοῦ λογιότητι.

ΕΝΤΑΛΤΗΡΙΩΔΗ ΓΡΑΜΜΑΤΑ

Εἰς τὸ γενέσθαι πατέρα πνευματικόν (1).

Ἀρσένιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ἔφθασε μὲν ὁ πρὸ ἡμῶν ἁγιώτατος ἐκεῖνος πατριάρχης Κὺρ Γερμανὸς ἐκχωρῆσαι δι' ἐνταλτηρίου αὐτοῦ γράμματος τῷ τιμιωτάτῳ ἱερομονάχῳ, καὶ καθηγουμένῳ τῆς σεβασμίας μονῆς τῶν Ἀμμω-

(1) Ἐκ τοῦ Χειρ. Γ. ἐρανισθέντος τὸ ἔνταλμα τοῦτο ἐκ Κώδικος τῆς βιβλιοθήκης τοῦ ἐν Κωνσταντινουπόλει μετοχίου τοῦ Ἁγίου Τάφου· τὸ αὐτὸ ἀναγινώσκεται καὶ παρὰ Λεύγκλ. Μέρ. Α'. σελ. 437, ἀλλ' ἄνευ μνείας τοῦ ἐκδόντος αὐτὸ πατριάρχου.

νιακοῦ Δοσιθέῳ, δέχεσθαι τοὺς λογισμοὺς τῶν ὡς πνευματικῷ πατρὶ προσιόντων αὐτῷ· οὐ μόνον δὲ τούτων, ἀλλὰ καὶ τῶν ὑπ' αὐτὸν μοναχῶν· καὶ ἐξετάζειν τὰ κατ' αὐτοὺς ἀκριβέστερον· ἐπεὶ δὲ καὶ ἡ μετριότης ἡμῶν εὗρε τὸν τοιοῦτον ἄνδρα, πάσης εὐλαβείας ἀντιποιούμενον, καὶ τῆς τοῖς κατ' ἀλήθειαν πρεπούσης μοναχοῖς καταστάσεως μετέχοντα, καὶ (συνελόντα φάναι) ἱκανὸν περὶ τὴν τοιαύτην λειτουργίαν εἴπερ τινὰ ἕτερον, ἀνατίθησι καὶ αὐτὴ τῷ ῥηθέντι καθηγουμένῳ τὴν τοιαύτην διακονίαν διὰ τοῦ παρόντος αὐτῆς ἐντάλματος· δι' οὗ καὶ ἐνδίδωσι τούτῳ ἀνακρίνειν τοὺς προσερχομένους αὐτῷ, καὶ τὰ ἐν βάθει τούτων ἐρευνᾷν διανοήματα, καὶ τὰς πράξεις καταμανθάνειν, ἐφ' ᾧ τὰς ἀρχὰς μὲν καὶ τὰς αἰτίας, ὡς οἷόν τε, σπεύδειν ἰατρὸν, καὶ τέλεον ἀνακόπτειν, τὰ δὲ τέλη, καὶ ἐνεργήματα εὐθύνειν κανονικῶς· πρὸς τὰς ἕξεις μέντοι καὶ διαθέσεις, καὶ τὰς δυνάμεις τῶν προσερχομένων, καὶ ποιότητας, ὀφείλει ἀναλόγως μεταῤῥυθμίζεσθαι, καὶ γίνεσθαι τοῖς πᾶσι τὰ πάντα, νῦν μὲν ἐπέχων, νῦν δὲ ἀνιείς· καὶ νῦν μὲν τοῖς αὐστηροτέροις χρώμενος τῶν φαρμάκων, νῦν δὲ καὶ τὸ γλυκάζον συγκεραννύς· ἄλλοτε ἐλέγχων, ἐπιτιμῶν, ἄλλοτε πάλιν παρακαλῶν, νουθετῶν, καὶ παντὶ τρόπῳ τὰ πρὸς σωτηρίαν τῶν ἀνακειμένων αὐτῷ ψυχῶν διοικονομούμενος· διὰ γὰρ τοῦτο καὶ δήσει μὲν ἐν τοῖς ὑπ' αὐτὸν ἃ δεθῆναι, λύσει δὲ αὖθις τὰ λύσεως ἄξια· καὶ τοὺς τοῦ τῇδε βίου μεθισταμένους σὺν ἀφέσει τῶν ἐπταισμένων εἰς τὰ ἐκεῖσε παραπέμψει δικαιωτήρια. Ἐκχωροῦμεν δὲ τούτῳ ἀποκείρειν καὶ τοὺς τοῦτο αἱρουμένους ἐν τῇ ζωῇ αὐτῶν, εἴτε καὶ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς· μετὰ συντηρήσεως μέντοι τῶν παρατηρημάτων τοῦ μοναχικοῦ ἐπαγγέλματος, τῆς τε δηλαδὴ καθαρᾶς ἐξομολογήσεως, τῶν ἀποταγῶν τε, καὶ συνταγῶν, καὶ τῆς πρὸς τὸν ἀνάδοχον παρακαταθήκης τοῦ ἀποκειρομένου. Καὶ τοίνυν προσεῖσται τῷ διαληφθέντι καθηγουμένῳ Δοσιθέῳ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος εἰς ἀσφάλειαν.

Ἕτερον (1).

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, διὰ τοῦ παρόντος αὐτῆς γράμματος, ἀνατίθησί σοι τῷ τιμιωτάτῳ ἐν ἱερομονάχοις, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ υἱῷ τῆς ἡμῶν μετριότητός κὺρ δεῖνα, τὸ τῆς πνευματικῆς πατρότητος λειτούργημα· ὃς δὴ καὶ ὀφείλεις προσδέχεσθαι τοὺς προσερχομένους σοι ἐπὶ ἐξιλεώσει τῶν ἰδίων ἁμαρτημάτων, καὶ ἀνακρίνειν αὐτοὺς, καὶ τὰ ἐν βάθει τῆς διανοίας αὐτῶν ἐρευνᾷν, καὶ τὰς πράξεις καταμανθάνειν, ἐφ᾽ ᾧ τὰς μὲν ἀρχὰς καὶ αἰτίας, ὡς οἷόν τε, ἀνακόπτειν, καὶ ἀναστέλλειν, καὶ τέλεον ἐκριζοῦν, τὰ δὲ τέλη καὶ ἐνεργήματα τούτων εὐθύνειν κανονικῶς, πρὸς τὰς ἕξεις μέντοι καὶ τὰς διαθέσεις, καὶ τὰς ποιότητας τῶν προσερχομένων σοι, καὶ τὰ φάρμακα τούτοις ἐπιτιθέναι, καὶ γίνεσθαι τοῖς πᾶσι τὰ πάντα, νῦν μὲν ἐλέγχων, νῦν δὲ ἐπιτιμῶν, ἄλλοτε δὲ παρακαλῶν, νουθετῶν, καὶ παντὶ τρόπῳ τὴν σωτηρίαν πραγματευόμενος τούτων· ὅθεν καὶ δήσεις μὲν τῶν ἁμαρτημάτων ἃ δεῖ δεθῆναι, λύσεις δ᾽ αὖθις τὰ λύσεως ἄξια, ὡς συνεργὸς καὶ ὑπηρέτης τῆς παρὰ Θεοῦ διὰ τῶν ἁγίων Ἀποστόλων μεταβάσης εἰς ἡμᾶς δωρεᾶς καὶ χάριτος, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρωπίνων ψυχῶν. Ἔτι τε ὀφείλεις κατὰ μοναχοὺς ἀποκείρειν τοὺς τὸ μοναχικὸν σχῆμα προαιρουμένους, εἴτε ἐν τῇ ζωῇ αὐτῶν τοῦτο βούλοιντο, εἴτε ἐν ταῖς ἐσχάταις ἐλθόντες ἀναπνοαῖς, μετὰ τῆς ὀφειλομένης μέντοι κανονικῆς παρατηρήσεως, καὶ τῶν συνήθων τοῦ μοναχικοῦ σχήματος συνθηκῶν, καὶ ὑποταγῶν, καὶ ἀποταγῶν, καὶ μάλιστα τῆς πρὸς τὸν ἀνάδοχον τοῦ ἀποκειρομένου ὑποταγῆς αὐτοῦ. Τοὺς δέ γε πρὸς τὸ τῆς ἱερωσύνης ἀναγομένους ἀξίωμα, οὕτω δεῖ σε διερευνᾷν, καὶ ἐξακριβοῦν, ὡς ὁ ἀποστολικὸς καὶ κανονικὸς ἀπαιτεῖ νόμος· »μήποτε διὰ ῥαθυμίαν τινὰ, ἢ συναρπαγὴν, ἀλλοτρίαις κοινωνή»σας φανῇς ἁμαρτίαις, κατὰ τὸν Ἀπόστολον (2). Τὴν ἀδικίαν ἐκκόπτειν πάσῃ δυνάμει, ὥστε καὶ τοὺς ἐξομολογησαμένους ἀδικῆσαί τινα εἰσηγεῖσθαι, καὶ παραινεῖν, εἰ μὲν εἰς ζῶντας διατελεῖ ὁ ἠδικημένος, ἀποδοῦναι αὐτῷ ὃ ἠδίκησαν· εἰ δὲ ἑτε-

(1) Ἐκ τοῦ Συνταγμ. τοῦ Χρυσ. σελ. νθ'. ὡς καὶ τὰ δύω ἑπόμενα. — (2) ά; Τιμοθ. Ε', 22.

λεύτησεν, ἀποδοῦναι τοῦτο ἢ τοῖς κληρονόμοις αὐτοῦ, ἢ τοῖς πτωχοῖς, εἴ περ μὴ ὑπελείφθησαν ἐκείνῳ τινὲς, καὶ οὕτω συγχωρεῖν αὐτοῖς· εἰ δὲ οὐκ εὐποροῦσι πρὸς ἀπόδοσιν ὧν ἠδίκησαν, προσέρχεσθαι τῷ ἀδικηθέντι, καὶ ἐξομολογεῖσθαι αὐτῷ ὃ ἐποίησαν, καὶ αἰτεῖσθαι συμπάθειαν παρ' αὐτοῦ, καὶ μετὰ ταῦτα προσκλαίειν, καὶ ἱκετεύειν τὸν Θεὸν περὶ τῆς ἁμαρτίας ταύτης, ὅπως παρ' αὐτοῦ συγχωρηθῶσι. Τοὺς παρὰ τοῦ ἐπισκόπου ὁπωσδήποτε ἀφορισμὸν δεξαμένους, καὶ τὴν ἀλήθειαν διὰ προσπάθειαν ἀποκρύψαντας, εἶτα ἐξομολογησαμένους σοι αὐτὸν, καὶ ζητοῦντας συγχώρησιν, παραπέμπειν πρὸς τὸν ἐπίσκοπον, παρ' οὗ ἐκεῖνοι ἀφωρίσθησαν, εἴπερ περίεστιν οὗτος, ἢ πρὸς τὸν ἐκείνου διάδοχον, ὡς ἂν παρ' ἐκείνου τὰ προσήκοντα φάρμακα ἀναδέξωνται. Καὶ εἴ τις δὲ τῶν ἀπηγορευμένων ἐγκλημάτων τινὶ περιέπεσε, παραπέμπειν τοῦτον πρὸς τὸ ἱερὸν ἐκδικεῖον τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας πρὸς ἐξιλέωσιν, καὶ διόρθωσιν αὐτοῦ. Τούτου γὰρ χάριν ἀπολέλυταί σοι τῷ εἰρημένῳ τιμιωτάτῳ ἐν ἱερομονάχοις κὺρ δεῖνι καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. Ἐν ἔτει ,ζσκζ'.

Ἕτερον.

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, διὰ τοῦ παρόντος αὐτῆς ἐνταλτηριώδους γράμματος, ἀνατίθησι τὸ τῆς πνευματικῆς ἀξίας λειτούργημα τῷ εὐλαβεστάτῳ, καὶ τὰ ἑξῆς, ὡς ἀνδρὶ τιμίῳ, καὶ εὐλαβείας ἀξίῳ· ὃς δὴ καὶ ὀφείλει ἀπὸ τοῦ νῦν προσδέχεσθαι τοὺς προσερχομένους αὐτῷ ἐπὶ ἐξομολογήσει τῶν ἰδίων ἁμαρτημάτων, καὶ ἀνακρίνειν αὐτοὺς, καὶ τὰ βάθη τῆς καρδίας αὐτῶν διερευνᾷν, καὶ τὰ διανοήματα, καὶ τὰς πράξεις καταμανθάνειν, ἐφ' ᾧ τὰς μὲν ἀρχὰς καὶ αἰτίας, ὡς οἷόν τε, ἀναστέλλειν καὶ ἀνασπᾷν, τὰ δὲ τέλη καὶ τὰ ἐνεργήματα τούτων εὐθύνειν κανονικῶς, πρὸς τὰς ἕξεις τε καὶ τὰς διαθέσεις τῶν προσερχομένων, καὶ τὰ φάρμακα τούτοις ἐπιτιθέναι, καὶ γίνεσθαι τοῖς πᾶσι τὰ πάντα, ἵνα πάντας κερδήσῃ, νῦν μὲν ἐλέγχων, νῦν δὲ ἐπιτιμῶν καὶ παρακαλῶν, καὶ παντὶ τρόπῳ τὴν σωτηρίαν τούτων πραγ-

ματευόμενος· ὅθεν καὶ δήσει μὲν ἃ δεῖ δεθῆναι, λύσει δὲ πάλιν τὰ λύσεως ἄξια. Ἔτι δὲ ὀφείλει τοὺς προσερχομένους εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα οὕτω διερευνᾶν, καὶ ἀκριβῶς ἐξετάζειν, ὡς ὁ ἀποστολικὸς καὶ κανονικὸς ἀπαιτεῖ νόμος, μήποτε ἀλλοτρίαις ἁμαρτίαις κοινωνήσας φανῇ. Πρὸς δὲ τούτοις, ὀφείλει ἀναστρέφεσθαι ἐν πάσῃ εὐλαβείᾳ, ἥτις ἁρμόζουσά ἐστι πνευματικοῖς ἀνδράσιν, ὡς λόγον ἀποδώσων Θεῷ. Ὅθεν εἰς δήλωσιν καὶ τὸ παρὸν ἐνταλτηριῶδες γράμμα τῆς ἡμῶν μετριότητος ἐδόθη τῷ διαληφθέντι, καὶ τὰ ἑξῆς.

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, ἐπείπερ εὗρε τὸν τιμιώτατον ἐν ἱερομονάχοις, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν υἱὸν τῆς ἡμῶν μετριότητος κὺρ δεῖνα, πάσης εὐλαβείας ἀντιποιούμενον, καὶ τῆς κατ' ἀλήθειαν πρεπούσης μοναχοῖς πολιτείας τε καὶ καταστάσεως μετέχοντα, καὶ, συνελὼν φάναι, ἱκανὸν περὶ τὸ τῆς πνευματικῆς πατρότητος λειτούργημα εἴπερ τινὰ ἕτερον, ἀνατίθησιν αὐτῷ διὰ τοῦ παρόντος αὐτῆς ἐνταλτηρίου γράμματος τὴν τοιαύτην διακονίαν, δι' οὗ καὶ ἐνδίδωσι τούτῳ, ἀνακρίνειν τοὺς προσερχομένους αὐτῷ ἐπὶ ἐξομολογήσει, καὶ τὰ ἐν βάθει τούτων ἐρευνᾷν διανοήματα, καὶ τὰς πράξεις καταμανθάνειν, ἐφ' ᾧ τὰς μὲν ἀρχὰς, καὶ τὰς αἰτίας, ὡς οἷόν τε, σπεύδειν ἰσχὺν, καὶ τέλεον ἀνακόπτειν, τὰ δὲ τέλη καὶ ἐνεργήματα εὐθύνειν κανονικῶς· πρὸς τὰς ἕξεις μέντοι, καὶ τὰς διαθέσεις, καὶ τὰς δυνάμεις τῶν προσερχομένων, καὶ τὰς ποιότητας ὀφείλει ἀναλόγως μεταῤῥυθμίζεσθαι, καὶ γίνεσθαι τοῖς πᾶσι τὰ πάντα, νῦν μὲν ἐπέχων, νῦν δὲ ἀνιεὶς· καὶ νῦν μὲν τοῖς αὐστηροτέροις χρώμενος τῶν φαρμάκων, νῦν δὲ καὶ τὸ γλυκάζον συγκεραννύς· ἄλλοτε ἐλέγχων, ἐπιτιμῶν, ἄλλοτε πάλιν παρακαλῶν, νουθετῶν, καὶ παντὶ τρόπῳ τὰ πρὸς σωτηρίαν τῶν ἀνακειμένων αὐτῷ ψυχῶν διοικονομούμενος· διὰ γὰρ τοῦτο καὶ δήσει μὲν ἐν τοῖς ὑπ' αὐτὸν ἃ δεῖ δεθῆναι, λύσει δ' αὖθις τὰ λύσεως ἄξια· καὶ τοὺς τοῦ τῆδε βίου μεθισταμένους, σὺν τῇ ἀφέσει τῶν ἐπταισμένων εἰς τὰ ἐκεῖσε παραπέμψει δικαιωτήρια. Ἐκχωροῦμεν δὲ τούτῳ ἀποκείρειν καὶ τοὺς τὸ μοναχικὸν σχῆμα

αἱρουμένους ἐν τῇ ζωῇ αὐτῶν, εἴτε καὶ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς, ὁμοίως ἄνδρας τε καὶ γυναῖκας, μετὰ συντηρήσεως μέντοι τῶν παρατηρημάτων τοῦ μοναχικοῦ ἐπαγγέλματος, τῆς τε δηλαδὴ καθαρᾶς ἐξομολογήσεως, τῶν ἀποταγῶν τε καὶ συνταγῶν, καὶ τῆς πρὸς τὸν ἀνάδοχον παρακαταθήκης τοῦ ἀποκειρομένου. Τὴν ἀδικίαν ὀφείλει ἐκκόπτειν πάσῃ δυνάμει, καὶ πάντας παραινεῖν, μὴ μόνον τῶν ἀλλοτρίων ἀπέχεσθαι, ἀλλὰ καὶ ἐκ τῶν ἰδίων φιλοτίμως μεταδιδόναι τοῖς δεομένοις, εἰς ἐξιλέωσιν τῶν ἰδίων ἁμαρτιῶν· τὴν πρὸς ἀλλήλους ἀγάπην τηρεῖν ἀκίβδηλον πάντας διδάσκειν· μνησικακίαν δὲ, καὶ τὰ διαβεβλημένα πάντα πάθη ψυχικά τε καὶ σωματικὰ, μηδὲ εἰς μνήμην ἔχειν. Τοὺς δέ γε πρὸς τὸ τῆς ἱερωσύνης ἀναγομένους ἀξίωμα, καὶ πλέον τῶν ἄλλων ἐξετάζειν καὶ ἀνακρίνειν, καὶ πᾶσι τρόποις περιεργάζεσθαι τὰ κατ᾽ αὐτοὺς, καὶ κατανοεῖν τὰ ἐν βάθει αὐτῶν, καὶ ἀπὸ τῆς ἐξομολογήσεως, καὶ τῆς πολιτείας, καὶ συναναστροφῆς αὐτῶν, καὶ παντοιοτρόπως ἐξακριβοῦν αὐτοὺς πρὸς τὴν τῆς θείας ἱερωσύνης καθαρότητα, ἵνα μὴ λάθῃ κοινωνῶν ἁμαρτίαις ἀλλοτρίαις· πᾶσι δὲ ὀφείλει τὰς θείας ἐντολὰς ὑποτίθεσθαι, καὶ πρὸ πάντων τὴν θεοσέβειαν καὶ τὴν πίστιν τὴν ὀρθόδοξον, ἵνα καὶ αὐτὸς τὸν μισθὸν ἀπολήψηται τῶν πιστῶν καὶ καλῶν οἰκονόμων ἐν ἡμέρᾳ τῆς τῶν ἔργων ἀνταποδόσεως. Ἐπὶ γὰρ τούτῳ ἀπολέλυται τῷ διαληφθέντι τιμιωτάτῳ ἱερομονάχῳ καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος.

—

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, διὰ τῆς χάριτος τοῦ παναγίου Πνεύματος, ἀνατίθησί σοι τῷ ὁσιωτάτῳ ἱερομονάχῳ καὶ πνευματικῷ, παπᾶ κὺρ δεῖνα, καὶ τὰ ἑξῆς, τὸ τῆς πνευματικῆς πατρότητος λειτούργημα, ἐφ᾽ ᾧ σε δεῖ ἀναδέχεσθαι τοὺς λογισμοὺς πάντων τῶν προσερχομένων σοι· πλὴν τὰ μείζονα τῶν ἐγκλημάτων, ἤτοι ἄρνησιν πίστεως, φονικὴν ἁμαρτίαν, τὰ τῶν ἱερατικῶν πταίσματα, καὶ εἴ τι ἕτερον δυσχερὲς ἁμάρτημα, καὶ ὑπόθεσιν ἐπικίνδυνον, εἰς τὴν ἡμῶν μετάφερε μετριότητα, μήπως ἐπισφαλῶς κρίνας, ἀλλοτρίων ἁμαρτημάτων εὑρεθῇς κοινωνός· τοὺς

δὲ πρὸς τὸ τῆς ἱερωσύνης ἀξίωμα προθυμουμένους ἐλθεῖν, ἀκριβῶς ἐξετάζειν, ὡς ὁ ἀποστολικὸς ἀπαιτεῖ νόμος· ἀποκείρειν δὲ καὶ μοναχοὺς μετὰ δοκιμῆς, καὶ ἀναδόχου. Εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν, ἐδόθη σοι καὶ τὸ παρὸν ἐνταλτηριῶδες γράμμα.

ΕΝΤΑΛΜΑΤΑ ΔΙΔΟΜΕΝΑ ΤΟΙΣ ΕΞΑΡΧΟΙΣ(1).

ΔΕΙ τὴν σὴν εὐλάβειαν, τὴν ἐπιστασίαν καὶ πρόνοιαν τῶν πατριαρχικῶν μοναστηρίων παρὰ τῆς ἡμῶν μετριότητος ἀναδεδεγμένην, μετὰ τῆς ἐπαινετῆς συνειδήσεως πολλὴν ἀναλαβεῖν ἐπιμέλειαν καὶ σπουδὴν, ὡς οὐχ ἡμῖν μόνον τὸν περὶ τούτων λόγον ὀφείλουσαν ἀποδοῦναι, ἀλλά γε καὶ πρὸ ἡμῶν τῷ πάντων ἐφόρῳ Θεῷ· καὶ μήτε πρὸς χάριν, μήτε πρὸς ἔχθραν, μήτε πρὸς δῶρον, μήτε πρὸς παράκλησιν, μήτε πρὸς ἄλλο τι τῶν ἀνθρωπίνων ἀποκλίνουσαν μεταχειρίζεσθαι τὴν τοιαύτην διακονίαν· ἀλλὰ κατὰ τοὺς κανονικοὺς θεσμοὺς πάντα πράττειν, καὶ κατὰ τὴν ἡμετέραν διαταγὴν, ἀνεπαχθῶς τε καὶ ἀβαρῶς τὴν περίοδον ποιεῖσθαι, ὅτε χρεία καλεῖ, ἵνα μὴ τῷ πλήθει, καὶ τοῖς πλείοσιν ἀναλώμασιν, ἔτι δὲ καὶ τῇ ἀκαίρῳ ἐπιδημίᾳ, ἀντὶ τῆς μελλούσης ὠφελείας, ἤδη παροῦσάν τε καὶ ἐνεργοῦσαν τὴν βλάβην αὐτοὺς ἐνορῶσι καταλαμβάνουσαν· καὶ γὰρ εἰ σωματικήν τινα ἐκ τῆς σῆς παρουσίας συναίσθωνται βλάβην, οὐδὲ τὴν ψυχικὴν ἐπαγγελλομένῳ πιστεύσουσι σωτηρίαν· καὶ πρός γε τούτοις ἐκ πάσης δωροληψίας καθαρὰν αὐτὴν καὶ ἀμόλυντον διατηρήσεις· καὶ μήτε ταῖς λεγομέναις συνηθείαις ὁπωσδήποτε καταχρανθῆναι, μήτε ἑτέροις πρόσκομμα γενέσθαι· οὐ γὰρ ἡ σεμνότης τοῦ ὀνόματος τὴν δυσσέβειαν ἀποσκευάζει τῆς πράξεως· ἀλλὰ τὸ παράνομον τοῦ πράγματος, καὶ τῆς ὀνομασίας ἐκκακίζει τὴν δεξιότητα· καὶ γὰρ ὁ ἑτέροις δικαιοπραγεῖν νομοθετῶν, αὐτὸς καὶ τῆς τοῦ ἀδικεῖν ὑπολήψεως καθαρὸς ὀφείλει καθίστασθαι. Εἰ μέντοι παρὰ τὰ ἐγγράφως σοι διατεταγμένα (ὃ μὴ γένοιτο, μηδὲ δῴη Κύριος,) ἄλλο τι διαπραχθείη, καὶ παράβασίς τινος τῶν παραγγελμάτων ἐπιτολμηθείη, μάλιστα δὲ, εἰ συνηθείας ἢ αὐτὸς, ἢ

---

1) Ἐκ τοῦ Δαῦγκλ. Μέρ. Α΄, σελ. 433—436.

ἕτερός τις τῶν συνεπομένων σοι ἀπαιτῶν φωραθείη, ἢ ἄλλην τινὰ ζημίαν ἐπιφέρων τοῖς ἐπὶ ἀπαλλαγῇ ζημίας ψυχῆς τι καὶ σώματος ὑποδεχομένοις τὴν σὴν εὐλάβειαν· ὅστις οὖν τῷ τοιούτῳ νοσήματι ἁλοὺς φωραθείη, ἐξ αὐτῆς ἐκείνης τῆς παρανόμου πράξεως ἔστω γινώσκων, ὡς πρῶτα μὲν τῶν θείων ἀπείργεται μυστηρίων, καὶ ἐκκλησιαστικῆς ἀπελαύνεται συνόδου· οὐκ εἰς μακρὰν δὲ καὶ τὴν πολιτικὴν ἀπαιτηθήσεται δίκην· ὁ γὰρ ἐκκλησιαστικοὺς παρορῶν θεσμοὺς, καὶ νόμους, καὶ μὴ φοβερὰν ἡγούμενος τὴν ἐκείνων δίκην, αὐτὸς ἑαυτὸν ταῖς πολιτικαῖς εὐθύναις καθυποβάλλει. Τούτων ἡμῖν ἐν προοιμίοις τεθέντων, πρὸς τὸ τῆς διακονίας ἐπίταγμα ὁ λόγος χωρείτω.

Δεῖ τὴν σὴν εὐλάβειαν, τοὺς ἐπιστατεῖν ἱερῶν φροντιστηρίων λαχόντας, ὑπεροψίᾳ δὲ καὶ ἀλαζονείᾳ πρὸς τοὺς λοιποὺς χρωμένους μονάζοντας, μετρίους καὶ ταπεινόφρονας λόγῳ καὶ παραινέσεσιν ἀπεργάζεσθαι, καὶ ὡς μέλη οἰκεῖα τοὺς μοναχοὺς ἐκπαιδεύειν ἡγεῖσθαι, μὴ μόνον τῶν ψυχῶν αὐτῶν, ἀλλὰ καὶ τῶν σωμάτων, ὅση δύναμις, κηδομένους· πάντα δὲ πράττειν τὰ καιριώτατα μετὰ τῆς αὐτῶν γνώμης, κοινήν τε τὴν ἑστίασιν, καὶ τὴν ἄλλην δίαιταν ἔχειν· τά τε ἀκίνητα πάντα ἀνεκποίητα τηρεῖν, καὶ τὰ καρποφορούμενα δῆλα καθιστᾷν ἅπασι, καὶ δεόντως ταῦτα μεταχειρίζεσθαι, ὡς ἂν ἐκ τούτων τά τε ποίμνια αὐτῶν εὐσταθῇ, καὶ αὐτοὶ ἀπροφάσιστοι εἶεν πρὸς τοὺς αὐτῶν καθηγητάς τε καὶ διδασκάλους.

Δεῖ τὴν σὴν εὐλάβειαν, τοὺς μὴ πειθαρχεῖν ἐθέλοντας τῷ ἑαυτῶν ποιμένι μονάζοντας, ἀλλ' ἀπεναντίας τῆς μοναδικῆς βαδίζοντας τάξεως, καὶ πρόσκομμα τῇ λοιπῇ γινομένους πληθύϊ, τούτους εὐπειθεῖς καὶ εὐγνώμονας ποιεῖσθαι, καὶ τὴν τοῦ Κυρίου ὑπακοὴν ἐκπαιδεύειν λόγῳ καὶ πνευματικαῖς εἰσηγήσεσιν, ἀξίως παρασκευάζων τοῦ ἐπαγγέλματος πολιτεύεσθαι, μήτε θελήμασιν οἰκείοις ἀκολουθοῦντας, μήτε τῇ ἰδίᾳ κτήσει, ἢ τοῖς λεγομένοις πεκουλίοις προσέχοντας· ἵνα δὴ τοῖς ἔργοις τὴν τοῦ βίου ἀποφυγὴν βεβαιούμενοι, τῶν ἡμαρτημένων εὕροιεν τὴν ἀπαλλαγὴν, καὶ τῶν διαιωνιζόντων μετάσχοιεν ἀγαθῶν.

Δεῖ τὴν σὴν εὐλάβειαν, τὰς πρὸς τοὺς ἡγουμένους παρὰ τῶν μοναχῶν, καὶ αὖ πάλιν παρὰ τῶν ἡγουμένων πρὸς τοὺς μονάζοντας

γινομένας διαφορὰς ἐρευνᾷν τε καὶ διαλύειν, καὶ, τῇ δικαιοσύνῃ βοηθῷ χρώμενον, πρὸς τὸ δέον ρυθμίζειν· καὶ πᾶν μὲν σκάνδαλον ἐκ μέσου ποιεῖσθαι, πᾶσαν δὲ ἀντεισφέρειν εἰρηναίαν κατάστασιν, καὶ τὴν ὁσίοις πρέπουσαν ἐμφυτεύειν τούτοις διαγωγήν.

Δεῖ τὴν σὴν εὐλάβειαν, τοὺς τῆς εὐθείας ἐκτρεπομένους μονάζοντας, καὶ ἀνηκοΐαν μὲν πρὸς τοὺς προεστῶτας νοσοῦντας, τὴν πρὸς θάνατον δὲ ἁμαρτίαν ἐργαζομένους, ὡς ὁ θεσπέσιος Ἰωάννης φησὶν, ὑπὲρ ὧν εὐχὴ καὶ παράκλησις μεγάλην ἰσχὺν ἔχει, τούτους, ὡς μὴ πειθομένους λόγῳ διδασκαλικῷ, ταῖς ὀφειλομέναις καθυποβάλλειν ἐπιτιμήσεσιν, ὡς ἂν ἐντεῦθεν παιδαγωγούμενοι, τὰ σώζοντα μάθοιεν, καὶ ἄλλοι τῷ ἐκείνων σωφρονισμῷ νηφαλεώτεροι περὶ τὴν πνευματικὴν εὑρίσκοιντο ἐργασίαν.

Δεῖ τὴν σὴν εὐλάβειαν ἐντείλασθαι, τοῦ τὸ ἱερὸν ἅπαντας ἐκμανθάνειν Ψαλτήριον τοὺς ἐν τῷ μοναχικῷ σχήματι καταλεγομένους· καὶ μὴ δούλων ἀθλίων λόγον ὑπέχειν, καὶ τὸ πᾶν ἀναλίσκειν εἰς τὴν τῶν γηΐνων ἐργασίαν, διὰ τὴν ἀκρισίαν τῶν καθηγουμενευόντων, ἢ παρακοὴν τῶν καθυποταττομένων, καὶ ἀκηδίαν.

Δεῖ τὴν σὴν εὐλάβειαν παρεγγυᾷν, ἀναζητεῖν τοὺς ἡγουμένους τοὺς λειποτακτοῦντας μοναχοὺς, καὶ εἰς τὴν οἰκείαν αὐτοὺς ἐπαναστρέφειν ὑποταγήν· τοὺς δὲ μὴ βουλομένους τοῦτο ποιεῖν, εἴγε εὐλόγως, παραδιδόναι ἐν ἑτέροις μοναστηρίοις εἰς εὐλαβεῖς καὶ τὸν θεῖον φόβον διδάσκειν δυναμένους ἡγουμένους· διδακτικὸς γάρ ἐστιν ὁ τοῦ Θεοῦ φόβος, καθὼς φησιν ὁ Προφήτης· Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς (1).

Δεῖ τὴν σὴν εὐλάβειαν, τοὺς ἐν γυναικείοις μοναστηρίοις τὴν ἱερὰν ὀφείλοντας ἱερουργίαν ἐπιτελεῖν, γηραλέους εἶναι προτρέπεσθαι, καὶ εὐνούχους· ἵνα μὴ διασύρηται ἡ τῶν παρθένων ὑπόληψις ὑπὸ τῶν αἱρουμένων διαλοιδορεῖν τοὺς πλησίον.

Δεῖ τὴν σὴν εὐλάβειαν ἐντέλλεσθαι τοῖς ἡγουμένοις, τοὺς ἐν ἑτέροις μοναστηρίοις τάς τε συνθήκας καὶ ἐξαγορεύσεις ποιησαμένους, ἄνευ γνώμης τοῦ ἀποκείραντος μὴ προσδέχεσθαι, ἀλλὰ σπουδῇ πάσῃ κεχρῆσθαι πρὸς τὸ πείθειν αὐτοὺς εἰς τὴν οἰκείαν

1) Ψαλμ. λγ', 11.

παλινδρομεῖν μονήν· τοὺς δὲ τοῦτο παραλόγως κατατολμῶντας ποιεῖν, ἐπιτιμᾷν καὶ ἀφορίζειν, ὡς ἐξίσου τοῖς ἀνδραποδισταῖς ἁμαρτάνοντας.

Δεῖ τὴν σὴν εὐλάβειαν τοῖς ἡγουμένοις προστάττειν, τῶν ὑποτεταγμένων διακωλύειν τὰς ἐν ταῖς πόλεσι προόδους, πᾶσάν τε προσπάθειαν συγγενῶν καὶ φίλων, καὶ τὰς λεγομένας συντεκνίας τέλεον ἐκκόπτειν· ἔτι γε μὴν καὶ τὰς μετὰ γυναικῶν διαίτας καὶ ἀναφύρσεις· οὐ γὰρ μοναδικῆς ταῦτα καθεστήκασι τάξεως σύμβολα.

Δεῖ τὴν σὴν εὐλάβειαν προτρέπειν πάντας, νηστείαις καὶ δεήσεσι κατὰ τοὺς πατρικοὺς καὶ πνευματικοὺς τύπους σχολάζοντας, μὴ τὸν χυδαῖον βίον μεταδιώκειν· τοῦτο μὲν ὑπὲρ τῆς αὐτῶν, ταῦτα δὲ καὶ ὑπὲρ τῆς τοῦ κοινοῦ σωτηρίας· τοῖς τε ἐνδεέσιν, ὅση δύναμις, τὰ δέοντα εὐαγγελικῶς ἐπιχορηγεῖν, εἰς πλείονα τῶν ψυχῶν αὐτῶν εὐόδωσίν τε καὶ περιποίησιν.

Δεῖ τὴν σὴν εὐλάβειαν διαμαρτύρασθαι πᾶσιν, οἳ φροντιστηρίων ἐπιμελεῖσθαι ἐτάχθησαν ἱερῶν, τοῦ μὴ ἀποκείρειν μοναχοὺς, ἢ μοναστρίας πρὸ τριετοῦς δοκιμασίας, καὶ τότε ἀποκείρειν τοὺς μὲν ἄῤῥενας ἀπὸ πεντεκαιδεκαετοῦς χρόνου· τὰς δὲ γυναῖκας, ἀπὸ ἑπτακαιδεκαετοῦς· τοῦτο γὰρ τοῖς πατρικοῖς διατυποῦται θεσμοῖς· τὸ γὰρ παρὰ ταῦτα γινόμενον, συγχύσεως καὶ ταραχῶν, ὡς τὰ πολλὰ, δείκνυται αἴτιον.

Δεῖ τὴν σὴν εὐλάβειαν ἅπασι παραινεῖν, οἷς ἡ γνώμη πρὸς τὸ νεουργεῖν ἐστιν ἱερὰ φροντιστήρια, μὴ οἰκοδομεῖν ταῦτα ἐν ἀσέμνοις τόποις, ἢ ὡς ἐγγυτάτω χωρίων· μηδ' αὖ, οἷς ἡ περιουσία οὐκ αὐτάρκης ἐστὶν, εἰς τὸ χορηγεῖν τούτοις τὰ πρόσφορα· τὸ μὲν γὰρ ἑτοίμην οἶδε ψυχῆς παρέχειν φθορὰν, τὸ δὲ τὴν καταστορφὴν αὐτοῖς πρόδηλον ποιεῖται καὶ πρὸ τῆς ἐργασίας.

Δεῖ τὴν σὴν εὐλάβειαν, εἴ που μοναστηρίου πατριαρχικοῦ, οἷα εἰκὸς, ἡγούμενος τελευτήσει, τὸν ὑπὸ πάντων ψηφιζόμενον πρὸς ἡμᾶς ἀναπέμπειν, καὶ μὴ ἕτερον, ὃν οὐχ αἱροῦνται οἱ μοναχοὶ, ἀλλ' ὃν πάντες ἐκλέξονται· ὡς ἂν τῆς χειροθεσίας ἀξιούμενος, οὕτω ποιμάνῃ τὸ ὑποχείριον.

Δεῖ τὴν σὴν εὐλάβειαν, εἴπου χρεία ἐπείγοι, καταγράψασθαι ἅπαντα τὰ τοῖς πατριαρχικοῖς προνομίοις ἀνήκοντα μοναστήρια,

ἅμα τοῖς διαφέρουσιν αὐτοῖς πράγμασί τε καὶ ἱεροῖς σκεύεσι, καὶ πρὸς ἡμᾶς ἀναπέμψαι.

Δεῖ τὴν σὴν εὐλάβειαν, τοὺς ἐν τοῖς μοναστηρίοις παραβάλλοντας, καὶ ταῦτα καινοτομοῦντας, ἄλλας τε ἀκαίρους αὐτοῖς ἐπηρείας καὶ βλάβας ἐπάγοντας, ὅση δύναμις ἀνακόπτειν· καὶ τοῖς ἐκεῖσε ἀσκουμένοις τὸ ἀζήμιον, καὶ ἀνενόχλητον, κατὰ τὸν εὐσεβῆ λόγον, διανοεῖσθαι.

Δεῖ τὴν σὴν εὐλάβειαν ἐν ἑκάστῃ μονῇ, ἐν ᾗ παραβάλλειν ὀφείλεις, τοῦτο δὴ τὸ παρεσχημένον σοι τῶν προσταγμάτων ἔγγραφον καθυπαναγινώσκειν ἀπ' ἀρχῆς μέχρι τέλους, ἐντολὴν δηλαδὴ παρὰ Θεοῦ παντοκράτορος ἔχουσαν· ὡς ἂν καὶ τὴν ἡμετέραν περὶ αὐτῶν ἐπιγνοῖεν διαταγὴν, καὶ σὲ ὡς πατέρα δέχοιντο καὶ διορθωτὴν τῶν ἠμελημένων, ἀλλ' οὐχὶ φθορέα καὶ λυμεῶνα· καὶ ταῖς σαῖς νουθεσίαις ἑτοιμότεροι κατασταῖεν καὶ σπουδαιότεροι.

Τούτοις σε καὶ ἐν προοιμίοις, καὶ νῦν ᾠήθημεν δέον ἐξασφαλίσασθαι, τὸ θεῖον δεδοικότες κατάκριμα. Ἀλλ' εἰ μὲν φύλαξ εἴης τῆς ἡμετέρας διαταγῆς, ἄνωθεν Θεὸς ἀμείψεταί σε τῶν πόνων ἀξίως, νῦν καὶ ἐν τῇ τῶν βεβιωμένων διαγνώσει· εἰ δὲ παραβάτης τῆς ἡμετέρας εὑρεθῇς ἐντολῆς ἐπὶ λύμῃ καὶ καινοτομίᾳ τινῶν γενόμενος, Θεὸν ἕξεις πρὸ τῆς ἀνθρωπίνης δίκης τὸν ἀμυνόμενον, εὐθύνας τε ἀπαιτοῦντα καὶ νῦν, καὶ ὁπηνίκα ἑκάστῳ τὰ ἐπίχειρα τῶν οἰκείων ἀποδίδωσιν ἔργων.

Ἕτερον (1).

Η ΤΑΠΕΙΝΟΤΗΣ ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἀνατίθησι τῷ ἐντιμοτάτῳ δεῖνι, τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ἐκκλησίας, τὴν ἐξαρχίαν καὶ διοίκησιν καὶ οἰκονομίαν πασῶν τῶν ἐν τῇ ἡμετέρᾳ ἐνορίᾳ χωρῶν, ὅςις καὶ ὀφείλει ἐπιβλέπειν καὶ ἐπιτηρεῖν αὐτὰς, καὶ πάντα τὸν εὑρισκόμενον ἐκεῖσε θεοφιλῆ κλῆρον, καὶ τὸν χριστώνυμον λαὸν, καὶ διδάσκειν, καὶ παραινεῖν, καὶ εἰσηγεῖσθαι αὐτοῖς τὰ ψυχωφελῆ καὶ σωτήρια· ἔχων ἄδειαν ἐξετάζειν ἀκριβῶς τοὺς ἱερωθήσεσθαι βουλομένους, καὶ κτιστῶν συνήθων μαρτυριῶν παραπέμπειν αὐτοὺς πρὸς τὴν ἡμετέραν τα-

(1) Ἐκ τοῦ Χειρ. Γ.

πανότητα χειροτονηθησομένους· διερευνᾷν ὁμοίως τοὺς μέλλοντας ἀναδέξασθαι τὸ τῆς πνευματικῆς πατρότητος λειτούργημα, εἴτε ἱερομόναχοί εἰσιν, εἴτε ἁπλῶς ἱερεῖς, καὶ εἴπερ ἔχουσι τὸν τρόπον τῷ ἀξιώματι σύμφωνον, προσάγειν καὶ τούτους ἡμῖν, ὥστε δι' ἐνταλμάτων πνευματικοὺς πατέρας ἀποκαθίστασθαι· κρίνειν ἁπάσας τὰς παρεμπιπτούσας ὑποθέσεις ἐκκλησιαστικὰς ὁμοῦ καὶ κοσμικὰς, καὶ νομίμως, καὶ κανονικῶς ταύτας διορθοῦν· ἀνακρίνειν τε τοὺς ἱερωμένους, καὶ, ὡς αὐτῷ βουλητὸν, δεόντως ἐπιτιμᾷν καὶ κανονίζειν, καὶ αὖθις συγχωρεῖν ἡδέως. Ἐκχωροῦμεν δὲ αὐτῷ, καὶ θείους καὶ ἱεροὺς ναοὺς, δι' ὧν ἂν ἐθέλῃ, καθιεροῦν κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν εἰς τοῦτο ἐκκλησιαστικὴν παράδοσιν, καὶ ἁπλῶς πάντα ἔχειν τὰ ἡμέτερα δίκαια ἐν τῇ εἰρημένῃ ἐνορίᾳ· ὅθεν καὶ ὀφείλουσιν ἅπαντες οἱ αὐτόθι εὑρισκόμενοι ἱερωμένοι, μονάζοντες, ἄρχοντες, καὶ ὁ λοιπὸς ἅπας χριστώνυμος λαὸς, στέργειν καὶ τιμᾷν αὐτὸν, καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς ἐμοὶ, καὶ τὴν αὐτὴν ἀποδιδόναι τιμὴν, καὶ ὑποταγὴν, καὶ εὐπείθειαν· τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ τὸ παρὸν γράμμα.

—

Ἕτερον (1).

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, διὰ τοῦ παρόντος αὐτῆς εὐεργετικοῦ γράμματος, εὐεργετεῖ καὶ δωρεῖται τῷ ἐντιμοτάτῳ μεγάλῳ ῥήτορι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας κὺρ Δημητρίῳ, τῷ κατὰ Πνεῦμα υἱῷ ἀγαπητῷ αὐτῆς, τὴν ἐξαρχικὴν δεσποτείαν τῶν κατὰ τὴν Πελοπόννησον πατριαρχικῶν καὶ σταυροπηγιακῶν μοναστηρίων, ἐπὶ τὸ λαμβάνειν τὰ κατ' ἔτος παρεχόμενα ἐξ αὐτῶν ἐτήσια πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην Ἐκκλησίαν ἐφ' ὅρῳ ζωῆς αὐτοῦ, εἰς μερικὴν περίθαλψιν καὶ ζωάρκειαν, ὡς ἀόκνως καὶ ἐπιμελῶς ὑπηρετοῦντι ἐν τῇ πατριαρχικῇ αὐλῇ καὶ μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ· δεῖ γὰρ τοὺς κοπιῶντας ὑπὲρ αὐτῆς τῶν ἀναγκαίων μὴ ὑστερεῖσθαι, ἀλλὰ τῆς προσηκούσης φιλοτιμίας ἀπολαμβάνειν. Διὸ καὶ γράφομεν, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὁ διαλη-

(1) Τὰ ἑπόμενα τρία ἐκ τοῦ Χρυσ. σελ. μδ'. μέ. μς'.

φθεὶς μέγας ῥήτωρ κὺρ Δημήτριος εἴη καὶ λέγηται ἔξαρχος τῶν πατριαρχικῶν αὐτῶν σταυροπηγίων, καὶ ἔχῃ τὴν ἐξαρχίαν ταύτην ἐφ' ὅρῳ ζωῆς αὐτοῦ ἀναφαιρέτως καὶ ἀναποσπάστως, καρπούμενος καὶ νεμόμενος τὰ ἐτήσια αὐτῶν ἀναντιῤῥήτως καὶ ἀνεμποδίστως πρὸς μερικὴν περίθαλψιν αὐτοῦ, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος, ἐν ἀργίᾳ καὶ ἀφορισμῷ ἐξ ἀποφάσεως· ὅθεν καὶ εἰς ἔνδειξιν ἐνεχειρίσθη αὐτῷ τὸ παρὸν εὐεργετικὸν γράμμα.

ΓΡΑΜΜΑ ΕΞΑΡΧΙΚΟΝ ΚΑΤ' ΑΡΧΙΕΡΕΩΣ.

Ἐντιμότατοι κληρικοὶ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Φαναρίου καὶ Νεοχωρίου, καὶ εὐλαβέστατοι ἱερεῖς μετὰ πάντων τῶν ὑποκειμένων αὐτῇ χωρίων, χρήσιμοι ἄρχοντες, καὶ γέροντες, καὶ λοιποὶ πάντες εὐλογημένοι Χριστιανοὶ, υἱοὶ ἐν Κυρίῳ ἀγαπητοὶ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν ἅπασι, καὶ εἰρήνη, καὶ ἔλεος ἀπὸ Θεοῦ, εὐχὴ δὲ, εὐλογία, καὶ συγχώρησις παρ' ἡμῶν. Ἐπειδὴ διὰ τὸ φανῆναι τὸν κακοαρχιεπίσκοπον ὑμῶν Κλήμεντα ἀπειθῆ, καὶ παρήκοον, καὶ ἀνυπότακτον, καὶ καταφρονητὴν τῶν πατριαρχικῶν συνοδικῶν ἡμῶν γραμμάτων, καὶ μὴ φροντίσαντα ὁλοτελῶς πληρῶσαι καὶ ἀποστεῖλαι τὰ συνοδικῶς ῥιφθέντα αὐτῷ ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα, καθαιρέσει παντελεῖ συνοδικῇ καθυπεβάλομεν αὐτὸν, καὶ τῆς ἀρχιερωσύνης ἀπεγυμνώσαμεν, καὶ τῆς ἐπαρχίας ταύτης ἐξωστρακίσαμεν, καὶ ἀπεδιώξαμεν· οὗ ἕνεκεν ἀποκαθιστῶμεν ἔξαρχον πατριαρχικὸν, καὶ ἐπίτροπον, τὸν ἱερώτατον μητροπολίτην Λαρίσσης, ὑπέρτιμον καὶ ἔξαρχον δευτέρας Θετταλίας καὶ πάσης Ἑλλάδος, κὺρ Μακάριον, τὸν ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἀδελφὸν ἡμῶν καὶ συλλειτουργὸν, ἐπὶ τῷ ἐπιστατεῖν ὑμᾶς ἀρχιερατικῶς, καὶ συνάζειν, καὶ παραλαμβάνειν πάντα τὰ ἐμπίπτοντα τῇ ἐπαρχίᾳ ταύτῃ ἐκκλησιαστικὰ εἰσοδήματα, καὶ δικαιώματα, καὶ φυλάττειν αὐτὰ διὰ καθαροῦ καταστίχου. Ὅθεν γράφοντες ἐντελλόμεθα ὑμῖν συνοδικῶς, γνώμῃ κοινῇ καὶ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν,

ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸν διαληφθέντα ἱερώτατον μητροπολίτην Λαρίσσης κὺρ Μακάριον, γινώσκοντες αὐτὸν ἡμέτερον ἔξαρχον πατριαρχικὸν καὶ ἐπίτροπον, τιμᾶτε, καὶ ἀγαπᾶτε αὐτὸν, καὶ δειλαβῆσθε, καὶ πείθησθε, καὶ ὑποτάσσησθε κατὰ τὸ προσῆκον καὶ δέον, καὶ παρέχητε τῇ αὐτοῦ ἱερότητι, μετὰ πάσης εὐγνωμοσύνης, εὐπειθείας τε, καὶ ὑποταγῆς, ἅπαντα τὰ ἐμπίπτοντα τῇ ἐπαρχίᾳ ταύτῃ ἐκκλησιαστικὰ εἰσοδήματα, καὶ δικαιώματα, οἱ μὲν ἱερεῖς, τὰ κανονικὰ, οἱ λαϊκοὶ, τὰ συνοικέσια, τὰς πανηγύρεις, ζητίας, πατριαρχικήν τε, καὶ τοπικὴν, καὶ εἴ τι ἄλλο σύνηθες τῷ τόπῳ, ἐγχειρίζοντες τὰ πάντα εὐγνωμόνως, καὶ εὐπειθῶς, ὅπως διαφυλάττωνται τὰ πάντα διὰ καθαροῦ καταστίχου, εἰς ἐκπλήρωσιν τῶν ἐκκλησιαστικῶν δικαιωμάτων, καὶ τῶν χρεῶν τῆς ἐπαρχίας αὐτῆς· ἔχοντα αὐτὸν ἄδειαν καὶ ἐξουσίαν παρ᾽ ἡμῶν κρίνειν καὶ θεωρεῖν πᾶσαν ἐκκλησιαστικὴν κρίσιν τε καὶ ὑπόθεσιν νομίμως καὶ κανονικῶς, καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαθιστᾷν, ἄνευ μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καὶ ἀργεῖν, καὶ ἀφορίζειν, καὶ παιδεύειν πάντα ἄτακτον καὶ ἀπειθῆ φαινόμενον πρὸς αὐτὸν ἱερωμένον, καὶ λαϊκὸν, καὶ ἐπιστατεῖν τὰ πάντα ἀρχιερατικῶς· ὅσοι δ᾽ ἂν φανῶσιν ἐναντίοι, καὶ ἀπειθεῖς, καὶ παρήκοοι, καὶ σκληροτράχηλοι, ἱερεῖς μὲν ὄντες, ἀργοὶ ἔστωσαν πάσης ἱερατικῆς ἐνεργείας, καὶ τάξεως, καὶ ἐστερημένοι παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, λαϊκοὶ δὲ, ἀφωρισμένοι ἀπὸ Θεοῦ, καὶ ἀσυγχώρητοι, καὶ ἄλυτοι μετὰ θάνατον, καὶ προκοπὴν οὐ μὴ ἴδοιεν, καὶ ἔξω τῆς Χριστοῦ Ἐκκλησίας· ὑμεῖς δὲ ποιήσατε, ὡς γράφομεν. Οὕτω γενέσθω ἐξ ἀποφάσεως.

—

Ἕτερον.

Ἱερώτατε μητροπολῖτα Τορνόβου, ὑπέρτιμε, καὶ ἔξαρχε πάσης Βουλγαρίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ, κὺρ Ἀθανάσιε, χάρις εἴη σοι, καὶ εἰρήνη ἀπὸ Θεοῦ. Γίνωσκε διὰ τοῦ παρόντος, ὡς ἐῤῥίφθη σοι συνοδικῶς νέα πατριαρχικὴ ζητία, τῆς νῦν τρεχούσης ἐννάτης Ἰνδικτιῶνος, ἥτις διωρίσθη δοθῆναι τῷ τιμιωτάτῳ καὶ εὐγενεστάτῳ ἄρχοντι κυρίτζῃ Μιχαλάκῃ Ῥωσέτῳ, υἱῷ κατὰ Πνεῦμα ἀγαπητῷ τῆς ἡμῶν μετριότητος, διὰ τὸ ὀφειλόμενον αὐτῷ χρέος τῆς Ἐκκλησίας, περὶ ἧς πέμπεται ἐξαρχικῶς αὐτόθι πρὸς σὲ ὁ ἐντιμότατος καὶ λογιώτατος λογοθέτης γενικὸς τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας κὺρ Ἰωάννης, ὁ κατὰ Πνεῦμα υἱὸς ἀγαπητὸς ἡμῶν, ἐπὶ τῷ παραλαβεῖν ἀπὸ τῆς ἀρχιερωσύνης σου τὸ ἀνάλογον ταύτης τῆς πατριαρχικῆς ζητίας τῆς ἐνεστώσης ἐννάτης Ἰνδικτιῶνος. Διὰ τοῦτο γράφοντες ἐντελλόμεθά σοι συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, ἐρχομένου τοῦ διαληφθέντος ἡμετέρου πατριαρχικοῦ ἐξάρχου εἰς τὰ αὐτόθι, ἀποδεχθῇς αὐτὸν μετὰ τῆς προσηκούσης τιμῆς, καὶ φιλοφροσύνης, καὶ δεξιώσεως, καὶ εὐθέως χωρίς τινος προφάσεως, καὶ ἀναβολῆς καιροῦ, καὶ βραδυτῆτος, πληρώσῃς πρὸς αὐτὸν τὴν συνοδικῶς σοι ῥιφθεῖσαν ταύτην πατριαρχικὴν ζητίαν τῆς ἐννάτης Ἰνδικτιῶνος, σώαν καὶ ἀνελλιπῆ, κατὰ τὴν περίληψιν τῆς πατριαρχικῆς ἡμετέρας ἀποδείξεως, καὶ ποιήσῃς τὴν ἐξόφλησιν ὅσον τάχος, κατ' οὐδὲν ἀντιλέγων, ἢ τὸν καιρὸν ἀναβαλλόμενος, ἐπὶ τῷ ἐλθεῖν αὐτὸν ἐξωφλημένον καὶ εὐχαριστημένον, καὶ ἀποκομίσαι τὰ ἄσπρα αὐτὰ, καὶ δοῦναι τῷ εἰρημένῳ ἄρχοντι. Ἂν δὲ παρακούσῃς, καὶ μὴ ποιήσῃς ὡς γράφομεν, ἕπεταί σοι ζημία, καὶ ἔξοδα, καὶ παιδεία ἐκκλησιαστική· σὺ δὲ, ἐὰν ἀγαπᾷς τὴν τιμήν σου, καὶ τὸ ἀζήμιον, φρόντισον ποιῆσαι, ὡς γράφομέν σοι, καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως. Ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος.

—

ΠΡΟΤΡΟΠΗ ΣΥΝΟΙΚΕΣΙΟΥ,

Η λεγομένη βοῦλλα (1).

ΘΕΟΦΙΛΕΣΤΑΤΕ πρεσβύτερε κὺρ δεῖνα, ποίησον εὐχὴν μνηστείας, καὶ τελείας ἱερουργίας γάμου ἐπὶ τῷ, καὶ τῇ, ἄνευ συγγενείας, τριγαμίας, μειχοζευξίας τε, καὶ ἀνηβότητος, καὶ παντὸς ἄλλου τοῦ παρὰ τῶν φιλευσεβῶν νόμων ἀπηγορευμένου· εἰ γὰρ τοιοῦτον ποιήσεις, μέλλεις κινδυνεύσειν εἰς τὴν ἱερωσύνην σου, περιουσίᾳ τοῦ δεῖνος ἄρχοντος τῆς Ἐκκλησίας. Μηνὶ, Ἰνδικτιῶνος.

—

ΠΡΟΒΙΒΑΣΤΙΚΑ ΘΡΟΝΩΝ

Καὶ περὶ ἐπιδόσεως ἐπαρχιῶν (2).

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, εὐδοκίᾳ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ γνώμῃ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ μεγάλης Συνόδου τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ δεῖνος καὶ τοῦ δεῖνος, τιμᾷ διὰ τοῦ παρόντος γράμματος τὴν ἁγιωτάτην ἐπισκοπὴν τήνδε τῷ τῆς μητροπόλεως ὀνόματι, καὶ τῇ τιμῇ, καὶ τῇ προεδρίᾳ· καὶ τὸν θεοφιλέστατον ἐπίσκοπον αὐτῆς, μητροπολίτην ἀπὸ τοῦ νῦν παρακελεύεται καὶ εἶναι, καὶ ὀνομάζεσθαι, ὥστε τοῖς λοιποῖς ὑπερτίμοις αὐτὸν συναριθμεῖσθαι, καὶ τόπον, καὶ τιμὴν ἔχειν μητροπολίτου ἔν τε στάσεσι καὶ καθέδραις, καὶ ταῖς λοιπαῖς συνοδικαῖς καὶ ἐκκλησιαστικαῖς συνελεύσεσι, καὶ πᾶσι τοῖς τῶν μητροπολιτῶν δικαίοις καὶ προνομίοις. Τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ δὴ τῷ ἱερωτάτῳ μητροπολίτῃ τῷ δεῖνι καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ καὶ τὸ παρὸν αὐτῆς γράμμα δι' ἀσφάλειαν.

—

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, γνώμῃ καὶ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ μεγάλης Συνόδου τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ δεῖνος, καὶ τοῦ δεῖνος, παρακελεύεται διὰ τοῦ παρόντος γράμματος, ἔχειν τὸν ἱερώτατον μητροπολίτην τόνδε, τὸν τόπον τοῦ δεῖνος, ὃν

(1) Ἐκ τοῦ Χειρ. Γ. — (2) Τὰ τρία ἑπόμενα ἐκ τοῦ Χειρ. Γ.

καὶ ὀφείλει κατέχειν ἀπὸ τοῦ νῦν ἔν τε στάσεσι καὶ καθέδραις, ταῖς μετὰ τῆς Συνόδου, καὶ ἐν ταῖς λοιπαῖς ἐκκλησιαστικαῖς συνελεύσεσιν, ἐπὶ πάσῃ τῇ ζωῇ αὐτοῦ· ἢ αὐτὸς, καὶ οἱ μετ᾽ αὐτὸν μητροπολῖται τῆς Ἐκκλησίας ταύτης· τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ τῷ δεῖνι, ὑπερτίμῳ, καὶ τὸν τόπον ἐπέχοντι τοῦ δεῖνος, καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος.

Η ΜΕΤΡΙΟΤΗΣ ἡμῶν, διὰ τοῦ παρόντος αὐτῆς γράμματος, ὁμοῦ μὲν φροντίζουσα τῆς ἁγιωτάτης μητροπόλεως τῆςδε, ὡς ἂν ἔχῃ ἀρχιερατικὴν ἐπίσκεψιν, καὶ ἀπολαύῃ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ὁμοῦ δὲ καὶ τοῦ ἱερωτάτου μητροπολίτου τοῦδε ἐπιμελουμένη καὶ πρόνοιαν ποιοῦσα, ὅπως μὴ ἐνδεῶς ἔχῃ τῶν ἀναγκαίων χρειῶν τῶν σωματικῶν, παραδίδωσιν αὐτῷ ἐπιδόσεως λόγῳ τὴν εἰρημένην μητρόπολιν. Ὀφείλει τοίνυν παραλαβεῖν αὐτὴν, καὶ οἰκονομεῖν κατὰ τὸ Θεοῦ θέλημα, διδάσκων τὸν ἐν αὐτῇ εὑρισκόμενον τοῦ Κυρίου λαὸν, καὶ παραινῶν, καὶ εἰσηγούμενος αὐτοῖς τὰ ψυχωφελῆ καὶ σωτηρία, ἔχων ἄδειαν ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους, καὶ διακόνους προβιβάζειν, καὶ πρεσβυτέρους χειροτονεῖν, ἱερουργεῖν ἀκωλύτως, ὅτε βούλεται, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν, πνευματικοὺς πατέρας ἐγκαθιστᾷν, καὶ τ᾽ ἄλλα πάντα ποιεῖν τὰ ἀρχιερατικὰ, δίχα μόνης τῆς τοῦ ἱερατικοῦ συνθρόνου ἐγκαθιδρύσεως· ὀφείλων ἐπιλαβέσθαι καὶ τῶν προσόντων τῇ Ἐκκλησίᾳ ταύτῃ κτημάτων τε καὶ πραγμάτων, καὶ λοιπῶν δικαίων καὶ προνομίων, καὶ ἐπιμελεῖσθαι τῆς αὐτῆς προκοπῆς καὶ αὐξήσεως, καὶ ἐπὶ τὸ κρεῖττον ἐπιδόσεως· ὀφειλόντων καὶ τῶν εὑρισκομένων ἐν αὐτῇ κληρικῶν, ἱερωμένων, μοναχῶν, ἀρχόντων, καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος, τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ τιμὴν, καὶ ὑποταγὴν, καὶ εὐπείθειαν. Τούτου γὰρ χάριν ἐπιδέδοται τῷ ἱερωτάτῳ μητροπολίτῃ τῷδε, ὑπερτίμῳ καὶ προέδρῳ τῆςδε, καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι᾽ ἀσφάλειαν, μηνὶ τῷδε, ἰνδικτιῶνος.

ΠΑΡΑΡΤΗΜΑ

ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΟΜΟΥ

ΤΟΥ

ΣΥΝΤΑΓΜΑΤΟΣ

ΤΩΝ ΘΕΙΩΝ ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ.

ΝΟΜΟΣ

Περὶ ἐπισκοπῶν, καὶ ἐπισκόπων, καὶ περὶ τοῦ ὑπὸ τοὺς ἐπισκόπους τελοῦντος κλήρου (1).

ΟΘΩΝ

ΕΛΕΩ ΘΕΟΥ

ΒΑΣΙΛΕΥΣ ΤΗΣ ΕΛΛΑΔΟΣ.

Ψηφισάμενοι ὁμοφώνως μετὰ τῆς βουλῆς καὶ τῆς γερουσίας, διατάττομεν.

ΤΜΗΜΑ Α'.

Περὶ τοῦ ἀριθμοῦ τῶν ἐπισκοπῶν, καὶ τῆς διαιρέσεως αὐτῶν.

Ἄρθρ. Α'. Ο ΑΡΙΘΜΟΣ τῶν ἐν τῷ βασιλείῳ ἐπισκοπῶν προσδιορίζεται εἰς εἰκοσιτέσσαρας.

Ἄρθρ. Β'. Αἱ ἐπισκοπαί εἰσιν αἱ ἑξῆς.

Α. Ἐν τῷ νομῷ Ἀττικῆς καὶ Βοιωτίας, δύο.

α'. Ἡ ἐπισκοπὴ Ἀθηνῶν, περιλαμβάνουσα τὰς ἐπαρχίας Ἀττικῆς, Μεγαρίδος, καὶ Αἰγίνης.

β'. Ἡ ἐπισκοπὴ Θηβῶν καὶ Λεβαδείας, περιλαμβάνουσα τὰς ὁμωνύμους ἐπαρχίας.

---

(1) Ἐκδίδομεν ἐνταῦθα ἐν παραρτήματι τὸν τῆς 9 Ἰουλίου 1852 Νόμον, δι' οὗ ἐκανονίσθησαν ἡ διαίρεσις τῶν ἐν τῷ βασιλείῳ τῆς Ἑλλάδος μητροπόλεων, ἀρχιεπισκοπῶν καὶ ἐπισκοπῶν, καὶ τὰ περὶ τῆς ψήφου καὶ προχειρίσεως αὐτῶν. Ὡσαύτως δὲ καὶ τὸν καταστατικὸν Νόμον τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.

Β. Ἐν τῷ νομῷ Εὐβοίας, δύο.

α'. Ἡ ἐπισκοπὴ Χαλκίδος, περιλαμβάνουσα τὰς ἐπαρχίας Χαλκίδος καὶ Ξηροχωρίου, μὲ τὰς νήσους Σκίαθον, Σκόπελον, καὶ Ἀλόνησον.

β'. Ἡ ἐπισκοπὴ Καρυστίας, περιλαμβάνουσα τὴν ὁμώνυμον ἐπαρχίαν, καὶ τὴν νῆσον Σκῦρον.

Γ. Ἐν τῷ νομῷ Φθιώτιδος καὶ Φωκίδος, δύο.

α'. Ἡ ἐπισκοπὴ Φθιώτιδος, περιέχουσα τὰς ἐπαρχίας Φθιώτιδος καὶ Λοκρίδος.

β'. Ἡ ἐπισκοπὴ Φωκίδος, περιέχουσα τὰς ἐπαρχίας Παρνασσίδος καὶ Δωρίδος.

Δ. Ἐν τῷ νομῷ Ἀκαρνανίας καὶ Αἰτωλίας, δύο.

α'. Ἡ ἐπισκοπὴ Ἀκαρνανίας καὶ Αἰτωλίας, περιέχουσα τὰς ἐπαρχίας Μεσολογγίου, Τριχωνίας, Βονίτσης, Ξηρομέρου, καὶ Βάλτου.

β'. Ἡ ἐπισκοπὴ Ναυπακτίας καὶ Εὐρυτανίας, περιέχουσα τὰς ὁμωνύμους ἐπαρχίας.

Ε. Ἐν τῷ νομῷ Ἀργολίδος καὶ Κορινθίας, τρεῖς.

α'. Ἡ ἐπισκοπὴ Ἀργολίδος, περιλαμβάνουσα τὰς ἐπαρχίας Ναυπλίας, καὶ Ἄργους.

β'. Ἡ ἐπισκοπὴ Κορινθίας, συγκειμένη ἐκ τῆς ὁμωνύμου ἐπαρχίας.

γ'. Ἡ ἐπισκοπὴ Ὕδρας καὶ Σπετσῶν, περιλαμβάνουσα τὰς ἐπαρχίας Ὕδρας, Σπετσῶν, Ἑρμιονίδος, καὶ Τροιζηνίας.

Ϛ. Ἐν τῷ νομῷ Ἀχαΐας καὶ Ἤλιδος, δύο.

α'. Ἡ ἐπισκοπὴ Πατρῶν καὶ Ἠλείας, περιέχουσα τὰς ὁμωνύμους ἐπαρχίας.

β'. Ἡ ἐπισκοπὴ Καλαβρύτων καὶ Αἰγιαλείας, περιέχουσα τὰς ὁμωνύμους ἐπαρχίας.

Ζ. Ἐν τῷ νομῷ Ἀρκαδίας, δύο.

α'. Ἡ ἐπισκοπὴ Μαντινείας καὶ Κυνουρίας, συγκειμένη ἐκ τῶν ὁμωνύμων ἐπαρχιῶν.

β'. Ἡ ἐπισκοπὴ Γόρτυνος καὶ Μεγαλοπόλεως, συγκειμένη ἐκ τῶν ὁμωνύμων ἐπαρχιῶν.

Η. Ἐν τῷ νομῷ Μεσσηνίας, δύο.

ἀ. Ἡ ἐπισκοπὴ Μεσσηνίας, συγκειμένη ἐκ τῶν ἐπαρχιῶν Μεσσήνης, Καλαμῶν, καὶ Πυλίας.

β'. Ἡ ἐπισκοπὴ Τριφυλίας καὶ Ὀλυμπίας, συγκειμένη ἐκ τῶν ὁμωνύμων ἐπαρχιῶν.

Θ. Ἐν τῷ νομῷ Λακωνίας, τρεῖς·

α'. Ἡ ἐπισκοπὴ Μονεμβασίας καὶ Σπάρτης, περιλαμβάνουσα τὰς ἐπαρχίας Λακεδαίμονος, καὶ Ἐπιδαύρου Λιμηρᾶς.

β'. Ἡ ἐπισκοπὴ Γυθείου, συγκειμένη ἐκ τῆς ὁμωνύμου ἐπαρχίας.

γ'. Ἡ ἐπισκοπὴ Οἰτύλου, συγκειμένη ἐκ τῆς ὁμωνύμου ἐπαρχίας.

Ι. Ἐν τῷ νομῷ Κυκλάδων, τέσσαρες·

α'. Ἡ ἐπισκοπὴ Σύρου καὶ Τήνου, περιέχουσα τὰς ἐπαρχίας Σύρου, Τήνου, καὶ Μήλου.

β'. Ἡ ἐπισκοπὴ Ἄνδρου καὶ Κέας, περιέχουσα τὰς ὁμωνύμους ἐπαρχίας.

γ'. Ἡ ἐπισκοπὴ Νάξου, συγκειμένη ἐκ τῆς ὁμωνύμου ἐπαρχίας.

δ'. Ἡ ἐπισκοπὴ Θήρας, συγκειμένη ἐκ τῆς ὁμωνύμου ἐπαρχίας.

Διὰ βασιλικοῦ διατάγματος θέλει προσδιορισθῆ ἡ ἕδρα ἑκάστης ἐπισκοπῆς, μετὰ προηγουμένην γνωμοδότησιν τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.

ΤΜΗΜΑ Β'.

Περὶ τῶν ἐπισκόπων, καὶ τῶν καθηκόντων αὐτῶν.

Ἄρθρ. Γ'. Ἑκάστη ἐπισκοπὴ ἔχει ἴδιον ἐπίσκοπον.

Ὁσάκις ἐπέλθῃ ἀνάγκη νὰ χειροτονηθῇ ἐπίσκοπος, ψηφίζονται ὑπὸ τῆς Ἱερᾶς Συνόδου τρεῖς ἐκ τῶν κληρικῶν, πολιτῶν Ἑλλήνων, τῶν ἐχόντων ὀρθῶς καὶ ὑγειῶς περὶ τὴν πίστιν, καὶ διακεκριμένων ἐπὶ συνέσει, καὶ βίῳ ἀνεπιλήπτῳ, καὶ παιδείᾳ ἐκκλησιαστικῇ.

Τῶν οὕτω ψηφισθέντων τριῶν τὰ ὀνόματα ὑποβάλλονται ὑπὸ τῆς Ἱερᾶς Συνόδου εἰς τὸν βασιλέα διὰ τοῦ ὑπουργείου τῶν Ἐκκλησιαστικῶν· ὁ δὲ βασιλεὺς φέρει τὴν ἔγκρισίν του ἐπὶ τὸν ἕνα ἐξ αὐτῶν.

Ἡ ἔγκρισις τοῦ βασιλέως ἀνακοινοῦται εἰς τὴν Ἱερὰν Σύνοδον, καὶ παρ' αὐτῆς τελοῦνται τότε ἐπὶ τὸν ἐκλεχθέντα τὰ νενομισμένα ἐκκλησιαστικῶς, κατὰ τὸν ἑξῆς τρόπον.

Πέμπεται ὑπὸ τῆς Ἱερᾶς Συνόδου τὸ μήνυμα πρὸς τὸν ἐκλεχθέντα, καὶ οὗτος δίδει ἐνώπιον αὐτῆς τὴν περὶ τῆς ἀποδοχῆς τῆς ἐπισκοπῆς, ἐν ᾗ χειροτονηθήσεται ἐπίσκοπος, διαβεβαίωσιν αὐτοῦ, ἔχουσαν οὕτως·

«Ἐπειδὴ διὰ τῆς ψήφου τῶν θεόθεν ὁδηγηθέντων ἁγίων ἀρχιερέων, τῶν συγκροτούντων τὴν Ἱερὰν Σύνοδον τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ἐψηφίσθην ὁ ἐλάχιστος ἐγὼ ὡς ἄξιος τοῦ ὑψηλοῦ καὶ θείου λειτουργήματος τῆς ἀρχιερωσύνης, ὅπως κατασταθῶ μητροπολίτης (ἀρχιεπίσκοπος, ἢ ἐπίσκοπος) τῆς ἁγιωτάτης μητροπόλεως (ἀρχιεπισκοπῆς, ἢ ἐπισκοπῆς) Ν. . . . καὶ ἔτυχον τῆς τοῦ μεγαλειοτάτου βασιλέως ἡμῶν ἐγκρίσεως, πείθομαι τῷ θείῳ βουλήματι, καὶ δέχομαι τὴν ποιμαντορίαν τῆς μητροπόλεως (ἀρχιεπισκοπῆς, ἢ ἐπισκοπῆς) ταύτης, διαβεβαιῶν διατηρῆσαι ἀκραιφνῶς τὰ ἱερὰ καθήκοντα τῆς ἧς ἀναδέχομαι ἱεραρχίας, καὶ ποιμᾶναι θεοφιλῶς τὸ λογικὸν ποίμνιον τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν εἰς νομὰς σωτηρίους τῆς εὐαγγελικῆς χάριτος, καὶ διαμεῖναι πιστὸς εἰς τὸν φιλόχριστον ἡμῶν βασιλέα καὶ κυριάρχην, καὶ ἀκατάγνωστος διὰ τῆς θείας χάριτος εἰς πάντα τὰ ἀρχιερατικὰ καθήκοντα.»

Ἡ διαβεβαίωσις αὕτη τοῦ ὑποψηφίου, γεγραμμένη ἐν τῷ ἱερῷ κώδηκι τῶν ὑπομνημάτων, ὑπογράφεται παρὰ τοῦ ἰδίου· ἑπομένως προχειρίζεται κατὰ τὰς κανονικὰς καὶ ἐκκλησιαστικὰς διατάξεις ἐπίσκοπος τῆς ἧς ἔλαχεν ἐπισκοπῆς· μετὰ δὲ τὴν χειροτονίαν ἐπικυροῦται καὶ διὰ βασιλικοῦ διατάγματος, ὅπως ἀναγνωρίζηται τοιοῦτος παρὰ τῶν ἐν τῷ βασιλείῳ ἀρχῶν. Πρὶν ἢ ἀναλάβῃ δὲ τὰ ἀρχιερατικὰ καθήκοντά του, διαβεβαιοῖ τὴν πίστιν αὐτοῦ ἐνώπιον τοῦ βασιλέως διὰ τῆς ἑξῆς προσφωνήσεως.

«Μεγαλειότατε βασιλεῦ! Διαβεβαιῶ ἐπὶ τῇ ἀρχιερωσύνῃ »μου, ὅτι ἀείποτε διατελῶν πιστὸς εἰς τὴν Ὑμετέραν Μεγαλειό»τητα, τὸν βασιλέα καὶ κυριάρχην μου, καὶ εὐπειθὴς εἰς τὸ »σύνταγμα καὶ τοὺς νόμους τοῦ βασιλείου, καταβαλῶ πᾶσαν »σπουδὴν σὺν πάσῃ δυνάμει, ἵνα ἐκπληρῶ τῇ θείᾳ χάριτι πάν-

»τα τὰ ἀρχιερατικὰ καθήκοντα τῆς πνευματικῆς ποιμαντορίας »τοῦ κατὰ τὴν κληρωθεῖσάν μοι ἐπισκοπὴν πιστοτάτου σοι »λαοῦ· καὶ μάρτυρα ἐπικαλοῦμαι ἐπὶ τῆς διαβεβαιώσεως ταύτης »αὐτὸν τὸν ὕψιστον Θεόν, ὃς δῴη τῇ Ὑμετέρᾳ Μεγαλειότητι »ζωὴν πολυχρόνιον ἐν ἄκρᾳ ὑγείᾳ, διατηρείη δὲ τὴν Ὑμετέραν »βασιλείαν ἀδιάσειστον, εὐδαιμονοῦσαν, αὐξάνουσαν, καὶ κραταιουμένην εἰς αἰῶνας αἰώνων.»

Ἡ διαβεβαίωσις αὕτη, ἔγγραφος καὶ ὑπογεγραμμένη παρ᾽ αὐτοῦ, τηρεῖται εἰς τὸ ἀρχεῖον τοῦ ὑπουργείου τῶν Ἐκκλησιαστικῶν.

Ἄρθρ. Δ'. Ἐπίσκοπος, κανονικῶς χειροτονηθείς, δὲν ἀποβάλλεται τῆς ἐπισκοπῆς αὐτοῦ, εἰμὴ ὅταν οἰκειοθελῶς παραιτηθῇ, ἢ ἐπὶ μόνῳ ἐγκλήματι ἐπάγοντι καθαίρεσιν.

Μετάθεσις ἐπισκόπου γίνεται μόνον ἐγκρίσει τοῦ βασιλέως, μετὰ γνωμοδότησιν τῆς Ἱερᾶς Συνόδου, τηρουμένων τῶν κανόνων ἀπαραλλάκτως ὡς καὶ παρὰ πάσαις ταῖς λοιπαῖς ὁμοδόξοις τοῦ Χριστοῦ Ἐκκλησίαις.

Ἄρθρ. Ε'. Ἐν ἀποβιώσει ἐπισκόπου, οἱ ἀξιωματικοὶ τῆς ἐπισκοπῆς φροντίζουσι τῇ συμπράξει τῆς διοικητικῆς ἀρχῆς περὶ τῆς διατηρήσεως καὶ ἐξασφαλίσεως τῶν ἀρχείων, καὶ τῶν ἄλλων τῆς ἐπισκοπῆς πραγμάτων, μέχρι τῆς ἐγκαταστάσεως τοῦ διαδεξομένου αὐτόν. Ἡ δὲ κυβέρνησις, ἐπὶ τῇ προτάσει τῆς Ἱερᾶς Συνόδου, διορίζει ἐκ τούτων ἐπισκοπικὴν ἐπιτροπήν, πρὸς διεξαγωγὴν τῶν πνευματικῶν ὑποθέσεων τῆς χηρευούσης ἐπισκοπῆς, ἕως οὗ ἐγκατασταθῇ ὁ ταύτης κανονικὸς ἐπίσκοπος.

Ἄρθρ. Ϛ'. Ἐὰν ἐπίσκοπος, ἕνεκα φυσικῆς τινος αἰτίας, κατασταθῇ ἀνίκανος πρὸς ἐκτέλεσιν τῶν καθηκόντων αὐτοῦ, ἀντικαθίσταται, μετὰ προηγουμένην γνωμοδότησιν τῆς Ἱερᾶς Συνόδου, δι᾽ ἑτέρου, κατὰ τὰ ἐν τοῖς προηγουμένοις ἄρθροις Γ'. καὶ Δ'. ὁριζόμενα. Εἰς δὲ τὸν εἰς ἀνικανότητα περιστάντα χορηγεῖται περίθαλψις διακοσίων δραχμῶν κατὰ μῆνα.

Ἄρθρ. Ζ'. Ἅπαντες οἱ ἐν τῷ βασιλείῳ ἐπίσκοποι διατελοῦσιν ὑπὸ τὴν ὑπερτάτην ἐφορείαν τῆς Ἱερᾶς Συνόδου, καὶ ἀναφέρονται πρὸς αὐτήν, ὡς ἀνωτάτην ἐκκλησιαστικὴν ἀρχήν, περὶ ἐκκλησιαστικῶν ὑποθέσεων ἀναγομένων εἰς τὰ πνευματικὰ αὐτῶν καθήκοντα, καὶ ἐκτελοῦσι τὰς ἀποφάσεις καὶ διαταγὰς αὐτῆς.

Ἄρθρ. Η'. Ὁ ἐπίσκοπος εἶναι ἡ πνευματικὴ καὶ ἐκκλησιαστικὴ ἀρχὴ τῆς κληρωθείσης αὐτῷ ἐπισκοπῆς.

Ἐνεργεῖ ἐν τῇ ἰδίᾳ αὐτοῦ ἐπισκοπῇ τὰ παρὰ τῶν ἱερῶν κανόνων καὶ ἐκκλησιαστικῶν διατάξεων ἐπιβαλλόμενα αὐτῷ καθήκοντα, διατηρῶν ἀπαρεγκλίτως τὰ θεῖα δόγματα, καὶ ἐπιτελῶν ἀκριβῶς τὰ μυστήρια, καὶ φυλάσσων τοὺς ἱεροὺς κανόνας, καὶ τὰς παραδόσεις τῆς Ὀρθοδόξου Ἐκκλησίας· ἐπαγρυπνεῖ εἰς τὴν ἀκριβῆ τούτων διατήρησιν καὶ παρὰ τῶν ὑπὸ τὴν πνευματικὴν αὐτοῦ ποιμαντορίαν διατελούντων· προσέχει εἰς τὴν ἀκριβῆ ἐκτέλεσιν πάσης ἱεροτελεστίας, εἰς τὴν τακτικὴν ἀνάγνωσιν τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένων καὶ ψαλλομένων ἀκολουθιῶν, εἰς τὰς ἐν τοῖς ἱεροῖς ναοῖς ἁγίας εἰκόνας, εἰς τὰ ἱερὰ σκεύη, ἄμφια, καὶ πάντα τὰ εἰς τὴν θείαν λατρείαν ἀνηγόμενα· ὡσαύτως προσέχει εἰς τὴν πνευματικὴν κατάστασιν τῶν ἱερῶν μοναστηρίων, καὶ εἰς τὴν κατὰ τοὺς μοναστικοὺς ὅρους διαγωγὴν τῶν ἐν αὐτοῖς μοναζόντων· πρὸς δὲ καὶ εἰς τὴν εὐπρέπειαν τῶν ἐν αὐτοῖς ναῶν· ἔχει σφραγίδα ἰδίαν, ἐν τῷ μέσῳ τῆς ὁποίας ὑπάρχει ἐγκεχαραγμένον τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ, κύκλῳ δὲ, τὰ γνωριστικὰ τῆς θέσεως αὐτοῦ γράμματα. Περὶ πάσης δὲ πράξεως αὐτοῦ ἀντιβαινούσης εἰς τοὺς ἱεροὺς κανόνας, καὶ τὰς παραδόσεις τῆς Ἐκκλησίας, καὶ ἐν γένει εἰς τὰ ἐκκλησιαστικὰ καθήκοντα αὐτοῦ, ὑπόκειται εἰς εὐθύνην, καὶ δίδει λόγον ἐνώπιον τῆς ἱερᾶς Συνόδου.

Ἄρθρ. Θ'. Ὁ ἐπίσκοπος, κατὰ τὸ ἐπισκοπικὸν αὐτοῦ καθῆκον, ἐπιτηρεῖ τὸν ὑπὸ τὴν ποιμαντορίαν αὐτοῦ κλῆρον κατά τε τὸ πολίτευμα, καὶ τὴν ἐκπλήρωσιν τῶν καθηκόντων του. Ἐπαγρυπνεῖ εἰς τὰ πρὸς βελτίωσιν, πρὸς εὐκοσμίαν, καὶ πρὸς ἐκπλήρωσιν τῶν χρεῶν τῆς ἐπαγγελίας τοῦ ὑπ' αὐτὸν κλήρου συντείνοντα.

Δικάζει μετὰ τεσσάρων ἐκ τῶν ἀξιωματικῶν τῆς ἑαυτοῦ ἐπισκοπῆς, διοριζομένων ἐφάπαξ διὰ βασιλικοῦ διατάγματος, ἐπὶ τῇ γνωμοδοτήσει τῆς ἱερᾶς Συνόδου, τὰς ἐκκλησιαστικὰς παραβάσεις καὶ παρεκτροπὰς τῶν ὑπὸ τὴν ποιμαντορίαν αὐτοῦ κληρικῶν· καὶ ἐπιβάλλει ἐκκλησιαστικὰς ποινὰς εἰς τὸν περιπεσόντα ἀποδεδειγμένως εἰς ἁμάρτημα, ὡς πρὸς τὰ χρέη καὶ καθήκοντα τῆς ἐπαγγελίας του, ὡς ἐφεξῆς·

α'. Ἐπίπληξιν·

β'. Ἀργίαν πάσης ἱεροπραξίας μετὰ στερήσεως τῶν δικαιωμάτων τῆς ἐφημερείας τοῦ τιμωρουμένου·

γ'. Ἔκπτωσιν τοῦ ἀξιώματος, εἰς ὃ ἦτον ἰδίως διωρισμένος ὁ τιμωρούμενος·

δ'. Σωματικὸν περιορισμὸν ἐντὸς διατηρουμένου μοναστηρίου, ἢ ἄλλου εἰδικοῦ διὰ τοὺς κληρικοὺς σωφρονιστικοῦ καταστήματος·

ε'. Ἀπότισιν ποσοῦ διπλασίου τῶν, ὅσα χρήματα ἔλαβεν ὁ τιμωρούμενος πλέον τοῦ νενομισμένου, ἢ διὰ πρᾶξιν ἀπηγορευμένην καὶ ἐναντίαν εἰς τὰ καθήκοντά του. Ἡ εἴσπραξις δὲ αὕτη ἐνεργεῖται ὑπὸ τῆς πολιτικῆς ἀρχῆς, καὶ κατατίθεται εἰς τὸ ἐκκλησιαστικὸν ταμεῖον·

ς'. Ἀφορισμὸν προσωπικὸν κατὰ κληρικοῦ μοναχοῦ.

Αἱ ἀποφάσεις τοῦ ἐπισκοπικοῦ δικαστηρίου, αἱ καταγινώσκουσαι ἐπίπληξιν, ἢ ἀργίαν μέχρι τῶν ἑπτὰ ἡμερῶν, εἶναι ἀνέκκλητοι· αἱ δὲ λοιπαὶ ἐκκαλοῦνται ἐνώπιον τῆς Ἱερᾶς Συνόδου, ἐντὸς δέκα ἡμερῶν ἀπὸ τῆς πρὸς τὸν καταδικασθέντα κοινοποιήσεως τῆς ἀποφάσεως, παρατεινομένης τῆς προθεσμίας ταύτης κατὰ λόγον τῆς ἀποστάσεως κατὰ τὸ ἄρθρον 195 τῆς πολιτικῆς δικονομίας.

Ἡ ἔφεσις ἀναστέλλει τὴν ἐκτέλεσιν τῆς ἐκκληθείσης ἀποφάσεως, καὶ ἐπιδίδοται ἐπὶ ἀποδείξει εἰς τὸν προεδρεύοντα τὸ ἐπισκοπικὸν δικαστήριον ἐπίσκοπον, ὅστις ἀποστέλλει αὐτὴν ἐντὸς 24 ὡρῶν πρὸς τὴν Ἱερὰν Σύνοδον ὁμοῦ μὲ τὴν ἐκδοθεῖσαν ἀπόφασιν, καὶ τὸν φάκελλον τῆς ἀνακρίσεως.

Μόνον δὲ ἐν τῇ περιπτώσει τοῦ §. β'. ὁ εἰς ἀργίαν ὑποβληθεὶς, ἀφ' ἧς στιγμῆς ἔλαβε τὴν κοινοποίησιν τῆς καταδικαστικῆς ἀποφάσεως, ὀφείλει νὰ ἀπέχῃ πάσης ἱεροπραξίας, μέχρις οὗ ἡ Ἱερὰ Σύνοδος ἀποφανθῇ ὁριστικῶς ἐπὶ τῆς ἐφέσεώς του. Ἂν δὲ τυχὸν παρέλθωσιν αἱ ἡμέραι τῆς ἀργίας, εἰς ἣν ὑπεβλήθη διὰ τῆς ἐπισκοπικῆς ἀποφάσεως, πρὶν ἀποφανθῇ ἡ Ἱερὰ Σύνοδος ἐπὶ τῆς ἐφέσεώς του, ὁ ἐκκαλῶν ἐπαναλαμβάνει αὐτοδικαίως τὴν ἐκπλήρωσιν τῶν ἱερῶν καθηκόντων του. Ἐν περιπτώσει δὲ, καθ' ἣν ἡ ἀπόφασις τῆς Συνόδου εἶναι κατα-

δικαστική, αἱ ἡμέραι τῆς ἀργίας λογίζονται, ἀφ' ἧς ἐπεδόθη εἰς τὸν καταδικασθέντα ἡ ἐπισκοπικὴ ἀπόφασις.

Ἡ σύνοδος ἀποφαίνεται κατὰ τοὺς κανόνας, καὶ τὰς ἐκκλησιαστικὰς διατάξεις, καὶ τὸν καταστατικὸν αὐτῆς Νόμον, ἐπικυροῦσα, τροπολογοῦσα, ἢ ἀκυροῦσα τὴν ἐκδοθεῖσαν ἀπόφασιν.

Ἐκτὸς τῆς ἀποφάσεως τῆς καταγινωσκούσης ἐπίπληξιν, ἢ ἀργίαν, καὶ σωματικὸν περιορισμὸν μέχρι τῶν 15 ἡμερῶν, ὅλαι αἱ λοιπαὶ, τελεσίδικοι καταστᾶσαι, ἐκτελοῦνται κατὰ τοὺς §§ 1. καὶ 2 τοῦ ΙΔ'. ἄρθρου τοῦ καταστατικοῦ Νόμου τῆς Ἱερᾶς Συνόδου.

Ἐάν ποτε κληρικὸς ὑποπέσῃ εἰς ἁμάρτημα ἐκκλησιαστικὸν ἐπάγον καθαίρεσιν, ὁ ἐπίσκοπος, εἴτε αὐτὸς, εἴτε κατὰ παραγγελίαν του εἷς ἐκ τῶν ἀνωτέρων ἀξιωματικῶν τῆς ἐπισκοπῆς του, ἐνεργεῖ τακτικὴν ἀνάκρισιν, καὶ, ταύτης περαιωθείσης, πέμπει τὸν φάκελλον τῆς ἀνακρίσεως εἰς τὴν Ἱερὰν Σύνοδον, ἥτις δικάζει κατὰ τὰς κανονικὰς διατάξεις, καὶ τὰς ἐκκλησιαστικὰς διατυπώσεις, ἀφ' οὗ πρῶτον ἀκούσῃ τὸν κατηγορούμενον κληρικόν.

Ἄρθρ. Ι'. Ὁ ἐπίσκοπος, κατ' αἴτησιν τῶν ἐχόντων συμφέρον, ἐκδίδει ἐπιτίμιον ἀνωνύμως καὶ ἀπολύτως κατὰ ἀδίκων καὶ ἐπιζημίων πράξεων, καὶ πρὸς ἐξιχνίασιν τῆς ἀληθείας, μετὰ προηγηθεῖσαν συγκατάθεσιν τῆς ἁρμοδίας διοικητικῆς ἀρχῆς.

Ἄρθρ. ΙΑ'. Εἰς τὸν ἐπίσκοπον ἀνήκει ἡ δοκιμασία καὶ χειροτονία τῶν ἐντὸς τῆς ἐπισκοπῆς αὐτοῦ ἱερωμένων πάσης τάξεως καὶ βαθμοῦ, καὶ ἡ δοκιμασία τῆς κουρᾶς τῶν μοναχῶν. Ὁ ἀριθμὸς τῶν εἰς ἑκάστην κοινότητα καὶ ἐνορίαν ἀναγκαίων ἱερέων καὶ διακόνων, καὶ ἡ διαίρεσις τῶν ἐνοριῶν θέλουσι κανονισθῆ διὰ βασιλικοῦ διατάγματος, μετὰ προηγουμένην γνωμοδότησιν τῆς Ἱερᾶς Συνόδου· ὁ δὲ τρόπος τῆς ἐκλογῆς τῶν ἱερέων καὶ διακόνων θέλει γίνεσθαι, ὡς καὶ μέχρι τοῦδε.

Χειροτονία πρεσβυτέρου, καὶ διακόνου, καὶ κουρὰ μοναχοῦ τελεῖται κατὰ τοὺς ἱεροὺς κανόνας· ὁ δὲ χειροτονήσας παρὰ τοὺς κανόνας καὶ ἀπολύτως, ἢ ἐπέκεινα τοῦ ὁρισθησομένου ἀριθμοῦ, καὶ ὁ κείρας μοναχὸν ἄνευ τῆς κανονικῆς δοκιμασίας, τι-

μωρεῖται ἐκκλησιαστικῶς, καθὼς καὶ ὁ οὕτω χειροτονηθεὶς, καὶ ὁ τὴν κουρὰν λαβών.

Ὁ χειροτονούμενος εἰς πρεσβύτερον, ἢ διάκονον, καθὼς καὶ ὁ τὴν κουρὰν λαμβάνων μοναχὸς, ἐκτὸς τῶν παρὰ τῶν ἱερῶν κανόνων ἀπαιτουμένων προσόντων πρὸς χειροτονίαν, ἢ κουρὰν, πρέπει νὰ ἦναι πολίτης Ἕλλην, καὶ νὰ ἔδωκε προηγουμένως τὸν νενομισμένον ὅρκον τοῦ πολίτου Ἕλληνος.

Ἄρθρ. ΙΒ'. Ὁ ἐπίσκοπος χειροθετεῖ ἐκ τῶν ὑπ' αὐτὸν κληρικῶν τοὺς ἀξιωματικοὺς τῆς ἐπισκοπῆς του, προσδιορίζων ἑκάστου τὰ καθήκοντα.

ΤΜΗΜΑ Γ'.

Περὶ τοῦ ὑπὸ τὸν ἐπίσκοπον κλήρου.

Ἄρθρ. ΙΓ'. Ἅπαντες οἱ κληρικοὶ ἑκάστης ἐπισκοπῆς, οἱασδήποτε τάξεως καὶ βαθμοῦ ἂν ὦσιν, ὑπάγονται κατὰ τὰς κανονικὰς διατάξεις ὑπὸ τὸν ἴδιον αὐτῶν ἐπίσκοπον, καὶ αὐτὸν ὀφείλουσιν ἵνα γνωρίζωσιν ὡς ἀμέσως προϊστάμενον ἐκκλησιαστικῶς, καὶ ὑπακούωσιν εἰς αὐτὸν, καὶ ἐκτελῶσι τὰς ἐκκλησιαστικὰς παραγγελίας καὶ διαταγάς του.

Ἄνευ τῆς εἰδήσεως καὶ τῆς κανονικῆς ἀδείας τοῦ ἁρμοδίου ἐπισκόπου, οὐδεὶς τῶν ἱερωμένων δύναται νὰ ἐκτελῇ ἱεροπραξίαν τινὰ ἐκτὸς τῆς λαχούσης αὐτῷ ἐνορίας, ἢ εἰς ἐξωκκλήσιον, ἢ εἰς Ἐκκλησίαν ἰδιόκτητον, οὔτε ἀποδημεῖ ἄνευ τῆς ἐγγράφου ἀδείας τοῦ ἐπισκόπου, οὔτε διαμένει ἐκτὸς τῆς ἐπισκοπῆς του ὑπὲρ τὸν χρόνον τῆς ἀδείας αὐτοῦ, οὔτε μεταβάλλει τὴν σταθερὰν διαμονήν του ἄνευ τακτικοῦ ἀπολυτηρίου ἐγγράφου· ἄλλοθεν δὲ προσερχόμενος δὲν εἶναι δεκτὸς πρὸς ἐξάσκησιν ἱερατικῶν καθηκόντων, ἐὰν δὲν φέρῃ τακτικὸν ἔγγραφον παρὰ τοῦ ἐπισκόπου, ὑφ' ὃν ἐτέλει πρότερον.

Εἰς οὐδένα τῶν ἐκ τοῦ κλήρου ἐπιτρέπεται νὰ περιφέρηται ἀπὸ κοινότητος εἰς κοινότητα, ἐπαιτῶν λόγῳ ἐνδείας, ἢ ἄλλης τινὸς αἰτίας· εἰ δέ τις ἐπὶ τούτῳ φωραθῇ, συλλαμβάνεται παρὰ τῆς πολιτικῆς ἀρχῆς, καὶ, ἂν δὲν ὑπάρχῃ ἀφορμὴ πρὸς ποινικὴν καταδίωξιν, προσάγεται εἰς τὸν ἐπίσκοπον, ὅστις, μετὰ προηγουμένην ἐξέτασιν, ἀποστέλλει αὐτὸν διὰ τῆς διοικητικῆς

ἀρχῆς εἰς τὸν ἁρμόδιον ἐπίσκοπόν του, παρ' οὗ δικάζεται καὶ τιμωρεῖται κατὰ τὰς διατάξεις τοῦ ἄρθρ. Θ'. τοῦ παρόντος νόμου.

Ἐάν τις τῶν μοναχῶν, ἀνήκων, ἢ μή, εἰς μοναστήριον, περιφέρεται ἐν τῷ κόσμῳ, διατάττεται παρὰ τοῦ ἐπισκόπου αὐτοῦ, ὁ μὲν ἀνήκων εἰς μοναστήριον ν' ἀπέλθῃ εἰς τὴν μονὴν τῆς μετανοίας του, ὁ δὲ μὴ ἀνήκων εἰς μοναστήριον νὰ ἐκλέξῃ ἓν ἐκ τῶν ὑπαρχόντων πρὸς ἐγκαταβίωσίν του· καὶ ἐὰν παρακούσῃ, στέλλεται ὑπὸ τῆς πολιτικῆς ἀρχῆς, κατ' αἴτησιν τοῦ ἐπισκόπου, ὁ μέν, εἰς ὃ ἀνήκει μοναστήριον, ὁ δέ, εἰς ἓν ἐκ τῶν ἐν τῷ βασιλείῳ ὑπαρχόντων.

ΤΜΗΜΑ Δ'.

Γενικαὶ διατάξεις.

Ἄρθρ. ΙΔ'. Ἕκαστος τῶν ἐν ἐνεργείᾳ ἀρχιερέων ὀφείλει νὰ περιοδεύῃ τοὐλάχιστον ἅπαξ τοῦ ἐνιαυτοῦ ἐν τῇ ἰδίᾳ ἑαυτοῦ ἐπισκοπῇ, πρὸς ἐκτέλεσιν τῶν ποιμαντορικῶν καθηκόντων αὐτοῦ.

Ἄρθρ. ΙΕ'. Ἐκ τῶν ἐν τῷ βασιλείῳ ἐπισκοπῶν, μία μὲν εἶναι μητρόπολις, ἡ τῶν Ἀθηνῶν, ὡς πρωτεύουσα πόλις τοῦ βασιλείου, ἧς ὁ κατὰ καιρὸν ἀρχιερατεύων φέρει τὸν τίτλον μητροπολίτης· δέκα δὲ ἀρχιεπισκοπαί, αἱ τῶν ἐννέα ἄλλων νομῶν πρωτεύουσαι, καὶ ἡ ἐπισκοπὴ Κορίνθου, ὧν οἱ κατὰ καιροὺς ἀρχιερατεύοντες φέρουσι τὸν τίτλον ἀρχιεπίσκοποι.

Ἄρθρ. Ιϛ'. Ἀπὸ τῆς πρώτης Ἰαννουαρίου 1853 ἕκαστος τῶν ἐν ἐνεργείᾳ ἀρχιερέων λαμβάνει κατ' ἔτος ὡς ἐπίδομα,

Ὁ μητροπολίτης . . . . , . . .	δραχ.	6000
Ἕκαστος τῶν ἀρχιεπισκόπων	»	5000
Καὶ ἕκαστος τῶν ἐπισκόπων . : .	»	4000

Ἀπὸ τῆς ῥηθείσης ἐποχῆς παύουν τὰ μέχρι τοῦδε λαμβανόμενα ἐπισκοπικὰ δικαιώματα, ἤτοι ἐμβατίκια, φιλότιμα, καὶ λοιπαὶ ἀποδοχαί, ἐξαιρουμένων τῶν τυχηρῶν διὰ πᾶσαν ὑπὸ τοῦ ἀρχιερέως τελουμένην ἱεροπραξίαν, καὶ τῶν ἐπὶ τῶν ἑξῆς πράξεων δικαιωμάτων, ὁριζομένων ὡς ἀκολούθως.

α. Διὰ πᾶσαν ἄδειαν γάμου (ἄνευ διαστολῆς ἐὰν ἦναι Α'. ἢ Β'. ἢ Γ'.) δραχ. 3.

β'. Διὰ πᾶσαν ἔκδοσιν διαζυγίου, δραχ. . 3.

γ'. Διὰ πᾶσαν ἔκδοσιν ἀορίστου καὶ ἀνωνύμου ἐπιτιμίου, δραχ. 3.

Εἰς τὰ δικαιώματα ταῦτα δὲν ἐμπεριλαμβάνεται τὸ τέλος τοῦ χαρτοσήμου.

Ἄρθρ. ΙΖ'. ὅσοι τῶν ἐπιζώντων σεβασμιωτάτων ἀρχιερέων ἔφερον μέχρι τοῦδε τὸν τίτλον τοῦ μητροπολίτου, θέλουσι διατηρήσει αὐτὸν ἐφ' ὅρου ζωῆς.

Ἄρθρ. ΙΗ'. Πᾶσα προεκδεδομένη διάταξις ἀντιβαίνουσα εἰς τοὺς ὁρισμοὺς τοῦ παρόντος νόμου, ἀκυροῦται.

Ὁ παρὼν νόμος ψηφισθεὶς παρὰ τῆς βουλῆς καὶ τῆς γερουσίας, καὶ παρ' Ἡμῶν σήμερον κυρωθεὶς, θέλει δημοσιευθῆ διὰ τῆς ἐφημερίδος τῆς Κυβερνήσεως, καὶ ἐκτελεσθῆ ὡς νόμος τοῦ κράτους.

Ἐν Ἀθήναις 9 Ἰουλίου 1852.

ΟΘΩΝ.

Ὁ ὑπουργὸς
ΣΤΑΥΡΟΣ ΒΛΑΧΟΣ.

Ἐθεωρήθη καὶ
ἐτέθη ἡ μεγάλη σφραγὶς τοῦ Κράτους.

Ἐν Ἀθήναις τῇ 10 Ἰουλίου 1852.

Ὁ ἐπὶ τῆς δικαιοσύνης ὑπουργός.

Κ. ΠΡΟΒΕΛΕΓΙΟΣ.

ΝΟΜΟΣ ΚΑΤΑΣΤΑΤΙΚΟΣ

Τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.

ΟΘΩΝ

ΕΛΕΩ ΘΕΟΥ

ΒΑΣΙΛΕΥΣ ΤΗΣ ΕΛΛΑΔΟΣ.

Ψηφισάμενοι ὁμοφώνως μετὰ τῆς Βουλῆς καὶ τῆς Γερουσίας, διατάττομεν.

Α. Η ΑΥΤΟΚΕΦΑΛΟΣ Ὀρθόδοξος Ἐκκλησία τῆς Ἑλλάδος, *μέλος* οὖσα τῆς μιᾶς ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας τοῦ Ὀρθοδόξου πληρώματος, συνίσταται μὲν ἐκ πάντων τῶν κατοίκων τοῦ βασιλείου τῶν εἰς Χριστὸν πιστευόντων, καὶ ὁμολογούντων τὸ ἱερὸν τῆς πίστεως σύμβολον, καὶ πρεσβευόντων πάνθ' ὅσα πρεσβεύει ἡ ἁγία τοῦ Χριστοῦ Ὀρθόδοξος Ἀνατολικὴ Ἐκκλησία, ἧς ἀρχηγὸς καὶ κεφαλὴ ὁ Κύριος καὶ Θεὸς Ἡμῶν Ἰησοῦς Χριστός· διοικεῖται δὲ πνευματικῶς παρ' ἀρχιερέων κανονικῶν, τηροῦσα ἀπαραλλάκτως, ὡς ἅπασαι αἱ λοιπαὶ ὁμόδοξοι τοῦ Χριστοῦ Ἐκκλησίαι, τοὺς ἱεροὺς Ἀποστολικοὺς καὶ Συνοδικοὺς κανόνας, καὶ τὰς ἱερὰς παραδόσεις.

Β'. Ἀνωτάτη ἐν τῷ βασιλείῳ ἐκκλησιαστικὴ ἀρχὴ ὑπάρχει Σύνοδος διαρκής, φέρουσα τ' ὄνομα *Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος*. Καθεδρεύει δὲ διαρκῶς ἐν τῇ καθέδρᾳ τοῦ βασιλείου, καὶ ἔχει σφραγίδα ἰδίαν, ἐν τῷ μέσῳ τῆς ὁποίας εἶναι ἐγκεχαραγμένον τὸ σημεῖον τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, κύκλῳ δὲ τὰ γράμματα *Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος*.

Γ'. Ἡ Ἱερὰ Σύνοδος σύγκειται ἐκ πέντε μελῶν ἰσοψήφων, ἐκ τῶν ἐν τῷ βασιλείῳ ἀρχιερέων, τῶν ἐχόντων ἐπισκοπάς, ὧν εἷς πρόεδρος, καὶ τέσσαρες σύνεδροι. Καὶ πρόεδρος μὲν ὑπάρχει διαρκῶς ὁ κατὰ καιρὸν ἐν τῇ πρωτευούσῃ τοῦ βασιλείου ἀρχιερατεύων μητροπολίτης· οἱ δὲ σύνεδροι καλοῦνται ἀλληλοδιαδόχως παρὰ τῆς κυβερνήσεως, κατὰ τὴν τάξιν τῶν πρεσβείων τῆς

ἀρχιερωσύνης, διατηρουμένης ἑνὶ ἑκάστῳ εἰς τὰς συνεδριάσεις καὶ τῆς τάξεως τοῦ ἰδίου βαθμοῦ.

Ἀνὰ πᾶν ἔτος οἱ σύνεδροι ἐπανέρχονται εἰς τὰς ἐπαρχίας των, καθόσον ἡ κυβέρνησις δὲν διατηρήσῃ ἐπὶ πλέον τινὰς ἐξ αὐτῶν, οἵτινες δὲν δύνανται νὰ ὑπερβαίνωσι τοὺς δύο.

Ἐν ἀπουσίᾳ, ἢ ἄλλῳ κωλύματι, τὸν πρόεδρον ἀναπληροῖ ὁ εἰς τὰς συνεδριάσεις ἀμέσως μετ' αὐτὸν προκαθήμενος τῶν ἄλλων· εἰς τυχοῦσαν δὲ ἀνάγκην ἀναπληρώσεώς τινος τῶν συνέδρων, καλεῖται παρὰ τῆς κυβερνήσεως ὁ κατὰ τὴν ἀνωτέρω τάξιν ἑπόμενος αὐτοῦ.

Ἡ ἐνιαυσία συνοδικὴ περίοδος ἄρχεται ἀπὸ ά. Σεπτεμβρίου ἑκάστου ἔτους.

Δ'. Ὁ πρόεδρος καὶ οἱ σύνεδροι, πρὶν ἢ ἀναλάβωσι τὰ καθήκοντά των, διαβεβαιοῦσι τὴν πίστιν αὐτῶν ἐνώπιον τοῦ Βασιλέως, διὰ τῆς ἑξῆς προσφωνήσεως.

Μεγαλειότατε Βασιλεῦ!

« Διαβεβαιοῦμεν ἐπὶ τῇ ἀρχιερωσύνῃ ἡμῶν, ὅτι ἀείποτε διατελοῦντες πιστοὶ εἰς τὴν Ὑμετέραν Μεγαλειότητα τὸν Βασιλέα καὶ Κυριάρχην ἡμῶν, καὶ εὐπειθεῖς εἰς τὸ σύνταγμα καὶ τοὺς νόμους τῆς ἐπικρατείας, καταβαλοῦμεν πᾶσαν σπουδὴν σὺν πάσῃ δυνάμει, ἵνα ἐκπληρῶμεν τῇ θείᾳ χάριτι τὰ καθήκοντα ἡμῶν εἰς τὴν τῆς Ἐκκλησίας διοίκησιν, τηροῦντες ἀπαραλλάκτως, ὡς ἅπασαι αἱ λοιπαὶ ὁμόδοξοι τοῦ Χριστοῦ Ἐκκλησίαι, τοὺς ἱεροὺς Ἀποστολικοὺς καὶ Συνοδικοὺς κανόνας, καὶ τὰς ἱερὰς παραδόσεις, καὶ μάρτυρα ἐπικαλούμεθα ἐπὶ τῆς διαβεβαιώσεως ταύτης αὐτὸν τὸν Ὕψιστον Θεόν, ὃς δῴη τῇ Ὑμετέρᾳ Μεγαλειότητι ζωὴν πολυχρόνιον ἐν ἄκρᾳ ὑγείᾳ, διατηρείῃ δὲ τὴν Ὑμετέραν βασιλείαν ἀδιάσειστον, εὐδαιμονοῦσαν, αὐξάνουσαν, καὶ κρατυνομένην εἰς αἰῶνας αἰώνων. »

Ἡ διαβεβαίωσις αὕτη τοῦ προέδρου καὶ τῶν συνέδρων, ἔγγραφος καὶ ὑπογεγραμμένη παρ' αὐτῶν, τηρεῖται εἰς τὸ ἀρχεῖον τοῦ ὑπουργείου τῶν Ἐκκλησιαστικῶν.

Ε'. Ἡ Ἱερὰ Σύνοδος ἔχει ά. καὶ β'. γραμματέα, κληρικοὺς καὶ ἕνα, ἢ, κατὰ τὴν ἀνάγκην τῆς ὑπηρεσίας, δύο γραφεῖς, κληρικοὺς καὶ τούτους ὄντας, καὶ ἕνα κλητῆρα, διοριζομένους, τοὺς μὲν

γραμματεῖς παρὰ τοῦ Βασιλέως, ἐπὶ τῇ προτάσει τοῦ ὑπουργοῦ τῶν Ἐκκλησιαστικῶν, τοὺς δὲ γραφεῖς καὶ τὸν κλητῆρα παρὰ τοῦ ὑπουργοῦ, ἐπὶ τῇ προτάσει τῆς Ἱερᾶς Συνόδου. Ὁ α'. γραμματεὺς καὶ τούτου κωλυομένου, ὁ β'. διευθύνει τὰ τοῦ γραφείου, εἰσηγεῖται τὰς ὑποθέσεις ἐνώπιον τῆς Συνόδου συνεδριαζούσης, καὶ κρατεῖ τὰ πρακτικὰ τῆς συνεδριάσεως· δὲν ἔχει δὲ ψῆφον, οὔτε λαμβάνει μέρος εἰς τὰς συζητήσεις, εἰμὴ ὁσάκις ζητηθῇ εἰς τοῦτο. Τῶν δὲ γραφέων τὰς ἐργασίας προσδιορίζει ἑκάστοτε ὁ γραμματεύς.

Οἱ γραμματεῖς καὶ οἱ γραφεῖς δίδουσιν ἐνώπιον τῆς Ἱερᾶς Συνόδου, συνεδριαζούσης ἐπὶ τούτῳ, τὴν ἑξῆς διαβεβαίωσιν.

« Διαβεβαιῶ ἐπὶ τῇ ἱερωσύνῃ μου, ὅτι θέλω φυλάξει πίστιν εἰς τὸν Βασιλέα, ὑπακοὴν εἰς τὸ σύνταγμα καὶ εἰς τοὺς νόμους τῆς ἐπικρατείας, τηρῶν ἀκριβῶς καὶ ἀπαρασαλεύτως τοὺς ὅρους αὐτῶν, καὶ ἐκπληρῶν εὐσυνειδότως τὴν ἐμπιστευθεῖσάν μοι ὑπηρεσίαν. »

Ὁ δὲ κλητὴρ δίδει τὸν συνήθη τοῦ δημοσίου ὑπαλλήλου ὅρκον.

Τὸ περὶ τῆς διαβεβαιώσεως τῶν γραμματέων καὶ τῶν γραφέων, ὡς καὶ τὸ περὶ τοῦ ὅρκου τοῦ κλητῆρος πρωτόκολλον, τηρεῖται εἰς τὸ ἀρχεῖον τοῦ ὑπουργείου τῶν Ἐκκλησιαστικῶν.

ς'. Παρὰ τῇ Ἱερᾷ Συνόδῳ διορίζεται ὑπὸ τοῦ Βασιλέως βασιλικὸς ἐπίτροπος, ὅστις, πρὶν ἢ ἀναλάβῃ τὰ καθήκοντά του, δίδει ἐνώπιον τοῦ Βασιλέως τὸν νενομισμένον ὅρκον τοῦ δημοσίου ὑπαλλήλου.

Ἐπειδὴ δὲ εἰς τὴν ὑπερτάτην βασιλικὴν ἐξουσίαν, εἰς ἣν εναπόκειται ἡ κυριαρχία τοῦ κράτους, ἀνήκει καὶ ἡ ἐποπτεία ἐφ' ὅλων τῶν ἐντὸς τοῦ βασιλείου γινομένων, ὁ βασιλικὸς ἐπίτροπος ἔχει τὸ καθῆκον νὰ παρευρίσκεται ἄνευ ψήφου εἰς ὅλας ἐν γένει τὰς συνεδριάσεις τῆς Ἱερᾶς Συνόδου, καὶ νὰ προσυπογράφηται εἰς ὅλα τὰ πρωτότυπα τῶν παρὰ τῆς Ἱερᾶς Συνόδου ἐκδιδομένων ἀποφάσεων καὶ πράξεων, ἀναγομένων εἴτε εἰς τὰ ἐσωτερικά, εἴτε εἰς τὰ ἐξωτερικὰ αὐτῆς καθήκοντα. Πᾶσα δὲ ἀπόφασις, ἢ πρᾶξις τῆς Ἱερᾶς Συνόδου, γινομένη ἐν ἀπουσίᾳ τοῦ βασιλικοῦ ἐπιτρόπου, ἢ μὴ φέρουσα τὴν προσυπογραφὴν αὐτοῦ, εἶναι ἄκυρος.

Ζ'. Τὰ καθήκοντα τῆς Ἱερᾶς Συνόδου διαιροῦνται εἰς ἐσωτερικά, καὶ εἰς ἐξωτερικά. Καὶ εἰς μὲν τὰ ἐσωτερικὰ ἐνεργεῖ ἡ Ἱε-

ρὰ Σύνοδος ἀνεξαρτήτως τῆς πολιτικῆς ἀρχῆς. Καθ' ὅσον δ' ἀφορᾷ τὰ ἐξωτερικά, ὡς ἔχοντα σχέσιν πρὸς τὴν πολιτείαν, τὰ δικαιώματα, ἢ τὸ κοσμικὸν συμφέρον τῶν κατοίκων, ἡ Ἱερὰ Σύνοδος ἐνεργεῖ τὰ περὶ τούτων τῇ συμπράξει καὶ ἐγκρίσει μόνον τῆς Κυβερνήσεως.

Η'. Τὰ ἐσωτερικὰ τῆς Ἐκκλησίας εἶναι κατὰ τοὺς εἰς τὰ ἄρθρα Θ'. Ι. καὶ ΙΔ'. τοῦ παρόντος νόμου ἀναφερομένους λεπτομερέστερον προσδιορισμούς, τὰ ἑξῆς·

α') Ἡ περὶ τῶν δογμάτων πιστὴ καὶ ὀρθὴ διδασκαλία.

β') Αἱ διατάξεις περὶ τῆς θείας λατρείας κατὰ τὰ ἀνέκαθεν τῇ Ἐκκλησίᾳ κανονισμένα.

γ') Ἡ ἐκτέλεσις τῶν καθηκόντων ἑκάστης τάξεως τοῦ κλήρου.

δ') Ἡ θρησκευτικὴ διδαχὴ πρὸς τὸν λαόν, καθόσον δὲν προσβάλλονται τὸ πολίτευμα καὶ οἱ νόμοι τοῦ Κράτους.

ε') Ἡ ἐκκλησιαστικὴ πειθαρχία.

ς') Ἡ δοκιμασία τῶν μελλόντων προχειρισθῆναι εἰς τὸν κλῆρον, καὶ ἡ χειροτονία αὐτῶν.

ζ') Ἡ καθιέρωσις τῶν ἱερῶν ναῶν.

η') Ἡ ἐκπλήρωσις τῶν θρησκευτικῶν καὶ ἐκκλησιαστικῶν χρεῶν, τῶν ὁριζομένων ὑπὸ τῶν δογμάτων, τῶν δογματικῶν βιβλίων, καὶ τοῦ ἐπὶ τούτων τεθεμελιωμένου κανονισμοῦ τῆς ὀρθοδόξου Ἐκκλησίας.

Θ'. Ἡ Ἱερὰ Σύνοδος ἐπαγρυπνεῖ·

α') Εἰς τὴν ἀκριβῆ διατήρησιν τῶν παρὰ τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας πρεσβευομένων θείων δογμάτων· καὶ ὅταν πληροφορηθῇ θετικῶς, ὅτι ὁποιοσδήποτε ἄνθρωπος ἐπιχειρεῖ νὰ ταράξῃ τὴν Ἐκκλησίαν τοῦ Βασιλείου δι' ἑτεροδιδασκαλίας, ἢ διδαχῆς προφορικῆς, ἢ γραπτῆς, διὰ προσηλυτισμοῦ, ἢ κατ' ἄλλον τινὰ τρόπον, ἡ Σύνοδος ζητεῖ τὴν παῦσιν τοῦ κακοῦ διὰ τῆς πολιτικῆς ἀρχῆς, καὶ τῇ ταύτης ἐγκρίσει ἐκδίδει συμβουλευτικὰ ἔγγραφα πρὸς τὸν λαόν, εἰς ἀποφυγὴν τῆς ἐκ τῶν τοιούτων προσγινομένης θρησκευτικῆς βλάβης.

β) Εἰς τὸ περιεχόμενον τῶν εἰς χρῆσιν τῆς νεολαίας καὶ τοῦ κλήρου, εἴτε ἔξωθεν τοῦ βασιλείου εἰσαγομένων, εἴτε ἐν τῇ Ἑλ-

λάδι δημοσιευομένων βιβλίων, φυλλαδίων, πινάκων, ἢ ἄλλων ἐντύπων, ἅτινα πραγματεύονται περὶ ἀντικειμένων θρησκευτικῶν· καὶ ὁσάκις πληροφορηθῇ, ὅτι τὰ τοιαῦτα περιέχουσί τι ἐναντίον, ἢ καθ' ὁποιονδήποτε τρόπον εἶναι βλαπτικὰ ἐκ τῆς χρήσεώς των ὡς πρὸς τὰ θεῖα δόγματα, τὰ ἱερὰ μυστήρια, τοὺς ἐκκλησιαστικοὺς κανόνας, τὴν ἱερὰν διδασκαλίαν, τὰς ἱερὰς παραδόσεις, τὰς ἱερὰς τελετάς, καὶ τὰ ἔθιμα τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, ζητεῖ τὴν σύμπραξιν τῆς Κυβερνήσεως εἰς ἀπαγόρευσιν τῆς χρήσεως αὐτῶν ἐν τοῖς σχολείοις· τὸν δὲ συγγραφέα, ἢ τὸν κυρίως ἢ τὸν κατ' ἐμπορίαν ἐκδότην αὐτῶν, ἢ τὸν τυπογράφον, ἢ τὸν βιβλιοπώλην, ἢ τὸν ῥωποπώλην καταγγέλλει εἰς τὴν πολιτικὴν ἀρχήν, διὰ νὰ ἐνεργηθῶσι κατ' αὐτῶν τὰ παρὰ τῶν πολιτικῶν νόμων ὁριζόμενα, ἐὰν οὗτοι εἶναι κοσμικοί. Κληρικοὶ δὲ ὄντες, ἐπιτιμῶνται ὑπὸ τῆς ἐκκλησιαστικῆς ἀρχῆς, καὶ καταγγέλλονται εἰς τὴν Κυβέρνησιν, ὅπως αὕτη ἐνεργήσῃ καὶ κατ' αὐτῶν τὰ παρὰ τῶν πολιτικῶν νόμων ὁριζόμενα.

Ι'. Ἡ Ἱερὰ Σύνοδος ἐπαγρυπνεῖ προσέτι περὶ τὴν ἀκριβῆ ἐκτέλεσιν τῶν ἱερῶν Ἀποστολικῶν τε καὶ Συνοδικῶν κανόνων, καὶ τῶν ἱερῶν παραδόσεων τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας· περὶ τὴν θείαν λατρείαν· περὶ τὴν κατὰ τὸ πνευματικὸν μέρος κατάστασιν τῶν ἐν τῷ βασιλείῳ εὐαγῶν μοναστηρίων· περὶ τὴν εὐπρέπειαν τῶν Ἐκκλησιῶν, καὶ τὴν εὐταξίαν τῶν ἱερῶν τελετῶν· περὶ τὴν εὐκοσμίαν τοῦ κλήρου, περὶ τὴν ἐκπαίδευσιν καὶ μόρφωσιν αὐτοῦ· καὶ φροντίζει ἵνα οἱ ἱερωμένοι καὶ οἱ μοναχοὶ διατηρῶσι τὰ καθήκοντα τοῦ ἐπαγγέλματός των, καὶ μὴ ἀσχολῶνται ἀπ' ἐναντίας τῶν ῥητῶς ἀπαγορευόντων τοῦτο ἐκκλησιαστικῶν τε καὶ πολιτικῶν θεσμῶν εἰς πολιτικὰ πράγματα, μήτε νὰ λαμβάνωσι τὴν παραμικρὰν μετοχὴν εἰς αὐτά.

ΙΑ'. Εἰς τὰ ἐξωτερικὰ καθήκοντα τῆς Ἱερᾶς Συνόδου ἀνάγονται κυρίως τὰ ἑξῆς·

α') Ὁ περιορισμὸς τῶν κατὰ τὰς ἐκκλησιαστικὰς τελετὰς πομπῶν, παρατάξεων κτλ., καθόσον οὗτος δὲν ἀντιβαίνει εἰς τὴν παραδεδεγμένην τῆς Ἐκκλησίας τάξιν.

β') Διατάξεις περὶ ἐκπαιδευτικῶν, περιθαλπτικῶν, καὶ σωφρονιστικῶν καταστημάτων διὰ τοὺς ἐκ τοῦ κλήρου·

γ') Ἔκτακτοι ἐκκλησιαστικαὶ τελεταί, πρὸ πάντων, ὅταν πρόκειται νὰ γένωσιν αὗται εἰς ἡμέρας ἐργασίμους, ἢ ἐκτὸς ἱεροῦ ναοῦ·

Διὰ νὰ ἔχωσι δὲ κῦρος αἱ περὶ τῶν ἀνωτέρω ἀντικειμένων διατάξεις τῆς Ἱερᾶς Συνόδου, ἀπαιτεῖται, διὰ μὲν τὰς διαλαμβανομένας εἰς τοὺς §§. ά. καὶ γ'. περιπτώσεις, ἡ ἔγκρισις τοῦ ὑπουργοῦ τῶν Ἐκκλησιαστικῶν, ἐν δὲ τῇ περιπτώσει τοῦ §. β'. ἡ ἔγκρισις τοῦ βασιλέως.

Πρὸς βεβαίωσιν τῆς δοθείσης ἐγκρίσεως, γίνεται ταύτης μνεία ἐν προοιμίῳ, ἐπὶ τοῦ πρωτογράφου τῆς Ἱερᾶς Συνόδου, ὡς ἐφεξῆς·

«Ἡ Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ἐγκρίσει καὶ τῆς πολιτικῆς ἀρχῆς, κτλ. »

ΙΒ'. Πᾶσα ὑπόθεσις ἀναγομένη εἰς τὴν ἁρμοδιότητα τῆς Ἱερᾶς Συνόδου συζητεῖται μὲν παρὰ πάντων τῶν μελῶν αὐτῆς, ἀποφασίζεται δὲ διὰ τῆς ψήφου τῶν πλειόνων.

Διὰ νὰ ἔχωσι κῦρος αἱ ἀποφάσεις τῆς Ἱερᾶς Συνόδου, ἀπαιτεῖται νὰ φέρωσι τὰς ὑπογραφὰς ὅλων τῶν μελῶν τῶν λαβόντων μέρος εἰς τὴν συζήτησιν.

ΙΓ'. Ὁ πρόεδρος καὶ οἱ σύνεδροι, ἐάν ποτε ὡς ἐκ τῆς συνοδικῆς θέσεώς των περιπέσωσιν εἰς παράβασιν ἐκκλησιαστικοῦ τινος θεσμοῦ, καθίστανται ὑπεύθυνοι ἐνώπιον τῆς Ἐκκλησίας, καὶ ἡ κυβέρνησις συγκαλεῖ τοὺς κανονικοὺς ἐπισκόπους τοῦ βασιλείου εἰς ἀνάκρισιν, ἐξέλεγξιν, καὶ τιμωρίαν τῆς παραβάσεως, κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας. Ἐὰν δὲ ἡ παράβασις εἶναι περὶ καθήκοντα συνοδικά, σχέσιν ἔχοντα καὶ πρὸς τὸ πολιτικόν, τότε τὰ ἀφορῶντα τὸ πολιτικὸν τοῦτο μέρος ἐναπόκεινται εἰς τὴν κυβέρνησιν.

ΙΔ'. Εἰς τὰ καθαυτὸ ἐκκλησιαστικὰ ἀντικείμενα, ἡ Ἱερὰ Σύνοδος ἔχει τὴν ὑπερτάτην δικαιοδοσίαν ἐφ' ὅλων τῶν ἐκ τοῦ κλήρου, καὶ πρὸς αὐτήν, ὡς πρὸς ἀνώτατον δικαστήριον, ἐκκαλοῦνται αἱ ὑπὸ τῶν ἐπισκόπων ἐκδιδόμεναι ἀποφάσεις δι' ἐκκλησιαστικὰς ὑποθέσεις, τὰς ὁποίας κρίνουσα καὶ ἀνακρίνουσα, ἀποφαίνεται ἐπ' αὐτῶν κανονικῶς.

Ἂν δὲ κληρικὸς ἔχῃ παράπονον κατὰ τοῦ ἰδίου αὐτοῦ ἐπι-

σκόπου, ἀναφέρεται πρὸς τὴν Ἱερὰν Σύνοδον, ἥτις ἐν τοιαύτῃ περιπτώσει ἀποφασίζει ὁριστικῶς καὶ ἀνεκκλήτως.

Ἡ Ἱερὰ Σύνοδος ἔχει προσέτι τὸ δικαίωμα νὰ ἐπιβάλλῃ κανονικὰς ποινὰς εἰς κληρικοὺς, καθ' ὅσα ἐκκαλοῦνται εἰς τὴν κρίσιν καὶ ἀπόφασιν αὐτῆς, ἢ καὶ δικάζονται ἀμέσως ὑπ' αὐτῆς, ὡς ἐφεξῆς·

α) Ἀργίαν πάσης ἱεροπραξίας μετὰ στερήσεως τῶν ἐκ τῆς ἐφημερίας τοῦ τιμωρουμένου προερχομένων δικαιωμάτων·

β') Σωματικὸν περιορισμὸν ἐντὸς διατηρουμένου μοναστηρίου, ἢ ἄλλου εἰδικοῦ διὰ τοὺς κληρικοὺς σωφρονιστικοῦ καταστήματος·

γ') Ἀπότισιν ποσοῦ διπλασίου, ἐάν τις φωραθῇ, ὅτι, λαβὼν χρήματα, ἔπραξέ τι παρὰ τὰ καθήκοντά του καὶ τοὺς ἱεροὺς τῆς Ἐκκλησίας θεσμοὺς, τὸ ὁποῖον κατατίθεται εἰς τὸ ἐκκλησιαστικὸν ταμεῖον.

δ') Ἀφορισμὸν προσωπικὸν κατὰ κληρικοῦ μοναχοῦ·

ε') Καθαίρεσιν.

Αἱ δὲ περὶ τούτων ἀποφάσεις αὐτῆς, ὡς καὶ αἱ τῶν ἐπισκόπων ἐπὶ τοιούτων ἀντικειμένων, αἵτινες θέλουσιν ἐκδίδοσθαι ἠτιολογημέναι μετὰ τῆς παραθέσεως καὶ τῶν κανόνων, ἐφ' ὧν αὗται στηρίζονται, ἐκτελοῦνται τῇ προηγουμένῃ ἐγκρίσει,

1) Τοῦ ὑπουργείου μὲν τῶν Ἐκκλησιαστικῶν, εἰς τὰς περιπτώσεις τῶν παραγράφων γ'. δ'., καθὼς καὶ εἰς τὰς περιπτώσεις τῶν παραγράφων ά. β'., ὁσάκις αἱ ὁριζόμεναι ἐν αὐτοῖς ποιναὶ ἐπιβάλλονται ἐπὶ χρόνον οὐχὶ ἐλάσσονα τῶν 15 ἡμερῶν, οὐδὲ μείζονα τῶν δύο μηνῶν·

2) Τοῦ βασιλέως δὲ, εἰς τὴν περίπτωσιν τοῦ §. ε, καθὼς καὶ εἰς τὰς περιπτώσεις τῶν §§. ά. β'. ὁσάκις αἱ ποιναὶ αὗται ἐπιβάλλονται ἐπὶ χρόνον μείζονα τῶν δύο μηνῶν.

Αἱ μέχρι δὲ τῶν 15 ἡμερῶν ποιναὶ τῶν §§. ά. καὶ β'. ἐκτελοῦνται ἄνευ ἐγκρίσεως τῆς πολιτικῆς ἀρχῆς.

Ἡ ἐκτέλεσις τῶν ἀποφάσεων τῆς Συνόδου γίνεται τῇ συμπράξει καὶ συνδρομῇ τῆς κυβερνήσεως.

Ἀλλ' ὡς πρὸς τὴν περίπτωσιν τοῦ §. ε. ὁ καταδικασθεὶς εἰς καθαίρεσιν, ἐὰν ἐντὸς δέκα ἡμερῶν δι' ἀναφορᾶς του πρὸς τὴν

βασιλέα ἐξαιτήσηται τὴν ἀναθεώρησιν τῆς δίκης, ὁ βασιλεὺς ἔχει τὸ δικαίωμα νὰ διατάξῃ εἰς τὴν Ἱερὰν Σύνοδον τὴν ἀναθεώρησιν αὐτῆς, προσκαλουμένων κατ' αὐτὴν καὶ ἄλλων ἐπισκόπων.

ΙΕ'. Προσωπικὸς ἀφορισμὸς ἐναντίον λαϊκῶν δὲν ἐκδίδοται εἰ μὴ μετὰ προηγουμένην ἔγκρισιν τῆς κυβερνήσεως.

Ις'. Τὰ κατὰ τοὺς γάμους, καθόσον μὲν ἀφορᾷ τὸ πολιτικὸν αὐτῶν μέρος, ἀνάγονται εἰς τὰ πολιτικὰ δικαστήρια, καθόσον δ' ἀφορᾷ τὸ πνευματικόν, εἰς τὰς ἐκκλησιαστικὰς ἀρχάς.

Ἡ ἐκκλησιαστικὴ ἀρχή, πληροφορηθεῖσα τὴν τελετὴν παρανόμου γάμου, ἔχει τὸ δικαίωμα ν' ἀπαιτήσῃ παρὰ τῆς πολιτικῆς ἀρχῆς διὰ νὰ ἐνεργηθῶσιν ἐξ ἐπαγγέλματος ὑπὸ τῶν δικαστηρίων τὰ ἐν τῷ πολιτικῷ νόμῳ ὁριζόμενα· μετὰ δὲ τὴν κηρύττουσαν παράνομον τὸν γάμον ἀμετάκλητον δικαστικὴν ἀπόφασιν, κηρύττει καὶ αὕτη τὸν γάμον ἄκυρον πνευματικῶς. Κατὰ δὲ τοῦ ἐπισκόπου, ἢ τοῦ ἐπιτρόπου, τοῦ εὐλογήσαντος τὸν παράνομον γάμον, ἢ ἐκδόντος τοιαύτην ἄδειαν, καθὼς καὶ κατὰ τοῦ ἱερέως τοῦ εὐλογήσαντος τὸν παράνομον γάμον ἀδείᾳ ἀνωτέρᾳ, ἢ ἄνευ ἀδείας, ἐπάγονται ποιναὶ κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας, καὶ κατὰ τὰς διατάξεις τοῦ ἀνωτέρω ἄρθρου ΙΔ'. κατὰ λόγον τῆς ἐνοχῆς ἑκάστου.

ΙΖ'. Ὅστις τῶν συνεζευγμένων εἰς γάμον ζητεῖ τὴν διάζευξιν, ἢ τὸν ἀπὸ τραπέζης καὶ κοίτης χωρισμόν, ὀφείλει ν' ἀποταθῇ περὶ τούτου δι' ἀναφορᾶς του πρὸς τὸν ἁρμόδιον ἐπίσκοπον, ὁ ὁποῖος προσκαλεῖ καὶ τοὺς δύο συζύγους πρὸς ἀπόπειραν συμβιβασμοῦ· καί, ἀφοῦ ἐντὸς τριῶν μηνῶν, μεταχειρισθεὶς ὅλα τὰ πρόσφορα πνευματικὰ μέσα, δὲν δυνηθῇ νὰ συμβιβάσῃ ἀμφοτέρους, ἀποφαίνεται περὶ τούτου διὰ πράξεώς του ἐπὶ τῆς αὐτῆς ἀναφορᾶς, τὴν ὁποίαν διευθύνει εἰς τὸ δικαστήριον τῆς περιφερείας· τὸ δὲ δικαστήριον μόνον μετὰ τὴν προσαγωγὴν τῆς ἀναφορᾶς ταύτης, καὶ τῆς πράξεως τοῦ ἐπισκόπου, δέχεται τὴν αἴτησιν τοῦ ἐπιδιώκοντος συζύγου, καὶ διατάττει, ἄνευ νέας ἀποπείρας ἑνώσεως, τὰ παρὰ τῆς Πολιτικῆς Δικονομίας ὁριζόμενα, πρὸς εἰσαγωγὴν τῆς ἀγωγῆς.

Κατὰ τὴν διάρκειαν τῆς περὶ ἑνώσεως ἀποπείρας, ὁ ἐπίσκοπος δύναται, ἂν θεωρήσῃ τοῦτο ἀναγκαῖον, νὰ δώσῃ ἐγγρά-

39*

φως ἄδειαν εἰς τὴν γυναῖκα νὰ μετοικήσῃ ἀπὸ τὴν οἰκίαν τοῦ ἀνδρὸς εἰς οἰκίαν προσδιοριζομένην παρὰ τῶν συζύγων, ἢ παρὰ τοῦ ἐπισκόπου, ὅταν οὗτοι διαφωνῶσι· μόνον δὲ μετὰ τὴν χορήγησιν τῆς τοιαύτης ἀδείας, τὰ δικαστήρια, κατ' αἴτησιν τοῦ ἑνὸς τῶν συζύγων, δύνανται, καὶ κατὰ τὴν διάρκειαν ἔτι τῆς περὶ ἐνώσεως ἀποπείρας, νὰ διατάξωσι τὰ ἐν τῷ ἄρθρῳ 683 παραγρ. 3, 4, καὶ 5 τῆς Πολιτικῆς Δικονομίας διαλαμβανόμενα προσωρινὰ μέτρα, κεκλεισμένων τῶν θυρῶν.

Ἐὰν δὲ ἡ ἀνωτέρω τρίμηνος προθεσμία παρέλθῃ, χωρὶς ν' ἀποφανθῇ κατὰ τ' ἀνωτέρω ὁ ἁρμόδιος ἐπίσκοπος, τότε δύναται ὁ εἷς, ἢ ὁ ἕτερος τῶν συζύγων, ν' ἀναφερθῇ πρὸς τὸ ἁρμόδιον δικαστήριον, τὸ ὁποῖον δέχεται τὴν αἴτησιν, ἀφοῦ πρότερον βεβαιωθῇ περὶ τῆς ἐν καιρῷ ἐπιδόσεως τῆς ἀναφορᾶς εἰς τὸν ἐπίσκοπον, καὶ ἐνεργεῖ τὰ ἐν τῷ Πολιτικῷ Νόμῳ ὁριζόμενα.

Μετὰ δὲ τὴν ἔκδοσιν τῆς δικαστικῆς περὶ διαλύσεως τοῦ γάμου ἀποφάσεως, καταστάσης ἀμετακλήτου, ὁ εἰσαγγελεὺς διευθύνει ἀντίγραφον αὐτῆς πρὸς τὴν ἐκκλησιαστικὴν ἀρχὴν, διὰ νὰ κηρύξῃ καὶ αὕτη τὸν γάμον διαλελυμένον πνευματικῶς.

ΙΗ'. Ὁποιουδήποτε σκεύους χρυσοῦ ἢ ἀργυροῦ, καθοσιωθέντος εἰς τὴν θείαν λατρείαν, τιμίων σταυρῶν, ἁγίων λειψάνων, ἁγίων εἰκόνων, καὶ ἐν γένει παντὸς κειμηλίου ἱεροῦ, ἢ ἱερατικοῦ ἀμφιάσματος ἔκθεσις ἐν ἀγορᾷ πρὸς πώλησιν, ἢ κατάσχεσις πρὸς πληρωμὴν χρέους ἰδιωτικοῦ, ἢ δημοσίου, δὲν ἐπιτρέπεται.

ΙΘ'. Διατάξεις, προκηρύξεις, ἐγκύκλιοι, καθὼς καὶ λοιπὰ ἔγγραφα τῆς Ἱερᾶς Συνόδου πρὸς πολιτικὰς ἀρχὰς τοῦ κράτους, δὲν διευθύνονται ἀμέσως πρὸς αὐτὰς, ἀλλὰ διὰ τοῦ ὑπουργείου τῶν Ἐκκλησιαστικῶν.

Κ'. Οὐδεμίαν ἀλληλογραφίαν μὲ ἐξωτερικὰς πολιτικὰς, ἢ ἐκκλησιαστικὰς ἀρχὰς δύναται νὰ ἔχῃ ἡ Ἱερὰ Σύνοδος, εἰμὴ διὰ τοῦ ὑπουργείου τῶν Ἐκκλησιαστικῶν.

ΚΑ'. Ἡ ἐκκλησιαστικὴ ἀρχὴ, καθόσον δὲν ὑπερβαίνει τὰ ὅρια τῶν καθηκόντων της, ἔχει τὸ δικαίωμα τῆς προστασίας καὶ τῆς ὑπερασπίσεως τῆς πολιτικῆς ἀρχῆς, καὶ ἑπομένως ὅλαι αἱ πολιτικαὶ ἀρχαὶ ὑποχρεοῦνται, ὁσάκις ἀποδειχθῇ, ὅτι

προσεβλήθησαν τὰ δίκαιά της, νὰ τὴν προστατεύωσι καὶ νὰ τὴν ὑποστηρίζωσι κατ' αἴτησίν της.

ΚΒ'. Ἐπίσης ὅμως καὶ πᾶς, ὅστις ἔχει εὔλογον κατὰ τῆς ἐκκλησιαστικῆς ἀρχῆς παράπονον διὰ κατάχρησιν, ἢ ὑπέρβασιν τῆς ἐξουσίας της, ἔχει τὸ δικαίωμα νὰ ἐπικαλῆται τὴν ὑπεράσπισιν τῆς πολιτικῆς ἀρχῆς.

Τοιαῦτα παράπονα κατὰ τῆς ἐκκλησιαστικῆς ἀρχῆς ἐμποροῦσι νὰ γίνωνται ἀπ' εὐθείας πρὸς τὴν Κυβέρνησιν, ἢ πρὸς πᾶσαν ἄλλην διοικητικὴν ἀρχήν· θέλουσι δ' ἐξετάζεσθαι παρὰ τοῦ ὑπουργείου τῶν Ἐκκλησιαστικῶν, τὸ ὁποῖον δὲν ἀποφασίζει περὶ αὐτῶν, εἰ μὴ ἀφοῦ ζητήσῃ τὴν γνώμην τῆς Ἱερᾶς Συνόδου, ἐὰν τὸ ἀντικείμενον δὲν εἶναι τῆς ἁρμοδιότητος τοῦ δικαστηρίου.

ΚΓ'. Ὁ τύπος τοῦ ἐνώπιον τῶν δικαστηρίων, ἢ ἄλλων δημοσίων ἀρχῶν, διδομένου ὅρκου ὑπὸ τῶν ἀρχιερέων, ἱερέων, καὶ ἱεροδιακόνων, εἶναι ὁ ἑξῆς· διὰ μὲν τοὺς ἀρχιερεῖς· «Διαβεβαιῶ ἐπὶ τῇ ἀρχιερωσύνῃ μου κτλ.»

Διὰ δὲ τοὺς ἱερεῖς, καὶ ἱεροδιακόνους· «Διαβεβαιῶ ἐπὶ τῇ ἱερωσύνῃ μου κτλ.»

Ὁ οὕτω διδόμενος ὅρκος ἔχει τὴν αὐτὴν τοῦ κοινοῦ ὅρκου ἰσχύν, καὶ πᾶσα αὐτοῦ παράβασις, ἐκτὸς τῶν ἐκλησιαστικῶν ποινῶν, συνεπάγεται καὶ τὰς ἐπὶ ψευδορκίᾳ, ἢ ἐπιορκίᾳ, τοῦ Ποινικοῦ Νόμου ποινάς, αἵτινες θέλουσι καταγινώσκεσθαι ὑπὸ τῶν τακτικῶν δικαστηρίων.

ΚΔ'. Πᾶς ὁ ἐκ τοῦ ἱεροῦ καταλόγου καλούμενος νὰ δώσῃ μαρτυρίαν εἰς δικαστικὴν ὑπόθεσιν δὲν δύναται ν' ἀρνηθῇ τὴν μαρτυρίαν του· ἀλλ' οἱ ἀρχιερεῖς ὁρκίζονται καὶ ἐξετάζονται ἐν τῇ κατοικίᾳ αὐτῶν, ἡ δὲ μαρτυρία των, γενομένης αἰτήσεως, ἀναγινώσκεται ἐν τῷ ἀκροατηρίῳ, ἐκτὸς ὅταν πρόκειται νὰ ἐξετασθῶσιν ὡς μάρτυρες ἐνώπιον τῶν δικαστηρίων τῶν ἐνόρκων, ὅτε προσκαλοῦνται καὶ ἐξετάζονται (ἄνευ ὅμως ἀντιπαραστάσεως πρὸς ἄλλους μάρτυρας) ἐν δημοσίᾳ συνεδριάσει, ἅμα ἐμφανιζόμενοι, καὶ ἀπέρχονται ἀμέσως μετὰ τὴν ἐξέτασιν αὐτῶν.

ὅ,τι οἱ ἱερωμένοι γνωρίζουσιν ἐκ τῆς ἐξομολογήσεως, ἂν ὑποχρεοῦνται νὰ τὸ ὁμολογήσωσιν.

ΚΕ'. Εἰς τὰ τοῦ ἰδιωτικοῦ δικαίου, καθὼς καὶ εἰς τὰ περὶ ἀθεμίτων πράξεων, τῶν παρὰ τῶν κοινῶν τοῦ κράτους νόμων προβλεπομένων, οἱ ἐκ τοῦ κλήρου ὑπόκεινται εἰς τοὺς πολιτικοὺς νόμους, καὶ εἰς τὰ τακτικὰ δικαστήρια.

Τὰ πολιτικῶς οριζόμενα κακουργήματα ἐπάγουσι καὶ τὴν τῆς καθαιρέσεως ποινὴν πνευματικῶς· ἡ δὲ ἀπόφασις τῆς ποινικῆς καταδίκης ἐκτελεῖται, ἀφοῦ πρότερον καθαιρεθῇ τοῦ βαθμοῦ αὐτοῦ ὁ καταδικασθεὶς κληρικὸς, κατὰ τὰ ἐν τῇ Ποινικῇ Δικονομίᾳ ὡρισμένα.

Κϛ'. Διὰ τὴν προφυλάκισιν τῶν κληρικῶν, καὶ τὴν ἐκτέλεσιν τῶν κατ' αὐτῶν ἐπὶ πταίσματι καὶ πλημμελήματι ἐκδιδομένων ἀποφάσεων, τῶν περιοριζουσῶν τὴν ἐλευθερίαν, ὁρίζονται ἰδιαίτεραι φυλακαὶ, κεχωρισμέναι τῶν ἄλλων.

ΚΖ'. Ἅπας ὁ κατὰ τὸ βασίλειον ἱερὸς κλῆρος, ἐν ταῖς θείαις ἱερουργίαις καὶ τελεταῖς, μνημονεύει πρῶτον μὲν τοῦ βασιλέως καὶ τῆς βασιλίσσης, εἶτα δὲ τῆς Ἱερᾶς Συνόδου.

ΚΗ'. Τὰ ὁρισθέντα διὰ τοῦ διατάγματος 25 Ἰουλίου (6 Αὐγούστου) 1833 περὶ τοῦ ἐπιμισθίου τῆς ὑπηρεσίας τοῦ τε προέδρου τῆς Ἱερᾶς Συνόδου καὶ τῶν συνέδρων, διαμένουσιν ἐν ἰσχύϊ.

Ὁ μισθὸς τοῦ μὲν πρώτου γραμματέως προσδιορίζεται εἰς δραχ. 3600, τοῦ δὲ β'. εἰς δραχ. 2400 κατ' ἔτος.

Ὁ μισθὸς τοῦ μὲν ά. τάξεως γραφέως προσδιορίζεται εἰς δραχ. 1200, τοῦ δὲ τῆς β'. τάξεως εἰς δραχ. 960 κατ' ἔτος, καὶ ὁ τοῦ κλητῆρος, εἰς δραχ. 600 κατ' ἔτος.

Ὁ μισθὸς τοῦ βασιλικοῦ Ἐπιτρόπου προσδιορίζεται εἰς δραχμὰς 6000 κατ' ἔτος.

ΚΘ'. Εὐθὺς μετὰ τὴν δημοσίευσιν τοῦ παρόντος νόμου θέλει συγκροτηθῆ ἐπὶ τῇ βάσει τῶν διατάξεων αὐτοῦ ἡ ά. συνοδικὴ περίοδος, ἥτις θέλει διαρκέσει μέχρι τῆς 31 Αὐγούστου 1853.

Λ'. Πᾶσα προεκδεδομένη διάταξις ἀντιβαίνουσα εἰς τὸν παρόντα νόμον ἀκυροῦται.

Ὁ παρὼν νόμος ψηφισθεὶς παρὰ τῆς Βουλῆς καὶ τῆς Γερουσίας, καὶ παρ' Ἡμῶν σήμερον κυρωθεὶς, θέλει δημοσιευθῇ διὰ τῆς Ἐφημερίδος τῆς Κυβερνήσεως, καὶ ἐκτελεσθῇ ὡς νόμος τοῦ Κράτους.

Ἐν Ἀθήναις 9 Ἰουλίου 1852.

ΟΘΩΝ.

Ὁ ὑπουργὸς

ΣΤΑΥΡΟΣ ΒΛΑΧΟΣ.

Ἐθεωρήθη καὶ
ἐτέθη ἡ μεγάλη σφραγὶς τοῦ Κράτους.

Ἐν Ἀθήναις τῇ 10 Ἰουλίου 1852.

Ὁ ἐπὶ τῆς δικαιοσύνης ὑπουργός.

Κ. ΠΡΟΒΕΛΕΓΓΙΟΣ.

ΚΥΡΙΛΛΟΥ (1).

ΟΡΟΣ ΤΗΣ ΑΓΙΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ,

Συσταίνων μὲν τὸ θεόθεν δοθὲν ἅγιον βάπτισμα, καταπτύων δὲ τὰ ἄλλως γενόμενα τῶν αἱρετικῶν βαπτίσματα.

ΠΟΛΛΩΝ ὄντων τῶν μέσων, δι' ὧν τῆς σωτηρίας ἡμῶν ἀξιούμεθα, καὶ τούτων, ὡς εἰπεῖν, κλιμακηδὸν ἀλληλενδέτων καὶ ἀλληλουχουμένων ὄντων, ἅτε δὴ πάντων πρὸς τὸ αὐτὸ τέλος ἀφορώντων, πρῶτόν ἐστι τὸ τοῖς ἱεροῖς Ἀποστόλοις θεοπαράδοτον βάπτισμα, οἷα δὴ τῶν λοιπῶν, τούτου χωρὶς, ἀπρακτούντων (ἐὰν γάρ τις μὴ γεννηθῇ, φησὶν, ἐξ ὕδατος, καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν)· ἔδει καὶ γὰρ ἀναγκαίως, τῆς πρώτης γενέσεως ἐπὶ τὸν θνητὸν τουτονὶ βίον παραγούσης τὸν ἄνθρωπον, γένεσιν ἑτέραν ἐξευρεθῆναι, καὶ τρόπον μυστικώτερον, μήτε ἀπὸ φθορᾶς ἀρχόμενον, μήτε εἰς φθορὰν καταλήγοντα, δι' οὗ γένοιτ' ἂν ἡμῖν δυνατὸν, μιμήσασθαι τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν Ἰησοῦν Χριστόν· τὸ γὰρ ἐν τῇ κολυμβήθρᾳ ὕδωρ τοῦ βαπτίσματος, ἐν τάξει μήτρας λαμβάνεται, καὶ τόκος τῷ τικτομένῳ γίνεται, ᾗ φησιν ὁ Χρυσόστομος· τὸ δὲ ἐν τῷ ὕδατι ἐπιφοιτῶν Πνεῦμα, ἐν τάξει Θεοῦ, τὸ ἔμβρυον διαπλάττοντος· καὶ ὥσπερ ἐκεῖνος μετὰ τὴν ἐν τάφῳ κατάθεσιν, τριταῖος ἐπὶ τὴν ζωὴν ἀνεφοίτησεν, οὕτως οἱ πιστεύοντες, ἀντὶ τῆς γῆς, τὸ ὕδωρ ὑποδυόμενοι, ἐν τρισὶ καταδύσεσι τὴν τριήμερον ἑαυτοῖς χάριν τῆς Ἀναστάσεως ἐξεικονίζουσιν, ἁγιαζομένου τοῦ ὕδατος τῇ ἐπιφοιτήσει τοῦ παναγίου Πνεύματος, ὡς ἂν τῷ μὲν φαινομένῳ ὕδατι τὸ σῶμα φωτίζοιτο, τῷ δὲ ἀοράτῳ Πνεύματι τὸν ἁγιασμὸν ἡ ψυχὴ λήψαιτο· ὡς γὰρ τὸ ἐν τῷ λέβητι ὕδωρ, τῆς τοῦ πυρὸς μεταλαμβάνει θερμότητος, οὕτω τὸ ἐν τῇ κολυμβήθρᾳ

(1) Ὁ ὅρος οὗτος ἐξεδόθη ἐν ἔτει 1756, ἐπὶ τῆς δευτέρας πατριαρχείας Κυρίλλου τοῦ Ε'. ὑψωθέντος εἰς τὸν οἰκουμενικὸν θρόνον τὸ μὲν α'. ἐν ἔτει 1748, καὶ ἀποβληθέντος ἐν ἔτει 1751, πατριαρχεύσαντος δὲ τὸ β'. ἀπὸ τοῦ ἔτους 1752 μέχρι τοῦ ἔτους 1757.

ὕδωρ τῇ ἐνεργείᾳ τοῦ Πνεύματος εἰς θείαν μεταστοιχειοῦται δύναμιν, καθαῖρον μὲν, καὶ υἱοθεσίας ἀξιοῦν τοὺς οὕτω βαπτιζομένους, τοὺς δὲ ἄλλως πως τελουμένους, ἀντὶ καθάρσεως, καὶ υἱοθεσίας, ἀκαθάρτους, καὶ σκότους υἱοὺς ἀποφαῖνον. Ἐπειδὴ τοιγαροῦν πρὸ χρόνων ἤδη τριῶν ζήτημα ἀνεφύη, εἰ τὰ παρὰ τὴν παράδοσιν τῶν ἁγίων Ἀποστόλων, καὶ θείων Πατέρων, καὶ παρὰ τὴν συνήθειαν καὶ διαταγὴν τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἐπιτελούμενα βαπτίσματα τῶν αἱρετικῶν δεκτά ἐστι προσερχομένων ἡμῖν, ἡμεῖς, ἅτε θείῳ ἐλέει τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ ἐντραφέντες, καὶ τοῖς κανόσι τῶν ἱερῶν Ἀποστόλων, καὶ θείων Πατέρων ἑπόμενοι, καὶ μίαν μόνην γινώσκοντες τὴν ἡμετέραν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν, καὶ ταύτης τὰ μυστήρια, ἑπομένως καὶ τὸ θεῖον βάπτισμα ἀποδεχόμενοι, τὰ δὲ τῶν αἱρετικῶν, ὅσα μὴ, ὡς τὸ Πνεῦμα τὸ ἅγιον τοῖς ἱεροῖς Ἀποστόλοις διετάξατο, καὶ ἡ Ἐκκλησία τοῦ Χριστοῦ μέχρι τῆς σήμερον ποιεῖ, ἐπιτελούμενα, ἐφευρέματα ἀνθρώπων διεφθαρμένων ὄντα, ὡς ἀλλόκοτα, καὶ τῆς ἀποστολικῆς ὅλης παραδόσεως ἀλλότρια γινώσκοντες, ἀποστρεφόμεθα κοινῇ διαγνώσει· καὶ τοὺς ἐξ αὐτῶν ἡμῖν προσερχομένους, ὡς ἀνιέρους καὶ ἀβαπτίστους δεχόμεθα, ἑπόμενοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῷ τοῖς μαθηταῖς αὐτοῦ ἐντειλαμένῳ βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, τοῖς τε ἱεροῖς καὶ θείοις Ἀποστόλοις διαταττομένοις ἐν τρισὶ καταδύσεσι καὶ ἀναδύσεσι τοὺς προσερχομένους βαπτίζειν, καὶ ἐν ἑκάστῃ τῶν καταδύσεων ἓν ὄνομα ἐπιλέγειν τῆς ἁγίας Τριάδος· τῷ τε ἱερῷ καὶ ἰσαποστόλῳ Διονυσίῳ λέγοντι, τοῖς ἐν κολυμβήθρᾳ, ὕδωρ καὶ ἔλαιον ἡγιασμένα ἐχούσῃ, τὸν προσερχόμενον παντὸς ἀμφίου γεγυμνωμένον βαπτίζειν, τὴν τρισσὴν τῆς θείας μακαριότητος ἐπιβοήσαντα ὑπόστασιν· καὶ εὐθὺς τῷ θεουργικωτάτῳ μύρῳ τὸν βαπτισθέντα ἐπισφραγίζειν, καὶ μέτοχον ἀποφαίνειν λοιπὸν τῆς ἱεροτελεστικωτάτης εὐχαριστίας, τῇ τε δευτέρᾳ καὶ πενθέκτῃ ἁγίαις οἰκουμενικαῖς συνόδοις διαττομέναις, τοὺς μὴ βαπτιζομένους εἰς τρεῖς ἀναδύσεις καὶ καταδύσεις, καὶ ἐν ἑκάστῃ τῶν καταδύσεων μίαν ἐπίκλησιν τῶν θείων ὑποστάσεων μὴ ἐπιβοών-

τας, ἀλλ' ἄλλως πως βαπτιζομένους, ὡς ἀβαπτίστους προσδέχεσθαι, τῇ Ὀρθοδοξίᾳ προσιόντας. Τούτοις τοίνυν τοῖς ἱεροῖς καὶ θείοις διατάγμασιν ἑπόμενοι καὶ ἡμεῖς, τὰ μὲν τῶν αἱρετικῶν βαπτίσματα, ὡς ἀπᾴδοντα καὶ ἀλλότρια τῆς ἀποστολικῆς θείας διατάξεως, καὶ ὕδατα ἀνόνητα, ὡς ὁ ἱερὸς Ἀμβρόσιος, καὶ ὁ μέγας φασὶν Ἀθανάσιος, καὶ ἁγιασμὸν μηδένα παρέχοντα τοῖς ταῦτα δεχομένοις, καὶ πρὸς κάθαρσιν ἁμαρτημάτων οὐδὲν ὠφελοῦντα, ἀπόβλητα καὶ ἀποτρόπαια ἡγούμεθα· τοὺς δὲ ἐξ αὐτῶν ἀβαπτίστως βαπτιζομένους, ὡς ἀβαπτίστους ἀποδεχόμεθα, προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, καὶ ἀκινδύνως αὐτοὺς βαπτίζομεν, κατὰ τοὺς ἀποστολικοὺς, καὶ συνοδικοὺς κανόνας, οἷς ἀῤῥάγως ἐπιστηρίζεται ἡ ἁγία τοῦ Χριστοῦ ἀποστολικὴ καὶ καθολικὴ Ἐκκλησία, ἡ κοινὴ μήτηρ πάντων ἡμῶν· καὶ ἐπὶ ταύτῃ τῇ κοινῇ ἡμῶν διαγνώσει, καὶ ἀποφάνσει, σφραγίζομεν τὸν ὅρον ἡμῶν τοῦτον, ταῖς ἀποστολικαῖς καὶ συνοδικαῖς διαταγαῖς συνᾴδοντα, διαβεβαιοῦντες αὐτὸν δι' ἡμετέρων ὑπογραφῶν (1).

Σωτηρίῳ ἔτει αψνϛ'.

Κύριλλος, ἐλέῳ Θεοῦ, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Ματθαῖος, ἐλέῳ Θεοῦ, πάπας, καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας, καὶ κριτὴς τῆς οἰκουμένης.

Παρθένιος, ἐλέῳ Θεοῦ, πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, καὶ πάσης Παλαιστίνης.

---

(1) Βλέπε σελ. 143 τὴν ἐπὶ τοῦ πατριάρχου Συμεὼν διατυπωθεῖσαν ἀκολουθίαν ἐπὶ τῶν ἐκ τῶν Λατινικῶν αἱρέσεων ἐπιστρεφόντων τῇ Ὀρθοδόξῳ καὶ Καθολικῇ Ἐκκλησίᾳ.

ΑΝΘΙΜΟΥ (1).

ΕΓΚΥΚΛΙΟΣ ΕΠΙΣΤΟΛΗ

Τῆς Μιᾶς Ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας,
Πρὸς τοὺς ἁπανταχοῦ Ὀρθοδόξους.

Πᾶσι τοῖς ἁπανταχοῦ ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῖς καὶ περισπουδάστοις ἡμῖν ἀδελφοῖς ἁγίοις ἀρχιερεῦσι, τῷ τε περὶ αὐτοὺς εὐλαβεστάτῳ κλήρῳ, καὶ πᾶσι τοῖς Ὀρθοδόξοις γνησίοις τέκνοις τῆς Μιᾶς Ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, τὸν ἐν Πνεύματι ἁγίῳ ἀδελφικὸν ἀσπασμὸν, καὶ πᾶν ἀγαθὸν παρὰ Θεοῦ καὶ σωτήριον.

ΤΟΙΣ τὸ Σωτήριον ὄνομα τοῦ Δεσπότου τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐπιγραφομένοις, καὶ Χριστιανικῇ πολιτείᾳ ἀληθεῖ καὶ ἀνυποκρίτῳ στοιχεῖν ἐπαγγελλομένοις, πρώτιστον ὁμολογουμένως καὶ κυριώτατον καθέστηκε γνώρισμα ἡ τῶν ἐν Εὐαγγελίοις θείων αὐτοῦ ἐντολῶν ἀπαρέγκλιτος φυλακὴ, ἐν αἷς τῶν εἰς αὐτὸν πιστευόντων τὸ πολίτευμα τέλειον, καὶ πάσης μὲν ἐθνικῆς δυσσεβείας καὶ βεβηλότητος καθαρεῦον, πάσης δὲ Ἰουδαϊκῆς ἀτελείας καὶ ταπεινότητος ὑπερανεστηκὸς διέταξεν ὁ Θεάνθρωπος νομοθέτης· ὁ μὲν γὰρ διὰ Μωσέως δοθεὶς νόμος σκιὰν εἶχε τῶν μελλόντων, κατὰ τὸν θεῖον Ἀπόστολον, διὰ τὸ ἀτελὲς καὶ νηπιῶδες τῶν δεξαμένων· αὐτὸς δὲ ὁ Λόγος τοῦ Θεοῦ καὶ Θεὸς ἡμῶν, ἐπ' ἐσχάτων τῶν χρόνων ἐπὶ τῆς γῆς ὀφθεὶς, καὶ τοῖς ἀνθρώποις εἰς τὸ σῶσαι τὸν ἄνθρωπον

---

(1) Ἄνθιμος ὁ ἀπὸ Ἐφέσου, ἀνὴρ τῆς τε θύραθεν καὶ τῆς Ἐκκλησιαστικῆς παιδείας ἐγκρατὴς, αὐστηρότητι δὲ ἠθῶν καὶ ἀρετῇ διαπρέπων, καὶ τῶν δικαίων τῆς Ὀρθοδόξου Ἐκκλησίας ἔνθερμος ζηλωτὴς, ἐκλεχθεὶς οἰκουμενικὸς πατριάρχης ἐν ἔτει 1844, τῇ τετάρτῃ τοῦ μηνὸς Δεκεμβρίου, ἐποίμανε τὴν Ἐκκλησίαν ἕως τοῦ ἔτους 1848 (18 Ὀκτωβρίου). Ψηφισθεὶς δὲ τὸ β'. πατριάρχης Κωνσταντινουπόλεως ἐν ἔτει 1853 τῇ ις' τοῦ Σεπτεμβρίου, διέπει καὶ σήμερον εὐκλεῶς τὸν οἰκουμενικὸν θρόνον. — Ἐν τῷ προσώπῳ τῆς Αὐτοῦ Παναγιότητος, ἐμφανισθείσης μετὰ τὴν δευτέραν αὐτῆς ἐκλογὴν ἐνώπιον τῆς Α. Μ. τοῦ Σουλτάνου Ἀβδοὺλ Μετζίτου, εἴδομεν ἀνανεουμένην τὴν πρὸ τεσσάρων ἑκατονταετηρίδων γενομένην πρὸς τὸν πατριάρχην Γεννάδιον τὸν Σχολάριον βασιλικὴν ὑποδοχὴν ὑπὸ Μωάμεθ τοῦ Β', τὴν πρὸ αἰώνων ἤδη ἀπρακτήσασαν.

Τὴν περὶ ὅρκου ἀνωτέρω συνοδικὴν πρᾶξιν, ἐκδοθεῖσαν ἐπὶ τῆς Α. Π. τοῦ οἰκουμενικοῦ πατριάρχου Κ. Ἀνθίμου, ἐσχάτως λαβόντες, καταχωρίζομεν ἐνταῦθα.

συναναστραφείς, τὸν διὰ Μωσέως δοθέντα νόμον ἐπλήρωσε, καὶ δέδωκεν ἡμῖν τοῖς ἐν πίστει τελείοις τὴν ἐπίγνωσιν τῶν τελειοτέρων νόμων τῆς χάριτος καὶ τῆς ἀληθείας. Ὅτι, φησὶ, ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο(1). Σύμφωνα δὲ τοῖς θείοις αὐτοῦ ἐντάλμασι, τῶν τε Χριστοκηρύκων Ἀποστόλων, καὶ τῶν Πνευματοφόρων Πατέρων, θεσπισάντων, καὶ τὴν κατὰ Χριστὸν πολιτείαν τῷ Χριστεπωνύμῳ πληρώματι θεοπνεύστως συστησαμένων, καὶ ταύτην ἱεροῖς ὅροις, καὶ κανόσι, καὶ παραδόσεσιν ἁγίαις κρατυνάντων, τούτοις ἅπασιν, οἷς παρέλαβεν, ἑπομένη καὶ ἡ ἁγία ἡμῶν Ἐκκλησία, ἤν ποτέ τινα τῶν θείων παραγγελμάτων κατίδῃ καινοτομούμενα, καὶ ἑτεροδιδασκαλίαις, καὶ παρεξηγήσεσι παραχαραττόμενα, οὐ διαλείπει ἀξιοχρέως ὑψοῦσα τὴν φωνὴν, καὶ τὰς καινοτομίας ἐξελέγχουσα, καὶ τὰς ἐναντιοφωνίας στηλιτεύουσα, ταῖς ἀπὸ τῶν θείων λόγων καὶ τῶν Πατρικῶν καὶ συνοδικῶν κανόνων ἀποδείξεσιν, ὃ δὴ καὶ ἐπὶ τοῦ παρόντος ἔγνω ποιήσασθαι, προνοίᾳ κεκινημένη τῶν πνευματικῶν αὐτῆς τέκνων, ὅπως ἂν τὰ θεοπαράδοτα καὶ πατρῷα ὅρια βέβαια καὶ ἀσάλευτα παρ' αὐτοῖς συντηρῶνται. Ἀνέστησαν γὰρ ἤδη τινὲς καθ' ἡμᾶς, ὡς ἔγνωμεν, οὐ μόνον φρονοῦντες καὶ λέγοντες, ἀλλὰ καὶ ἐν ἐκτύποις ἐγκυκλίοις καὶ ἄλλοις δημοσιεύοντες, ὡς οὐκ ἀπείρηται ὅλως ὑπὸ τῆς ἱερᾶς ἡμῶν πίστεως ὀμνύειν τοὺς Χριστιανοὺς ἐν τοῖς δικαστηρίοις, ἀλλ' ἔξεστιν ἀπροκριματίστως καὶ ὁσίως ὁρκωμοτεῖν, τούς τε λαϊκοὺς καὶ τοὺς ἱερωμένους αὐτοὺς, καὶ τοὺς τῷ κόσμῳ ἀποταξαμένους μοναχοὺς, καὶ ταῦτα ἐπὶ τῶν θείων Εὐαγγελίων. Ἐπισυνιστῶσι δὲ τῆς κακόφρονος αὐτῶν γνώμης τὴν πρότασιν, οὐ μόνον διαστρέφοντες παντοίως τὰς Γραφικὰς καὶ Πατρικὰς ῥήσεις καὶ τὴν ἐκκλησιαστικὴν ἱστορίαν, ἀλλὰ καὶ παραδείγματά τινα τῶν νεωτέρων δῆθεν εἰσάγοντες, ἐν οἷς ἀξιοῦσι νόμον ποιήσασθαι τὴν τοῦ θείου νόμου παράβασιν, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται. Καὶ βιβλάριον δὲ σαπρὸν περιφέρεται, περὶ ὅρκου ἐπιγραφόμενον, πατρὸς μὲν ἀνωνύμου σκότιον γέννημα, τῆς αὐτῆς δὲ καὶ χείρονος καινοφανοῦς κακο-

(1) Ἰω. Α', 17.

φροσύνης βλάσφημος συῤῥαφὴ, χαρακτηρίζουσα τὸ ἀνταρτικὸν κατὰ τῆς ὑγιαινούσης Εὐαγγελικῆς διδασκαλίας φρόνημα. Λέγει γὰρ, ὅτι καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐναντίον φεῦ! τῆς μὴ ὀμόσαι ὅλως θείας αὐτοῦ ἐντολῆς(1), ὤμοσε, κρινόμενος ἐνώπιον τοῦ ἀρχιερέως· καθάπτεται δὲ καὶ τῆς Ἐκκλησίας, ὡς δῆθεν συμφώνως τῇ Ῥωμαϊκῇ νομοθεσίᾳ ἀνέκαθεν τὸν ὅρκον νομοθετησάσης· καὶ τὰς θείας δὲ καὶ Οἰκουμενικὰς Συνόδους εἰσάγει, τοὺς ἑαυτῶν θεοπνεύστους κανόνας ἀμοιβαίως ἀνατρεπούσας (οἷον, φησὶ, καὶ ἡ Β'. Οἰκουμενικὴ Σύνοδος ἀνέτρεψε καὶ παρέβη τὸν τῆς Α'. κανόνα, ἀπαγορεύοντα τὴν μετάθεσιν τῶν κληρικῶν), καὶ ἄλλα τοιαῦτα δύσφημα καὶ ἀνόσια ληρεῖ καὶ παραπαίει, πρὸς τὸ ἀποδεῖξαι τοὺς ἱεροὺς Ἀποστόλους ἀντιφάσκοντας τῇ Εὐαγγελικῇ νομοθεσίᾳ, καὶ τούτοις πάλιν τὰς ἁγίας Συνόδους, καὶ ταύταις δὲ τοὺς θεοφόρους Πατέρας, καὶ τούτους αὖθις ἀντιλέγοντας πρός τε τὰς Συνόδους, καὶ πρὸς ἀλλήλους, καὶ πρὸς ἑαυτοὺς, καὶ ὅλως ὁ τοῦ συῤῥάμματος τούτου σκοπὸς ἀποβλέπει πρὸς ἀνατροπὴν τοῦ κύρους τῶν θείων ἡμῶν Πατέρων, καὶ διαστροφὴν καὶ παρερμηνείαν τῶν θείων Συνόδων, καὶ πρὸς φαυλισμὸν καὶ συκοφαντίαν τῆς ἀκηράτου διδασκαλίας τῆς Μιᾶς, Ἁγίας, καὶ Ἀποστολικῆς Ἐκκλησίας, ἣν οὐκ ἔφριξεν ὁ δείλαιος βιβλογράφος ὀνομάσαι καὶ κοινωνίαν ἔτι ἀπὸ τῶν Ἀποστολικῶν χρόνων συγκειμένην ἐκ διεφθαρμένων λαϊκῶν καὶ κληρικῶν. Ἀλλ' οὗτος μὲν, καὶ εἴ τις ἄλλος ὁμοίως ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας· « Καὶ δώῃ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας »! ὁ δὲ στερεὸς θεμέλιος τῆς Εὐαγγελικῆς νομοθεσίας ἕστηκεν ἀκράδαντος εἰς αἰῶνας.

Πρῶτον μὲν γὰρ αὐτὸς ὁ τῆς πίστεως ἡμῶν ἀρχηγὸς καὶ τελειωτὴς Ἰησοῦς Χριστὸς, τὴν τοῦ Μωσαϊκοῦ νόμου ἀτέλειαν συμπληρῶν, ἐντέλλεται οὕτως· « Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου. Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως . . . ἔστω δὲ ὁ λόγος

(1) Ματθ. Ε', 34.

ὑμῶν, Ναί, ναί, Οὔ, οὔ· τὸ δὲ περισσὸν ἐκ τοῦ πονηροῦ ἐστι (1), (τουτέστιν ἐκ τοῦ διαβόλου, ὡς οἱ θεηγόροι Πατέρες διερμηνεύουσιν.) Ὁ δὲ θεῖος Ἀπόστολος Ἰάκωβος, πρώτιστον καὶ μέγιστον παράγγελμα τοῖς εὐσεβέσι τὸ μηδένα ὅρκον ὀμνύειν διαγορεύων, «Πρὸ πάντων, λέγει, ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν οὐρανόν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον κ. τ. λ.» (2). Τὸ αὐτὸ δὲ καὶ ῥήσεις τῶν Ἀποστολικῶν Διαταγῶν ἐπαναλαμβάνουσι διαῤῥήδην. Ἡ δὲ ἁγία Οἰκουμενικὴ ς'. Σύνοδος, ἐπικυροῦσα τοὺς κανόνας τοῦ μεγάλου Βασιλείου, συνεπικυροῖ καὶ διατάσσει καὶ τὸν Ι'. κανόνα τοῦ οὐρανοφάντορος τούτου Πατρός, ἐν ᾧ ἀπαγορεύεται ὁ ὅρκος τῶν κληρικῶν, καὶ τὸν ΚΘ'. τοῦ αὐτοῦ, ἐν ᾧ διαγορεύεται καθόλου πρὸς πάντας τοὺς Χριστιανούς· «Καθάπαξ μὲν οὖν ὁ ὅρκος ἀπηγόρευται» (3). Ὡσαύτως καὶ ἡ ἁγία Οἰκουμενικὴ Ζ'. Σύνοδος ἐν τῇ Η'. πράξει ἀποφαίνεται· «Ὅρκῳ μὴ ἐθίσωμεν τὸ στόμα ἡμῶν, ἀλλὰ τῆς Κυριακῆς φωνῆς ἀκούσωμεν λεγούσης, » Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως». Ἀμφότεραι δὲ αἱ ῥήσεις ἐκ τῆς θεοπνεύστου Γραφῆς, τὸ μὲν ὅρκῳ μὴ ἐθίσωμεν τὸ στόμα ἡμῶν, ἐκ τῆς σοφίας τοῦ Σειρὰχ (4), τὰ δὲ λοιπὰ ἐκ τοῦ Εὐαγγελίου. Ἀλλὰ καὶ ἰδίως οἱ θεῖοι Πατέρες ἡμῶν, οἱ τῆς Ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι ἀπαγορεύουσι τὸν ὅρκον, οἷον αὐτός τε πάλιν ὁ μέγας Βασίλειος, πολλαχοῦ τῶν ἱερῶν αὐτοῦ συγγραφῶν, καὶ τὸ πυρίπνουν στόμα τῆς Θεολογίας, ὁ θεῖος Γρηγόριος (ἐν τοῖς στιχηροῖς) λέγων, « Ὅρκου δὲ τί χεῖρον; οὐδέν». Καὶ πάλιν· « Οὐκ ἐπιορκήσεις, ἐκεῖνος (ὁ νόμος ὁ πάλαι) φησί. Σὺ δὲ (Χριστὸς κελεύει) οὐδὲ ὀμῇ τὴν ἀρχήν, οὐ μικρόν, οὐ μεῖζον, ὡς τοῦ ὅρκου τὴν ἐπιορκίαν τίκτοντος» (λόγ. εἰς τὸ Πάσχα). Καὶ ὁ θεῖος δὲ Χρυσόστομος (ἐν τῷ πρὸς Δημήτριον μονάζοντα λόγῳ ά.) φησίν· » Εἰ γὰρ καὶ τὸ ὀμνύναι, κἂν εὐορκῇ τις, ἔγκλημα, καὶ ἐντολῆς παράβασις, ποῦ τὴν ἐπιορκίαν θήσομεν; Εἰ γὰρ τὸ περισσὸν τοῦ ναί, καὶ τοῦ οὔ, ἐκ τοῦ πονηροῦ ἐστι, τὸ καὶ τούτου περισσότερον τίνος ἔσται λοιπόν; » Πλεῖστα δ' ὅσα καὶ ἐν τοῖς

(1) Ματθ. Ε', 34—37. — (2) Ἰακ. Ε', 12. — (3) Βασιλ. Καν. ΚΘ'. — (4) Σοφ. Σειράχ, ΚΓ', 9.

εἰς τοὺς ἀνδριάντας χρυσηλάτοις αὐτοῦ λόγοις κατὰ τῶν ὁρκωμοτούντων ἀνακηρύττει· οἷον, « Σὺ δέ, εἰ μηδὲν ἕτερον, αὐτὸ γοῦν τὸ βιβλίον αἰδέσθητι, ὃ προτείνεις εἰς ὅρκον, καὶ τὸ Εὐαγγέλιον, ὃ μετὰ χεῖρας φέρων κελεύεις ὀμνύναι, ἀνάπτυξον, καὶ ἀκούσας τί περὶ ὅρκων ὁ Χριστὸς ἐκεῖ διαλέγεται, φρίξον καὶ ἀπόστηθι. Σὺ δὲ τὸν νόμον τὸν κωλύοντα ὀμνύναι, τοῦτον ὅρκον ποιεῖς; ὢ τῆς ὕβρεως, ὢ τῆς παρανοίας»! Καὶ πάλιν· «Παρεκάλεσα πρῴην ὑμᾶς τὴν κεφαλὴν Ἰωάννου λαβόντας (κατὰ διάνοιαν) ἀποτετμημένην . . . . οὕτως ἀπελθεῖν οἴκαδε ἕκαστον, καὶ νομίζειν πρὸ τῶν ὀφθαλμῶν ὁρᾷν αὐτὴν φωνὴν ἀφιεῖσαν καὶ λέγουσαν· Μισήσατέ μου τὸν σφαγέα, τὸν ὅρκον· ὅπερ ἔλεγχος οὐκ ἐποίησε, τοῦτο ὁ ὅρκος ἐποίησεν· ὅπερ θυμὸς τυραννικὸς οὐκ ἴσχυσε, τοῦτο εὐορκίας ἀνάγκη παρεσκεύασεν». Ὅθεν μελῳδεῖ καὶ ἡ Ἐκκλησία· » Εἴθε μὴ ὤμοσας, Ἡρώδη ἄνομε ». Ὡσαύτως ἀπαγορεύουσι τὸν ὅρκον καὶ πᾶς μονονοὺ τῶν θεοφόρων ἡμῶν Πατέρων ὁ ἱερώτατος θίασος. Καὶ πᾶσα δὲ ἡ ἀρχαία παράδοσις, τὸν ὅρκον ὡς ἐναντίον τῆς Εὐαγγελικῆς νομοθεσίας φευκτέον, ὅση δύναμις, ἀνέκαθεν παραδέδωκε. Διὸ καὶ πᾶν τὸ πλήρωμα τῶν Ὀρθοδόξων, τὴν ἐπὶ τῶν θείων Εὐαγγελίων ἐν τοῖς δικαστηρίοις μάλιστα ὁρκωμοσίαν, ὡς βαρύτατον ἄγος, φρίττει καὶ δέδοικεν· ἐκ γὰρ τοῦ ὅρκου τίκτεται ἡ ἐπιορκία, ἥτις ἐστὶν ἄρνησις Θεοῦ, κατὰ τὸν θεῖον Χρυσόστομον. Οὕτω τοίνυν αὐτοῦ τε τοῦ τὸν πάλαι νόμον νομοθετήσαντος Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὸ μηδ' ὀμόσαι ὅλως ἐν τῷ νόμῳ τῆς χάριτος ἐντελλομένου, καὶ τῆς Ἀποστολικῆς φωνῆς θεοπνεύστως τοῦτ' αὐτὸ παρακελευούσης, ὡσαύτως καὶ τῶν ἐνδόξων καὶ θεοφόρων ἡμῶν Πατέρων, τὸ παντὸς ὅρκου ἀπέχεσθαι συμφώνως παραγγελλόντων, καὶ τῆς παραδόσεως διακηρυττούσης, ψεύδονται προφανῶς οἱ τὴν ὁρκωμοσίαν ὡς νενομοθετημένην, οὐχὶ παρὰ τῆς πολιτικῆς νομοθεσίας, ἀλλὰ καὶ παρ' αὐτῆς τῆς ἱερᾶς ἡμῶν πίστεως παρεισάγοντες, οὐδὲ διακρίνουσιν ὅσον ἔλαθον ἑαυτοὺς ἀντιτασσόμενοι κατὰ τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, τῇ καινοφανεῖ περὶ τοῦ ὁρκωμοτεῖν διδασκαλίᾳ περιπεσόντες. Καίτοι γε καὶ αὐτῶν τῶν Ῥωμαϊκῶν νόμων αἱ διαταγαί, αἱ τὸν ὅρκον ἐν τοῖς Χριστιανικοῖς δικαστηρίοις εἰσαγαγοῦσαι, ὅσα τε

τῶν ἀρχαίων καὶ νεωτέρων ἐκ τῆς ἱςορίας παραδείγματα καὶ ἐπιχειρήματα περιφέρουσιν οἱ τὸ τῆς ὁρκωμοσίας ἀνειμένον τε καὶ ἀκώλυτον ὡς ἐκ τῆς ἁγίας ἡμῶν θρησκείας παρὰ τοῖς εὐσεβέσι τεθεσπισμένον πιστεύοντες καινοτομισταί, ταῦτα δὴ καὶ τὰ τοιαῦτα οὐδόλως ἰσχύουσιν ἀκυρῶσαι τὰς τοσαύτας Ἀποστολικάς τε καὶ Πατρικὰς διατάξεις, καὶ πρὸ πάντων ἣν αὐτὸ τὸ θεῖον στόμα τοῦ Κυρίου ἡμῶν ἀπεφήνατο ἐντολήν, τήν, «Μὴ ὀμόσαι ὅλως». Μή μοι (φησὶ πάλιν ἡ χρυσήλατος τοῦ Πνεύματος σάλπιγξ, ὁ θεῖος Χρυσόςομος), μή μοι τὸν δεῖνα τὸν ἐπιεικῆ εἴπῃς, τὸν σώφρονα, τὸν εὐλαβῆ, τὸν εἰς ἱερωσύνην τελοῦντα, ὡς ὀμωμοκότα, ἀλλ' εἰ βούλει καὶ Πέτρον εἶναι τοῦτον, ἢ Παῦλον, ἢ Ἄγγελον ἐξ οὐρανοῦ καταβάντα, *οὐδὲ γὰρ οὕτως* ἐπιστρέφομαι εἰς τὴν ἀξίαν τῶν προσώπων· νόμον γὰρ οὐχὶ δουλικόν, ἀλλὰ βασιλικὸν ἀναγινώσκω ἐγὼ περὶ τῶν ὅρκων· ὅταν δὲ βασιλέως ἀναγινώσκηται γράμματα, ἅπαν τὸ τῶν δούλων ἀξίωμα ἡσυχαζέτω· ἂν μὲν γὰρ ἔχῃς εἰπεῖν ὅτι ὁ Χριστὸς ὀμνύναι ἐκέλευσεν, ἢ ὅτι ὁ Χριστὸς οὐ κολάζει τοῦτο γινόμενον, δεῖξον καὶ πείθομαι.» (Ἐν Κατηχήσει Α'.) Διὰ ταῦτα ἡ καθόλου τοῦ Χριστοῦ ἁγία ἡμῶν Ἀνατολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία, τὴν ἀρτίως ἀναφανεῖσαν καὶ δημοσιευθεῖσαν ψυχόλεθρον καὶ κακόφρονα ἑτεροδιδασκαλίαν, τοῦ ἐξεῖναι ὀμνύειν ἀπολύτως τοὺς Ὀρθοδόξους Χριστιανούς, ὡς ψυχικῆς διαφθορᾶς τοῦ Χριστωνύμου πληρώματος παραίτιον, διὰ τὴν εἰσαγομένην καταφρόνησιν τοῦ φοβεροῦ χρήματος τοῦ ὅρκου, (οἵαν καὶ αὐτὴ ἡ μνημονευθεῖσα καινοφανὴς ἐγκύκλιος ἐν τοῖς κατ' αὐτὴν τόποις ἀποθρηνεῖ γενομένην, καὶ τὰς ἐκεῖ πλημμυρησάσας παραβάσεις τῶν ἐν τοῖς δικαστηρίοις ὅρκων, καὶ παντοίας ἐπιορκίας καὶ ψευδορκίας φρικτῶς ἐκτραγῳδεῖ καὶ περισαλπίζει), καὶ ὡς ἀντιβαίνουσαν τῇ θείᾳ ἐντολῇ τοῦ Κυρίου ἡμῶν, καὶ ταῖς λοιπαῖς Ἀποστολικαῖς καὶ Πατρικαῖς διατάξεσιν ἀντιστρατευομένην, καὶ ὅλως πολεμίαν τῇ ὀρθῇ καὶ ὑγιαινούσῃ διδασκαλίᾳ τῆς ἁγίας καὶ ἀμωμήτου ἡμῶν πίστεως, ἀποκηρύττει ἄρδην καὶ ἀποσκυβαλίζει, καὶ μηδεμιᾶς παραδοχῆς καὶ προσοχῆς ἀξίαν τῷ Χριστωνύμῳ πληρώματι ἀποφαίνεται. Κοινῇ δὲ ὁμοφώνῳ γνώμῃ τῶν ἁγιωτάτων Ὀρθοδόξων πατριαρχῶν, καὶ

τῶν ἱερωτάτων Ἀρχιερέων, διὰ τοῦδε τοῦ ἐκκλησιαστικοῦ αὐτῆς ἐγκυκλίου γράμματος θεσπίζουσα καὶ ὁριζομένη συνῳδὰ τῇ θείᾳ διακελεύσει τοῦ Σωτῆρος, καὶ ταῖς Ἀποστολικαῖς καὶ Πατρικαῖς ἀποφάσεσιν, ἀθέμιτον ὅλως παρὰ τῇ ἁγίᾳ καὶ ἀμωμήτῳ ἡμῶν πίστει διακηρύττει τὸ ὁρκίζεσθαι τοὺς εὐσεβεῖς Χριστιανούς, εἴτε κατ' ἰδίαν, εἴτε καὶ ἐν δικαστηρίοις. Καὶ πάντας τοὺς ἁπανταχοῦ Ὀρθοδόξους αὐτῆς λαοὺς νουθετεῖ ἀπέχεσθαι ὅλως καὶ φυλάττεσθαι παντὸς ὅρκου· τὰς δὲ προσπιπτούσας διαφορὰς διαλύειν εἰρηνικῶς, καὶ μήτε ὅρκον ἐπάγειν τοῖς ἀδελφοῖς, μήτε παρ' αὐτῶν ἀντιλαμβάνειν, ἀρκουμένους τῇ ἐν φόβῳ Θεοῦ μαρτυρίᾳ τῆς ἑαυτῶν συνειδήσεως, καὶ τὴν ἐν Χριστῷ εἰρήνην πολὺ μᾶλλον προτιμῶντας, ἢ διαπληκτίζεσθαι μαχομένους ἐν τοῖς δικαστηρίοις, κατὰ τὸ Ἀποστολικόν· « Ἤδη μὲν οὖν ὅλως ἥττημα ἐν ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν· διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; Ἀλλὰ ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς (1) ». Πρὸς δὲ τοὺς προβαλλομένους τὴν ἐκ τῆς Ῥωμαϊκῆς νομοθεσίας ἔκπαλαι κεκρατηκυῖαν διάταξιν, ὀμνύειν ἐπὶ τῶν θείων Εὐαγγελίων τοὺς δικαζομένους ἐν τοῖς δικαστηρίοις πρὸς πίστωσιν τῶν παρ' αὐτῶν λεγομένων, ἔστι μὲν εἰπεῖν, ὅτι καὶ διατάγματα πάλιν τῶν Ὀρθοδόξων βασιλέων κωλύουσι τοὺς Χριστιανοὺς ἀπὸ τοῦ ὅρκου. Οὕτω τὸ διάταγμα τῶν τριῶν αὐτοκρατόρων Βασιλείου, Κωνσταντίνου, καὶ Λέοντος, ἀντὶ τοῦ ἐπὶ τῶν Εὐαγγελίων ὅρκου, θεσπίζει λέγειν τοὺς Χριστιανούς, « Μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ ἅγιος τόπος ἐν ᾧ ἵσταμαι (2)» (ὁ θεῖος δηλονότι ναός). Ἡ δ' οὖν Ἐκκλησία, τῇ μὲν εἰρημένῃ πολιτικῇ Ῥωμαϊκῇ νομοθεσίᾳ ὑποχωρεῖ ἐξ ἀνάγκης ἀνεχομένη, εἴγε πρὸς μειζόνων κακῶν καὶ κινδύνων ἀπαλλαγὴν καὶ οἰκονομίαν ἐπιβάλλοιτο παρὰ τῶν πολιτικῶν νόμων ὅρκος (ὡς μήποτ' ὤφελε). Τούς γε μὴν ἀναγκασθέντας ὑπὸ πολιτικῶν νόμων ὁρκωμοτῆσαι, πρῶτον μὲν παραγγέλλει καὶ εὐορκήσαντας ἐξευμενίζειν τὸ Θεῖον, καὶ αὐτὴ ὑπὲρ αὐτῶν εὐχὰς καὶ δεήσεις προσάγει πρὸς τὸν μὴ ὀμόσαι ὅλως ἐντειλάμενον Δεσπότην καὶ Κύριον, ἵνα τῆς αὐτοῦ φιλανθρωπίας, « εἰ ὅρκῳ ὑπήχθησαν » τύχωσιν· ἔπειτα δὲ τούτους εὐορκεῖν ἐπιτάσ-

(1) ά. Κορ. ς', 7, 8. — (2) Ζήτει ὄπισθεν τὸ θέσπισμα τῆς Εἰρήνης σελ. 248.

σει, καὶ τὸν ἴδιον ὅρκον ἀπαράβατον διαφυλάττειν, ἁγνοὺς αὐτοὺς καὶ καθαροὺς διατηροῦντας ἀπὸ πάσης ψευδορκίας τε καὶ ἐπιορκίας, ὡς ἀπὸ ἀρνήσεως Θεοῦ. Τὸν δὲ ἱερὸν αὐτῆς κλῆρον, καὶ τοὺς τὸν σωτήριον τῆς μοναδικῆς πολιτείας ζυγὸν ἠραμένους, οὔτε κατ' ἰδίαν, οὔτε ἐν τοῖς δικαστηρίοις, κἄν τε ὡς μάρτυρες, κἄν τε ὡς διάδικοι παραστῶσιν, ὅρκον ὀμνύειν οὔτ' ἐπιτρέπει, οὔτ' ἀνέχεται· δεινὸν γάρ, καὶ πέραν δεινοῦ, εἴπερ ὁ τῶν θείων μυστηρίων ἱερουργός, καὶ τοῦ λαοῦ πνευματικῶς προϊστάμενος, καὶ τύπος αὐτῷ καὶ ὑπογραμμὸς τῆς κατὰ Θεὸν ἀληθοῦς πολιτείας εἶναι τεταγμένος, καὶ τὸ κήρυγμα τοῦ Εὐαγγελίου πεπιστευμένος, παραβαίνοι τοῦτο δημοσίως ὁρκωμοτῶν, καὶ ἐπ' αὐτῶν τῶν θείων Εὐαγγελίων ὀμνύων ἐναντίον ἄντικρυς τῆς « Μὴ ὀμόσαι ὅλως » Κυριακῆς ἐντολῆς. Πῶς δὲ καὶ ἡ πνευματικὴ αὐτοῦ ποιμαντορία τε καὶ διδασκαλία τὸ ἀξιόπιστον ἕξει, εἴ γε ἐν τοῖς βιωτικοῖς πράγμασιν ὁ λόγος αὐτοῦ, καὶ τὸ ναί, καὶ τὸ οὔ, οὐκ ἔχει τὸ ἀξιόχρεων ἄνευ ὅρκου, ἐν καθαρᾷ συνειδήσει, ὡς ἐπὶ Θεοῦ παρόντος καὶ ἀκούοντος, πανδήμως προφερόμενον; Μόλις τοῖς αἱρετικοῖς κληρικοῖς, ὡς ἔξω τῆς Ἐκκλησίας πεπλανημένοις, ὁ τοιοῦτος πολιτικὸς ἐπετίθετο ὅρκος, ὅτε τὸν λίβελλον τῆς αὐτῶν ὁμολογίας προσέφερον, ἐπιστρέφοντες εἰς τὴν Ὀρθοδοξίαν, καὶ τὴν αἵρεσιν αὐτῶν ἀναθεματίζοντες, ὅπως, ἐὰν πάλιν ἀποσκιρτήσωσιν, ὑπόδικοι ὦσι μὴ μόνον ταῖς Ἐκκλησιαστικαῖς, ἀλλὰ καὶ ταῖς ἐκ τῆς πολιτικῆς νομοθεσίας κατὰ τῶν ἐπιόρκων ποιναῖς. Διὰ ταῦτα συμφώνως ταῖς Εὐαγγελικαῖς διατάξεσι, καὶ ταῖς ἱεραῖς καὶ κανονικαῖς παραδόσεσιν, εἴθισται καὶ νενόμισται ἀνέκαθεν ἐν τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἵνα πάντες οἱ ἱερωμένοι καὶ μοναχοί, εἴτε ἐπὶ μαρτυρίᾳ, εἴτε καὶ ὡς διάδικοι ἐν τοῖς δικαστηρίοις εἰσκαλούμενοι, διαβεβαιῶσιν ἐπὶ τῆς ἱερατικῆς αὐτῶν καὶ μοναστικῆς συνειδήσεως περὶ τοῦ προκειμένου πράγματος, εἴτε καταφάσκοντες, εἴτε ἀποφάσκοντες. Ἔστι δὲ τὸ ἔθος ἀρχαῖον Ἀποστολικόν, εἴγε καὶ ὁ θεῖος Παῦλος λέγει· « Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεως;» · καὶ « Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ἵνα ἦ παρ' ἐμοὶ τὸ ναί, ναί, καὶ τὸ οὔ, οὔ. (Β'. Κορινθ. Α. 12. 17).

Καὶ ἐπὶ δικαστηρίου δὲ κρινόμενος ἔλεγεν· «Ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ» (Πράξ. ΚΓ',1.) ὅθεν καὶ Ἰωάννης ὁ ἀοίδιμος πατριάρχης Κωνσταντινουπόλεως ἀθωούμενος πρὸς τὸν πάπαν Κωνσταντῖνον ἔγραφεν· » Αὐτὸ τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅπερ καύχημα ἑαυτοῦ ὁ θεῖος Ἀπόστολος διωρίσατο, προβαλλόμεθα εἰς παράστασιν τῆς ἀληθείας τῶν ἐξ ἡμῶν λεγομένων·» (Συνοδ. Συλλ. Τ. 2. Σελ. 707.) Τὴν ἐν συνειδήσει ταύτην διαβεβαίωσιν φαίνεται νοῶν καὶ νόμος ἀρχαῖος λέγων περὶ τῶν κληρικῶν· « Ἵνα, κατὰ τὸ πρέπον ἱερεῦσιν, ἐνώπιον Θεοῦ εἴπωσιν ἃ γινώσκουσιν·» (Ἀρμενόπουλ.) καὶ ἄλλος δὲ νόμος βασιλικὸς καὶ ῥητὸς διατάσσει, ὅτι, « Ὑπὸ τῶν Ἐκκλησιαστικῶν θεσμῶν καὶ τοῦ κανόνος οἱ κληρικοὶ κωλύονται ὁρκωμοτεῖν.» (Κώδ. Ἰουστινιανοῦ. Βιβ. ά. Τιτ. γ'. 25.) Τοῦτο καὶ ὁ ἀρχαῖος Νομοκάνων βεβαιοῖ· καὶ τοῦτον τῆς διαβεβαιώσεως τύπον καὶ αἱ πολιτικαὶ νομοθεσίαι τῶν ἁπανταχοῦ τῆς Ὀρθοδόξου Ἐκκλησίας ἐπισημοτάτων δικαστηρίων ἀντὶ ὅρκου διατάττουσιν ἐπὶ τῶν κληρικῶν, ἄχραντον καὶ ἀμίαντον τὴν ἱερωσύνην ἀπὸ τῆς δημοσίου παραβάσεως τοῦ Εὐαγγελίου διαφυλάττουσαι, καὶ τῆς ἐκ τοῦ ὅρκου τικτομένης πολλάκις ἐπιορκίας τὸν ἀρχιερέα, καὶ ἱερέα, καὶ τὸν διάκονον τῶν τοῦ Θεοῦ μυστηρίων ἐξασφαλίζουσαι, ἅμα δὲ καὶ τὴν ἐκ τῆς συνειδήσεως αὐτῶν διαβεβαίωσιν ἀντὶ ὅρκου πρὸς πίστωσιν ἰσοδυναμοῦσαν ἀποδεχόμεναι, ὡς ἐνώπιον Θεοῦ προσφερομένην. « Ἃ γὰρ ὡς ἐπὶ Θεοῦ παρόντος προφέρομεν, τοῦτο ἔχομεν ὅρκον ἡμεῖς·» καὶ ὁ μέγας Ἀθανάσιος ἀποφαίνεται· Ἐὰν δέ ποτέ τις τῶν κληρικῶν ψευδῆ βεβαιώσας ἐπὶ τῆς ἑαυτοῦ συνειδήσεως φωραθῇ, τὴν αὐτὴν τοῖς ἐπιορκοῦσι παρά τε τῇ Ἐκκλησίᾳ καὶ καὶ παρὰ τοῖς πολιτικοῖς νόμοις ὑφέξει ποινήν· οὐδένα γὰρ ἀδικοῦντα οὔτε θεῖος, οὔτε ἀνθρώπινος νόμος ἀτιμώρητον παραβλέπουσι.» Διὰ ταῦτα ἡ ἁγία τοῦ Χριστοῦ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία, κηδομένη τῆς κοινῆς σωτηρίας τῶν πνευματικῶν αὐτῆς τέκνων, τούς τε λαϊκοὺς Χριστιανούς, ὡς προείρηται, νουθετεῖ φυλάττεσθαι παντοίως καὶ ἀποφεύγειν τὰς ὁρκωμοσίας· ἐὰν δέ ποτέ τις ἀνάγκη, κατὰ τὴν πολιτικὴν νομοθεσίαν, τὸν ὅρκον αὐτοῖς ἐπιφέρῃ, εὐορκεῖν γοῦν αὐτοὺς ἀκρι-

δῶς, καὶ ἀνωτέρους ἑαυτοὺς ἀπὸ πάσης ἐπιορκίας διατηρεῖν συμβουλεύει. Τούς τε φιλανθρώπους καὶ φιλοθέους πολιτικοὺς δικαστὰς προτρέπεται καὶ παραινεῖ διὰ τὸν Κύριον, μὴ ταχεῖς μηδὲ συχνοὺς, μηδ' ἐπὶ σμικροῖς ἐπάγειν τοῖς δικαζομένοις τοὺς ὅρκους, ἵνα μὴ τὸ φοβερὸν τοῦ ὅρκου χρῆμα εἰς συνήθειαν ἐμπεσὸν καταφρονηθῇ, καὶ καταπλημμυρίσῃ τὴν πολιτείαν ἐπιορκία, ἐξ ἧς μοχθηρία παντοία, καὶ ἀδικία, καὶ ψεῦδος πηγάζει, καὶ ἀνομία τὸ τῶν νόμων σθένος ἐξαμαυροῦσα, καὶ τὸ πανώλεθρον δρέπανον τῆς θείας ὀργῆς, ὅπερ ὁ Προφήτης ἑώρακε Ζαχαρίας, κατὰ τῶν ἐπιορκούντων ἐπαγόμενη. Ἰδίως δὲ τοῖς τοῦ βήματος παραγγέλλει καὶ διατάσσει, ἀρχιερεῦσί τε, καὶ ἱερεῦσι, καὶ διακόνοις, καὶ τοῖς μοναχοῖς, ἁγνοὺς πάντῃ ἑαυτοὺς διατηρεῖν καὶ καθαροὺς ἀπὸ παντὸς ὅρκου, ἰδίου τε καὶ τοῦ πολιτικῶς ἐν τοῖς δικαστηρίοις ἐπὶ τῶν θείων Εὐαγγελίων ἐπαγομένου· πιστοποιεῖν δὲ τοὺς διαδίκους καὶ δικαστὰς περὶ τοῦ προκειμένου πράγματος, διαβεβαιοῦντας ἐπὶ τῆς ἱερατικῆς ἢ μοναστικῆς αὐτῶν συνειδήσεως, ἐφ' ᾗ καὶ πᾶς ὅρκος ἐστήρικται, καὶ προσέχειν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, μήποτε ψυχολέθρου σκανδάλου παραίτιοι γένωνται, δημοσίως περιπεσόντες εἰς τὴν ἀπηγορευμένην ὁρκωμοσίαν. Εἰ δέ τις τῶν ἱερωμένων, ἢ μοναστῶν, ἐναντία τῆς Εὐαγγελικῆς καὶ Ἐκκλησιαστικῆς διατάξεως ποιῶν, καὶ ὅρκον ἐν τοῖς δικαστηρίοις ἐπάγων ἢ ἀναδεχόμενος φωραθῇ, ὑπόδικος ἔσται βαρυτάτοις ἐπιτιμίοις, ὡς ἐναντίον τῷ θείῳ Εὐαγγελίῳ, ὃ καταπεπίστευται, πανδήμως ἀντιφερόμενος, καὶ τὰς ἱερὰς καὶ κανονικὰς παραδόσεις καταπατῶν, καὶ τὸ μέγα τῆς ἱερωσύνης ἀξίωμα ἐνώπιον πάντων τῶν πιστῶν, ὡς οὐκ ἀξιόπιστον φέρον τὴν συνείδησιν, καθυβρίζων, καὶ θύραν εἰς ἐπιορκίαν καὶ κατ' αὐτὸ τὸ θεῖον τάγμα δημοσίως διανοίγων, ἐφ' ᾗ τοὺς ἐμπεπτωκότας ὁ Ἀποστολικὸς κανὼν παντελῶς ἀπογυμνοῦσθαι τῆς ἱερωσύνης, καὶ καθαιρεῖσθαι θεσπίζει. Ἐπὶ τούτοις καὶ τὸ παρὸν ἐξεδόθη Ἐκκλησιαστικὸν ἐγκύκλιον ἀποφαντικὸν καὶ παραινετικὸν γράμμα, πρὸς κοινὴν τοῦ Ὀρθοδόξου πληρώματος ὠφέλειαν, καὶ πνευματικὴν ὁδηγίαν.

Ἐν ἔτει χιλιοστῷ ὀκτακοσιοστῷ τεσσαρακοστῷ ἐννάτῳ, κατὰ μῆνα Ὀκτώβριον, ἐπινεμήσεως Η'.

† Ὁ Πατριάρχης Κωνσταντινουπόλεως Ἄνθιμος ἐν Χριστῷ τῷ Θεῷ ἀποφαίνεται.

† Ὁ Ἀλεξανδρείας Ἱερόθεος ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ὁ Ἀντιοχείας Μεθόδιος ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ὁ Ἱεροσολύμων Κύριλλος ἐν Χριστῷ τῷ Θεῷ συναποφαίνεται.

† Ὁ Καισαρείας Παΐσιος.

† Ὁ Ἐφέσου Ἄνθιμος.

† Ὁ Ἡρακλείας Πανάρετος.

† Ὁ Κυζίκου Ἰωακείμ.

† Ὁ Νικομηδείας Διονύσιος.

† Ὁ Χαλκηδόνος Ἱερόθεος.

† Ὁ Δέρκων Νεόφυτος.

† Ὁ Πρόεδρος Διδυμοτείχου Μελέτιος.

† Ὁ Κρήτης Χρύσανθος.

† Ὁ Σερρῶν Ἰάκωβος.

† Ὁ Μεθύμνης Αὐξέντιος.

† Ὁ Σωζουαγαθουπόλεως Προκόπιος.

ΠΙΝΑΞ

ΤΩΝ ΕΝ ΤΩ ΠΕΜΠΤΩ ΤΟΜΩ ΤΟΥ ΣΥΝΤΑΓΜΑΤΟΣ ΤΩΝ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

ΑΠΟΦΑΣΕΙΣ ΣΥΝΟΔΙΚΑΙ, ΚΑΙ ΔΙΑΤΑΞΕΙΣ ΤΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΑΡΧΙΕΠΙΣΚΟΠΩΝ ΚΑΙ ΠΑΤΡΙΑΡΧΩΝ.

ΝΙΚΟΛΑΟΥ τοῦ Παλαιοῦ, ἢ Μυστικοῦ, Α'. περὶ τοῦ τὰς πατριαρχικὰς ἐπιστολὰς ἀμισθὶ δίδοσθαι τοῖς αἰτοῦσιν, ὡς γέγραπται ἐν τῷ χαρτοφυλακείῳ. . . . . . Σελ. 1

Β'. Εἴδησις, πῶς ἡ τετραγαμία τῷ βασιλεῖ κυρίῳ Λέοντι τετόλμηται, καὶ ὅπως κατήργηται διὰ τοῦ Τόμου τῆς Ἑνώσεως. 3

Ὁ Τόμος τῆς Ἑνώσεως. 4

Τόμος Σισιννίου πατριάρχου, περὶ τοῦ μὴ λαμβάνειν δύο ἀδελφοὺς ἐξαδέλφας δύο. 11

Ἀλεξίου, Α'. περὶ τῶν διὰ δωρεᾶς λαμβανόντων μοναστήρια, καὶ περί τινων ἄλλων ἐκκλησιαστικῶν ὑποθέσεων, ταῖς μητροπόλεσι, ταῖς ἀρχιεπισκοπαῖς, καὶ ταῖς ἐπισκοπαῖς ἀνηκουσῶν. 20

Β'. Τοῦ αὐτοῦ ὑπόμνημα, περὶ διαφόρων ἐκκλησιαστικῶν ὑποθέσεων, ἀνηκουσῶν πάσαις ταῖς μητροπόλεσι καὶ ἀρχιεπισκοπαῖς. 25

Γ'. Τοῦ αὐτοῦ, περὶ δισεξαδέλφων δύο, ὧν ὁ μὲν εἷς συνάλλαγμα συνεστήσατο μετὰ θυγατρός τινος ἀτελοῦς οὔσης τὴν ἡλικίαν, ἤτοι χρόνων πέντε πρὸς τῷ ἡμίσει, ἅτερος δὲ τῇ ταύτης συνεζύγη μητρὶ μετὰ τελευτὴν αὐτῆς, ὡς ἀντ' οὐδενὸς δοκοῦντος τοῦ πρώτου γάμου, διὰ τὸ παντελῶς ἀτελὲς τῆς κόρης. 32

Δ'. Τοῦ αὐτοῦ, περὶ γάμου τοῦ ζ'. βαθμοῦ. . . . 36

Ε'. Περί τινος ἁρμοσαμένου τῷ ἰδίῳ υἱῷ πρὸς γάμον θυγατέρα τινὸς ὑπεξουσίαν, παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς. 37

Μιχαὴλ τοῦ Κηρουλαρίου, Α'. περὶ τοῦ μὴ γίνεσθαι γάμον ἑβδόμου βαθμοῦ. . . . . Σελ. 40

Β'. Ἐπιστολὴ τοῦ αὐτοῦ, περὶ γάμου ἕκτου βαθμοῦ. . 45

Γ'. Τοῦ αὐτοῦ, περὶ μοιχευθείσης συζύγου ἱερέως. . 46

Δ'. Τοῦ αὐτοῦ, περὶ ἱερέως εὐλογήσαντος γάμον παρὰ γνώμην τῶν γονέων. 47

Ε'. Τοῦ αὐτοῦ, ὅτι ἐπὶ τῶν ἐκ τοῦ αὐτοῦ γένους καὶ ὁ τοῦ ἑβδόμου βαθμοῦ γάμος κωλύεται. 47

Κωνσταντίνου Λειχούδου, Α'. περὶ δούλου ἐγκληματικοῦ. 48

Β'. Τοῦ αὐτοῦ, περὶ τοῦ φονεύσαντος ἱερέως, καὶ καθαιρεθέντος. 49

Ἰωάννου τοῦ Ξιφιλίνου, Α'. περὶ μνηστείας. . . . 51

Β'. Ἑτέρα συνοδικὴ ἀπόφασις, περὶ μνηστείας. . . 53

Γ'. Τοῦ αὐτοῦ, ἴσον ψηφίσματος πρός τινα μητροπολίτην, περὶ κεκωλυμένων γάμων, ἐκτεθέντος παρὰ Νικήτα διακόνου καὶ χαρτοφύλακος. 54

Εὐστρατίου, περὶ δύο δισεξαδέλφων λαβόντων μητέρα καὶ θυγατέρα, καὶ λυθέντος τοῦ δευτέρου συνοικεσίου, ὡς ἀνόμως συστάντος. 57

Νικολάου Γραμματικοῦ, Α'. περὶ γάμου θείου καὶ ἀνεψιᾶς μετὰ θείας καὶ ἀνεψιοῦ κατ' ἀγχιστείαν. 58

Β'. Ἡ γενομένη πρὸς τοὺς μὴ συνελθόντας τοῖς λοιποῖς ἀρχιερεῦσιν ἐπὶ τῇ ἐν τῷ ἀνωτέρῳ σημειώματι δηλουμένῃ ὑποθέσει ἐρώτησις, καὶ ἡ τούτων ἀπόκρισις. 59

Γ'. Περὶ τῶν κανονικῶν. 60

Δ'. Τοῦ αὐτοῦ συνοδικὸν γράμμα πρὸς Ἀλέξιον τὸν Κομνηνόν, παριστῶν ἐκ τῶν ἁγίων κανόνων καὶ νόμων, ὅτι οὐκ ἔξεστιν ἀφαιρεῖσθαι τὰς ἐπισκοπὰς ἀπὸ τῶν μητροπόλεων. 62

Λέοντος τοῦ Στυππῆ, Α'. σημείωμα συνοδικόν, περὶ αἱρετικῶν τινων βιβλίων. 78

Β'. Περὶ γάμου δύο ἀδελφῶν μετὰ νύμφης καὶ ἀνδραδέλφης. 82

Μιχαὴλ Ὀξείτου, Α'. σημείωμα ἐπὶ τῇ καθαιρέσει γεγονὸς τῶν ἀπὸ τῆς ἐνορίας τῶν Τυάνων ψευδοεπισκόπων, τοῦ τε Σα-

σίμων, καὶ τοῦ Βαλδιάτου, ὡς παρὰ τοὺς κανόνας χειροτονηθέντων, τῶν καὶ Βογομίλων ἐς ὕστερον ἀπελεγχθέντων. Σελ. 83

Β'. Σημείωμα, δι' οὗ διεγνώσθησαν οἱ τὴν τῆς ἐπισκοπῆς ἀξίαν προαφαιρεθέντες, ὡς παρὰ κανόνας χειροτονηθέντες, ὅ,τε Χασίμων μοναχὸς Κλήμης, καὶ ὁ Βαλδίσσης Λεόντιος, ἐξ ἀναφορᾶς τοῦ ἱερωτάτου μητροπολίτου Τυάνων κυρίου Βασιλείου, τῆς τῶν Βογομίλων ὄντες μυσαρωτάτης αἱρέσεως. . . 85

Γ'. Τοῦ αὐτοῦ, σημείωμα γεγονὸς ἐπὶ τῷ περιορισμῷ, τῷ εἰς τὴν μονὴν τῆς Περιβλέπτου, τοῦ Βογομίλου καὶ παμβεβήλου Νήφωνος. 88

Δ'. Τοῦ αὐτοῦ σημείωμα, δι' οὗ διεγνώσθη ὁ ἀμόναχος καὶ παμβέβηλος Νήφων, τῆς τῶν Βογομίλων ὁμολογουμένως μυσαρωτάτης εἶναι αἱρέσεως. 90

Ἀδήλου πατριάρχου πιττάκιον ἐκτεθὲν παρὰ Ἰωάννου Χαρτοφύλακος, τοῦ Ἰωνοπούλου, περὶ τοῦ τῇ δισεξαδέλφῃ τῆς ἰδίας μητρὸς συναφθέντος, καὶ τῶν ὀφειλόντων δοθῆναι αὐτῷ ἐπιτιμίων. 92

Ἀδήλου πατριάρχου συνοδικαὶ ἀποκρίσεις εἰς τὰ τῷ Σίδης ἐρωτηθέντα. 93

Λουκᾶ Χρυσοβέργη, Α'. σημείωμα συνοδικὸν, περὶ τοῦ μὴ γίνεσθαι γάμον ἑβδόμου βαθμοῦ ἐξ αἵματος. 95

Β'. Τοῦ αὐτοῦ, περὶ τοῦ μὴ ἀφαρπάζεσθαι τοὺς κληρικοὺς τὰ ταῖς Ἐκκλησίαις, ἢ ἐπισκόποις τελευτῶσιν ἀνήκοντα. 98

Μιχαὴλ τοῦ Ἀγχιάλου, περὶ γάμου δύο ἀδελφῶν μετὰ ἀνεψιᾶς τῆς γυναικὸς Ἰωάννου καὶ θυγατέρος αὐτοῦ ἐξ ἑτέρας γυναικὸς, ἤτοι Θεοδώρας. 100

Γεωργίου τοῦ Ξιφιλίνου, περὶ ἐνοριακῶν δικαίων. . 101

Ἰωάννου τοῦ Καματηροῦ συνοδικὸν ψήφισμα, κωλύον τὸν αὐτὸν καὶ ἕνα λαβεῖν εἰς γυναῖκα δισεξαδέλφας δύο. 103

Γερμανοῦ, Α'. σημείωμα κατὰ τοῦ μητροπολίτου Ναυπάκτου κυρίου Ἰωάννου, περὶ τινων μοναστηρίων ἐπισκοπικῶν, καὶ περὶ παρθένου τῆς ἱερολογηθείσης πρὸ τῆς ἥβης. . . . 106

Β'. Τοῦ αὐτοῦ, σιγίλλιον ἐπὶ τοῖς παραλαυρίοις τῶν πατριαρχικῶν μονῶν, τίνι ἂν διαφέρειν ὀφείλουσι. 110

Γ'. Ἕτερον περὶ τοῦ αὐτοῦ. 112

Μανουὴλ Α'. Λύσεις ἐρωτήσεών τινων. . . Σελ. 114
Β'. Τοῦ αὐτοῦ, περὶ μεταθέσεως ἐπισκόπων. . . 116
Γ'. Τοῦ αὐτοῦ, περὶ κτητορικοῦ δικαίου. . . . 119
Νεαρὰ τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κυρίου Ἀθανασίου, καὶ τῶν ἐν αὐτῇ γεγραμμένων ἀρχιερέων τῆς ἱερᾶς συνόδου αὐτῆς, περὶ διαφόρων κεφαλαίων. . . 121
Φιλοθέου, Α'. ἀνατροπὴ τῶν ἀναγεγραμμένων παρὰ τῷ Ἀρμενοπούλῳ ἀναθεματισμῶν. 127
Β'. Τοῦ αὐτοῦ, σιγίλλιον τῷ Ἱερισσοῦ περὶ τῶν ἐν τῷ Ἁγίῳ Ὄρει δικαίων αὐτοῦ. 131
Ἡσαΐου, περὶ χρηματικῶν συνεισφορῶν τῶν μητροπόλεων ὑπὲρ τῆς Μεγάλης Ἐκκλησίας. 134
Ἀδήλου πατριάρχου, περὶ τοῦ ἁγίου βαπτίσματος τὸ εἰς τὸν Ταρχανειώτην πατριαρχικόν. 138
Νείλου, περὶ τοῦ ἀντιμινσίου. 141
Συμεὼν ἀκολουθία τυπωθεῖσα ὑπ' αὐτῆς τῆς ἁγίας καὶ μεγάλης συνόδου, εἰς τοὺς ἐκ τῶν λατινικῶν αἱρέσεων ἐπιστρέφοντας τῇ Ὀρθοδόξῳ τε καὶ Καθολικῇ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως, ἀλλὰ δὴ καὶ τοῖς τρισὶν ἁγιωτάτοις πατριάρχαις τῆς Ἀνατολῆς, Ἀλεξανδρείας δηλονότι, Ἀντιοχείας, καὶ Ἱεροσολύμων. 143
Ἀδήλων πατριαρχῶν, Α'. περὶ τῶν ἐκτιθεμένων τὰ οἰκεῖα βρέφη. 148
Β'. Περὶ τῶν κατὰ βίαν ἀποκαρεισῶν γυναικῶν. . 148
Ἱερεμίου, Πρᾶξις συνοδικὴ περὶ τοῦ πατριάρχου Μοσχοβίας, καὶ πάσης Ῥωσίας. 149
Νεοφύτου, περὶ διαφόρων γαμικῶν κεφαλαίων. . 156
Α'. Τοῦ αὐτοῦ, γράμμα περὶ τῆς Ἁγιωτάτης Συνόδου τῆς Ῥωσσικῆς Αὐτοκρατορίας. 160
Β'. Ὡσαύτως τοῦ Ἀθανασίου πατριάρχου Ἀντιοχείας. 163
Γρηγορίου τόμος περὶ συνοικεσίων. 164
Τόμος συνοδικὸς τῆς ἐν Κωνσταντινουπόλει Ἁγίας καὶ Ἱερᾶς Συνόδου, περὶ τῆς ἐν Ἑλλάδι Ὀρθοδόξου Ἐκκλησίας. . 177

ΝΕΑΡΑΙ ΔΙΑΤΑΞΕΙΣ ΤΩΝ ΒΥΖΑΝΤΙΝΩΝ ΑΥΤΟΚΡΑΤΟΡΩΝ ΠΕΡΙ ΠΡΑΓΜΑΤΩΝ, ΚΑΙ ΠΡΟΝΟΜΙΩΝ, ΚΑΙ ΖΗΤΗΜΑΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ.

Ἰουστινιανοῦ, Α'. ὁμολογία πίστεως κατὰ τῶν τριῶν κεφαλαίων. . . . . Σελ. 186

Β'. Τοῦ αὐτοῦ ἐκ τῆς διατάξεως, ἐκτεθείσης ὑπὲρ τῶν προσφύγων τῆς Μεγάλης Ἐκκλησίας, καὶ τῶν ἁπανταχοῦ τῆς οἰκουμένης θείων Ἐκκλησιῶν. 218

Γ'. Ἴσον τοῦ πρωτοτύπου χρυσοβούλλου τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ, περὶ τῶν ἐπαρχιῶν καὶ προνομίων τῆς ἀρχιεπισκοπῆς Ἀχριδῶν. 219

Ἡρακλείου, Α'. νόμος βεβαιῶν τοῖς ὁσιωτάτοις ἐπισκόποις, καὶ τοῖς θεοφιλεστάτοις κληρικοῖς, καὶ μονάζουσι, τὰ παρὰ τῶν προβεβασιλευκότων αὐτοῖς δεδωρημένα προνόμια, περὶ τοῦ, πῶς δεῖ ἐνάγεσθαι χρηματικῶς τε καὶ ἐγκληματικῶς, προστιθεὶς ἐκ καινῆς, ὥστε μηδεμίαν πάροδον κατ' αὐτῶν ἔχειν πολιτικοὺς ἢ στρατιωτικοὺς ἄρχοντας. . . . 225

Β'. Τοῦ αὐτοῦ, περὶ τοῦ ὡρισμένον εἶναι τὸν ἀριθμὸν τῶν κληρικῶν τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ τῆς ἁγίας Θεοτόκου ἐν Βλαχέρναις τιμωμένης· ἔτι μὴν καὶ τῶν ἐν τοῖς ὀφφικίοις ἐξυπηρετουμένων τῇ τε εἰρημένῃ Μεγάλῃ Ἐκκλησίᾳ, καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ. 230

Γ'. Ὁ αὐτὸς βασιλεὺς Σεργίῳ, τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ, περὶ τῆς αὐτῆς ὑποθέσεως. 234

Δ'. Τοῦ αὐτοῦ, περὶ τοῦ μὴ ἐξεῖναί τινα σχῆμα περιβεβλημένον ἱερατικὸν, οἱουδήποτε βαθμοῦ ἢ τάγματος ὄντα, ἐξ ἑτέρας πόλεως, ἢ κώμης, ἢ ἑτέρου τὸ σύνολον τόπου, τῇ βασιλίδι ταύτῃ παραγίνεσθαι πόλει, ἔν τινι τῶν αὐτῆς Ἐκκλησιῶν, ἢ τῆς ἐνορίας αὐτῆς, χωρὶς δοκιμασίας καὶ ἐπιτάγματος τοῦ τὸν ἀποστολικὸν ταύτης διέποντος θρόνον οἰκουμενικοῦ πατριάρχου κτλ. 237

Νομοθεσία νεαρὰ Λέοντος βασιλέως κατὰ τὸν Βάρδα περὶ κεκωλυμένων γάμων. 241

Α'. Θέσπισμα, ἤγουν νομοθεσία Εἰρήνης, μεγάλου βασιλέως Ῥωμαίων καὶ αὐτοκράτορος, περὶ τοῦ μὴ ὀμνύειν τινὰ παραγόμενον εἰς μαρτυρίαν, καὶ ἀμφοτέρων κεφαλαίων. Σελ. 248

Β'. Ὁ αὐτὸς βασιλεὺς περὶ τῶν ἀθεμίτως συναπτομένων ἀπὸ τρίτου γάμου καὶ ἐπέκεινα, καὶ περὶ τῶν συναπτομένων ταῖς ἰδίαις δούλαις. 252

Βασιλείου τοῦ Μακεδόνος, Α'. περὶ τοῦ μὴ ἐξεῖναι πρὸς τέταρτον γάμον ἐλθεῖν. 253

Β'. Τοῦ αὐτοῦ, περὶ τοῦ μὴ ἐξεῖναι παλλακὴν ἔχειν. 254

Γ'. Τοῦ αὐτοῦ, τίνες ἀναγκάζονται γαμεῖν, ἢ μή; . 254

Δ'. Τοῦ αὐτοῦ, μὴ δεῖν λάθρα γίνεσθαι τὰς γάμων ἱερολογίας. 254

Λέοντος καὶ Ἀλεξάνδρου, περὶ τοῦ ἀπὸ πρώτου γίνεσθαι πάσας τὰς ἐκδόσεις. 255

Κωνσταντίνου, Α'. περὶ τῶν ἑκουσίως φονευόντων, καὶ τῇ Ἐκκλησίᾳ προσφευγόντων, ὥστε αὐτοὺς μὴ δέχεσθαι. . 256

Β'. Τοῦ αὐτοῦ, περὶ τῶν ἑκουσίως φονευόντων δευτέρα νομοθεσία, δεχομένη μὲν αὐτοὺς κατὰ συμπάθειαν, παρὰ δύναμιν τῆς πρώτης, ἀειφυγίᾳ δὲ καὶ περιουσίας ἐκπτώσει καταδικάζουσα. 258

Ἡ νεαρὰ Νικηφόρου τοῦ βασιλέως, περὶ τοῦ μὴ γίνεσθαι μοναστήρια, καὶ γηροκομεῖα, μήτε πλατύνεσθαι διὰ τῶν κτημάτων τοὺς εὐαγεῖς οἴκους. 261

Βασιλείου, Α'. περὶ τῆς ἀρχιεπισκοπῆς Βουλγαρίας. 266

Β'. Βασιλείου τοῦ Πορφυρογεννήτου, περὶ κτίσεως τῶν Ἐκκλησιῶν, καὶ τῶν εὐαγῶν οἴκων. 270

Γ'. Κωνσταντίνου, ὑπόμνησίς τινος ἀπὸ Ἰουδαίων Χριστιανοῦ γενομένου, περιέχουσα ὁποῖός ἐστιν ὁ ὅρκος τῶν Ἰουδαίων. 271

Ἀντιγραφὴ βασιλικὴ περὶ τοῦ αὐτοῦ. 272

Παρεκβολὴ γενομένη παρὰ Ἰουδαίων. 273

Κωνσταντίνου τοῦ Δούκα, ὅτι ὁ βασιλεὺς οὐκ ἔχει ἐξουσίαν ἀμείβειν τοὺς θρόνους. 274

Νικηφόρου τοῦ Βοτανειάτου χρυσόβουλλον ἐπικυροῦν τὰς συνοδικὰς ἀποφάσεις, τὰς περὶ τῶν ἀθεμίτων γάμων καὶ τῆς

μνηστείας γεγενημένας ἐπὶ Ἰωάννου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου τοῦ Ξιφιλίνου. . . . . Σελ. 277

Ἀλεξίου τοῦ Κομνηνοῦ, Α'. περὶ τοῦ κανονικοῦ, καὶ τῶν διδομένων συνηθειῶν ὑπὲρ χειροτονίας, καὶ ἱερολογίας γάμου, καὶ περὶ τοῦ ἀερικοῦ, καὶ πάντων τῶν ψυχικῶν. . . 280

Β'. Τοῦ αὐτοῦ, περὶ τῶν ἱερῶν σκευῶν, καὶ τοῦ μὴ ἄλλοτέ ποτε ταῦτα κοινωθῆναι. 281

Γ'. Ὑπόμνησις τοῦ Κουροπαλάτου καὶ μεγάλου Δρουγγαρίου τῆς Βίγλης Ἰωάννου τοῦ Θρακησίου, μετὰ τὴν περὶ μνηστείας νεαρὰν, γενομένη πρὸς τὸν αὐτὸν βασιλέα κύριον Ἀλέξιον περί τινος ἀμφιβολίας ἐπὶ ταύτῃ ἀναφυείσης. . . . - 284

Λύσις τοῦ βασιλέως κυρίου Ἀλεξίου, ἐπικυροῦσα τὴν προγεγονυῖαν παρ' αὐτοῦ νεαρὰν περὶ τοῦ γάμου, καὶ ἄλυτον μένειν ἐπιτάττουσα τὴν μεθ' ἱερολογίας προβαίνουσαν μνηστείαν. 286

Δ'. Τοῦ αὐτοῦ νεαρὰ νομοθεσία, διατυποῦσα τὰ περὶ τῶν ψήφων, καὶ ὁποίους δεῖ εἶναι τοὺς πανταχοῦ ἀρχιερεῖς, πρὸς δὲ καὶ τοὺς ἱερεῖς ἐν ταῖς ἐπαρχίαις, καὶ ταῖς μητροπόλεσι, καὶ ταῖς ἐπισκοπαῖς. 294

Ἰωάννου τοῦ Κομνηνοῦ χρυσόβουλλον διοριζόμενον, μηδέν τι ἀπαιτεῖν τὸν πράκτορα ἀπὸ Ἐκκλησίας χηρευούσης τοῦ ἐπισκόπου αὐτῆς. 305

Μανουὴλ τοῦ Κομνηνοῦ, Α'. σημείωμα τῆς καθαιρέσεως τοῦ γεγονότος πατριάρχου Κωνσταντινουπόλεως Κοσμᾶ τοῦ Ἀττικοῦ, ὁμόφρονος ἀποδειχθέντος τῷ Βογομίλῳ Νίφωνι. 307

Β'. Τοῦ αὐτοῦ πρόσταγμα βασιλικὸν, διαλύον καὶ ἀνατρέπον τὸ προβὰν ἑβδόμου ἐξ αἵματος βαθμοῦ συνοικέσιον, κωλύον δὲ γενέσθαι μὴ γεγονός. 314

Ἰσαακίου τοῦ Ἀγγέλου, Α'. σημείωμα βασιλικὸν, ἀκυροῦν τὰς γινομένας ψήφους ἀπουσίᾳ τινὸς τῶν τῇ μεγάλῃ πόλει ἐνδημούντων ἀρχιερέων· διοριζόμενον δὲ καὶ εἰς τὸ ἑξῆς μὴ ἄλλως γίνεσθαι ψῆφον, εἰ μὴ πάντες οἱ ἐν τῇ μεγάλῃ πόλει ἐνδημοῦντες ἀρχιερεῖς μετακληθῶσι, καὶ ἢ παρουσιάσουσιν, ἢ δώσουσι γνώμας. 314

Β'. Τοῦ αὐτοῦ περὶ τοῦ ἀποκείρεσθαι τὰς τῶν ὑποψηφίων ἀρχιερέων γυναῖκας. . . . . Σελ. 321

Ἰωάννου τοῦ Βατάτζη χρυσόβουλλον, περὶ τοῦ μὴ ἀφαιρεῖσθαί τι ἐκ τῆς περιουσίας τῶν τελευτώντων ἀρχιερέων. 324

Μιχαὴλ τοῦ Παλαιολόγου, Α'. ὁρισμὸς πρὸς τὸν Σκουταριώτην γεγονότα Κυζίκου. 326

Ἕτερον πρόσταγμα σεπτὸν τοῦ αὐτοῦ. . . . 327

Πρόσταγμα πρὸς τὸν Κυζίκου μητροπολίτην. . . 329

Ὁρισμὸς ἀδήλου βασιλέως, ὃν ἐποίησε διὰ τὸ θεοβάδιστον ὄρος τὸ Σίναιον. 331

Ἀνδρονίκου τοῦ γέροντος χρυσόβουλλον πρὸς τὸν ἁγιώτατον μητροπολίτην Μονεμβασίας, καὶ τοὺς αὐτοῦ διαδόχους. 333

ΑΠΟΚΡΙΣΕΙΣ, ΕΠΙΣΤΟΛΑΙ, ΨΗΦΟΙ, ΕΠΙΛΥΣΕΙΣ, ΚΑΙ ΥΠΟΜΝΗΜΑΤΑ ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΚΑΝΟΝΙΚΩΝ ΥΠΟΘΕΣΕΩΝ.

Εὐσταθίου Πατρικίου τοῦ Ῥωμαίου ὑπόμνημα περὶ δύο ἐξαδέλφων λαβόντων δύο ἐξαδέλφας. 341

Δημητρίου Συγκέλλου, μητροπολίτου Κυζίκου, Α'. μελέτη περὶ κωλυμάτων γάμων. 354

Β'. Τοῦ αὐτοῦ, ἀπάντησις πρὸς τὸν λέγοντα, κεκωλυμένον εἶναι τὸν ἐκ τριγενείας γάμον καὶ ἀσυγχώρητον. . 366

Πέτρου Χαρτοφύλακος, ἐρωτήματα καὶ ἀποκρίσεις περὶ διαφόρων κανονικῶν ὑποθέσεων. 369

Ἠλιοὺ Κρήτης, ἀποκρίσεις πρός τινα μοναχὸν Διονύσιον περὶ διαφόρων αὐτοῦ ἐρωτήσεων. 374

Περὶ τοῦ ἐπεισάκτῳ γυναικὶ συνοικοῦντος ἕως θανάτου αὐτοῦ. 376

Ὅτι ὁ μετὰ τὴν ἀποβίωσιν τῆς ἑαυτοῦ γυναικὸς ἐπεισάκτῳ συνοικῶν, οὐ δίγαμος, ἢ τρίγαμος, ἀλλὰ πόρνος λέγεται. 377

Ὅτι τὰ κατὰ τῶν πορνευόντων ἐπιτίμια μείζονα τῶν κατὰ τῶν τριγάμων. 378

Περὶ τοῦ ἐπινοοῦντος τὸν ἑαυτοῦ υἱὸν πορνεύοντα. . 379

Περὶ ἀναδόχων. 380

Νικήτα Θεσσαλονίκης ἐρωτήσεις καὶ ἀποκρίσεις. . 382
Βασιλείου τοῦ Ἀχριδηνοῦ ἀποκρίσεις περί τινος γάμου. 387
Ἀδήλου περὶ μεταθέσεων ἐπισκόπων. 391
Ψήφισμα πολιτικῶν δικαστῶν περὶ συγγενείας, ὅτε δύο δισεξαδέλφας ἠγάγετό τις. 395
Μιχαὴλ τοῦ Χούμνου, περὶ βαθμῶν συγγενείας. . 397
Νικηφόρου τοῦ Χαρτοφύλακος ἐπιστολὴ πρὸς Θεοδόσιον περιέχουσα λύσιν τινῶν ζητημάτων. 399
Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν. 401
Ἰωάννου τοῦ Κίτρου ἀποκρίσεις πρὸς τὸν Καβάσιλαν. 403
Δημητρίου τοῦ Χωματηνοῦ, ἀρχιεπισκόπου Βουλγαρίας, Α'. περὶ βαθμῶν συγγενείας. 421
Β'. Τοῦ αὐτοῦ, πρὸς Κωνσταντῖνον ἀρχιεπίσκοπον τῆς μητροπόλεως Δυρραχίου τὸν Καβάσιλαν ἀποκρίσεις. . 427
Γ'. Τοῦ αὐτοῦ σημείωμα περὶ μνηστείας μετ' ἀνήβου. κτλ. 437
Νικήτα, μητροπολίτου Ἡρακλείας, ἀποκρίσεις πρὸς Κωνσταντῖνον ἐπίσκοπον. 441
Ὑπόμνησις πρὸς τὸν Θεσσαλονίκης κυρὸν Νικήταν τὸν Μιτυληναῖον, περὶ δούλων, ἵνα ἱερολογῶνται. . . . 443
Ἁρμενοπούλου περὶ αἱρέσεων. 446
Τοῦ αὐτοῦ, τῆς πίστεως Ὀρθοδόξου ἔκθεσις. . . 453

ΘΡΟΝΟΙ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ.

Τάξις προκαθεδρίας τῶν ἁγιωτάτων πατριαρχῶν, μητροπολιτῶν, καὶ αὐτοκεφάλων ἀρχιεπισκόπων, καὶ ἐπισκόπων, τελούντων ὑπὸ τὸν οἰκουμενικὸν θρόνον. 455
Περὶ τῆς τάξεως τῶν μητροπολιτῶν καὶ ἀρχιεπισκόπων καθὼς ἐν τῷ χαρτοφυλακίῳ ἐπαναγράφονται. . . . 473
Ἡ γεγονυῖα διατύπωσις παρὰ τοῦ βασιλέως Λέοντος τοῦ Σοφοῦ, ὅπως ἔχουσι τάξεως οἱ θρόνοι τῶν Ἐκκλησιῶν, τῶν ὑποκειμένων τῷ πατριάρχῃ Κωνσταντινουπόλεως. . 474
Ἐκ τοῦ Νείλου Δοξαπατρῆ, περὶ τῶν πέντε πατριαρχικῶν θρόνων. 486
Ἔκθεσις βασιλέως κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου τοῦ γέροντος, ὅπως νῦν ἔχουσι τάξεως αἱ ὑποκείμεναι μητροπόλεις τῷ πατριαρχικῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως. . 490

Ὅσαι τῶν πόλεων μετωνομάσθησαν ἐς ὕστερον. Σελ. 495
Ἔκθεσις νέα, ὅπως γράφει νῦν ὁ Κωνσταντινουπόλεως πατριάρχης τῷ πάπᾳ, καὶ τοῖς λοιποῖς πατριάρχαις καὶ ἀρχιεπισκόποις, καὶ τοῖς μητροπολίταις, καὶ ἄρχουσιν· ὅπως τε νῦν ἔχουσι τάξεως οἱ ὑποκείμενοι θρόνοι τῷ πατριάρχῃ Κωνσταντινουπόλεως, κτλ. 497
Τάξις τῶν θρόνων τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, ὅπως σήμερον ἔχουσι. 513
Θρόνοι ὑποκείμενοι τῷ οἰκουμενικῷ πατριάρχῃ. . 513
Θρόνοι ὑποκείμενοι τῷ πατριάρχῃ Ἀλεξανδρείας. . 522
Θρόνοι ὑποκείμενοι τῷ πατριάρχῃ Ἀντιοχείας. . . 523
Θρόνοι ὑποκείμενοι τῷ πατριάρχῃ Ἱεροσολύμων. . 524
Θρόνοι τῆς αὐτοκεφάλου Ἐκκλησίας τῆς Ῥωσσίας. . 525
Θρόνοι τῆς αὐτοκεφάλου Ἐκκλησίας τῆς Κύπρου. . 528
Θρόνοι τῆς αὐτοκεφάλου Ἐκκλησίας ἐν τῇ Αὐστριακῇ Μοναρχίᾳ. 528
Αὐτοκέφαλος ἀρχιεπισκοπὴ τοῦ Σιναίου Ὄρους. . 529
Αὐτοκέφαλος μητρόπολις Μχυροβουνίου. . . . 529
Θρόνοι τῆς αὐτοκεφάλου Ἐκκλησίας τῆς Ἑλλάδος. . 530

ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΑΞΙΩΜΑΤΑ.

Κωδινοῦ τοῦ Κουροπαλάτου, περὶ τῶν ὀφφικίων τῆς μεγάλης Ἐκκλησίας. 531
Τάξις τῶν ὀφφικίων, καὶ τῶν ἀρχόντων τῆς μεγάλης Ἐκκλησίας. 534
Ματθαίου μοναχοῦ περὶ τῶν ὀφφικίων τῆς μεγάλης Ἐκκλησίας. 540

ΓΡΑΜΜΑΤΑ ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ.

Συστατικαὶ καὶ ἀπολυτικαὶ ἐπιστολαὶ πρὸς ἀναγνώστας, ὑποδιακόνους, διακόνους, καὶ πρεσβυτέρους διδόμεναι. 541
Τύπος συμμαρτυρίας τῷ χειροτονηθησομένῳ. . . 543
Ἐντάλματα διδόμενα τοῖς χειροτονουμένοις μητροπολίταις, καὶ ἀρχιεπισκόποις, καὶ ἑτέροις. 544
Πρᾶξις πρὸς μητροπολίτην παρὰ πατριάρχου διδομένη. 550
Ἑτέρα πρᾶξις πρὸς τὸν αὐτὸν παρὰ τοῦ αὐτοῦ. . 555

Ἑτέρα πρᾶξις διδομένη ἀπὸ μητροπολίτου εἰς ἐπίσκοπον. 558
Πατριαρχικὸν, ἐπὶ ἐκλογῆς νέου πατριάρχου. Σελ. 561
Σημειώματα ὑπομνημάτων, ἢ περὶ ψήφων. . . . 563
Ἡ παρὰ τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων συνήθως ἐν τῷ καιρῷ τῆς χειροτονίας γινομένη τοῦ συμβόλου ἀσφάλεια. 566
Εὐχὴ ἀναγινωσκομένη ἐνώπιον βασιλέως παρὰ μητροπολίτου ἄρτι χειροτονηθέντος. 567
Συστατικὴ παρὰ τοῦ πατριάρχου τῆς Κωνσταντινουπόλεως, ἄρτι χειροτονηθέντος. 568
Ἔνταλμα διδόμενον τοῖς ἡγουμένοις. 570
Καθαιρετικὸν ἱερέως. 571
Πατριαρχικὰ πιττάκια, περὶ προβιβασμοῦ εἰς ἐκκλησιαστικὰ ἀξιώματα. 572
Ἐνταλτηριώδη γράμματα εἰς τὸ γενέσθαι πατέρα πνευματικόν. 573
Ἐντάλματα διδόμενα τοῖς ἐξάρχοις. 579
Γράμμα ἐξαρχικὸν κατ' ἀρχιερέως. 585
Προτροπὴ συνοικεσίου, ἡ λεγομένη βούλλα. . . 588
Προβιβαστικὰ θρόνων, καὶ περὶ ἐπιδόσεως ἐπαρχιῶν. 588

ΠΑΡΑΡΤΗΜΑ.

Νόμος περὶ ἐπισκοπῶν, καὶ ἐπισκόπων, καὶ περὶ τοῦ ὑπὸ τοὺς ἐπισκόπους τελοῦντος κλήρου. 591
Νόμος καταστατικὸς τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος. 602
Κυρίλλου Ὅρος περὶ τοῦ ἁγίου βαπτίσματος. . . 614
Ἀνθίμου, ἐγκύκλιος ἐπιστολὴ περὶ ὅρκου. . . . 617

ΤΕΛΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΟΜΟΥ.